CONTENTA TOMI XIII.

De compositione medicamentorum
secundum locos lib. VII. 1 — 115.
— — — — — VIII. 116 — 227.
— — — — — IX. 228 — 320.
— — — — — X. 321 — 361.

De compositione medicamentorum
per genera lib. I. 362 — 357.
— — — — — II. 358 — 561.
— — — — — III. 562 — 651.
— — — — — IV. 652 — 762.
— — — — — V. 763 — 858.
— — — — — VI. 859 — 945.
— — — — — VII. 946 — 1058.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΤΟΠΟΥΣ ΒΙΒΛΙΟΝ Η.

Ed. Chart. XIII. [524.] Ed. Baſ. II. (255.)

Κεφ. α'. Ἔθος ἐστὶ τοῖς νεωτέροις ὀνομάζειν ἀρτηριακὰς, μὴ προστιθεῖσι πότερον ἀντιδότους λέγουσιν ἢ κατὰ σημαινόμενον ἕτερον. ἔνιοι δὲ ἐκλεικτὰ προσαγορεύουσιν αὐτὰ μὴ προστιθέντες φάρμακα, καί τινες μὲν ὅλως οὐδένα διορισμὸν αὐτοῖς προσέγραψαν, ἔνιοι δὲ ὀλιγάκις προσέθηκαν, οἱ μὲν πρὸς ἀποκεκομμένην φωνὴν, οἱ δὲ γενικώτερον ἔτι πρὸς βεβλαμμένην φωνήν. εἰσὶ δὲ οἳ πρὸς τετραχυσμένην

GALENI DE COMPOSITIONE MEDICAMENTORVM SECVNDVM LOCOS LIBER VII.

Cap. I. Mos eſt recentioribus medicis arteriacas appellare, non apponentibus num antidotos dicant, an juxta aliud ſignificatum, quidam vero eclecta nominant ipſa, non apponentes medicamenta, et quidam penitus nullum diſcrimen ipſis aſcripſerunt, aliqui vero raro addiderunt, alii ad vocem interceptam, alii adhuc generalius ad vocem laeſam, ſunt qui et ad exaſperatam arteriam et ad exulcera-

Ed. Chart. XIII. [524. 525.] Ed. Baſ. II. (255.)

ἀρτηρίαν καὶ πρὸς ἡλικωμένην ἔγραψαν, ὥστε εὐλόγως οἱ χρώμενοι ταῖς ἀρτηριακαῖς, φαρμάκοις ὀνομαζομένοις ἀδιορίστως, ἐνίοτε μὲν ἐπιτυγχάνουσιν, ἐνίοτε δὲ οὐδὲν ὅλως ὠφελοῦσι τοὺς πάσχοντας, ἀλλὰ βλάπτουσι τὰ μέγιστα. πρόδηλον δ' ὅτι τὴν τραχεῖαν ἀρτηρίαν ἐπὶ τῶν τοιούτων παθῶν αἰτιῶνται. πάλαι μὲν οὖν, ὁπότ' οὐδὲ τὰς ὁμοίως τῇ καρδίᾳ σφυζούσας ἀρτηρίας οὕτως ὠνόμαζον, ἐπὶ μόνης τῆς ἐκ τοῦ πνεύμονος ἀνισχούσης εἰς τὸν λάρυγγα τὸ τῆς ἀρτηρίας ἐπέφερον ὄνομα, φλέβας ὀνομάζοντες τοὺπίπαν, ὥσπερ τὰς ἄλλας ὅσαι μὴ σφύζουσιν, οὕτω καὶ τὰς σφυζούσας. ὕστερον δὲ τῆς προσηγορίας ἐθισθείσης ἐπὶ τῶν σφυζουσῶν λέγεσθαι, διὰ τὴν ὁμωνυμίαν προσθέντες τὸ τῆς τραχείας ὄνομα τὴν εἰς τὸν πνεύμονα καθήκουσαν ἐκ τῆς λάρυγγος ἀρτηρίαν οὕτως ὠνόμασαν, ἅμα τῷ καὶ βρόγχον αὐτὴν καλεῖν, ἐπειδὴ τὰ χονδρώδη σώματα, τὸ πλεῖστον τῆς οὐσίας αὐτῆς μέρος ὄντα, βρογχία προσαγορεύουσιν. ὑπαλείφει δὲ τὴν ἀρτηρίαν αὐτὴν ἔνδοθεν παχὺς ὑμήν, ὃν [525] διὰ τὸ πάχος ἔνιοι χιτῶνα προσαγορεύουσιν. ὅταν οὖν τι πάθος

tam ſcripſerunt, adeo ut rationabile ſit eos, qui arteriacis appellatis medicamentis indefinite utuntur, aliquando feliciter eis uti, aliquando vero nihil penitus aegros juvare, ſed maxime laedere. Palam eſt autem quod aſperam arteriam in hujusmodi affectionibus accuſant. Quondam igitur, quando nondum eas, quae ſimiliter ut cor pulſant arterias ſic nominabant, in ſolam eam, quae ex pulmone in laryngem emergit arteriam, ipſum arteriae nomen inferebant venas appellantes in totum velut alias, quae non pulſant, ſic etiam pulſantes. Poſtea vero conſuetudine obtinente arteriae appellationem in pulſantibus dici, propter aequivocationem aſperae nomen apponentes eam quae ex larynge in pulmonem deſcendit arteriam aſperam arteriam appellaverunt una cum hoc, quod ipſam etiam bronchum vocant, quandoquidem cartilaginoſa corpuſcula, quae plurima ejus pars ſunt, bronchia appellant. Ambit autem ipſam arteriam intrinſecus craſſa pellicula, quam ob craſſitudinem aliqui tunicam vocant. Quum igitur affectio aliqua aut circa

Ed. Chart. XIII. [525.] Ed. Baſ. II. (255.)
ἤτοι κατὰ τοῦτον ἢ κατὰ τοὺς ἐν τῷ λάρυγγι γένηται μῦς, ἀρτηριακὰς ὀνομάζουσι τὰς ἰωμένας αὐτὰ, μὴ προστιθέντες, ὡς ἔφην, ἀντιδότους. ἀνόμοιαι δὲ κατ' εἴδη ταῖς δυνάμεσίν εἰσιν αἱ γεγραμμέναι πρὸς αὐτῶν, καὶ διὰ τοῦτο συμβαίνει τοὺς χωρὶς διορισμοῦ χρωμένους αὐταῖς ἀποτυγχάνειν τοῦ σκοποῦ πολλάκις. ὅτι δὲ πολλή τίς ἐστιν ἡ διαφορὰ τῶν γεγραμμένων ἐν ταῖς φαρμακίτισι βίβλοις ὑπὸ τῶν ἰατρῶν, ἔνεστί σοι μαθεῖν ἐκ τριῶν παραδειγμάτων, ὧν τὸ μὲν ἀδηκτότατόν ἐστι καὶ ἀκριβῶς ἐμπλαστικὸν ἐκλεαῖνον τὰς τραχύτητας, τὸ δ' ἐναντίον τῷδε δριμύτητος δακνώδους οὐκ ὀλίγον ἔχον, ὡς ἐὰν ἀκριβῶς ὑγιαίνοντι μορίῳ προσαχθῇ, τραχύνειν αὐτό. μέσον δὲ ἀμφοῖν τῶν εἰρημένων ἐστὶν ἄλλο γένος φαρμάκων ἀρτηριακῶν, ἀδήκτου ῥυπτικῆς δυνάμεως. τὸ μὲν οὖν ἐμπλαστικὸν ἔστι διὰ γλυκέος Κρητικοῦ καὶ κόμμεως καὶ τραγακάνθης καὶ γλυκυῤῥίζης κατασκευαζόμενον, τὸ δὲ δριμὺ διὰ πεπέρεως καὶ κασσίας καὶ κινναμώμου καὶ χαλβάνης καὶ ῥητίνης τερμινθίνης. τὸ μέσον δὲ ἀμφοῖν ἐκ πτισάνης χυλοῦ καὶ ἀμυγδάλων καὶ κυάμων ἔτνους, ὅσα τε

hanc aut circa laryngis, qui ſumma arteriae pars eſt, muſculos contingit arteriacas appellant curantes ipſam, non apponentes, velut dixi, antidotos. Diſſimiles autem facultatibus ſunt ab ipſis deſcriptae et ob id contingit utentes ipſis absque diſcrimine a ſcopo aberrare. Quod vero multa ſit differentia earum, quae in medicamentariis libris ſcriptae ſunt. ex tribus exemplis diſcere licet, quorum primum omnis acrimoniae expers eſt et exquiſite meatus obturat, laevigans aſperitates, alterum huic contrarium eſt acrimoniae mordacis non parum habens, ut ſi ſanae parti adhibeatur, ipſam exaſperet, medium deinde inter ambo dicta aliud genus arteriacorum medicamentorum eſt, lenis et citra acrimoniam detergentis facultatis. Id igitur quod meatus obducit, ex paſſo Cretico et gummi et tragacantha ac radice dulci apparatur, acre vero ex pipere et caſſia et cinnamomo et galbano ac reſina terebinthina. Medium autem amborum ptiſanae conſtat ſucco et amygdalis et ſabis ſreſis

Ed. Chart. XIII. [525.] Ed. Baf. II. (255. 256.)

ἄλλα τοιαῦτα. μεταξὺ δὲ τοῦ μέσου καὶ τῶν ἄκρων ἑκατέρου πλείω φάρμακά ἐστι, τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον ἀποκεχωρηκότα τοῦ μέσου. περὶ ὧν ἐφεξῆς διοριῶ, τοὺς μὲν προσθέντας τινὰ διορισμὸν ἐπαινῶν, τοὺς δὲ ἁπλῶς προσγράψαντας οὐκ ἀποδεχόμενος. ἐν τῷ μέσῳ δ' ἀμφοῖν εἰσὶν οἱ διορισμοὺς ἐλλιπεῖς ποιησάμενοι, ὁποῖός ἐστι καὶ τῶν γραψάντων, ἀρτηριακὴ ἡ πρὸς ἀποκεκομμένας φωνάς, ἢ πάλιν, ἀρτηριακὴ ἡ πρὸς τοὺς βραγχωδῶς φθεγγομένους. τό τε γὰρ ἀποκεκόφθαι τὴν φωνὴν, ὅπερ ἐστὶ μὴ δύνασθαι φθέγγεσθαι, πλείοσιν αἰτίαις ἕπεται, τοῦτο μὲν τοῖς ἀπὸ κεφαλῆς χρονίσασι κατάῤῥοις, τοῦτο δ' ἐμπύοις καὶ φθισικοῖς καὶ τοῖς ἐκ βοῆς μεγάλης καὶ πολλῆς παθοῦσιν, εἶτα μὴ καλῶς ἐκθεραπευθεῖσιν ἢ καὶ γεννωμένην ἔτι τὴν διάθεσιν ἔχουσιν. ὡσαύτως δὲ καὶ βραγχώδης ἡ φωνὴ (256) γίνεται διά τε τὰς αὐτὰς αἰτίας καὶ διὰ ψυχροῦ πνεύματος εἰσπνοήν. ἡ μὲν οὖν διάθεσις ὁμογενής ἐστιν ἀφωνίας τε καὶ βράγχους, μεγέθει δὲ ἀλλήλων διαφέρει τὰ πάθη ταῦτα, σφοδρότερον μὲν καὶ δυσλυτώτερον διαβρόχων ὑγρότητι γινομένων τῶν

elixis et aliis hujus generis. Inter medium autem et utrumque extremum plura medicamenta ſunt, partim magis partim minus a medio progreſſa, de quibus deinceps determinabo, eos quidem, qui diſcrimen aliquod addiderunt laudaturus, qui vero ſimpliciter protulerunt neque admiſſurus. In horum medio locandi ſunt, qui diſcrimina non tamen integra fecerunt, qualia ſunt eorum qui ſcripſerunt. Arteriace ad interceptam vocem aut rurſus. Arteriace ad raucam vocem. Etenim vox intercepta, quod eſt non poſſe loqui, plures cauſas ſequitur, partim quidem deſtillationes a capite diuturnas, partim vero empyicos ac tabidos: et eos qui ex magno et multo clamore laeſi ſunt et deinde non probe curati ſunt, aut etiam affectum, qui adhuc generatur habent. Eodem modo etiam rauca vox fit ob easdem cauſas et amplius ob frigidi aëris inſpirationem. Affectus itaque interceptae ac raucae vocis ejusdem generis eſt. Magnitudine tamen differunt inter ſe haec mala. Quum enim vocis organa ab humiditate vehementius et ut aegre ſolvi

Ed. Chart. XIII. [525.] Ed. Baſ. II. (256.)

φωνητικῶν ὀργάνων ἡ ἀφωνία, μετριώτερον δὲ ὑγρανθέντων ὁ βράγχος. ὄργανα δὲ φωνητικὰ λέγοντός μου τήν τε ἀρτηρίαν ἀκούετε καὶ τὸν λάρυγγα καὶ τὴν φάρυγγα. τοῖς μὲν οὖν ἐκ τοῦ βοῆσαι σφοδρῶς ἐπὶ πλεῖον κακωθεῖσι τὴν φωνὴν ὅμοιόν τι συμβαίνει πάθημα τῷ γενομένῳ πολλάκις ταῖς χερσὶ καὶ σκέλεσι καὶ ψόαις καὶ ῥάχει καὶ μυσὶ καμοῦσι πλείονα. καλοῦσι δ' ἔνιοι τῶν γυμναστῶν τὴν τοιαύτην διάθεσιν τῶν μυῶν, ἐν οἷς συνίσταται, φλεγμονώδη κόπον. κατὰ μὲν οὖν ἀρτηρίαν ὁ ἔνδον αὐτῆς ὑμὴν ἢ χιτὼν ἢ ὅπως ἂν ὀνομάζειν ἐθέλοι τις, ὑπὸ τοῦ κατὰ τὰς μεγάλας φωνὰς πνεύματος ἔξω φερομένου πληττόμενος, εἰς τὴν φλεγμονώδη διάθεσιν ἀφικνεῖται, πολλῷ δὲ μᾶλλον, ἐὰν πρὸς τῷ μεγέθει τῆς φωνῆς ὀξύτης τις ἔτι προσείη. κατὰ δὲ τὸν λάρυγγα πρὸς τῇ πληγῇ ταύτῃ καὶ ἡ τῶν κινούντων αὐτὸν μυῶν βλάβη τῆς ἐνεργείας μείζονα τὴν διάθεσιν ἐργάζεται. θεραπείας δὲ γένος αὐτῶν ἐπὶ παντὸς μορίου ταῖς ὕλαις διαλλάττον ἐστίν. ἐλαίῳ μὲν γὰρ ἀνατρίβειν σκέλη καὶ χεῖρας

poſſit, fuerint madefacta vox intercipitur, quando vero moderatius ſunt humecta, raucedo oboritur; organa vocis quum dico arteriam accipite et ejus ſummum aut fauces. Qui igitur ex vehementi clamore vocem amplius oblaeſam habent, his ſimilis quaedam affectio contingit ei, quae manibus et cruribus et lumbis et ſpinae et muſculis, ubi plurimum laborem pertulerint, accidit. Vocant autem aliqui exercitiorum magiſtri ejusmodi affectum muſculorum, in quibus conſiſtit, laſſitudinem inflammatam. Itaque juxta arteriam intrinſeca ipſius pellicula aut tunica aut quomodocunque quis nominare velit a ſpiritu in magnis vociferationibus extra prolato perculſa, in affectum inflammatum devenit, atque hoc multo magis ſi ad magnitudinem vocis acumen quoddam acceſſerit. Juxta arteriae vero ſummum ultra hanc plagam etiam muſculorum ipſum moventium actio offenſa majorem affectum efficit. Porro curationis ipſarum genus in omni parte ſecundum materias evariat. Etenim crura et manus et ſpinam per oleum confricare

Ed. Chart. XIII. [525. 526.] Ed. Baf. II. (256.)

καὶ ῥᾴχιν ἐγχωρεῖ ῥᾳδίως, διὰ τοῦ δέρματος εἰς τοὺς ὑποκειμένους αὐτῷ μῦς ἀφικνουμένης τῆς δυνάμεως αὐτοῦ. κατὰ δὲ τὴν τραχεῖαν ἀρτηρίαν οἱ χόνδροι μετὰ τὸ δέρμα τεταγμένοι κωλύουσι τὴν εἰς τὸν ὑποκείμενον [526] ὑμένα δίοδον τῆς τῶν μαλαττόντων χρισμάτων δυνάμεως. ὥσπερ γὰρ ἔλαιον, οὕτω καὶ ἄλλα πολλὰ σύνθετα φάρμακα τὴν αὐτὴν ὠφέλειαν ἐργάζεται. καὶ τά γε κατ' ἀρχὰς ἄκοπα λεχθέντα, μόνα ταῦτα κατὰ βραχὺ τὴν προσηγορίαν ἀφ' ἑαυτῶν ἐξέτειναν ἐπὶ τὰ παραπλήσια ταῖς συστάσεσιν, κἂν ἕνεκα τοῦ θερμῆναι σφοδρῶς παραλαμβάνωνται. κοινὴ δὲ ὕλη βοηθημάτων τοῖς φωνητικοῖς ὀργάνοις πρὸς τἆλλα ἐστὶν ἡ ἐκ τῶν λουτρῶν. εὔδηλον δ' ὅτι τὴν διὰ τῶν γλυκέων ὑδάτων λέγω, τὰ γὰρ θαλάττια καὶ θειώδη καὶ στυπτηριώδη καὶ χαλκανθώδη καὶ ἀσφαλτώδη διὰ τὸ ξηραίνειν ἰσχυρῶς οὐκ ἐπιτήδεια. καὶ μέντοι καὶ ποιοῦσιν οὕτως οἱ φωνασκοῦντες, ὅταν ἀγωνιζόμενοι θραύσωσι τὴν φωνήν. εἰσὶ δ' οὗτοι κιθαρῳδοί τε καὶ κήρυκες, οἵ τε τὴν τραγῳδίαν καὶ κωμῳδίαν ὑποκρινόμενοι. λουτροῖς τε γὰρ πολλοῖς χρῶνται καὶ

facile licet, quum per cutem in ſubjectos ipſi muſculos vis ipſius olei penetrare poſſit. Juxta aſperam vero arteriam cartilagines poſt cutem ſitae prohibent in ſubjectam pelliculam tranſitum facultatis emollientium unguentorum. Quemadmodum enim oleum, ſic etiam alia multa compoſita medicamenta eandem utilitatem praebent. Quin et ea quae in principio acopa tantum appellata ſunt, paulatim appellationem ſuam a ſe ipſis extenderunt ad ſimilia compage medicamenta, etiam ſi gratia vehementer caleſaciendi aſſumantur. Caeterum communis materia auxiliorum ad vocis organa praeter reliqua eſt quae ex balneis contingit, manifeſtum eſt autem quod dulcium aquarum dico. Marina enim balnea et ſulphurea et aluminoſa et atramentum ſutorium olentia ac bituminoſa, propterea quod fortiter reſiccant, inepta ſunt. Et ſane ita faciunt qui vocem exercent cantores, quum contendendo oblaeſerint vocem, ſunt autem hi citharoedi et praecones et tragoediam ac comoediam perſonati repraeſentantes, balneis enim multis utuntur et ci-

Ed. Chart. XIII. [526.] Ed. Baſ. II. (256.)

τροφὰς ἀδήκτους τε καὶ χαλαστικὰς ἐσθίουσιν. εἰ δὲ καὶ τραχύτητος αἰσθάνοιντο, τὰς ἐμπλαττομένας τοῖς ὁμιλοῦσι μορίοις παραλαμβάνουσιν. εἷς γάρ ἐστιν ἑαυτῷ χιτὼν συνεχὴς, ὅ τε ἐν τῇ φάρυγγι καὶ τῷ λάρυγγι καὶ στομάχῳ καὶ ἀρτηρίᾳ τῇ τραχείᾳ κατὰ τὰ ἔνδον ἐπιτεταμένος. ἐὰν δὲ μὴ καθίστηται τῇ τε διαίτῃ καὶ τοῖς λουτροῖς ἡ γενομένη διάθεσις ἐν τοῖς φωνητικοῖς ὀργάνοις, ἐπὶ τὰς ἀρτηριακὰς παραγίνονται, τροφαῖς χρώμενοι παρ' ὅλον τοῦτον τὸν χρόνον, ὅσαι διὰ γάλακτος, ἀμύλου τε καὶ χόνδρου καὶ ὠῶν καὶ ἰτρίων σύγκεινται. εἰ δὲ μὴ διὰ τούτων ἐκθεραπευθείη, ἐξεύρηνται τοῖς ἰατροῖς αἱ πρὸς αὐτῶν ὑπογλωττίδες ὀνομαζόμεναι. εἰσὶ δὲ αὗται φάρμακα τῆς αὐτῆς ταῖς ἀφλεγμάντοις ἀρτηριακαῖς δυνάμεως, δι' οἴνου θηραίου καὶ κόμμεως καὶ τραγακάνθης καὶ γλυκυῤῥίζης συγκείμεναι, ἅπερ, ὡς ἔφην, ἐκλεαίνει τε ἅμα καὶ ἀναστέλλει τὰς τραχύτητας. ὅσον δ' ἂν ἐν τοῖς μέρεσιν ὑπολείπηται φλεγμονῶδες, πέττει τε τοῦτο καὶ ταχέως ἐκθεραπεύει. φιλόπονον δ' εἶναι χρὴ τὸν ὑποτιθέντα τῇ γλώττῃ τὸ φάρμακον, ὡς κατὰ βραχὺ τηκομένου

bos lenes ac laxantes edunt. Si vero etiam aſpritudinem percipiant, cibos qui inſarciuntur partibus quas contingunt aſſumunt. Una enim eſt tunica ſibi ipſi cohaerens et continua, quae ſummo gulae ſummo aſperae arteriae, gulae etiam atque ipſi aſperae arteriae intrinſecus praetenditur. Quod ſi ex victu ac balneis oborta affectio non ſedetur in organis vocis, ad arteriacas tranſeunt per totum hoc tempus cibis utentes, qui ex lacte, amylo, alica, ovis et dulciariis libis componuntur. Si vero per haec non curentur, inventa ſunt a medicis medicamenta ſublinguia appellata. Sunt autem ea ejusdem cum arteriacis inflammationem arcentibus facultatis, ex vino Theraeo et gummi ac tragacantha et glycyrrhiza compoſita, quae, ut dixi, laevigant ſimulque remittunt aſperitates, quicquid vero reliqui eſt in partibus inflammationis, hoc concoquunt et cito perſanant. Induſtrium porro eſſe oportet qui medicamentum linguae ſubdit, quo eo paulatim liqueſcente ſummum aſperae ar-

Ed. Chart. XIII. [526.] Ed. Baſ. II. (256.)

δέχεσθαι τῷ λάρυγγι τὸ καταῤῥέον εἰς αὐτὸ, ἀνθιστάμενον τῇ γινομένῃ βηχί. καρτερήσαντες γὰρ ὡς μὴ βῆξαι συγχωρήσουσιν εἰς τὸν λάρυγγα καὶ τὴν ἀρτηρίαν καταῤῥυῆναί τι τοῦ φαρμάκου. λαμπρὸν μέντοι σχεῖν τὸ φώνημα τοῖς οὕτω θεραπευθεῖσιν ἀδύνατον ἄνευ τοῦ πάλιν χρήσασθαι φαρμάκοις ἀδήκτως ῥύπτουσιν, ὁποῖόν ἐστι τό τε κυάμινον ἔτνος καὶ ἡ πτισάνη καὶ τὸ πεφωγμένον λινόσπερμα. ἐν τῷ μεταξὺ γάρ ἐστι τὰ τοιαῦτα τῶν τε μέσων κατὰ τὴν δύναμιν φαρμάκων καὶ τῶν ἐμπλαστικῶν. τούτων δὲ ῥυπτικωτέρα ῥητίνη τερμινθίνη καὶ λιβανωτὸς, τό τε ἀπηφρισμένον μέλι, καὶ τὰ πικρὰ τῶν ἀμυγδάλων, ὥσπερ γε πάλιν ἰσχυρότερον τούτων ἐστὶ τό τε τῶν ὀρόβων ἄλευρον ὁρμίνου τε σπέρμα καὶ ἴρεως ῥίζα καὶ πάνακος. ἅπασι δὲ τούτοις οἵ τε μαλακοὶ οἶνοι καὶ γλυκεῖς ὁ Κρητικὸς, Θηραῖος καὶ Σκυβελίτης ἐπιτήδειοι, καὶ πρὸς αὐτοῖς οὐκ οἶδ' ὅπως ἠμελημένον τὸ καλούμενον ὑπὸ τῶν κατὰ τὴν ἡμετέραν Ἀσίαν Ἑλλήνων ἕψημα. προσαγορεύουσι δὲ αὐτὸ σίραιον οἱ Ἀττικίζοντες καὶ λέγουσιν, ὥσπερ ἕτεροι τὸ τῶν ἰσχάδων

teriae id, quod in ipſum defluit, ſuſcipiat renitendo oborienti tuſſi. Obluctantes enim ut ne tuſſiant permittent quippiam ex medicamento in arteriae ſummum, ipſamque adeo arteriam dimanare. At vero ſic curatos claram vocem habere impoſſibile eſt, citra uſum medicamentorum absque acrimonia extergentium, quale eſt faba freſa elixa et ptiſana et ſemen lini torrefactum, hujusmodi enim medium obtinent inter ea quae media facultate praedita ſunt et ea quae meatus obducunt medicamenta. Magis autem quam haec abſtergunt reſina terebinthina, thus, mel deſpumatum ac amygdalae amarae. Quemadmodum etiam et his rurſus fortiora ſunt, oroborum farina, hormini ſemen, iridis panacisque ſemen. Caeterum his omnibus vina mollia, dulcia, Creticum et Theraeum ac Scybelites apta ſunt, et ad haec haud ſcio, quomodo neglectum id, quod a Graecis in noſtra Aſia hepſema appellatur ſapa. Verum Atticiſſantes ipſum ſiraeum vocant, ſicut alii caricarum decoctum ſiraeum ap-

Ed. Chart. XIII. [526. 527.] Ed. Baſ. II. (256.)

ἀφέψημα καὶ μάχη αὐτοῖς τέ ἐστιν, ὁπότερον αὐτῶν χρὴ καλεῖν τὸ σίραιον. ἔστι δὲ δήπου καὶ αὐτὸ τοῦτο τὸ σίραιον, ὃ τῶν λιπαρῶν ἰσχάδων ἑψομένων ἐν ὕδατι γίνεται τῆς μέσης δυνάμεως, ἣν ῥυπτικὴν καὶ ἄδηκτον ὠνομάσαμεν. τὸ μὲν οὖν ἑψόμενον γλεῦκος ἐμπλαστικώτατόν ἐστι καὶ ἀδηκτότατον, τὸ δὲ τῶν ἰσχάδων ἀφέψημα διαφορητικώτερον καὶ ῥυπτικώτερον. ὡς οὖν ἐν τοῖς ἔμπροσθεν εἶπον, ἁπάντων χρὴ τῶν ἁπλῶν φαρμάκων ἀκριβῶς ἐπίστασθαι τὰς δυνάμεις τὸν μέλλοντα [527] σύνθετόν τι ποιήσειν. ὁ δὲ αὐτὸς οὗτος καὶ τοῖς ὑφ' ἑτέρων συντιθεῖσιν ὀρθῶς χρήσεται καὶ μάλισθ' ὅταν ἀδιορίστως ᾖ γεγραμμένα, καθάπερ καὶ αἱ πλεῖσται τῶν ἀρτηριακῶν. εὔδηλον δ' ὅτι καὶ ταῖς μετὰ διορισμῶν γεγραμμέναις αὐτὸς οὗτος ἄμεινον χρήσεται. κατὰ γὰρ τὸν ἀκριβῆ λόγον εἰς ὅσον ἡ τῶν παθῶν κατασκευὴ μεταπίπτει, καὶ τὸ χρήσιμον ταύτῃ φάρμακον ὑπαλλάττεσθαι χρή· τοῦτο δ' ὀρθῶς μόνος ὁ τὴν δύναμιν εἰδὼς ἑκάστου τῶν ἁπλῶν φαρμάκων ἀκριβῶς ἐπιστήσεται, προστιθεὶς τῷ πρώτῳ φαρμάκῳ βραχύ τι τῆς ἐχομένης τά-

pellandum cenſent, pugnantque inter ſe, utrum ipſorum ſiraeum vocare oporteat. Eſt ſane et hoc ipſum ſiraeum, quod pinguibus caricis in aqua decoctis ſit, mediae facultatis, quam lenem et citra acrimoniam detergentem appellavimus. Muſtum quidem igitur coctum leniſſimum medicamentum eſt et maxime meatus oblinens, caricarum autem decoctum magis diſcutit et exterget. Quemadmodum igitur in praecedentibus dixi, omnium ſimplicium medicamentorum vires exquiſite noſſe oportet eum, qui compoſitum quoddam ſit facturus, atque hic ipſe etiam ab aliis compoſitis recte utetur, et maxime ubi indefinite fuerint conſcripta, quemadmodum plures arteriacae habentur. Palam eſt etiam, quod hic ipſe iis, quae cum diſcrimine prodita ſunt, rectius utetur. Etenim juxta exactam rationem, in quantum apparatus affectionum transmutatur, tantum etiam commodum ipſi medicamentum permutare oportet, hoc ipſum vero ſolus is, qui ſingulorum ſimplicium medicamentorum vim novit, exacte praeſtabit ad primum medicamentum parum

Ed. Chart. XIII. [527.] Ed. Baſ. II. (256.)

ξεως, οἷον ἐπὶ τῶν φλεγμονωδῶν κόπων, ὅταν ἐν τοῖς τοῦ λάρυγγος γένωνται μυσὶν, ἐν ἀρχῇ μὲν ἁρμόττει τὰ πραότατα ἐδέσματα, φάρμακα δὲ ἐμπλαστικά. καταστάσης δὲ τῆς φλεγμονῆς βραχύ τι τῶν ῥυπτικῶν προσθετέον, εἶτ' ἐφεξῆς πλέον, εἶτ' ἄλλο πάλιν ἐκείνου γενναιότερον, ὡς κατὰ βραχὺ τὴν σύνθεσιν ἐπὶ τὸ μέσον ῥυπτικὸν ἀφικέσθαι καὶ κατὰ τὸν αὐτὸν αὖθις τρόπον τὸ τούτου τὸ διαφορητικώτερόν τε καὶ ῥυπτικώτερον, εἶθ' οὕτως ἐπὶ τὸ σφοδρότατον, ὅταν ἐπιπλεῖον οἷον σκιῤῥώδης τις διάθεσις ἐν τοῖς φωνητικοῖς ὀργάνοις παραμένῃ. τῆς μὲν οὖν πρώτης τάξεώς ἐστι τραγάκανθα καὶ κόμμι καὶ Σάμιος ἀστὴρ, ἄμυλός τε καὶ τὸ διὰ χόνδρου καὶ τράγου καλῶς ἑψηθέντων ῥόφημα. καὶ γάλα δὲ ἐπιτήδειον αὐτοῖς ἐστι καὶ ὄτριον καὶ ὠὰ ῥοφούμενα καὶ οὓς νῦν ἅπαντες Ἕλληνες ὀνομάζουσι στροβίλους, τὸ πάλαι δὲ παρὰ τοῖς Ἀττικοῖς ἐκαλοῦντο κῶνοι. καὶ τὰ σήσαμα δὲ ἐκ τούτου τοῦ γένους ἐστίν. ἐφεξῆς δὲ τούτων ὑπάρχει τὸ καλούμενον βούτυρον· εἰ δέ σοι φίλον ἀρσενικῶς ὀνο-

quiddam ex ſequenti ordine apponendo. Velut exempli gratia, in laſſitudinibus inflammatis quum in ſummis ipſius aſperae arteriae muſculis fiunt, in principio quidem leniſſima edulia conveniunt, medicamenta vero meatus obducentia, conſiſtente autem inflammatione parum quid detergentium addendum eſt, deinde conſequenter amplius, deinde rurſus aliud illo praeſtantius, quo paulatim compoſitio ad medium exterſorium perveniat et rurſus ſecundum eundem modum hoc magis diſcuſſorium ac exterſorium, ita progreſſu ad vehementiſſimum facto, ubi diutius velut in ſcirrhum induratus affectus in vocis organis perſtiterit. Primi itaque ordinis eſt tragacantha et gummi et Samius aſter, amylumque et ex alica ac trago probe coctis ſorbitio. Quin et lac aptum eſt et dulciarii panes et ova ſorbilia ac nuces pineae, quas nunc omnes Graeci ſtrobilos vocant, quondam autem apud Atticos coni vocabantur. Seſama etiam ex hoc genere ſunt. Ab his autem deinceps eſt butyrum, quod etiam butyros maſculino genere appellatur,

Ed. Chart. XIII. [527.] Ed. Baſ. II. (256. 257.)

μάζειν βούτυρος· ἀφέψημά τε γλυκείας ῥίζης εἰς πάχος ἠγμένον Ἀττικοῦ μέλιτος ὑγροῦ. τὴν μέντοι γλυκεῖαν ῥίζαν, ἣν γλυκύῤῥιζαν ὀνομάζουσιν, ἄμεινον ἐν τῷ πρώτῳ καιρῷ καθεψήσαντας, ὡς ἔφην, ἐν ὕδατι μῖξαι τὸ ἀφέψημα τῷ ἐκ τοῦ γλεύκους γεγονότι σιραίῳ, καλου(257)μένῳ δ' ὑφ' ἡμῶν τῶν κατὰ τὴν Ἀσίαν ἡμετέραν ἑψήματι. μιγνύναι δὲ τοῦτο καὶ γλυκεῖ Κρητικῷ, καὶ πάλιν δὲ ἕψειν μετὰ τὴν μίξιν, ἐάν τε ἑψήματι τύχῃ μιχθὲν, ἐάν τε τῷ Κρητικῷ γλυκεῖ. ταῦτα μὲν οὖν ἐπὶ ταῖς φλεγμονώδεσι διαθέσεσιν κατά τε τὴν ἀρτηρίαν τε καὶ τὸν λάρυγγα χρήσιμα κατ' ἀρχάς ἐστιν, ἄχρις ἂν ἡ φλεγμονὴ μετρία γένηται. καὶ πρὸ πάντων οἴνου πόσεως ἀπεχέσθω κατὰ τὸν καιρὸν τοῦτον. ὅταν δὲ μετριώτερα γένηται τὰ τῆς φλεγμονῆς, τὸν γλυκὺν Θηραῖον ἢ τὸν Σκυβελίτην ἔξεστι πίνειν ἢ τὸν ἐξ ἡμετέρας Ἀσίας, μάλιστα μὲν Καρύϊνον, ἐφεξῆς δὲ τὸν Θηραῖον ὀνομαζόμενον, εἶτα καὶ τὸν γλυκὺν Τμωλίτην, ἐν ᾧ καιρῷ καὶ τὸ βούτυρον ἐπιτήδειόν ἐστι καὶ τὸ διὰ τῶν ἀμυγδάλων ῥόφημα καὶ τὸ διὰ γάλακτος καὶ μέλιτος ἑψηθέντων ἐπιπλέον ἐπεμβληθέντος ἀμύλου. κἂν ἄμυλον δὲ μὴ παρείη, τῆς ὀνομαζομένης παρὰ

et decoctum radicis dulcis ad craſſitudinem Attici mellis liquidi redactum. Atqui radicem dulcem, quam glycyrrhizam vocant, praeſtat in primo tempore in aqua, velut dixi, coctam ad ſapam ex muſto paratam admiſcere, ad paſſum item Creticum idem decoctum miſceri poteſt. Sive autem cum ſapa ſive cum paſſo Cretico fuerit permixtum, rurſus poſt mixturam decoquendum eſt. Haec igitur in affectionibus inflammatis juxta arteriam ejusque ſummum commoda in principio ſunt, donec inflammatio moderata fiat, et prae omnibus a vini potu hoc tempore abſtinendum. Quum vero moderatior facta eſt inflammatio, vinum dulce Theraeum aut Scybelite bibere licet aut ex noſtra Aſia Caryinum et deinde Theraeum appellatum, deinde etiam dulce Tmolite. Eo tempore etiam butyrum aptum eſt et ſorbitio ex amygdalis, ſorbitio item ex lacte et melle diutius coctis, amylo injecto, et ſi amylum non adſit, ſiligine Roma-

Ed. Chart. XIII. [527. 528.] Ed. Baſ. II. (257.)

Ῥωμαίοις σιλίγνεως ἐμβαλλομένης. εὔδηλον δ' ὅτι κατὰ τὴν αὐτὴν δίαιταν ἡ μὲν φλεγμονὴ παύεται τῶν κατὰ τὸν λάρυγγα καὶ τὴν ἀρτηρίαν ὑμένων τε καὶ μυῶν, ὑγρότης δὲ καταλείπεται πολλή, ἥτις ἀδύνατός ἐστι λαμπρὰν ἀποφῆναι τὴν φωνήν. μετέρχεσθαι δὲ τηνικαῦτα προσήκει τῶν ἐδεσμάτων ἐπὶ τὰ διὰ μέλιτος ἑψημένα πάντα, καὶ μέντοι καὶ κυάμινον ἔτνος καὶ πτισάνην καὶ κράμβην καὶ τὰ καλῶς ἑψημένα πράσα. φαρμάκων δὲ χρῆσις ἐπιτήδειός ἐστι καθ' ὃν μὲν χρόνον ἤτοι τὰ τῆς φλεγμονῆς ἢ τῆς τραχύτητος ἐπικρατεῖ, τὰ ὑπὸ τὴν γλῶτταν λαμβανόμενα, περὶ ὧν τῆς συνθέσεως ἐρῶ. μετὰ δὲ ταῦτα ῥυπτικώτερα τούτων καὶ ξηραντικώτερα, κἄπειτα τούτων αὖθις αὐτῶν ῥυπτικώτερά τε [528] καὶ ξηραντικώτερα, μέχρις ἂν ἐπὶ τὰ δριμύτητος ἔχοντά τι παραγενώμεθα καὶ τούτων αὐτῶν ἀπὸ τῶν μετριωτέρων ἀρξάμενοι, πρὸς τὰ σφοδρότερα κατὰ βραχὺ μεταβαίνωμεν. τὰ μὲν οὖν ἐκ τῆς διαίτης ὁποῖον ἂν ἔξει τὸν τύπον ἔμπροσθεν εἴρηται, καθάπερ γε καὶ ἡ τῶν ἁπλῶν φαρμάκων ἰδέα· τὰ δὲ ἐξ αὐτῶν σύνθετα φάρμακα πολυειδῶς ἔγραψαν ἄλλοι

nis appellata injecta. Manifeſtum eſt autem quod per hujusmodi victum inflammatio tum pellicularum tum muſculorum circa arteriam ejusque ſummum ſedatur. Relinquitur autem humiditas multa, ob quam impoſſibile eſt claram vocem proferri. Quare tranſire tunc convenit ab his eduliis ad omnia ex melle cocta et ad ſabam freſam elixatam et ptiſanam ac braſſicam et porrum probe coctum. Medicamentorum porro uſus idoneus eſt, quo tempore aut inflammatio aut aſpritudo praevaleſcunt eorum, quae ſub lingua detinentur, de quorum compoſitione dicam; poſt haec magis exterſoria et reſiccantia damus, et deinde rurſus his adhuc magis exterſoria et magis reſiccantia, usquequo ad ea, quae aliquid acredinis habent, perveniamus, ita ut etiam in his a moderatioribus initio facto ad vehementiora paulatim tranſeamus. Itaque qualem formam eſſe conveniat victus antea dictum eſt, quemadmodum etiam ſimplicium medicamentorum ſpecies eſt relata. Caeterum compoſita ex ipſis medicamenta multiformiter alii juxta aliam commen-

Ed. Chart. XIII. [528.] Ed. Baſ. II. (257.)

κατ' ἄλλας συμμετρίας. καὶ οἷς μὲν ἤρκεσεν ἐκ τριῶν ἢ τεττάρων ἁπλῶς συντεθὲν φάρμακον, ἔνιοι δὲ εἰς ἀριθμὸν ἐξέτειναν πλείονα, καὶ τινὲς μέν, ὡς εἴρηται, τῆς μαλακωτάτης τε καὶ παρηγορικωτάτης ὕλης ἐποιήσαντο τὴν σύνθεσιν τῶν ἀρτηριακῶν δυνάμεων, ἔνιοι δὲ ἔμπαλιν τούτοις δριμείας καὶ θερμῆς καὶ ῥυπτικῆς καὶ ξηραινούσης ἱκανῶς, εἰσὶ δ' οἳ καὶ τρίτον εἶδος, ὃ μέσον ἀμφοῖν ἐστι· καὶ μετὰ τούτους ἄλλοι μὲν ἐν τῷ μεταξὺ τοῦ μέσου τε καὶ μαλακωτάτου, ἄλλοι δὲ ἐν τῷ μεταξὺ τοῦ τε δριμυτάτου καὶ τοῦ μέσου· καὶ κατὰ ταὐτὰ πάλιν αὐτὰ τινὲς μὲν μᾶλλον, τινὲς δὲ ἧττον ἀποχωρήσαντες τῶν μέσων τῇ δυνάμει φαρμάκων, διαφόρους ἐποιήσαντο τὰς συνθέσεις. τούτοις ἅπασιν ὀρθῶς χρήσεται μόνος ὁ τὴν δύναμιν ἑκάστου τῶν ἁπλῶν ἐπιστάμενος, αὐτὸς γὰρ γνώσεται καὶ τὴν τάξιν τοῦ φαρμάκου καὶ ἡλίαν ἀπόστασίν ἐστι τῶν μέσων. ἔγραψαν μὲν οὖν καὶ οἱ πρὸ Μαντίου τε καὶ Ἡρακλείδου φάρμακα τοιαῦτα καὶ οἱ μετὰ αὐτούς. πολὺ δὲ βελτίω τοῖς εἰρημένοις ἀνδράσιν ἢ αὐτοῖς συντιθεῖσιν ἢ παρ' ἑτέρων λαβοῦσι γέγραπται διὰ τῶν συγ-

ſurationem conſcripſerunt. Et quibusdam ſane ex tribus aut quatuor ſimplicibus compoſitum medicamentum ſuffecit, quidam vero in majorem numerum extenderunt. Et quidam, velut dictum eſt, ex molliſſima et leniſſima materia arteriacas confectiones compoſuerunt, alii vice verſa ex acri calida, extergente ac multum reſiccante, ſunt et qui tertium genus medium inter ambo iſta fecerunt. Poſt hos vero alii medii generis inter medium et molliſſimum, alii medii generis inter medium et acerrimum, et juxta eandem rurſus rationem, quidam magis quidam minus a mediis facultate medicamentis digreſſi, diverſas compoſitiones fecerunt. Quibus omnibus ſolus is recte utetur, qui ſingulorum ſimplicium medicamentorum vires novit, ipſe enim ſciet et ordinem medicamenti et quanta diſtantia ſit a mediis digreſſum. Porro ejusmodi medicamenta ſcripſerunt etiam qui ante Mantian et Heraclidem et qui poſt hos vixerunt, verum multo praeſtantiora a praedictis viris tradita ſunt per

Ed. Chart. XIII. [528.] Ed. Baf. II. (257.)

γραμμάτων ἃ κατέλιπον ἡμῖν, αὔξοντες τὸ φαρμακευτικὸν μέρος τῆς τέχνης. ἐν δὲ τῷ χρόνῳ καὶ ταῦτα καὶ τὰ πρόσθεν ἀκριβῆ καὶ μακρὰν πεῖραν παρασχόντα τοῖς ἀνδράσιν ἐξείλεκται καὶ ἤθροισται, περὶ ὧν πολλάκις ἐν τῇδε τῇ πραγματείᾳ τὸν λόγον ἐποιησάμην. οὗτοι δ' εἰσὶν οἱ περὶ τὸν Ἀσκληπιάδην καὶ Μοῦσαν καὶ Ἀνδρόμαχον καὶ Ἥραν καὶ Κρίτωνα καὶ Μενεκράτην. πολλὰ δὲ καὶ ἄλλα φάρμακα καὶ οἱ περὶ τὸν Ἀρχιγένη καὶ Φίλιππον ἔγραψαν, ὡς μηδενὸς ἡμᾶς ἔτι δεῖσθαι τῶν ἀνωτέρω, τούτοις γὰρ, ὡς εἶπον, ὅσα τοῖς πρεσβυτέροις εὕρηται, κάλλιστα γέγραπται πάντα.

Κεφ. β'. [*Περὶ τῶν ὑπ' Ἀνδρομάχου γεγραμμένων ἀρτηριακῶν.*] Πλείστας ἀρτηριακὰς δυνάμεις ἔγραψεν ὁ Ἀνδρόμαχος, ὡς ἔχειν ἀπὸ τῶν ἀσθενεστάτων ἐπὶ τὰ σφοδρότατα διὰ τῶν ἐν μέσῳ κατὰ βραχὺ προϊέναι τὸν γνωρίζειν αὐτῶν τὴν διαφορὰν δυνάμενον. αὐτὸς γὰρ ὁ Ἀνδρόμαχος ἀδιοριστότερον ἔγραψεν αὐτὰς, ἀλλ' ἐγὼ προσθήσω τοὺς διορισμοὺς, ἀναμιμνήσκων ὧν ἄρτι προεῖπον. ὅτι δὲ τὸν μέλλοντα τοῖς λεγομένοις ἀκολουθήσειν ἄξιον προγεγυμνάσθαι κατὰ

libros, quos nobis reliquerunt et in quibus medicamentariam artis partem auxerunt, partim ipſi componentes, partim ab aliis compoſita tranſcribentes. Progreſſu vero temporis tum haec tum etiam priora exacta et longa experientia cognita, a viris electa et coacervata ſunt, quorum jam ſaepe in hoc opere mentionem fecimus; ſunt autem hi Aſclepiades, Muſa, Andromachus, Heras, Crito et Menecrates, quin et multa alia medicamenta Archigenes et Philippus ſcripſerunt, ut nullo amplius ex veteribus opus habeamus, hi enim omnia ab antiquioribus inventa optime, velut dixi, tradiderunt.

Cap. II. [*De arteriacis ab Andromacho deſcriptis.*] Plurimas arteriacas confectiones ſcripſit Andromachus, ut promptum ſit a debiliſſimis ad fortiſſima paulatim per media tranſitu facto progredi, ſiquis ipſorum differentiam novit, ipſe enim Andromachus magis indefinite ipſas prodidit. Verum ego diſcrimina apponam, in memoriam revocatis iis, quae paulo ante dixi. Quod enim circa ſimplicium medi-

Ed. Chart. XIII. [528. 529] Ed. Baſ. II. (257)

τὴν τῶν ἁπλῶν φαρμάκων πραγματείαν εἴρηταί μοι πολλάκις. ἄνευ γὰρ τοῦ γινώσκειν ἑκάστου τῶν ἁπλῶν τὴν δύναμιν ἀκριβῶς καὶ διωρισμένως, οὐχ οἷόν τε γνῶναι τὸ σύνθετον, ἐκ ποίας ἐστὶ τάξεως τῶν ὁμογενῶν, πότερον ἐκ τῆς μαλακωτάτης ἢ τῆς σφοδροτάτης ἢ τῆς μέσης ἢ τινος τῶν μεταξὺ ταύτης ἢ καὶ τῶν ἄλλων.

Πρώτην μὲν οὖν ἔγραψε δύναμιν ἀρτηριακὴν οὐ μετὰ πολὺ τῆς ἀρχῆς τῆς βίβλου, καθ' ἣν τῶν ἐντὸς τοῦ σώματος γινομένων παθῶν ποιεῖται τὴν θεραπείαν, ὡδί πως αὐτοῖς ὀνόμασιν. ἀρτηριακὴ ℈ χρῶμαι. ♃ λιβάνου ≺ α'. ἐν ἄλλῳ δ'. σμύρνης ≺ α'. ἐν ἄλλῳ δ'. κρόκου ≺ α'. ἐν ἄλλῳ δ'. σκίλλης ≺ β'. γλυκέος Κρητικοῦ ξε γ'. ἡ σκίλλα ἐνέψεται τῷ γλυκεῖ, ἕως συστραφῇ, εἶτα ἡ μὲν σκίλλα ῥίπτεται, ἐπιπάσσεται δὲ τὰ λοιπά. τοῦτο τὸ φάρμακον εἰ μὴ τὴν σκίλλαν εἶχεν, ἣν ἂν τῶν ἀκριβῶς μαλακωτάτων, [529] εἰς τρεῖς ξέστας τοῦ Κρητικοῦ γλυκέος, ἐλαχίστου λιβάνου καὶ σμύρνης καὶ κρόκου βαλλομένων, ὡς ὀλίγου δεῖν ὅλον ὑπάρχειν αὐτὸ γλυκὺ Κρητικόν. εὔδηλον δ' ὅτι τὸ καλούμενον

camentorum tractatum praeexercitatum eſſe oporteat eum, qui dicenda aſſequi velit, ſaepe a me dictum eſt; citra enim ſingulorum ſimplicium exactam ac certam cognitionem impoſſibile eſt cognoſcere, ex quo ordine ejusdem generis medicamentorum compoſitum ſit, num ex molliſſimo an vehementiſſimo aut medio aut alio aliquo inter hunc et alios intermedio.

Primam itaque arteriacam confectionem non longe a principio libri, in quo affectionum corporis internarum curationem tradit, hoc modo in haec verba ſcripſit. *Arteria qua utor.* ♃ Thuris ℥ j, alii iv, myrrhae drach. j, alii iv, croci drach. j, alii iv, ſcillae drach. ij, paſſi Cretici ſextarios tres, ſcilla in paſſo coquitur, donec paſſum ſpiſſetur, deinde ſcilla abjecta reliqua inſperguntur. Hoc medicamentum ſi ſcillam non reciperet, inter exacte molliſſima numerandum eſſet, utpote in tres paſſi Cretici ſextarios, paucilſimo thure ac myrrha et croco conjectis, ut parum abſit, quo minus totum paſſum Creticum exiſtat. Manifeſtum eſt

Ed. Chart. XIII. [529.] Ed. Baſ. II. (257.)

ὑπ᾽ αὐτῶν ἐκλεικτὸν φάρμακον γίνεται. καλοῦσι δ᾽ αὐτὰ καὶ Ἀττικῶς ἐκλεικτὰς δυνάμεις.

Ἐφεξῆς δὲ τῇ προγεγραμμένῃ δυνάμει δευτέραν ἔγραψεν ὁ Ἀνδρόμαχος οὕτως. ἀρτηριακὴ ἡ διὰ κωδυῶν. κωδύαι χλωραὶ χίλιαι διακόσιαι, μέλιτος Ἀττικοῦ Λ δ. κρόκου Κιλικίου δραχμαὶ δ. οἱ δὲ ≺ ι. ὑποκυστίδος χυλοῦ δραχμαὶ ι. ἀκακίας δραχμαὶ ι. ὕδωρ ὄμβριον εἰς τὰς κωδύας. ὕδωρ μὲν οὖν ὄμβριον βάλλεται, ὅπως ἀσηπτότερον εἴη τὸ φάρμακον. ἔχει δὲ δηλονότι στυπτικὸν ἐν αὐτῷ τι τὸ ὕδωρ τοῦτο. σκοπὸς δέ ἐστιν ἐν τῷ προκειμένῳ φαρμάκῳ πέψαι τὴν κατὰ τὴν ἀρτηρίαν διάθεσιν, ἥτις ἂν ᾖ δι᾽ ὕπνου καὶ τῶν πεπτικῶν ἅμα στύψει μὴ πολλῇ. τὸ μὲν οὖν ἁπλοῦν φάρμακον διὰ τῶν κωδυῶν, ὡς ἐγὼ ποιεῖν εἴωθα, κωδύας ἔχει μόνας ἐνιεμένας ὕδατι, κἄπειδὰν τακηραὶ γένωνται, αὐτὰς μὲν ἐκβάλλομεν, τὸ δὲ ὕδωρ αὐτῶν μίγνυμεν Ἀττικῷ μέλιτι μόνῳ, κἄπειτα μέχρι συστάσεως ἐκλεικτοῦ φαρμάκου τῆς ἐψήσεως γινομένης. τὸ δὲ πόσον ὕδατος πόσῳ

autem, quod medicamentum eclegma dictum efficitur, vocant autem hujusmodi Attice eclectas confectiones.

Conſequenter ad praeſcriptam alteram addidit Andromachus hoc modo. *Arteriaca ex capitibus papaveris.* ℞ Capita papaveris viridia mille et ducenta, mellis Attici ℔ iv, croci Cilicii ʒ iv, alii x, ſucci hypocyſtidis ʒ x, aquam pluviam ad capita papaveris. Aqua quidem pluvia additur, quo minus putredini obnoxium ſit medicamentum, habet autem et aſtringens quippiam in ſe haec aqua. Scopus eſt praedicto medicamento concoquere affectionem circa arteriam, quaecunque ea ſit, per ſomnum et concoctoria cum aſtringendi vi non adeo multa. Caeterum ſimplex medicamentum ex papaveris capitibus, ut ego facere conſuevi, ſola capita habet in aquam conjecta, atque ubi flaccida reddita fuerint, ipſa quidem projicimus, aquam vero ipſorum ad ſolum mel Atticum admiſcemus, usque ad compagem eclegmatis medicamenti facta coctione, quomodo ſane ego apparare conſuevi. Quantam autem copiam aquae itemque mel-

Ed. Chart. XIII. [529.] Ed. Baſ. II. (257. 258.)

μέλιτι χρὴ μιγνύειν ἐν ταῖς τῶν τοιούτων φαρμάκων σκευασίαις, ἐν τοῖς ἑξῆς ἐρῶ κατ' ἐκεῖνον τὸν τόπον, ἔνθα προγραφὴν ποιήσομαι τοιαύτην, ἢ διὰ τῶν κωδυῶν.

Τρίτην δύναμιν ἔγραψεν ἐπὶ ταῖς εἰρημέναις ὁ Ἀνδρόμαχος τήνδε. ἀρτηριακὴ ἡ Βλάστου, ᾗ χρῶμαι πρὸς φθισικευομένους καλὴ λίαν. ♃ νάρδου Κελτικῆς ≺ δ'. ἀμώμου δραχμὰς ἡ'. κινναμώμου ≺ ι' μαλαβάθρου δραχμὰς δ'. νάρδου Ἰνδικῆς δραχμὰς γ'. σχοίνου ἄνθους ≺ β'. κασσίας ≺ ἡ'. λιβάνου δραχμὰς γ'. σμύρνης ≺ α'. κόστου δραχμὰς δ'. μάγματος μαλαβάθρου ≺ στ'. γλυκυῤῥίζης χυλοῦ δραχμὰς γ'. μανδραγόρου χυλοῦ δραχμὰς ε'. μαστίχης Χίας ≺ γ'. κρόκου δραχμὰς στ'. φοίνικας ἐν οἰ(258)νομέλιτι ἑψήσας ἢ προτρόπῳ, εἶτα εἰς τὸ ἀφέψημα βάλε στροβίλους κ'. καὶ λέαινε, εἶτα τοῦ φαρμάκου, ὡς καρύου Ποντικοῦ, ἢ μικρῷ ἔλασσον, ἐπί τινας ἡμέρας τούτῳ χρῶ, εἶτα ἀκεραίῳ τῷ φαρμάκῳ. εἶτα ἐπὶ δύο ἢ τρεῖς ἡμέρας χρῆσῃ τῇ δι' ἀλόης ἱερᾷ, κοχλιαρίου τὸ πλῆθος σὺν ὕδατι ἐπὶ μίαν ἡμέραν. χρῶ δὲ τῷ φαρμάκῳ καὶ σὺν γάλακτι ἐπὶ τῶν τὴν ἀρτηρίαν πασχόν-

lis miſcere oporteat in hujusmodi medicamentorum praeparatione, in ſequentibus dicam eo loco, quo talia verba ſcripturus ſum; confectio ex capitibus papaveris.

Tertiam deinceps confectionem arteriacam Andromachus hanc prodidit. *Arteriaca Blaſti quatuor ad tabeſcentes valde bona.* ♃ Nardi Celticae ʒ iv, amomi ʒ viij, cinnamomi ʒ x, malabathri ʒ iv, nardi Indicae ʒ iij, ſchoenanthi ʒ ij, caſſiae ʒ viij, thuris ʒ iij, myrrhae ʒ j, coſti ʒ iv, faecis unguenti malabathrini ʒ vj, ſucci glycyrrhizae ʒ iij, ſucci mandragorae ʒ v, maſtiches Chiae ʒ iij, croci ʒ vj. Palmulas in vino mulſo aut protropo coquito, deinde in ipſum decoctum nuces pineas xx conjicito ac terito. Poſtea ex medicamento ad nucis Ponticae magnitudinem aut paulo minus accipito, et ad aliquot dies cum hoc decocto utitor, deinde etiam ſimplici medicamento utaris. Poſtea autem ad duos vel tres dies hiera ex aloë uteris, cochlearii menſura ex aqua in diem data. Utere medicamento etiam cum lacte in iis, qui arteria affecti ſunt, ad gargariſſandum,

Ed. Chart. XIII. [529.] Ed. Baſ. II. (258.)

των, ἀναγαργαρίζεσθαι κελεύων καὶ πάλιν διαλιπὼν, χρῶ τῷ ἀνωδύνῳ κυάμου Αἰγυπτίου τὸ μέγεθος. ὅταν δὲ ἰσχυρὸς ὁ ῥευματισμὸς ᾖ, προσμίγνυμεν τῇ ἀντιδότῳ ὀπίου καὶ καστορίου, ὀλίγον ἑκατέρου, ἐπὶ δὲ τῶν κακοστομάχων αὐτὰ φυλαττόμεθα. εὔδηλον οὖν ἐξ αὐτῆς τῆς χρήσεως, ἃ γέγραφεν ὁ Ἀνδρόμαχος ἐπὶ τῶν ῥευματιζομένων τὰ περὶ τὸν θώρακα καὶ πνεύμονα καὶ ἀρτηρίαν ἐπιτηδείως τῆς προγεγραμμένης δυνάμεως συγκειμένης. ἔφη γὰρ αὐτὸς, ὅταν ᾖ ἰσχυρὸς ὁ ῥευματισμὸς, προσμίγνυμεν τῇ ἀντιδότῳ ὀπίου καὶ καστορίου ὀλίγον ἑκατέρου, δηλονότι ξηρᾶναι τὸ ῥεῦμα καὶ ὑγιεινὸν ἐργάσασθαι προαιρούμενοι. ποικίλον δέ ἐστι καὶ πολυμίγματον, ὡς πρὸς πάσας ἁρμόττειν τὰς διαθέσεις, ὅσαι καὶ χρόνιαι καὶ κακοήθεις εἰσὶ καὶ δυσίατοι, κἂν ἕλκος ᾖ τι περὶ τὴν ἀρτηρίαν ἢ τὸν λάρυγγα, καὶ πολὺ μᾶλλον, ἐὰν κατὰ τὸν πνεύμονα. τὰ γὰρ τοιαῦτα τῶν ἰσχυρῶν οὕτω δεῖται φαρμάκων, ὡς ἐπὶ πλείονα χρόνον ἐξαρκέσαι δυνηθῶσιν οἱ τὴν φθινώδη διάθεσιν ἔχοντες. ὅταν γὰρ ἐπιλάβωνται χωρίου ξηροῦ καὶ διαίτῃ προσηκούσῃ καὶ φαρμάκοις

et rurſus facto interſtitio utere medicamento fabae Aegyptiae magnitudine. Quum vero fortis fuerit fluxio, opium et caſtorium in antidotum miſcemus, utriusque parum quid. In his autem qui ſtomacho male affecti ſunt, ea ipſa vitamus. Manifeſtum igitur ex ipſis verbis, quae ſcripſit Andromachus, quod in fluxionibus partium thoracis et pulmonis ac arteriae praeſcripta confectio confuſae eſt facultatis. Dixit enim ipſe, quum fortis fuerit fluxio, opium et caſtorium in antidotum miſcemus, utriusque modicam partem, reſiccare nimirum fluxionem et ſanam reddere volentes. Varium autem eſt medicamentum et ex multorum mixtura conſtans, ut ad omnes conveniat affectus, qui etiam diuturni et maligni exiſtunt ac aegre curabiles, etiam ſi ulcus ſit circa arteriam aut laryngem, et multo magis ſi juxta pulmonem. Talia enim fortibus adeo opus habent medicamentis, quo ad longius tempus ſufficere queant tabidum affectum habentes. Quum enim obtigerit eis regio ſicca et in convenientis victus et medicamentorum uſu perſeverarint,

Ed. Chart. XIII. [529. 530.] Ed. Baſ. II. (258.)

χρώμενοι διατελῶσιν, ἐπιπλεῖστον ἀντέχουσί τε κατὰ τὰς συνήθεις πράξεις ἐργαζόμενοι μετρίως. αὐτὴν οὖν τὴν δύναμιν οὐκ ἠξίουν ἀναμεμίχθαι ταῖς ἰδίως ὀνομαζομέναις ἀρτηριακαῖς.

[530] Τετάρτην ἐπὶ ταῖς προγεγραμμέναις ἔγραψε δύναμιν ὁ Ἀνδρόμαχος ὡδί πως, ἑτέρα τοῦ αὐτοῦ. λέγει δὲ δηλονότι τοῦ Βλάστου, περὶ οὗ κατὰ τὴν ἔμπροσθεν ἀρτηριακὴν ἐγεγράφει· ἀρτηριακὴ Βλάστου ᾗ χρῶμαι. τὴν σύνθεσιν δὲ αὐτῆς τοιαύτην ποιεῖται. ℞ ἀλόης γο β'. κρόκου γο α'. μαστίχης γο α'. πρόδηλον οὖν ὅτι τὸ φάρμακον τοῦτο τῶν ἰδίως ὀνομαζομένων ἐκκοπρωτικῶν ἐστι, μετὰ τοῦ πεπτικὸν ἔχειν τι διὰ τὸν κρόκον. ὅταν δ' οὕτως εἴπω πεπτικόν, ἀκούειν χρὴ τῆς διαθέσεως ἧς ἕνεκα προσάγεται.

Πέμπτην δὲ ἐφεξῆς τῶν προγεγραμμένων ἔγραψεν ὁ Ἀνδρόμαχος τήνδε. ἀνώδυνος τοῦ αὐτοῦ. ℞ ὀπίου γο γ'. κρόκου γο α'. σμύρνης γο β'. ἀκακίας γο S''. γλυκείας χυλοῦ ≺ δ'. σὺν μέλιτι. ταῦτα μὲν ὁ Ἀνδρόμαχος, ἐγὼ δὲ οὐ πάνυ τι προσίεμαι τὴν τοιαύτην σύνθεσιν τῶν φαρμάκων,

quam diutiſſime renitentur conſuetas actiones moderate obeuntes. Hanc igitur confectionem non cenſuerim admiſcendam eſſe iis quae privatim arteriacae appellantur.

Quartam deinceps confectionem Andromachus ſic ſcripſit. *Altera ejusdem.* Blaſti videlicet dicit, de quo circa praecedentem arteriacam ſcriptum eſt, arteriaca Blaſti qua utor. Compoſitionem autem ejus talem fecit. ℞ Aloës ſextantem, croci ʒ j, maſtiches ʒ j, palam eſt hoc medicamentum ex eorum numero eſſe, quae privatim ſtercorum eductiva appellantur una cum hoc, quod concoctorium quiddam habet crocus. At vero quum concoctorium dico, intelligere oportet ejus affectus, cujus gratia exhibetur.

Quintam ex ordine compoſitionem Andromachus talem tradidit. *Confectio ſedans dolorem ejusdem.* ℞ Opii ʒ iij, croci ʒ j, myrrhae ʒ ij, acaciae ʒ ß, ſucci radicis dulcis ʒ iv, excipe melle. Haec Andromachus. Verum ego non avide recipio ejusmodi compoſitionem medicamentorum, ubi

Ed. Chart. XIII. [530.] Ed. Baſ. II. (258.)

μετὰ τοῦ μὴ δεδηλῶσθαι τὴν διάθεσιν, ἐφ' ἧς αὐτῇ χρηστέον. ἴσμεν γὰρ ἐπὶ τῶν ἀνωδύνων τὸν σκοπὸν τῆς συνθέσεως, ὅταν ὕπνον ἐργάσασθαι βουληθῶμεν καὶ σφοδρὰν ὀδύνην ναρκῶσαι. ἡ δὲ τῆς ἀκακίας μίξις ὡς πρὸς ἕλκος ἐστὶν, ὥσπερ γε καὶ ὁ τῆς γλυκείας χυλὸς πρὸς τὸ πραῦναι τὰ τετραχυμμένα. κρόκου δὲ μιγνύειν ἢ ὀπίου κατὰ τὰς ἀνωδύνους τοῖς πλείστοις ἤρεσεν, ἐπειδὴ δοκεῖ καὶ αὐτοῖς ἱκανῶς πέττειν ἅπάσας τὰς διαθέσεις.

Ἕκτην ἐπὶ ταῖς προγεγραμμέναις ἔγραψε δύναμιν ὁ Ἀνδρόμαχος τοιάνδε. ἀρτηριακὴ τοῦ αὐτοῦ. ℔ λιβάνου γο α'. γλυκείας χυλοῦ γο α'. σμύρνης δραχμὰς δ'. τραγακάνθης δραχμὰς στ'. νάρδου ≺ α'. ἀμώμου δραχμὰς δ'. κρόκου ≺ δ'. μέλιτος Ἀττικοῦ τὸ αὔταρκες. καὶ αὕτη δέ ἐστι δήλη πρὸς τὰς αὐτὰς διαθέσεις τῶν ἀναπνευστικῶν συντιθεμένη διά τε τῶν πεπτικῶν καὶ παρηγορικῶν καὶ στυφόντων καὶ ῥυπτόντων. ὁ μὲν γὰρ λίβανος καὶ ἡ σμύρνα καὶ ὁ κρόκος τῶν πεττόντων τὰς διαθέσεις εἰσίν. ὁ δὲ τῆς γλυκείας χυλὸς τῶν ἐκλεαινόντων τὰς τραχύτητας, ὥσπερ γε καὶ ἡ τραγάκανθα.

non oſtenditur affectio, in qua ea ſit utendum. Scimus etenim componendi ſedantia dolorem ſcopum, quum ſomnum videlicet inducere voluerimus et vehementem dolorem ſtupefacere. Acaciae autem mixtura velut ad ulcus eſt, quemadmodum radicis dulcis ſuccus ad lenienda exaſperata. Crocum autem et myrrham in compoſitiones dolorem levantes miſcere plurimis placuit; videntur enim ipſis omnes affectus ſufficienter concoquere poſſe.

Sextam conſequenter confectionem Andromachus hoc modo ſcripſit. *Arteriace ejusdem.* ℔ Thuris ʒ j, ſucci radicis dulcis ʒ j, myrrhae ʒ iv, tragacanthae ʒ vj, nardi ʒ j, amomi drach. quatuor, croci drach. quatuor, mellis Attici quod ſatis eſt. Non obſcurum eſt etiam hanc ad reſpirationis organorum affectus compoſitam eſſe ex concoctoriis, mitigatoriis, aſtringentibus et detergentibus. Myrrha enim et thus et crocus affectus concoquunt. Radicis dulcis ſuccus exaſperata mitigat, idem etiam tragacantha facit. Amomum

Ed. Chart. XIII. [530.] Ed. Baſ. II. (258.)

τὸ δὲ ἄμωμον ἰσχυρῶς ξηραίνει μετὰ τοῦ καὶ βραχὺ στυπτικὸν ἔχειν. τὸ δὲ μέλι τῆς τῶν θερμαινόντων ἐστὶ καὶ ῥυπτόντων δυνάμεως.

Ἑβδόμην ἐπὶ ταῖς προγεγραμμέναις ὁ Ἀνδρόμαχος ἔγραψεν, ἐκ τῶν πολλῶν πάνυ συγκειμένην φαρμάκων, ἁπάσας σχεδόν τι τὰς δυνάμεις ἐχόντων. καὶ γὰρ στύφοντα καὶ δάκνοντα καὶ λεπτύνοντα καὶ παρηγοροῦντα καὶ ἐκλεαίνοντα καὶ ὑπνωτικὸν καὶ διαφορητικὸν καὶ ῥυπτικὸν περιέχεται κατ' αὐτὴν, ἐφ' ὧν ἁπασῶν τῶν πολυμιγμάτων δυνάμεων ὧν εἴρηταί μοι καὶ πρόσθεν ὁ λόγος κοινὸς, ὡς ἐξ ἁπάντων τις εἰ βουληθῇ συνθεῖναί τι τῶν φαρμάκων, ἐλπίδι τοῦ ποιήσειν ἓν φάρμακον πρὸς ἁπάσας τὰς ὁμογενεῖς διαθέσεις. ἐξ αὐτῶν τινὰ μὲν εὑρέθη τῇ πείρᾳ μοχθηρὰ καὶ παρεώσθη, τινὰ δὲ εὐτύχησε κατὰ τὸν τοῦ συνθέντος ἀποβῆναι στοχασμόν. ἔγραψε δὲ καὶ τὴν σκευασίαν αὐτῆς ὁ Ἀνδρόμαχος, οὐ πάνυ τι τοῦτο πράττειν εἰωθώς. ὃ δὲ ἐκ φαρμάκων δυνάμεις ἐχόντων ἃς εἴρηκα σύγκειται, κάλλιον μέν ἐστι μεμνῆ-

fortiter reficcat cum modica aſtringendi facultate. Mel autem calefactoriam et exterſoriam vim habet.

Septimam poſt relatas compoſitiones Andromachus ſcripſit ex multis valde medicamentis conſtantem, quae omnes ferme facultates habent, nam et aſtringentia et mordentia et attenuantia et mitigantia et laevigantia in ea continentur, quin et ſoporifera vis et diſcuſſoria ac deterſoria in ipſa habentur. In quibus omnibus multifariam mixtis facultatibus communis ratio eſt, quemadmodum etiam antea dixi, quod videlicet quispiam ex omnibus medicamentum quoddam componere voluit, ſpe faciendi unum medicamentum ad omnes ejusdem generis affectus commodum. Verum ex ipſis aliqua quidem per experientiam cognita ſunt maligna et propterea relicta, aliqua vero feliciter pro ipſius componentis conjectura, efficacia evaſerunt et ob id recepta. Quin et praeparandi ipſam modum Andromachus aſcripſit, quamquam hoc facere alias non ſoleat. Quod vero ex medicamentis compoſita ſit eas quas dixi facultates

Ed. Chart. XIII. [530. 531.] Ed. Baſ. II. (258.)

σθαι τοὺς ὁμιλήσαντας τοῖσδε τοῖς γράμμασιν. εἰ δὲ καὶ μὴ πρόχειρον ἔχοιεν τὴν μνήμην, ἀλλὰ κατά τε τὸν χρόνον αὐτὸν τοῦτον, ἐν ᾧ τὰ τοιαῦτα φάρμακα μανθάνουσιν, ἀναγνώτωσαν ἐπιμελῶς τὸ ἕκτον καὶ τὸ ζ καὶ τὸ η περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως. ἐν ἐκείνοις γὰρ ἅπασαν ἔγραψα τὴν ὕλην τῶν φαρμάκων, ὅσα ῥίζαι καὶ φύλλα καὶ ἄνθη καὶ σπέρματα καὶ καρποὶ καὶ ὀποὶ καὶ χυλοὶ τῶν ἐκ τῆς γῆς φυομένων εἰσὶν ἢ ἁπάντων φυτῶν. ὁπότ' οὖν ἀκήκοας ταῦτα, πρόσχες ἤδη τὸν νοῦν οἷς ἔγραψε περὶ τοῦ φαρμάκου τούτου ὁ Ἀνδρόμαχος. ἀρτηριακὴ ᾗ χρῶμαι. [531] πτέρεως ῥίζαι ὡς ἁδρόταται πλύνονται, ἕως λίαν καθαρώταται γένωνται καὶ πᾶν γεῶδες ἀφῶσιν, εἶτα ψύχονται ἡμέραν μίαν καὶ κατατέμνονται εἰς τριδάκτυλα καὶ καταθραύονται. ἐκ τούτων λίτραι ι'. καὶ βάλλονται εἰς χύτραν ἐγκεκαινισμένην καὶ ὕδατος γλυκέος ξέστεις ι'. καὶ ἕψεται ἕως ἂν λειφθῶσιν ξέστεις ε'. καὶ ἐκθλίβονται καὶ τὸ μὲν ὑγρὸν εἰς δίπλωμα βάλλεται, τὰ δ' ἀρώματα ἁδρομερῆ. ℥ νάρδου Ἰνδικῆς δραχμὰς δ'. κινναμώμου ≺ στ'. γλυκείας ῥίζης δρα-

complectentibus praeſtat meminiſſe eos, qui hos libros in manus ſument. Si tamen non promptam habeant memoriam, eo ſane tempore quo hujusmodi medicamenta diſcunt, ſextum et ſeptimum ac octavum de ſimplicium medicamentorum facultate librum legant; in illis enim omnem medicamentorum materiam conſcripſi, qua radices et folia et flores et ſemina et fructus et liquores et ſucci omnium ex terra naſcentium plantarum exiſtunt. His itaque praemiſſis jam animum ad ea quae Andromachus de hoc medicamento ſcripſit adverte. *Arteriaca qua utor.* Radices filicis craſſiſſimae lavantur donec puriſſimae fiant et omne terreum deponant, deinde per diem unum perfrigerantur et in fruſta magnitudinis trium digitorum ſecta conquaſſantur, atque ex eis librae x in ollam novam, aquae dulcis ſextarios decem complectentem, injiciuntur et ad hoc, ut ſextarii v reliqui fiant, coquuntur, exprimuntur et liquor quidem in duplum vas diffunditur, et aromata craſſa ac integris partibus adduntur. ℥ Nardi Indicae ʒ iv, cinnamomi ʒ vj, radicis dul-

Ed. Chart. XIII. [531.] Ed. Baſ. II. (258.)

χμὰς στ'. κακίας ≺ δ'. ῥήου Ποντικοῦ δραχμὰς δ'. βαλαυστίου ≺ στ'. ῥόδων ξηρῶν ≺ δ'. οἱ δὲ δραχμὰς στ'. ταῦτα ἕψεται ὁμοίως εἰς τὸ ἥμισυ, εἶτα ἐκθλίβεται καὶ προσεμβάλλεται τῷ ἀφεψήματι μέλιτος Ἀττικοῦ ξε α'. προαφεψημένου καὶ συνεστραμμένου ἰδίᾳ ἐν διπλώματι, ἕως μὴ μολύνοι, καὶ προσεμβάλλεται τερμινθίνης διαυγοῦς ≺ γ'. χαλβάνης δραχμὰς β'. κρόκου δραχμὰς ε'. ὑοσκυάμου χυλοῦ ≺ α'. ὑποκυστίδος χυλοῦ ≺ α'. μανδραγόρου χυλοῦ τριώβολον, πεπέρεως λευκοῦ δραχμὰς η'.

Ὄγδοον ἐπὶ ταῖς προειρημέναις ἔγραψε, δηλώσας τῆς δυνάμεως αὐτῆς τὸ κεφάλαιον, ὅπερ ἐχρῆν ἐπὶ πασῶν αὐτῶν πεποιηκέναι. ἔχει δ' οὕτω πως αὐτοῖς ὀνόμασιν. ἀρτηριακὴ ἐπαινουμένη Μιθριδάτειος, πρὸς τὰ ἐν θώρακι συνηθροισμένα, ὑποκαθαίρει καὶ ἀπολεαίνει. ♃ ἐρυσίμου πεφωγμένου ≺ κ'. ἔν τισι δὲ τῶν ἀντιγράφων ἐρεγμοῦ γέγραπται· ῥυπτικῆς δέ ἐστιν ἄμφω δυνάμεως, λινοσπέρματος πεφωγμένου ≺ κ'. καὶ τοῦτο ῥυπτικῆς ἐστι δυνάμεως, στροβίλου δραχμὰς η'. ἐκλεαίνει δηλονότι τοῦτο, σταφίδος ἐκγεγιγαρτι-

cis ʒ vj, caſſiae ʒ iv, rhei Pontici drach. iv, balauſtii drach. vj, roſarum ſiccarum drach. iv, alii vj. Haec ſimiliter ad dimidias coquuntur ac exprimuntur, et ad decoctum mellis Attici ſextarius unus additur, fit autem mel praecoctum et in duplici vaſe privatim ſpiſſatum, usquequo manus non inquinet, adjiciuntur et terebinthinae pellucidae ʒ iij, galbani drach. ij, croci drach. v, ſucci hyoſcyami drach. j, ſucci hypocyſtidis drach. j, mandragorae ſucci oboli iij, piperis albi drach. octo.

Octavam deinceps confectionem ſcripſit, ſumma facultatis ipſius indicata, quod ipſum in omnibus feciſſe oportuit. Habet autem ſic. *Arteriace laudata Mithridatis ad thoracis collectiones, ſubpurgat et laevigat.* ♃ Irionis torrefacti drach. j, in quibusdam exemplaribus fabae frefae ſcriptum eſt, ſunt autem ambo deterſoriae facultatis, feminis lini toſti drach. xx, et hoc deterſoriam vim habet, nucis pineae drach. viij, hae laevigandi vim habent, uvae

Ed. Chart. XIII. [531.] Ed. Baſ. II. (258. 259)

σμένης δραχμὰς δ'. καὶ αὕτη τῷ μὲν βραχύ τι παραστύφειν καὶ ἅμα τροφή τις εἶναι χρηστὴ τῷ σώματι μέμικται προσηκόντως. ἔχει δὲ καὶ τὴν τοῦ γλυκέος δύναμιν, οἵαν εἰρήκαμεν ἐν τῷ τετάρτῳ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως· κρό(259)κου ὀβολοὺς δύο. ἐλάχιστον δηλονότι βέβληκε τοῦ κρόκου ὁ συνθεὶς τὸ φάρμακον, ἐγγύς τε τοῦ μηδὲν εἶναι πρὸς τὴν τῶν ἄλλων ἀναλογίαν. εἰρήκαμεν δὲ ὅτι πεττικῆς ὁ κρόκος ἐστὶ δυνάμεως μετὰ τοῦ καὶ στύφειν. εἴρηται δ', ὅτι καὶ ἡ στύψις συνάγει καὶ σφίγγει καὶ τονοῖ τὰ σώματα. βέβληκε δὲ καὶ κοτύλης μέλιτος τέταρτον, ἀποχωρήσας τοῦ τε γλυκέος οἴνου καὶ τοῦ ἐψήματος, ἀποκαθαίρειν γὰρ τὸ σκευαζόμενον φάρμακον βούλεται, καθότι προεῖπε τὰ ἐν θώρακι. ἐν δὲ τοῖς τοιούτοις φαρμάκοις τὰ παχύχυμα κωλύει τὴν ἀνακάθαρσιν. ἔμιξε δὲ τούτοις τραγακάνθης δραχμὰς δ'. ἐκλεαίνοντος φαρμάκου τὰ τραχυνθέντα. προεῖπον δ' ὅτι βούλεται τὸ προκείμενον φάρμακον ἀποκαθαίρειν τε καὶ ἐκλεαίνειν τὰ κατὰ τὸν θώρακα. ὁ μὲν γὰρ σκοπός ἐστιν ἐν τοῖς τοιούτοις λεπτῦναι καὶ ἀποῤ-

paſſae exacinatae drach. iv et haec ob id, quod modice ſubaſtringat, ſimulque commodus corpori cibus ſit, merito admixta eſt, habet autem et paſſi facultatem, qualem in quarto de ſimplicium medicamentorum facultatibus indicavimus, croci obol. ij, minimum quid ex croco conjecit, qui medicamentum compoſuit, ut prope nihil ſit aliorum proportione. Diximus de croco, eum concoquendi vim habere una cum aſtrictione, dictum eſt etiam quod aſtrictio corpora cogit, conſtringit et corroborat. Adjecit autem etiam mellis quartam partem heminae, a vino dulci ac ſapa digreſſus; vult enim hoc modo praeparatum medicamentum velut praefatus eſt, in pectore haerentes collectiones expurgare; caeterum in hujusmodi medicamentis ea quae craſſos ſuccos habent, impediunt repurgationem. His admiſcuit tragacanthae ʒ iv, quod medicamentum laevigat exaſperata. Praedictum eſt autem, quod vult hoc propoſitum medicamentum repurgare et laevigare ea quae juxta thoracem haerent; ſcopus enim hujusmodi eſt, attenuare et abſtergere

Ed. Chart. XIII. [531. 532.] Ed. Baſ. II. (259.)

ῥύψαι καὶ πρὸς τὴν ἀναγωγὴν ἐπιτήδεια ποιῆσαι τὰ κατὰ τὸν θώρακα. τῆς δ' ἀνωδυνίας ἕνεκα καὶ τοῦ μὴ πάνυ τι βήττειν τραχυνθέντα τὰ μόρια προστίθενται τὰ ἐκλεαίνοντα. μέγιστον δὲ τοῦτ' ἔστι καὶ διὰ παντὸς χρὴ μεμνῆσθαι αὐτοῦ τοῦ πολλάκις ἕνα σκοπὸν ἔχειν, δι' ὃν συντίθεται τὸ φάρμακον. ἕνεκα δὲ τοῦ μὴ λυπεῖν αὐτὸ κατὰ μηδένα τρόπον, ἑκάτερα μίγνυται τὸν πρῶτον σκοπὸν τῆς ὠφελείας οὐκ ἔχοντα.

Ἐνάτην ἀρτηριακὴν ἐπὶ ταῖς προγεγραμμέναις ἔγραψεν ὁ Ἀνδρόμαχος ὧδί πως κατὰ λέξιν. ἀρτηριακὴ ἡ Μαρίνου. ℔ κρόκου γο α'. κόμμεως γο β'. τραγακάνθης γο α'. μέλιτος Ἀττικοῦ ξε α'. ἕψε ἕως ἀποσταζόμενον μὴ μολύνοι. τοῦτο τὸ φάρμακον τῶν μέσων ἐστὶ κατὰ τὴν δύναμιν. ἦν δ' ἂν ἀκριβῶς παρηγορικόν τε καὶ ἀνώδυνον, εἰ μήπω κρόκου εἶχεν μήτε τοῦ μέλιτος τὸν ξε. ἀλλ' ἀντ' αὐτοῦ τὸν Θηραῖον οἶνον τὸν Κρητικὸν ἢ τὸ ἐκ τοῦ γλεύκους ἑψηθέντος γινόμενον, ὃ καλοῦμεν ἡμεῖς, ὡς ἔφην, ἕψημα, [532] παράκειται δὲ κατὰ τὴν λέξιν ἀκαίρως ἐπὶ τοῖς προειρημέ-

ac ad eductionem ſuperne aptas facere collectiones in thorace; verum ſedandi doloris gratia et ne nimium tuſſiant partes exaſperatae, laevigantia apponuntur. Maximum hoc eſt, atque ipſius per omnia meminiſſe oportet, nimirum quod ſaepe unus ſcopus ſit, in quem medicamentum componitur, ne vero hoc ipſum aliquo modo offendat, utraque miſcentur, primum utilitatis ſcopum nequaquam habentia.

Nonam arteriacen poſt has Andromachus his verbis tradidit. *Arteriace Marini.* ℔ Croci unc. j, gummi ſextantem, tragacanthae unc. j, mellis Attici ſextarium j, coquito donec, quum diffunditur, non inquinet. Hoc medicamentum medium eſt facultate, eſſetque exacte mitigatorium ac dolorem ſedans, ſi neque crocum haberet neque mellis ſextarium, ſed pro ipſo Theraeum vinum Creticum, aut ſapam ex multo cocto factam, quam nos, ut dixi, hepſema appellamus. Verum hoc loco importune inter relata ſortia

Ed. Chart. XIII. [532.] Ed. Baſ. II. (259.)

νοις ἰσχυροῖς φαρμάκοις, ἃ καὶ τοῖς ἐμπυϊκοῖς καὶ τοῖς ὑπὸ φθόης ἐχομένοις ἁρμόττει.

Δεκάτην ἐφεξῆς τῇ προγεγραμμένῃ μνημονεύει, μεταξὺ τῆς ἀκριβῶς παρηγορικωτάτης καὶ τῆς μέσης, ὁποίαν ἔφην εἶναι τὴν προγεγραμμένην. ἐκ κόμμεως γοῦν ταύτην καὶ γλύκέος Κρητικοῦ καὶ ὕδατος συντίθησι μιγνὺς μέλιτι· τοῦ μὲν κόμμεως ἐμβαλὼν γο ή. τοῦ δὲ γλυκέος ξε ά. τοῦ δὲ μέλιτος λίτραν ά. λύειν κελεύων ὕδατι τὸ κόμμι, μὴ προσθεὶς τὸ ποσόν. διὰ μὲν οὖν τὸ κόμμι καὶ τὸ γλυκὺ καὶ τὸ ὕδωρ ὅλως οὐδὲν ἔχει ῥυπτικὸν, διὰ δὲ τὸ μέλι τοῦ παρηγορικωτάτου καὶ ἐκλεαίνοντος ἀποκεχώρηκεν. ἴσμεν γὰρ ὅτι ῥυπτικόν ἐστι τὸ μέλι. ἕψεσθαι δὲ δεῖν ἐπ' ἀνθράκων εἶπεν αὐτὸ, τουτέστιν ἐπὶ μαλακοῦ πυρὸς ἀκάπνου. κάλλιον δ' ἂν ἐπεποιήκει καὶ περὶ τῶν ἄλλων ἁπασῶν ἀρτηριακῶν τοῦτο προσγράψας. ἐγὼ γοῦν οὕτως αὐτὸ σκευάζω καὶ οὐδ' ἐπ' αὐτῶν ἀνθράκων ἔτι διακαιομένων ποιοῦμαι τὴν ἕψησιν, ἵνα μηδὲ τὸ ἀπὸ τούτων ἀναφερόμενον καπνῶδες καὶ δριμὺ προστρίψειε τῷ φαρμάκῳ δριμύτητας οὐκ ἀναγκαίας. τῆς

medicamenta locatum eſt, utpote quae ſuppuratis et tabeſcentibus conveniunt.

Decimam conſequenter recenſet, quae inter exacte laeviſſimam ac mediam, qualem ſane eſſe dixi praecedentem, intermedia eſt. Ex gummi igitur hanc et paſſo Cretico ac aqua componit, melle etiam admixto, et gummi quidem injicit beſſem, paſſi ſextarium unum, mellis lib. unam, diſſolvere cum aqua jubens ipſum gummi, copia ejus non expreſſa. Itaque ob gummi et paſſum et aquam penitus nihil deterſorium habet, ob mel vero a maxime mitigatorio et laevigante eſt digreſſa, ſcimus enim deterſorium eſſe mel. Coqui autem ſuper prunas oportere ipſum dixit, hoc eſt ad mollem et non fumantem ignem. Melius vero feciſſet, ſi etiam ad alias omnes hoc aſcripſiſſet. Ego itaque ſic ipſum praeparo et neque ad prunas adhuc ardentes coctionem facio, ne videlicet inde quid acre et fumoſum ſublatum acrimoniam non neceſſariam medicamento ipſi affricet. Mellis

Ed. Chart. XIII. [532.] Ed. Baſ. II. (259.)

μὲν γὰρ τοῦ μέλιτος δριμύτητος ἀνεχόμεθα, καίτοι καὶ αὐτῆς οὐκ οὔσης σφοδρᾶς διὰ τὴν ἄλλην αὐτοῦ χρείαν, καπνοῦ δὲ οὐδεμία χρεία. διαφευκτέον οὖν αὐτὴν εἰς ὅσον ἐνδέχεται κατὰ πάντα τὰ τοιαῦτα φάρμακα, κάλλιον δὲ καὶ ἐπὶ τῶν ἐμπλαστικῶν ἀκάπνοις χρῆσθαι τοῖς ξύλοις.

Ἐνδεκάτην δύναμιν ἔγραψεν οὕτως. ἀρτηριακὴ ἄλλη καλή. ℞ κινναμώμου, λιβάνου ἀνὰ γο α'. χυλοῦ γλυκείας γο α'. σμύρνης δραχμὰς δ'. τραγακάνθης ⊰ στ'. νάρδου Ἰνδικῆς ⊰ δ'. ἀμώμου δραχμὰς δ'. κρόκου ⊰ α'. μέλι Ἀττικόν. ἀληθῶς εἶπεν, καλὴν εἶναι τὴν ἀρτηριακὴν ταύτην, ἀλλ' ἐνδεῖ τῷ λόγῳ πρὸς τίνας διαθέσεις αὐτὴν εἶναί φησι καλήν. εἴρηται γὰρ ἐν ἀρχῇ καὶ διὰ κραυγὴν καὶ διὰ κατάῤῥουν κακοῦσθαι τὴν ἀρτηρίαν καὶ τῷ ἔχειν ἕλκος ἢ φλεγμονὴν σκιῤῥουμένην. ἧς δὲ νῦν τὴν σκευασίαν οὕτως ἔγραψεν ὁ Ἀνδρόμαχος καὶ πρὸς τοὺς φθόῃ κάμνοντας ἐπιτήδειόν ἐστι φάρμακον καὶ πάσας ἁπλῶς τὰς ἐν θώρακι καὶ πνεύμονι κεχρονισμένας διαθέσεις. ἡ γὰρ τοῦ κινναμώμου φύσις οὐδὲ

quidem acredinem toleramus, quamquam ea non ſic vehemens propter aliam ipſius utilitatem, verum fumi nulla eſt, utilitas. Quare fugiendus eſt fumus, in quantum poſſibile eſt circa omnium hujusmodi medicamentorum praeparationem. Praeſtat autem et in iis quae meatus obducunt lignis fumum non edentibus uti.

Undecimam confectionem ſic prodidit. *Arteriaca alia bona.* ℞ Cinnamomi, thuris, utriusque ʒ j, ſucci radicis dulcis ʒ j, myrrhae drach. iv, tragacanthae drach. ſex, nardi Indicae drach. iv, amomi ʒ iv, croci drach. j, melle Attico excipe. Recte dixit bonam hanc arteriacam eſſe, verum deeſt ſermoni ad quos affectus bona ſit; dictum enim in principio eſt et per vociferationem et per deſtillationem laedi arteriam, ampliusque propter ulcus et inflammationem obduratam. Haec autem confectio, quam nunc Andromachus deſcripſit, etiam ad tabidos aptum medicamentum eſt et ſimpliciter omnes inveteratos thoracis ac pulmonis affectus. Cinnamomi etenim natura tenuium partium et reſiccatoria

Ed. Chart. XIII. [532.] Ed. Baf. II. (259.)

λεπτομερὴς καὶ ξηραντικὴ καὶ τὰς ἐσκιῤῥωμένας διαθέσεις ἰᾶσθαι πέφυκεν. ἐφεξῆς δὲ αὐτῷ καὶ ἡ τοῦ ἀμώμου δύναμίς ἐστι μετὰ τοῦ καὶ στυπτικὸν ἔχειν τι. διὰ δὲ τὴν τούτων ἐνέργειαν οὖσαν σφοδρὰν εὐλόγως ἐμίχθη λιβανωτός τε καὶ ὁ τῆς γλυκείας χυλὸς καὶ τραγακάνθης, πραΰνειν τὰ τετραχυσμένα πεφυκότα φάρμακα. περὶ δὲ κρόκου καὶ σμύρνης πολλάκις εἴπομεν, ὅτι πεττικὰ καὶ ξηραντικὰ μετρίως τῶν τοιούτων διαθέσεών ἐστι.

Δωδεκάτην ἀρτηριακὴν ὁ Ἀνδρόμαχος ἔγραψεν οὕτως. Ἄλλη ἐκ τῶν Γάλλου πρὸς τὰ τῆς ἀρτηρίας πάθη καὶ ἕλκη ἐν πνεύμονι καὶ πύου ἀναγωγὰς καὶ αἵματος καὶ τοὺς εἰς θώρακα ῥευματισμοὺς καὶ πρὸς τὰ δυσάγωγα σφόδρα ἐνεργεῖ. ℞ ῥητίνης τερμινθίνης ≺ δ'. κρόκου Κιλικίου ≺ δ'. λιβανωτοῦ δραχμὰς δ'. σμύρνης Τρωγλοδύτιδος ≺ δ'. κιννα-μώμου ≺ δ'. ἀμώμου ≺ γ'. στροβίλου ≺ δ'. γλυκείας ῥίζης ἐξηντερισμένης ≺ δ'. νάρδου Συριακῆς ≺ β' S''. κασσίας με-λαίνης ≺ β'. τραγακάνθης ≺ γ'. φοινίκων Συριακῶν τῆς σαρκὸς ≺ γ'. ἀστέρος Σαμίου ≺ δ'. χαλβάνης καθαρᾶς

etiam induratos affectus ſanare poteſt. Ab eo proximum locum amomi facultas habet, ſimulque aſtringens quippiam habet. Verum ob horum actionem vehementem rationabiliter admixta ſunt, thus et radicis dulcis ſuccus et tragacantha, medicamenta exaſperata lenire a natura apta. De croco et myrrha ſaepe diximus, eſſe videlicet concoctoria et modice reſiccatoria hujusmodi affectuum.

Duodecimam arteriacam Andromachus hoc modo ſcripſit. *Alia ex libris Galli ad arteriam affectam, ulcera pulmonis, puris et ſanguinis rejectiones et fluxiones in thoracem et ad ea quae aegre educi poſſunt vehementer efficax.* ℞ Reſinae terebinthinae drach. quatuor, croci Cilicii drach. quatuor, thuris drach. quatuor, myrrhae troglodyticae drach. iv, cinnamomi drach. iv, amomi drach. tres, nucis pineae drach. iv, radicis dulcis ejecta medulla drach. quatuor, nardi Syriacae drach. ij ſ, caſſiae nigrae drach. duas, tragacanthae drach. iij, palmularum Syriacarum carnis drach. iij, alteris Samii drach. iv, galbani puri obolos iv,

Ed. Chart. XIII. [532. 533.] Ed. Baſ. II. (259.)

τετρώβολον, κόστου ≺ δ'. ἐν ἄλλῳ ≺ α'. μέλιτος Ἀττικοῦ κοτύλας δ'. ἕψεται ἐν διπλῷ τὸ μέλι τε καὶ ἡ ῥητίνη. ὅταν δὲ ἄρχηται συστρέφεσθαι, χαλβάνη μίγνυται ἄχρις ἂν μὴ μολύνῃ, εἶτα ψυγέντι λεῖα τὰ λοιπὰ μίγνυε καὶ οὕτω χρῶ. καλῶς ἐποίησε ἐπὶ τούτου τοῦ φαρμάκου καὶ πρὸς [533] τίνας διαθέσεις ἁρμόττει γράψας καὶ πῶς αὐτὸ χρὴ σκευάζειν. ἡ δὲ μέθοδος τῆς συνθέσεως ἐκ τῶν ἔμπροσθεν δήλη ἐστίν.

Τρισκαιδεκάτην ἀρτηριακὴν ὁ Ἀνδρόμαχος ἔγραψεν αὐτοῖς ὀνόμασιν οὕτως. ἀρτηριακὴ ἡ Γάλλου. ἡ δ' αὐτὴ καὶ ἀντίδοτος πρὸς τὰ αὐτὰ ποιοῦσα. ℞ νάρδου Συριακῆς ≺ δ'. σμύρνης δραχμὰς δ'. κρόκου ≺ δ'. κόστου δραχμὰς δ'. οἱ δὲ ≺ α'. πεπέρεως λευκοῦ κόκκους λ'. γλυκείας ῥίζης ≺ α'. στροβίλους ρ'. στύρακος ≺ α'. τραγακάνθης ≺ α'. κιννα-μώμου ≺ α'. ἀμώμου ≺ α'. λιβάνου ≺ α'. ὀβολοὺς δ'. κασ-σίας σύριγγος ≺ α'. βαλαυστίου δραχμὰς γ'. ὀβολοὺς γ'. μέ-λιτος Ἀττικοῦ ἢ γλυκέος Κρητικοῦ κοτύλας β'. ὁ γλυκὺς ἐν διπλῷ ἑψεται, ἕως ἂν μέλιτος σχῇ πάχος, εἶθ' οὕτω κα-ταχεῖται κατὰ λείων τῶν ξηρῶν. ἡ δὲ τραγάκανθος καὶ ὁ

coſti drach. iv, alii ʒ j, mellis Attici heminas iv. Mel et reſina in duplo vaſe coquuntur, atque ubi craſſari coeperint, galbanum miſcetur, donec non inquinent; deinde refrigeratis reliqua trita admiſce et ſic utere. Recte fecit in hoc medicamento tum quod ad quas affectiones conveniat tum quod quomodo praeparare ipſum oporteat aſcripſit. Ratio autem compoſitionis ex ſuperioribus conſtat.

Decimam tertiam arteriacam Andromachus his verbis tradidit. *Arteriaca Galli, eadem etiam antidotus eſt ad eadem efficax.* ℞ Nardi Syriacae drach. iv, myrrhae ʒ iv, croci ʒ iv, coſti drach. iv, alii ʒ j, piperis albi grana xxx, radicis dulcis ʒ j, nuces pineas centum, ſtyracis drach. j, tragacanthae drach. j, cinnamomi ʒ j, amomi drach. j, thuris drach. j, obolos iv, caſſiae fiſtulae drach. j, balauſtii drach. tres, obolos iij, mellis Attici aut paſſi Cretici heminas duas. Paſſum in duplo vaſculo coquitur ad ſpiſſitudinem mellis, atque ita ad arida trita affunditur; tragacan-

Ed. Chart. XIII. [533.] Ed. Baſ. II. (259. 260.)

στύραξ πρὸ μιᾶς ἀποβρέχονται ἐν προτρόπῳ ἱκανῷ καὶ οὕτω μίγνυται τοῖς λοιποῖς, εἶθ' οὕτως ἀναιρεῖται εἰς πυξίδα ἀργυρᾶν ἢ ὑελίνην. καλῶς ἐποίησεν καὶ ταύτην τὴν ἐπαγγελίαν καὶ τὴν σκευασίαν εἰπών. ἐγὼ δὲ διὰ τοῦτο πάσας τὰς ὑπ' αὐτοῦ γεγραμμένας ἀρτηριακὰς ἔγραψα, ὅπως μηδεὶς ἑτέρου συγγραφέως δεηθῇ. πᾶν γὰρ εἶδος ἐν αὐταῖς ἐστι καὶ τῶν μαλακῶν καὶ τῶν ἰσχυρῶν καὶ τῶν μέσων.

Τεσσαρεσκαιδεκάτη τῶν ἀρτηριακῶν ἐστι, περὶ ἧς οὕτω γράφει. ἀρτηριακὴ ἡ ἐκ τῶν Ἀφρόδα, ἡ Μοσχίωνος. ἔστι δ' αὐτῆς ἡ δύναμις ὑπὲρ τὰς μέσας οὐκ ὀλίγον ἀποκεχωρηκυῖα (260) πρὸς ἰσχύν, ἔχει γὰρ τμητικὸν καὶ λεπτυντικὸν καὶ θερμαντικὸν ἀπὸ πολλῶν φαρμάκων οἷς μέμικται καί τινα τῶν πραέων δι' ἣν εἶπον αἰτίαν. ἡ δὲ σύνθεσις αὐτῆς ἔστιν ἥδε. ℥ μίλτου Λημνίας, λιβάνου, σμύρνης, νάρδου, ἀμώμου, κασσίας κιρρᾶς, κρόκου, Ἰλλυρίδος, σχοίνου ἄνθους ἀνὰ ≺ β'. κινναμώμου ≺ δ'. ῥητίνης τερμινθίνης ≺ δ'. ῥόδων ἄνθους ≺ δ'. ὀποβαλσάμου ≺ β'. μέλιτος κοτύλην α'. ἢ

tha autem et ſtyrax per diem antea in ſufficiente protropo macerantur et ita ad reliqua admiſcentur, reponitur pyxide argentea aut vitrea. Recte fecit et hic, quod tum ea, quae promittit hoc medicamentum, tum quo modo praeparatur aſcripſit. Ego vero propterea omnes ab ipſo deſcriptas arteriacas appoſui, ne quis alium ſcriptorem requirere cogatur; omne enim facultatum genus in ipſis continetur, mollium, fortium ac mediorum.

Decima quarta arteriaca ejus eſt, de qua ſic prodit. *Arteriaca ex libris Aphrodae, Moſchionis. Eſt ejus facultas non modice mᴖdias transgreſſa ad fortes. Habet vim incidendi et attenuandi ac calefaciendi ex multis medicamentis, quibus etiam lenta quaedam admixta ſunt ob eam quam dixi cauſam.* Compoſitio ejus haec eſt. ℥ Rubricae Lemnae, thuris, myrrhae, nardi, amomi, caſſiae rufae, croci, iridis Illyricae, floris junci odorati, ſingulorum ʒ ij, cinnamomi ʒ iv, reſinae terebinthinae ʒ iv, floris roſarum ʒ iv, opobalſami ʒ ij, mellis heminam j aut paſſi

Ed. Chart. XIII. [533.] Ed. Baſ. II. (260.)

γλυκέος Κρητικοῦ κοτύλης ἥμισυ τέταρτον, ἕψε τὸ ὑγρὸν καὶ τὴν ῥητίνην, ἕως γένηται κιρρά, εἶτα τὰ λοιπὰ ἅρας ἀπὸ τοῦ πυρὸς ἀπόδος καὶ συνανακόψας δίδου τοῖς περὶ θώρακα καὶ ἀρτηρίαν ἡλίκον κύαμον Ἑλληνικὸν μεθ' ὕδατος κοτύλης τετάρτου. τοῖς δὲ λοιποῖς ἐκλεικτόν.

Πεντεκαιδεκάτην ἔγραψε δύναμιν ὧδί πως. ἀρτηριακὴ πρὸς τραχυσμὸν βρόγχων καὶ φωνῶν ἀποκοπὴν καὶ ἀναφορικούς, ἣν χρῶμαι ἐκ τῶν Ἀπολλωνίου καὶ Ἀλκιμίωνος. ℞ τραγακάνθης ≺ στ'. κόμμεως ≺ στ'. λιβάνου ≺ α'. ὀβολὸν α'. σμύρνης ≺ α'. ὀβολοὺς β'. κρόκου ≺ α'. ὀβολοὺς δύο, γλυκιρρίζης χυλοῦ ≺ α'. ὀβολοὺς γ'. ἢ τῆς ῥίζης ≺ α' S''. πεπέρεως λευκοῦ κόκκους κε'. φοινικοβαλάνων λιπαρῶν τῆς σαρκὸς ≺ γ'. οἱ δὲ φοίνικας ε'. ἢ τρεῖς, τὴν τραγάκανθαν γλυκεῖ βρέχων καὶ λειώσας ἀναλάμβανε. τὰ δὲ ἄλλα λεῖα καὶ καταπότια ποιῶν κυάμου μέγεθος, κέλευε ὑπὸ τὴν γλῶτταν κρατεῖν. τὰς τοιαύτας δυνάμεις ὑπογλωττίδας ὀνομάζουσιν οἱ ἰατροὶ καὶ κελεύουσι διαλυομένου τοῦ φαρμάκου παρα-

Cretici heminae dimidium, ampliusque quartam ejus partem, liquorem et reſinam donec fulva reddantur coquito, deinde ab igne ablatis reliqua addito ac conquaſſato. Datur in thoracis et arteriae affectionibus ſabae Graecae magnitudine cum aqua, quarta heminae parte, reliquis forma eclegmatis delingendum.

Decimam quintam arteriacam ſic ſcripſit. *Arteriace ad arteriae aſpritudinem, vocem interceptam et ſanguinem rejectantes qua utor. Ex libris Apollonii et Alcimionis.* ℞ Tragacanthae ʒ vj, gummi ʒ vj, thuris drach. j, obolum j, myrrhae ʒ j, obolos ij, croci ʒ j, obolos ij, ſucci radicis dulcis drach. j, obolos iij, aut radicis ʒ j ß, piperis albi grana xxv, palmularum pinguium carnis ʒ iij, alii palmulas v aut tres habent. Tragacantham paſſo maceratam ac tritam reliquis aridis tritis committe, ex eisque omnibus catapotia fabae magnitudine effice, ſub linguaque tenenda exhibe. Hujusmodi confectiones ſublingues medici appellant, jubentque id, quod a diſſoluto medicamento defluit,

Ed. Chart. XIII. [533. 534.] Ed. Baſ. II. (260.)

δέχεσθαί πως ἀτρέμα εἰς τὸν λάρυγγα τὸ ἀποῤῥέον ἀντέχοντας, εἰ βὴξ κινοῖτο.

Ἡ δὲ ἑκκαιδεκάτη κατὰ λέξιν οὕτω γέγραπται. ἀρτηριακὴ ἐκλεικτὸς πρὸς ἅπαντα τὰ ἐντὸς καὶ μάλιστα πρὸς φθισικοὺς καὶ ἐμπυϊκοὺς καὶ πρὸς τοὺς ἀρχομένους ὕδρωπας καὶ βῆχας παλαιὰς διδομένη δι' ἡμέραν καὶ νύκτα πλῆθος κοχλιαρίου. ℞ σκίλλης χυλοῦ ξέστας δ'. γλυκέος Κρητικοῦ ξε γ'. οἴνου Φαλερίνου ξέστας η'. μέλιτος Ἀττικοῦ ξε γ'. σμύρνης γο δ'. κρόκου γο β'. λιβάνου γο β'. ἀριστολοχίας δακτυλίδος μνᾶν α' S''. γλυκυῤῥίζης μνᾶν α'. ἠρυγγίου ῥίζης γο β'. κασσίας γο α'. νάρδου Κελτικῆς γο α'. ξυλοβαλσάμου γο η'. τὴν ἀριστολοχίαν καὶ τὸ ἠρύγγιον καὶ τὴν γλυκύῤῥιζαν καὶ ξυλοβάλσαμον καὶ κασσίαν [534] καὶ νάρδον κόψας ἀδρομερῆ, ἔμβρεχε εἰς τοὺς τοῦ οἴνου ξέστας η'. ἐπὶ ἡμέρας γ'. εἶτα ἐπὶ μαλακοῦ πυρὸς ἕψε, ἕως λειφθῇ τὸ τρίτον μέρος, καὶ οὕτως ἐκθλίψας καὶ σκύβαλον ῥίψας προσαπόδος τὸ γλυκὺ καὶ τὸ μέλι καὶ τὸν χυλὸν τῆς σκίλλης καὶ ἕψε ἕως μέλιτος σχῇ πάχος. τὸν δὲ κρόκον καὶ λίβανον

ſenſim in aſperae arteriae ſummum excipere, obnitendo ſimul ne tuſſis excitetur.

Decima ſexta ex ordine ſic ſcripta eſt. *Arteriace delingibilis ad omnes internas affectiones, maxime tabeſcentes et ſuppuratos, ad hydropas incipientes, tuſſes veteres. Datur per diem et noctem cochlearii menſura.* ℞ Succi ſcillae ſextarios iv, paſſi Cretici ſextarios tres, vini Falerni ſextarios viij, mellis Attici ſextarios tres, myrrhae ʒ iiij, croci ʒ ij, thuris ʒ ij, ariſtolochiae dactylitidis minam unam et dimidiam, glycyrrhizae minam unam, radicis eryngii ʒ duas, caſſiae ʒ j, nardi Celticae unciam unam, xylobalſami ʒ viij, Ariſtolochiam, eryngium, glycyrrhizam, xylobalſamum, caſſiam, nardum, in craſſas partes contuſa in vini ſextariis octo, macerato ad triduum, deinde ad lentum ignem ad tertias coquito, atque ita exprimito, et recrementis abjectis paſſum, mel et ſcillae ſuccum committito et ad mellis craſſitudinem coquito. Crocum vero, thus et myr-

Ed. Chart. XIII. [534.] Ed. Baſ. II. (260.)

καὶ σμύρνην ἑξῆς λεῖα σὺν οἴνῳ καὶ οὕτως εὖ ἔχοντος τοῦ φαρμάκου προσαπόδος, καὶ ἐπ' ὀλίγον τήξας ἆρον ἀπὸ τοῦ πυρὸς καὶ οὕτως ἀποθέμενος χρῶ. καλῶς ἐποίησε καὶ περὶ αὐτῆς γράψας ὁ Ἀνδρόμαχος τήν τε ἐπαγγελίαν καὶ τὴν σκευασίαν.

Ἑπτακαιδεκάτη δύναμις ὑπ' αὐτοῦ γέγραπται τοιάδε. ἀρτηριακὴ ἄλλη, ὡς Ἡρακλείδης Ταραντῖνος. ℞ σκίλλης χυλοῦ ξέστας γ'. γλυκέος Κρητικοῦ ξε. γ'. οἴνου Φαλερίνου ξέστας γ'. μέλιτος Ἀττικοῦ κοτύλην α'. κρόκου γο δ'. οἱ δὲ γο β'. σμύρνης γο γ'. τραγακάνθης γο α'. γλυκείας χυλοῦ γο β'. λιβάνου γο α'. ὀποβαλσάμου γο στ'. σκευάσας χρῶ. περὶ ταύτης τῆς δυνάμεως οὔτε τὴν ἐπαγγελίαν οὔτε τὴν σκευασίαν ἔγραψεν, ὡς ἤδη νοεῖν δυναμένων τῶν ἀναγινωσκόντων τὴν γνώμην αὐτοῦ. ἐν μὲν γὰρ τῷ εἰπεῖν, ἄλλη ἀρτηριακὴ, παραπλησίαν τὴν ἐπαγγελίαν αὐτῆς ἡμᾶς νοεῖν προσήκει τῇ γεγραμμένῃ, τὴν δὲ σκευασίαν ἐκ τῶν ἔμπροσθεν λογίζεσθαι.

Ἡ δὲ ὀκτωκαιδεκάτη δύναμις οὕτω γέγραπται. ἀρτηριακὴ ἐκ τῶν Περιγένους πρὸς πάντα τὰ τῆς ἀρτηρίας πάθη.

rham cum vino terito, atque ubi optime habuerit medicamentum, addito, et ubi modice fuerint liquata, ab igne tollito et repoſitis utitor. Recte facit et hic Andromachus, quod quae promittit et quomodo praeparentur adſcripſit.

Decima ſeptima confectio talis ab eo traditur. *Arteriaca alia, ut Heraclides Tarentinus.* ℞ Succi ſcillae ſextarios iij, paſſi Cretici ſextarios iij, vini Falerni ſextarios iij, mellis Attici heminam j, croci ʒ iv, alii ʒ ij, myrrhae ʒ iij, tragacanthae ʒ j, ſucci radicis dulcis ʒ ij, thuris ʒ j, opobalſami ʒ vj, utere praeparato. Juxta hanc confectionem neque quae promittat, neque quomodo praeparetur tradidit, tanquam jam ante ſententiam ipſius legentes intelligere queant. Ex eo enim quod dicit, alia arteriaca ſimilia praeſcriptae ipſam promittere nos intelligere convenit. Praeparationem autem ex antea relatis computare oportet.

Decima octava confectio ſic tradita eſt. *Arteriaca ex libris Perigenis ad omnes arteriae affectus.* ℞ Croci drach. j,

Ed. Chart. XIII. [534.] Ed. Baſ. II. (260.)

ϰ κρόκου ≺ α'. σταφίδος ἐκγεγιγαρτισμένης ≺ α'. ἀμυγδάλων ≺ η'. σμύρνης τετρώβολον, τραγακάνθης ≺ δ'. πεπέρεως λευκοῦ τετρώβολον, μέλι ἕφθόν. ἡ σταφὶς φρύγεται, τὰ δ' ἀμύγδαλα λεπίζεται, ἡ τραγάκανθα ἐν ὕδατι βρέχεται καὶ λεαίνεται ἡμέραν μίαν καὶ οὕτω μίγνυται ὁμοῦ. καὶ περὶ ταύτης καλῶς ἐποίησε τὴν ἐπαγγελίαν καὶ τὴν σκευασίαν εἰπὼν, μέσης δέ ἐστι δυνάμεως τὸ φάρμακον, διὸ καὶ πρὸς πάντα φησὶν αὐτὸ χρήσιμον ὑπάρχειν. ἔστι γὰρ ἡ τῶν μέσων φαρμάκων φύσις τοιαύτη, διὸ καὶ αὐταῖς μὲν μέσαις διαθέσεσι κυρίως τε καὶ πρώτως ἁρμόττει. ταῖς δ' ἤτοι μαλακῶν ἢ ἰσχυρῶν δεομέναις φαρμάκων οὐδὲν οὔτε ἀγαθὸν οὔτε κακὸν ἐργάζεται μέγα.

Ἐσχάτην ἁπασῶν ἀρτηριακὴν ἔγραψεν ὧδί πως. ϰ οἰνομέλιτος παλαιοῦ ξε. γ'. ἕψε ἄχρις εἰς ἕνα, εἶτα ἐπίβαλε στροβίλων πεφωγμένων ἡμίναν, πεπέρεως λευκοῦ γο β'. καὶ χρῶ. ἦν ἂν τοῦτο τὸ φάρμακον ἐν τοῖς μαλακωτάτοις, εἰ μὴ τοῦ πεπέρεως εἴληφέ τι. τοῦτο δὲ λαβὼν ἐπὶ τὴν τῶν

uvae paſſae exacinatae drach. j, amygdalarum drach. viij, myrrhae obolos iv, tragacanthae drach. iv, piperis albi obolos iv, mel coctum. Uva paſſa torretur, amygdalae excorticantur, tragacantha in aqua maceratur per diem unum et teritur ac reliquis admiſcetur. Et hic recte ab eo factum eo quod tum promiſſionem tum compoſitionem ejus adjecit. Caeterum mediae facultatis medicamentum exiſtit, quare ad omnes affectus ipſum commodum eſſe ait; eſt enim mediorum medicamentorum natura talis. Unde etiam ipſis mediis affectibus proprie et primario convenit, iis vero qui mollibus aut fortibus opus habent, neque emolumentum neque detrimentum magnum affert.

Ultimam omnium arteriacam hoc modo deſcripſit. ϰ Vini mulſi veteris ſextarios iij, ad unum decoquito, deinde nucum pinearum toſtarum heminam adjicito, piperis albi ſextantem, ac utitor. Eſſet ſane hoc medicamentum ex molliſſimis, ſi non piper acceſſiſſet, hoc vero addito ad mediam

Ed. Chart. XIII. [534. 535.] Ed. Baſ. II. (260)

μέσων ἀφικνεῖται δύναμιν, διὸ καὶ ὁμογενὲς αὐτὸ τῷ προγεγραμμένῳ νομίζων εἶναι ὑπέγραψεν.

[*Αἱ ὑπὸ Κρίτωνος γεγραμμέναι ἀρτηριακαὶ τὸν ἀριθμὸν τέσσαρες.*] Καὶ τῶν ὑπὸ Κρίτωνος γεγραμμένων ἀρτηριακῶν ἀρκέσει μνημονεῦσαι τεσσάρων. γράφει δὲ περὶ μὲν τῆς πρώτης ὧδί πως κατὰ λέξιν. πρὸς ἀποκεκομμένας φωνὰς διὰ μελέτην. σῦκα καὶ ἠρύγγιον ἑψήσας καλῶς τῷ ἀφεψήματι μίσγε κόμμι, ὥστε γενέσθαι μέλιτος σκληρότερον, καὶ δίδου εἰς νύκτα. ποιεῖ δὲ καὶ τὸ ἀμμωνιακόν. καὶ διὰ τοῦτο τῆς δυνάμεως αὐτῆς ἐμνημόνευσα, διότι κατὰ μὲν ἀρχὰς ἐπιτήδειός ἐστιν ἡ προγεγραμμένη δύναμις, εἰ διὰ τοῦ ἠρυγγίου σκευάζοιτο, τὸ δὲ ἀμμωνιακὸν ἐπὶ τῶν κεχρονισμένων, ἰσχυρὸν μὲν γάρ ἐστι φάρμακον. οὐ καλῶς οὖν ἐποίησεν ὁ Κρίτων, ἀδιορίστως γράψας ἅμα τῷ μετρίῳ φαρμάκῳ τὸ ἰσχυρότατον. ἐὰν γὰρ ἐναλλάξῃς τοῦ σκληροῦ τῆς χρήσεως αὐτῶν, οὐ μόνον οὐδὲν ὀνήσεις, ἀλλὰ καὶ βλάψεις τὸν ἄνθρωπον. ἑτέραν ἀρτηριακὴν ἔγραψεν ὁ Κρίτων μέσην τῇ δυνάμει πεπτικήν τε καὶ ἄδηκτον, ὧδί πως κατὰ λέξιν. ἄλλη ποιοῦσα μά[535]λιστα φωνασκοῖς καὶ πρὸς τραχεῖαν ἀρτη-

facultatem pervenit, propterea etiam ejusdem generis cum praeſcripto eſſe ratus ſubſcripſit.

[*Arteriacae a Critone conſcriptae quatuor numero.*] Ex arteriacis a Critone conſcriptis quatuor produxiſſe ſufficerit. De prima ſcribit in haec verba. *Ad vocem interceptam ob contentionem.* Ficum et eryngium probe coquito et ad decoctum gummi miſceto, ut melle durior confectio fiat, dato ad noctem. Facit et ammoniacum. Ob id ſane medicamenti hujus mentionem feci, quod in principio apta eſt haec praeſcripta confectio, ſi per eryngium praeparetur, ammoniacum autem inveteratis commodum, validum enim medicamentum exiſtit. Non recte igitur Crito fecit, quod cum moderato fortiſſimum medicamentum indefinite tradidit; ſi enim ab uſu duri immutaveris, non ſolum nihil juveris, ſed etiam laedes hominem. Alteram arteriacam ſcripſit Crito mediam facultate, concoctoriam et lenem his verbis. *Alia faciens maxime ad eos qui vocem exercent et*

Ed. Chart. XIII. [535.] Ed. Baſ. II. (260. 261.)

ρίαν καὶ τοὺς τῆς βηχὸς παροξυσμοὺς καὶ ὠταλγίας καὶ ἕλκη ἐν ὠσὶ καὶ αἰδοίῳ. ἔστι δὲ καὶ πεπτικὴ πρὸς κατάῤῥους. ℔ λιβάνου ὀβολοὺς δ'. σμύρνης ≺ β'. γλυκέος κυάθους γ'. ἕψε τὸ γλυκὺ ἕως σχῇ μέλιτος τὸ πάχος, εἶτα πρόσβαλλε σμύρναν καὶ λίβανον μετὰ γλυκέος ἡμιέφθου ἐξ αὐτοῦ ἀφῃρημένου. ποιεῖ δὲ καὶ πρὸς δυσεντερικοὺς καὶ κοιλιακούς. τινὲς μίσγουσι καὶ κρόκου ≺ α'. καὶ γίνεται ὠτικὴ καλὴ καὶ πρὸς ὀφθαλμῶν φλεγμονάς. ταῦτα μὲν ὁ Κρίτων ἔγραψε καὶ σοφῶς καὶ καλῶς. ἐμὲ δ' οὐδὲν ἔτι δεῖ προστιθέναι τὴν ἐξήγησιν τῶν τοιούτων φαρμάκων, πολλάκις ἤδη περὶ αὐτῶν εἰρηκότα. καὶ ἄλλας δὲ δύο παραπλησίας μὲν τῇ προειρημένῃ, μετριωτέρας δὲ τῇ δυνάμει καὶ ἁπλουστάτας οὕτως ἔγραψεν. (261) ἔκλειγμα τὸ Φαουστιανὸν λεγόμενον. ℔ οἴνου Φαλερίνου ξε. α'. μέλιτος Ἀττικοῦ λίτραν α'. ἕψε ἐν διπλώματι, κινῶν κλωνίῳ πηγάνου. τὸ δὲ ἕτερον τῶν φαρμάκων ἐστὶ τοιοῦτον. ἔκλειγμα τὸ διὰ Σκυβελίτου, ᾧ χρώμεθα. ℔ Σκυβελίτου ξέστην α'. κόμμεως γο γ'. μέλιτος γο θ'. ἕψε ἐν διπλώματι προβρέξας τὸ κόμμι καὶ λειώσας. οὗτος

aſperam arteriam et tuſſis irritationes, dolorem aurium, ulcera in auribus ac pudendo. Concoquit etiam deſtillationes. ℔ Thuris obolos iv, myrrhae drach. ij, paſſi cyathos iij, paſſum ad mellis ſpiſſitudinem decoquito, deinde myrrham et thus trita cum paſſo ſemicocto ablato adjicito. Facit etiam ad dyſentericos et coeliacos. Quidam croci etiam drachmam addunt et fit auribus commoda atque oculis inflammatis. Haec Crito perſpicue et probe ſcripſit, neque opus eſt me ejusmodi medicamentorum expoſitionem apponere, ut qui ſaepe jam de his dixerim. Porro alias duas praedictae quidem ſimiles, verum moderatiori facultate et ſimpliciſſimas ſic ſcripſit. *Eclegma Fauſtianum appellatum.* ℔ Vini Falerni ſextarium j, mellis Attici lib. j, in duplici vaſe coquito, rutae ramulo agitando. Alterum medicamentum tale eſt. *Eclegma ex vino Scybelite quo utimur.* ℔ Vini Scybelitis ſextarium j, gummi ℥ iij, mellis ℥ ix, oquito in duplici vaſe, gummi prius macerato ac diſſoluto. Hoc ſo-

Ed. Chart. XIII. [535.] Ed. Baf. II. (261.)

μὲν ἐνταῦθα προσέθηκε μόνον τὸ ἐν διπλώματι. κάλλιστα δ' ἄν τις ποιοῖ αὐτὰς ἁπάσας τὰς ἀρτηριακὰς, ὅσαι τὸ παρηγορικὸν καὶ πεπτικὸν καὶ πραϋντικὸν ἔχειν ἐπαγγέλλονται, διὰ διπλώματος ἕψων, ὅπερ ἐστὶν ἐπ' ἀγγείου διπλοῦ, καθάπερ οἱ μυρεψοὶ τὰ μύρα σκευάζουσιν εἰς μέγαν τινὰ λέβητα θερμὸν ὕδωρ ἐγχέοντες, δεύτερον ἐνιστάντες ἔχοντα ἐν αὐτῷ τὸ ἑψόμενον φάρμακον, εἶτα προδιακεκαυμένοις ἄνθραξιν ἢ ξύλοις ἀκάπνοις ὑποκαίοντες.

[Ἡ διὰ κωδυῶν, ὡς οἱ παλαιοὶ καὶ ὡς ὁ Γαληνός.] Καὶ περὶ τὴν ταύτης σύνθεσιν ἀδιορίστως αὐτοῖς γέγονε διαφωνία. τινὲς μὲν γὰρ αὐτῶν εἰς ρκ'. κωδύας ἐμβάλλειν ξέστας κ'. ὕδατος ἀξιοῦσιν, ὡς ἑκάστου ξέστου μέτρον ἔχοντος ἓξ κωδυῶν μίξιν. ἔνιοι δὲ εἰς ξε. π'. ὀκτακοσίας κωδύας ἐμβάλλουσιν, ὡς ἑκάστου ξέστου δεχομένου κωδύας ι'. τινὲς δὲ οὕτως, ὡς ὀκτὼ κωδυῶν τοῦ ξέστου δεχομένου. τινὲς δὲ οὐκ οἶδ' ὅπως εἰς ὕδατος ξέστας γ'. κωδύας π'. βάλλου-

lum loco appoſuit in duplici vaſe coctionem fieri debere. Rectiſſime autem fecerit qui omnes arteriacas, quae mitigatoriam, concoctoriam et lenitoriam vim habere praedicantur, in diplomate, hoc eſt in duplici vaſe, coxerit, quomodo ſane unguentarii unguenta praeparant, nimirum calidam aquam in magnum quendam lebetem infundentes, ac poſtea vaſculum, quod medicamentum coquendum in ſe habet, imponentes, et ſic praeuſtas prunas aut ligna fumum non edentia ſuccendentes.

[*Confectio diacodyon, juxta veterum ac Galeni traditionem.*] Quin et circa hujus compoſitionem veteribus indefinita diſcordia fuit. Quidam enim ex ipſis ad capita papaveris cxx aquae ſextarios xx infundendos cenſent, ut quaelibet ſextarii menſura ſex papaveris capita recipiat. Quidam vero in lxxx ſextarios octingenta papaveris capita injiciunt, ut ſinguli ſextarii capita x accipiant. Quidam ita temperaverunt, ut ſextario vni viij capita tribuerentur. Quidam autem haud ſcio qua ratione in aquae ſexarios tres capita papaveris lxxx conjiciunt. Alii capita

Ed. Chart. XIII. [535.] Ed. Baſ. II. (261.)

σιν. ἄλλοι δὲ ρκ΄. εἰς τοὺς αὐτοὺς γ΄. ξέστας. ἐμοὶ δὲ ὀλίγον πάνυ φαίνεται, τοσοῦτον ὕδωρ εἰς τοσαύτας κωδύας ἐμβάλλειν.

[Ἡ διὰ κωδυῶν Ἀνδρομάχου.] Ὁ μὲν οὖν Ἀνδρόμαχος, ὡς ἐν ταῖς ἀρτηριακαῖς ἀνωτέρω προγέγραπται, τὴν δευτέραν ἐν αὐτῷ σκευάζων, οὕτως ἔγραψεν. κωδύας χλωρὰς χιλίας διακοσίας, εἶτα ἐπὶ τέλει ὕδωρ ὄμβριον, οὐ προσθεὶς τὸ ποσόν.

[Ἡ διὰ κωδυῶν Κρίτωνος.] Ὁ δὲ Κρίτων ὠδί πως. ἡ διὰ κωδυῶν λιτὴ, κωδύας ἀγρίας ὀκτακοσίας, ὕδατος ξε. π΄. ἑψήσας εἰς γ΄. καὶ ἐκθλίψας πρόσβαλλε μέλιτος λίτρας ι΄. εἰ δὲ ποικίλην αὐτὴν ἐθέλοις γενέσθαι, πρόσβαλλε κρόκου, σμύρνης, ὑποκυστίδος χυλοῦ ἀνὰ δραχμὰς ιβ΄. λιβάνου ⊀ στ΄. ἀκακίας δραχμὰς ιβ΄. καλῶς οὖν μοι φαίνεται καθ' ἕκαστον ξε. ἐμβάλλειν κωδύας ι΄. οὕτω γὰρ συμβαίνει γράψαντος αὐτοῦ δεῖν ὀκτακοσίας ἐμβάλλειν εἰς ὕδατος ξέστας π΄. κἀγὼ δὲ τοῦτον τὸν τρόπον σκευάζω μὴ προστιθεὶς μήτε κρό-

cxx in eosdem tres ſextarios addunt, verum mihi videtur valde pauca aqua eſſe ad tantam copiam capitum.

[*Confectio ex capitibus papaveris Andromachi.*] Andromachus igitur velut ſupra in arteriacis praeſcriptum eſt, alteram ex ipſis praeparans ſic ſcripſit, capita papaveris viridia mille ducenta, deinde ad finem, aquam pluviam, non apponens aquae quantitatem.

[*Confectio ex capitibus papaveris Critonis.*] Crito vero ſic. *Confectio ex capitibus papaveris ſimplex.* Capita papaveris agreſtis octingenta, aquae ſextarios lxxx, coquito ad tertias, atque expreſſis addito mellis lib. x. Si vero variam efficere velis, adde croci, myrrhae, ſucci hypocyſtidis, ſingulorum drach. xij, thuris drach. ſex, acaciae drach. xij. Recte videtur mihi ad ſingulos ſextarios capita x conjicere, ita enim contingit, quum ſcribat ipſe, capita octingenta in aquae ſextarios lxxx indendos eſſe. Et ego ſane hoc modo praeparo non apponens neque crocum ne-

Ed. Chart. XIII. [535. 536.] Ed. Baſ. II. (261.)

κου μήτε σμύρνης μήτ᾽ ἄλλο τι. καλλίστη γάρ ἐστιν ἡ ἁπλουστάτη.

[536] [Ἡ διὰ κωδυῶν τοῦ Ἥρα.] Ὁ γε μὴν Ἥρας εἰς ρκ΄. κωδύας, ὕδατος ὀμβρίου ξε. γ΄. ἐμβάλλει, παντάπασιν ὀλίγον. ἢ κατά τινα τῶν ἀντιγράφων, οὐ κωδυῶν ἀριθμὸς ρκ΄. ἀλλὰ δραχμὴ γέγραπται. παραγράψω δὲ τὴν ὅλην αὐτοῦ λέξιν οὕτως ἔχουσαν. κωδύας μήκωνος χλωρὰς ρκ΄. βαλὼν εἰς ἀγγεῖον καὶ ὕδατος ὀμβρίου ξε. γ΄. ἔασον βραχῆναι ἡμέρας γ΄. εἶτα ἕψε ἕως ἂν λειφθῇ τὸ τρίτον μέρος, εἶτα ἄρας ἀπὸ τοῦ πυρὸς ἔκθλιβε, καὶ διηθήσας μίσγε μέλιτος ξε. α΄. καὶ ἕψε ἐν διπλῷ ἀγγείῳ. ὅταν δὲ ἄρχηται συστρέφεσθαι, προσέμβαλλε ἀκακίας κιρρᾶς ≺ α΄. ὑποκυστίδος χυλοῦ ≺ α΄. ὅταν δὲ τὰς κωδύας ἕψῃς ἐν τῷ ὕδατι, κρόκου δραχμὴν μίαν ἔνδησον εἰς ὀθόνιον καὶ ἔασον συνέψεσθαι. ἔνιοι μέντοι βάλλουσι καὶ σμύρνης ≺ α΄. καὶ λειοτριβοῦσιν αὐτὰ σὺν ὀλίγῳ γλυκεῖ καὶ ἐπικατερῶσι καὶ συνέψουσι μέχρις οὗ ποσῶς συστραφῇ. εἰ μέντοι βούλοιο μὴ

uue myrrham neque aliud quicquam, optima eſt enim ſimpliciſſima.

[*Confectio ex capitibus papaveris Herae.*] At vero Heras ad capita cxx aquae pluviae ſextarios iij infundit, modicam omnino quantitatem, tametſi in quibusdam exemplaribus non numerus capitum papaveris cxx ſcriptus ſit, ſed pondus totidem drachmarum. Aſcribam autem totam ipſius dictionem ſic habentem. Capita papaveris viridia cxx in vas conjicito, et affuſis aquae pluviae ſextariis tribus, ad triduum madeſcere ſinito, deinde ad tertias coquito et ablata ab igne exprimito ac colato, admixtoque mellis ſextario, in duplici vaſe coquito, atque ubi ſpiſſari coeperit, acaciae rufae drach. j, ſucci hypocyſtidis ʒ j adjicito. Caeterum quum ipſa capita coxeris in aqua, croci drach. j, linteolo illigatam ſimul coqui permittito. Quidam enim myrrhae drach. j addunt, ipſaque cum modico paſſo terunt, atque ita indunt ac ſimul coquunt donec aliquantulum fuerit conſectio inſpiſſata. Quod ſi tamen non medicamenta-

Ed. Chart. XIII. [536.] Ed. Baſ. II. (261.)

φαρμακώδη ποιῆσαι αὐτὴν σὺν τῷ ἀφεψήματι τῶν κωδυῶν, ἐπειδὰν τὸ τρίτον λειφθῇ μέρος, συνεψήσεις τὸ μέλι, τὸ λοιπὰ μὴ συνεμβάλλων.

[Ἡ διὰ κωδυῶν, ὡς Δαμοκράτης.] Ἐσκευάσθη δὲ τὸ φάρμακον τοῦτο, ὡς Δαμοκράτης φησὶν, ὑπὸ Θεμίσωνος πρώτου, γράφων οὕτως ἐν τῷ βιβλίῳ τῷ ἐπιγραφομένῳ, Δαμοκράτους φιλίατρος· ἴσμεν δ' ὅτι διὰ στίχων γέγραπται. φασὶ δὲ Θεμίσωνα τοῦτο πρῶτον σκευάσαι τὸ φάρμακον πρὸς βῆχας ὑγρὰς καὶ πόνους ἀρτηρίας καὶ φάρυγγος, εἴδη ῥευμάτων ἁπλῶς ἁπάντων τῶν περὶ τὸν θώρακα καὶ τὰς ἀγρυπνίας, ὧν γε ταῦτά ἐστιν αἴτια.

Μήκωνος ἣν λέγουσιν οἱ γεηπόνοι
Μήκωνα ἀγρίαν. οὐδὲ γάρ πω σπείρεται,
Κεφαλὰς ἔτι χλωρὰς, ἃς λέγομεν καὶ κωδύας
Τὸ σπέρμ' ἐχούσας κιρρὸν, οὐδέ πω μέλαν,
Τρὶς τεσσαράκοντα τὰς μετρίας τοῖς μεγέθεσι
Βάλλ' εἰς χύτραν καινήν τε καὶ πλατύστομον,
Καὶ περιχέας τρεῖς ὕδατος ὀμβρίου μέτρῳ

riam confectionem facere velis, cum capitum decocto ad tertias redacto mel coques, reliquis non adjectis.

[*Confectio ex capitibus papaveris, Damocratis.*] Hoc medicamentum primum a Themiſone praeparatum eſt, inquit Damocrates in libro, Damocratis medicinae ſtudioſus inſcripto. Scimus autem ex verſibus eum conſtare. Ajunt Themiſonem hoc medicamentum primum praeparaſſe ad tuſſes humidas, dolorem arteriae et gulae ſpecies fluxionum ſimpliciter omnium, quae circa thoracem conſiſtunt et ad vigilias, quarum ſane illae exiſtunt cauſae.

Papaveris, quod nominant ipſi agricolae
Agreſtis, nam ſpontaneum eſt, nec conſeritur,
Capita virentia et recentia integra,
Semen rubens, nondum nigrum gerentia,
Centena bisque dena magnitudinis
Mediocris, in novam ollulam ore amplo indito.
Infunde tres pluvia de aqua ſextarios:

Ed. Chart. XIII. [536.] Ed. Baſ. II. (261.)

Ξέστας, ἀπόβρεξον νύκτα ἡμέραν μίαν,
Εἶτ' αὖ μίξας ἐπιπλέον οὐ λάβρῳ πυρὶ,
Ἀπόθλιβ' ἀπ' αὐτῶν ἅπαν ὕδωρ εἰς τὴν χύτραν,
Καὶ προσλαβὼν τρεῖς μέλιτος Ἀττικοῦ λίτρας,
Πάλιν ἕψε κουφοτέρᾳ καὶ μετρίῳ φλογὶ,
Καὶ ἕψε ἕως σχῇ μέλιτος οὐχ ὑγροῦ πάχος.
Ψύξας δ' ἀποθήσεις εἰς ὑελοῦν ἀγγεῖον.
Ἡμεῖς μὲν οὕτως. ὁ Θεμίσων δ' ὅτ' ἤρξατο
Χρῆσθαι, προσέβαλλε σμύρναν, ἀκακίαν, κρόκον,
Ὑποκυστίδος χυλόν τε, νῦν δ' οὐ βάλλεται.
Ἁπλουστέρα γὰρ οὖσα καὶ τὸ συμφέρον
Ἔχει πολὺ μᾶλλον καὶ προσηνής ἐστ' ἄγαν.
Λίδου δὲ πλῆθος σμικροτάτου μύστρου ποτὲ
Εἰς νύκτα τοῦτο, ποτὲ δ' ἔλαττον ἡμέρας
Ἐν τῷ στόματι καὶ διακρατοῦν ὀλίγῳ χρόνῳ
Κέλευε τήκειν καὶ καταπίνειν ἠρέμα.
Εἰ δ' αὐτὸ βούλει κοιλίας ἐφεκτικὸν,
Τῶν ῥευμάτων τε τοῦ στομάχου καὶ πνεύμονος

Macerato in his totam diem noctem ſimul,
Dein coquito lento igne ac diutiuſcule et
Omnem liquorem expreſſum in ollulam excipe,
Et mellis Attici libras tres addito.
Decoquito rurſus leniorem ad flammulam,
Dum non liquentis mellis inſtar duruerit.
Mox frigefacta in vitreum vas condito.
Sic nos quidem. At Themiſon prior qui prodidit
Uſum, addit myrrham, acaciam et rubens crocum et
Hypocyſtidis ſuccum. Aſt ea obſoleta jam,
Simplex enim parata commodiſſima eſt,
Jucunda valde, lenis atque viribus.
Ex hac datur myſtri minuti quantitas,
Aliquando plus ſub noctem et ad diem minus.
Ut hanc in ore quis brevi ſic detineat,
Juſſus liquentem ſenſim ita ut poſt devoret.
Quod ſi voles alvum morandi gratia et
Siſtatur ut pulmonis et ſtomachi fluor

Ed. Chart. XIII. [536. 537.] Ed. Baſ. II. (261. 262.)

Αἱμορῥαγιῶν τε τῶν ἄνω διαῤῥάγματος
Ποιεῖν, εὐπατορικῆς ἢ τὸ κρεῖττον Ποντικῆς
Ῥοὸς καταμίξεις χυλὸν ὡς δραχμὰς δύο.
Ταὐτὸν δ' ἀκακίας τῆς καλῆς καὶ προσφάτου.
Μέλλων δ' ἀφαιρεῖν τοῦ πυρὸς τὸ φάρμακον,
Γλυκὺ διαχέας, ταῦτα δύο μίγματα,
Παράχει κατὰ μικρὸν τοῖς ζέουσιν τῆς χύτρας
Συνεκζέσας ἀποτίθου ὑάλῳ ψυγέν.

[537.] [*Ἡ διὰ κωδυῶν, Σωρανοῦ.*] *Σωρανὸς δὲ οὕτω σκευάζειν αὐτὴν ἀξιοῖ.* 2ℓ *κωδυῶν ρν'. ὕδατος ξε κ'. λαβὼν εἰς λέβητα καινὸν, ἕψε ἕως ξε ι'. εἶτα* (262) *ἐκβαλὼν τὰς κωδύας, βάλε μέλιτος ξε α'. καὶ ἐνδήσας εἰς ὀθόνιον, σμύρνης, κρόκου, ὑποκυστίδος, ἀκακίας χυλοῦ ἀνὰ δραχμὴν μίαν καὶ τριώβολον, καὶ ἀποδήσας ἀποκρέμασον εἰς τὸν λέβητα, ἵνα τῷ μέλιτι συνέψηται. ἐπειδὰν δὲ συστραφῇ, ἆρον τὸ ἐνδέσμιον καὶ βαλὼν εἰς θυίαν τρῖψον μετὰ γλυκέος κυάθων*

Eruptioque ſanguinis ſeptum ſupra,
Facere, eupatoricae aut tu potius hinc Ponticae
Addes rhois ſucci ſimul drachmas duas,
Tantundem et acaciae bonae non veteris:
Auferre jam volens ab igne pharmacum,
Diluta paſſo ambo haec ſimul confundito,
Paulatim adhuc in ollula ferventibus,
Quo ferveant parum ſimul, mox vaſculo
Refrigerata indantur inde vitreo.

[*Confectio ex capitibus papaveris, Sorani.*] Soranus porro ita praeparandam cenſet. 2ℓ Capitum papaveris numero cl, aquae ſextar. xx, in lebetem novum conjecta ad dimidias coquito et rejectis capitibus mellis ſextar. j addito, poſtea vero myrrhae, croci, hypocyſtidis et acaciae ſucci, ſingulorum drach. unam, obolos tres linteolo illigato et in ollam ſive lebetem ſuſpendito, quo ſimul cum melle coquantur, poſtquam vero craſſeſcere inceperit, faſciculum colligatum tollito et in mortarium conjectum cum paſſi cya-

Ed. Chart. XIII. [537.] Ed. Baſ. II. (262.)

γ'. εἶτα βαλὼν εἰς τὸν λέβητα συνέψει μαλακῶς, μέχρι συστραφῇ. πραοτέρα δέ ἐσειν ἡ διὰ μόνου μέλιτος καὶ τοῦ ἀποβρέγματος τῶν κωδυῶν. ἀνυτικωτέρα δὲ γίνεται προσλαβοῦσα ἐν τῇ ἀποδήσει τοῦ ὀθονίου μελίλωτον ἀντὶ τῶν στυφόντων καὶ γλυκυῤῥίζης ῥίζαν.

[*Γαληνοῦ ἡ διὰ κωδυῶν.*] Ὡς ἐγὼ συντίθημι κεχρῆσθαι τῇ διὰ τῶν κωδυῶν ἀξιῶ. πειραθέντι μοι γὰρ τῶν προειρημένων σκευασιῶν ἔδοξεν ἀμείνων εἶναι καθ' ἣν εἰς ἕνα ξε. ἐμβάλλονται κωδύαι δέκα, καθάπερ ὁ Κρίτων ἔγραψεν, ἢ εἰς δύο ξε. ιέ. καθάπερ ὁ Σωρανὸς, ἐν τῷ μέσῳ δ' ἀμφοῖν τούτων τῶν ὅρων ἐστὶν, ἐμβαλλόντων ἡμῶν ὀκτὼ κωδύας ἢ θ'. προβρέχω δ' αὐτὰς οὐ τρισὶν ἡμέραις, ὡς Ἥρας, ἀλλ' οὐδὲ εὐθέως ἀφαιρεθείσας ἕψω, ἀλλ' ἐὰν μὲν ὦσιν ὑγρότεραί τε καὶ μαλακώτεραι μιᾶς ἡμέρας, ὑπακουομένης ἐν ταῖς τοιαύταις λέξεσιν ἁπάσαις καὶ τῆς νυκτὸς, ὥσπερ καὶ τὸν ἐνιαυτὸν ἡμέρας λέγουσιν οἱ ἄνθρωποι τξέ. ἐὰν δὲ σκληρότεραι καὶ ξηρότεραι τυγχάνωσιν οὖσαι καὶ πλείονι χρόνῳ

this is terito, indeque in lebetem conjectum lente ſimul donec ſpiſſetur coquito. Verum mitior eſt confectio, quae ex ſolo melle et capitum papaveris cremore conſtat. Efficacior autem redditur, ſi in faſciculum linteoli pro aſtringentibus melilotum et radicem dulcem addideris.

[*Confectio ex capitibus papaveris Galeni.*] Caeterum velut ego compono confectionem ex papaveris capitibus, ita ea utendum cenſeo. Etenim quum de praedictis confectionibus experimentum ſumpſerim, praeſtantior ea viſa eſt, in qua ad unum aquae ſextarium capita decem injiciuntur, quemadmodum Crito ſcripſit, aut ad duos ſextarios quindecim capita velut Soranus, in medio autem horum amborum terminorum eſt, ubi octo aut novem capita in unum ſextarium conjiciamus. Praemacero autem ea non ad triduum velut Heras, ſed neque ſtatim ablatas coquo, ſed ſiquidem humidiora et molliora fuerint, ad unum diem. Accipienda eſt autem in omnibus hujusmodi ſermonibus etiam nox, quemadmodum etiam annum dierum cccLxv eſſe ſo-

Ed. Chart. XIII. [537.] Ed. Baſ. II. (262.)

τῆς μιᾶς ἡμέρας αὐτὰς διαβρέχω, ἄμεινον δὲ τὰς μή πω σκληρὰς λαμβάνειν. εὔδηλον δ' ὅτι καὶ τὰς λίαν μαλακὰς ἀποβάλλεσθαι προσήκει. αἱ μὲν γὰρ ξηρότεραι ὀλίγον τὸν χυλὸν ἔχουσιν, αἱ δὲ ὑγρότεραι πολὺν μὲν, ἀλλ' ἄπεπτον ἔτι καὶ ὑδατώδη καὶ ἄτονον, διὸ καὶ τὰς ἐξ ὑγρῶν καὶ ἑλωδῶν χωρίων παραιτητέον. ὃν δ' εἶπον ἀριθμὸν τῶν κωδυῶν ἐμβάλλειν χρῆναι κατὰ τὴν ἀναλογίαν τοῦ ὕδατος, ἐπὶ τῶν μέσων ἀκούειν χρή. ἐπειδὴ τινὲς μέν εἰσι μείζους τῶν συμμέτρων, τινὲς δὲ ἐλάττους, ἔνιαι δὲ καὶ μέσαι, καθάπερ εἴωθεν ὡς τὸ πολὺ γίνεσθαι, πασῶν ἐφεξῆς τὸν εἰρημένον ἀριθμὸν ἐμβάλλῃς τῷ ξε. τῆς δὲ ἑψήσεως ὅρος ἔστω σοι μὴ τὸ τρίτον ἢ τὸ τέταρτον ἢ ὅλως τοιοῦτόν τι μόριον ἀπολειφθῆναι τοῦ ὕδατος, ἀλλ' ὅταν πρῶτον ὅλαι τακεραὶ γενηθῶσι, βουλόμεθα γὰρ αὐτῶν δηλονότι τὸν χυλὸν ἐκθλίψαι. τοῦτο δ' αὐτάρκως γίνεται τακερῶν ἀποτελεσθεισῶν αὐτῶν, περιττὸν οὖν τὸ ἐπιπλέον ἕψειν. μίγνυσθαι δ' ἀξιῶ τούτῳ μέλιτος ἥμισυ μέτρον καὶ ἕψεσθαι ἐπὶ ἀκάπνου πυ-

lemus dicere. Si vero duriora et ſicciora ſint, etiam longiori tempore ipſa macero, praeſtat autem accipere nondum indurata. Manifeſtum vero, quod etiam valde mollia abjicienda ſint, ſicciora enim exiguum ſuccum habent, humidiora vero multum quidem, ſed crudum adhuc et aquoſum ac debilem, quapropter ex humidis ac paluſtribus locis accepta fugienda ſunt. At vero numerum quem dixi injici oportere juxta proportionem aquae, de mediocribus intelligere oportet. Quum enim quaedam majora moderatis, quaedam minora exiſtant, quaedam vero inter haec media, quemadmodum ut plurimum eſſe ſolent, ex his praedictum numerum ad ſextarium conjicere oportet. Terminus autem coctionis ſit non ut tertia aut quarta aut aliqua talis pars aquae fiat reliqua, verum ubi primum in totum flaccida fuerint facta, ſuccum enim ipſorum exprimere volumus, hoc vero ſufficienter continget ipſis flaccidis factis, ſupervacuum igitur diutius coquere. Caeterum mellis dimidiam menſuram huic ſucco admiſcendam cenſeo et coquendam

Ed. Chart. XIII. [537. 538.] Ed. Baf. II. (262.)

ρὸς ἄχρι συστάσεως Ἀττικοῦ μέλιτος. ἐν ὀμβρίῳ δὲ ὕδατι ἔνιοι τὴν ἕψησιν ἐποιήσαντο τοῦ μὴ μεταβάλλειν αὐτὸ πρὸς ἑτέραν ποιότητα σηπεδονώδη. σοὶ δ' ἀρκέσει καὶ τὸ πηγαῖον, ὅταν μὴ παρῇ τὸ ὄμβριον. ἀρκεῖ δὲ αὐτὸ καθαρὸν εἶναι καὶ ἄκρατον πάσης ἐπιμιξίας, ὥστε διὰ τοῦτο καὶ τὸ διὰ τῶν μολυβδίνων σπλήνων ὀχετευόμενον φευκτέον. ἰλύματα γάρ τινα τοῦ μολύβδου κατὰ τοῦτο περιέχεται. διὸ καὶ οἱ πίνοντες ὑποστάθμην τοῦ τοιούτου ὕδατος δυσεντερικοὶ γίνονται.

[538] [*Περὶ χρήσεως τοῦ διὰ κωδυῶν.*] Ἡ χρῆσις δὲ αὐτοῦ τοῖς ὕπνου δεομένοις ἐστὶν, οἷς καὶ τὰ δι' ὀπίου συντιθέμενα πολλάκις ἀναγκαζόμεθα διδόναι. χρήζουσι δὲ μάλιστα τῶν τοιούτων φαρμάκων οἷς ἀπὸ κεφαλῆς εἰς τὴν τραχεῖαν ἀρτηρίαν καταῤῥεῖ ῥεῦμα λεπτὸν, οὐκ ἐπιτρέπον κοιμᾶσθαι διὰ τὰς ἑπομένας βῆχας. ἐπὶ δὲ τῶν τοιούτων ἐγὼ καὶ τὴν σκευασίαν τοῦ φαρμάκου δι' ἕψήματος εἴωθα ποιεῖσθαι. λέλεκται δέ μοι πρόσθεν, ἕψημα καλεῖσθαι πρὸς ἡμῶν τὸ ἑψημένον γλεῦκος, ὅπερ καὶ σίραιον ὀνομάζουσί

ſimul ad lentum ignem ad compagem Attici mellis. Verum in aqua pluvia quidam capitum coctionem fecerunt, ne videlicet ipſa ad aliam putredinoſam qualitatem transmutetur, tibi vero etiam fontana ſufficiet, pluvia non praeſente, ſatis eſt et ipſam mundam eſſe et omnis mixturae exortem, ob quam rem ea, quae per plumbeos canales derivatur, fugienda erit; limus enim quidam ex plumbo in ea continetur. Unde etiam qui aquae ejusmodi faecem combibunt dyſenterici evadunt.

[*De uſu confectionis ex papaveris capitibus.*] Uſus ejus eſt in iis, qui ſomno opus habent, quibus etiam ex opio conſtantia ſaepe exhibere cogimur. Opus habent maxime hujusmodi medicamentis ii, quibus tenuis fluxus a capite ad aſperam arteriam deſtillat, non permittens dormire ob conſequentem tuſſim. In talibus ego etiam ex ſapa medicamenti confectionem parare ſoleo. Dictum autem a me antea eſt ſapam a nobis appellari muſtum coctum, quod

Ed. Chart. XIII. [538.] Ed. Baſ. II. (262.)

τινες τῶν ἰατρῶν. αὐτάρκης δ' ἡ ἕψησις εἰς τὰ τοιαῦτά ἐστιν, ὅταν εἰς τὸ ἥμισυ τοῦ ὕδατος ἑψηθῶσιν αἱ κωδύαι καὶ διὰ γλυκέος ἢ Θηραίου τοῦ Κρητικοῦ κάλλιον ἢ διὰ μέλιτος ἕψειν, ὅταν ᾖ τὸ ῥεῦμα πάνυ λεπτόν. ἴσμεν γὰρ ὅτι λεπτυντικῆς ἐστι δυνάμεως τὸ μέλι. φεύγειν οὖν αὐτὸ χρὴ τηνικαῦτα, τοὺς γὰρ λεπτοὺς κατάῤῥους ἐπιτείνει. μιγνύναι δὲ ἑψομένῳ τῷ τοιούτῳ φαρμάκῳ γλυκυῤῥίζης ῥίζαν, ὡς συνεψηθῆναι. μὴ παρούσης δ' ἐκείνης, τὸν ἀπὸ τῆς Κρήτης κομιζόμενον χυλόν. ἐὰν δὲ περιέχηται κατὰ τὸν πνεύμονα καταῤῥοϊκὸν ἀπὸ τῆς κεφαλῆς πλῆθος, ἡ διὰ τοῦ μέλιτος σκευασία βελτίων. ὥσπερ γὰρ ὕπνου χρῄζουσιν ἡ δι' ἐψήματος, οὕτω καὶ τοῦ διαπτύειν ἡ διὰ τοῦ μέλιτος γίνεται. καὶ πρὸς τὸ κατεπεῖγον οὖν ἱστάμενος εἰς ὕπνον τρεπομένου τοῦ κάμνοντος, ἤτοι τοῦ διὰ μέλιτος ἢ τοῦ χωρὶς τούτου σκευασθέντος δώσεις φαρμάκου, καὶ ποτὲ καὶ μιγνὺς ἄμφω, σκοπὸν ἔχων κατὰ τὴν μίξιν ἐμβάλλειν πλέον θατέρου τοῦ κατεπείγοντος. ὀνομάζω δὲ κατεπεῖγον τὸ δεόμενον

etiam ſiraeum quidam medici vocant. Sufficiens coctio ejus ad ejusmodi eſt, ubi capita papaveris ad medietatem aquae fuerint decocta. Quin et per paſſum aut Theraeum Creticum melius eſt quam per mel coctionem fieri, ubi fluxus valde tenuis extiterit, ſcimus enim attenuantis facultatis mel eſſe, fugiendum igitur tunc, tenues enim fluxiones auget. Miſcenda etiam hujusmodi medicamento, dum coquitur, radix dulcis, quo ſimul coquatur, ubi vero haec non adſit, ſuccus qui ex Creta apportatur. Si vero circa pulmonem conſiſtat copia fluoris a capite delati, confectio ex melle melior eſt. Quemadmodum enim ſomno opus habentibus ea quae ex ſapa conſtat, ſic rejectatione per ſputum indigentibus ea quae ex melle fit commodior exiſtit. Ei quod urget igitur renitendo, ubi in ſomnum vertitur aeger, aut quod ex melle conſtat aut quod citra hoc apparatum eſt medicamentum exhibebis, aliquando etiam ambobus permixtis, ſcopum habens ipſum urgens circa mixturam, ex utro amplius conjicere oporteat; appello autem urgens id quod

Ed. Chart. XIII. [538.] Ed. Baſ. II. (262.)

βοηθείας μείζονος. ἡ δὲ σύμμετρος δόσις ἔστω σοι δυοῖν κοχλιαρίων ἀξιολόγων τὸ μέγεθος. αὐξήσεις δὲ αὐτὴν ἢ μειώσεις ἀποβλέπων εἵς τε τὸ τοῦ σώματος μέγεθος ᾧ προσφέρεις καὶ τὴν ἡλικίαν καὶ τὴν ὥραν τοῦ ἔτους καὶ τὸ χωρίον. ἐν ἅπασι γὰρ τούτοις ἐπὶ μὲν τὸ ψυχρότερον ῥέπουσι δώσεις ἐλάχιστον, ἐπὶ δὲ τὸ θερμότερον ἐκτενέστερον. ὅτι δὲ καὶ πρὸς τὸ τοῦ κατάῤῥου ποσόν τε καὶ ποιὸν ἀποβλέπων ἢ πολὺ ἢ ἔλαττον δώσεις εὔδηλον ὑπάρχει. κοινὸν γὰρ τοῦτο ἐπὶ πάντων τῶν βοηθημάτων ἐστίν. αὐτάρκεις μὲν οὖν ἦσαν καὶ αἱ γεγραμμέναι πρόσθεν ἀρτηριακαί· προσθεῖναι δ' ἐδοξέ μοι καὶ τὰς ὑπὸ τοῦ Ἀσκληπιάδου γεγραμμένας ἐν τῷ β' τῶν ἐντός. ἔνιαι μὲν γὰρ ταὐταὶ πάντῃ, τινὲς δὲ ἐγγυτάτω ταῖς προγεγραμμέναις εἰσὶν, ὥστε βεβαιοῦσθαι κἀκ τούτου τὰς γραφὰς, καὶ προσέτι διὰ τὸ τὰς σκευασίας αὐτῶν καὶ χρήσεις ἐπιμελέστερον ὑπ' Ἀσκληπιάδου γεγράφθαι.

[*Αἱ ὑπ' Ἀσκληπιάδου γεγραμμέναι ἀρτηριακαὶ ἐν τῷ δευτέρῳ τῶν ἐντὸς, ἃ Μνάσωνος ἐπιγράφει. Ἀντωνίου Μούσα πρὸς φωνῆς ἀποκοπήν.*] Κράμβης χλωρᾶς τοὺς καυλοὺς

majori auxilio opus habet. Datur commoderata menſura duorum cochleariorum ſatis magnorum copia. Augebis autem et minues hanc copiam ad magnitudinem corporis, cui exhibiturus es, reſpiciens item ad aetatem et anni tempeſtatem ac regionem, in omnibus enim his frigidioribus minimum dabis, calidioribus amplius. Quod vero etiam multitudinis ac qualitatis ipſius deſtillationis reſpectu aut plus aut minus dabis manifeſtum exiſtit; commune enim hoc in omnibus auxiliis eſt. Suffecerant equidem praeſcriptae arteriacae, verum apponere amplius mihi viſum etiam eas, quae Aſclepiades in ſecundo interiorum ſcripſit. Aliquae enim ex eis penitus eaedem ſunt, quaedam praeſcriptis valde vicinae, ut et ex eo certitudo deſcriptionum confirmetur. Quin ultra haec praeparandi et utendi modus diligentius ab ipſo Aſclepiade traditus eſt.

[*Arteriacae ab Aſclepiade conſcriptae in ſecundo internorum, quae Mnaſoni inſcribit. Antonii Muſae ad vocem interceptam.*] Braſſicae viridis cauliculos depuratos

Ed. Chart. XIII. [538. 539.] Ed. Baſ. II. (262. 263.)

καθάρας δίδου διαμασᾶσθαι, καὶ τὸ ἀχυρῶδες αὐτῶν ἀποπτύειν παραίνει, τὸν δὲ χυλὸν καταπίνειν. ἄλλη. κράμβης χυλὸν μετὰ μέλιτος ἑψήσας δίδου ἐκλείχειν. τοῦτο ὠφελεῖ παραχρῆμα. ἄλλη. ἠρυγγίου ἐν ὕδατι ἑψημένου λαβὼν τοῦ χυλοῦ κοτύλας δύο καὶ σύκων ἐν ὕδατι ἑψημένων τοῦ χυλοῦ τὸ ἴσον καὶ τούτοις ἐπιβαλὼν κόμμεως λειοτάτου ⊀ η'. ἕψε φιλοπόνως, ὡς ἀρτηριακῆς ἔχειν τὸ πάχος, ἐκ τούτου δίδου ἐκλείχειν εἰς ὕπνον πορευομένοις μέχρι κυάθου ἑνός.

[539] [Ἄλλη ἀρτηριακὴ Χαριξένους. ποιεῖ πρὸς ἤχους καὶ βράγχους καὶ φωνῆς ἀποκοπὴν καὶ δασύτητα καὶ τὰς ἐκ διαστάσεως ἀποκοπάς.] ℞ Κρόκου δραχμὰς β'. ὀποῦ Κυρηναϊκοῦ ⊀ α'. μέλιτος Ἀττικοῦ κυ. στ'. ἕψε τὸ μέλι, καὶ ὅταν συστραφῇ, ἐπίβαλε κατὰ τῶν λοιπῶν, καὶ χρῶ καθὰ προείρηται, ἀναπλάττων σφαιρία καὶ διδοὺς ὑπὸ τὴν γλῶτταν κατέχειν. ἄλλη. ℞ χαλβάνης ⊀ στ'. (263) πεπέρεως ⊀ α'. νίτρου ⊀ α'. μέλιτος Ἀττικοῦ κυάθους στ'. ἕψε τὸ μέλι καὶ τὴν χαλβάνην, καὶ ὅταν συστραφῇ, ἐπίβαλε κατὰ τῶν λοιπῶν, καὶ χρῶ καθὰ προείρηται.

manducandos praebe, et quod inſtar palearum exuccum eſt expuere jube, ſuccum vero deglutire. *Alia.* Braſſicae ſuccum cum melle coctum delingendum exhibe, auxiliatur conſeſtim. *Alia.* Succi eryngii in aqua cocti heminas duas excipito et ſucci ficuum in aqua coctarum tantundem, his adde gummi ſubtiliſſime diſſoluti drach. octo, coquito diligenter ad arteriacae ſpiſſitudinem et inde cubitum ituris ad cyathi menſuram delingendum praebe.

[*Alia arteriaca Charixenis, facit ad ſonum vocis fractum, deſtillationes in arteriam vocem interceptam et raucam ad interceptiones vocis ex diſtenſione.*] ℞ Croci ʒ ij, ſucci Cyrenaici drach. j, mellis Attici cyathos vj, mel coquito, et ubi ſpiſſatum fuerit, reliquis admiſceto ac utitor velut dictum eſt, pilulis inde formatis quae ſub lingua detineantur. *Alia.* ℞ Galbani drach. vj, piperis ʒ j, nitri drach. unam, mellis Attici cyathos ſex, galbanum et mel coquito et denſata reliquis unito, utitor ut dictum eſt.

Ed. Chart. XIII. [539.] Ed. Baſ. II. (265.)

[Ἄλλη πρὸς ἡλκωμένην ἀρτηρίαν Χαριξένους. ποιεῖ καὶ πρὸς φωνασκουμένους πρὸ τῶν ἀγώνων καὶ μετὰ τοὺς ἀγῶνας διδομένη. ποιεῖ δὲ καὶ πρὸς ὀφθαλμῶν περιωδυνίας, ἔξωθεν ἐπιτιθεμένη ἐρίου ἐμβρεχομένου, ποιεῖ καὶ πρὸς τὰς ἐντὸς διαθέσεις ἐκλειχομένη.] ℞ Κόμμεως, τραγακάνθης ἀνὰ ≺ στ΄. λιβάνου, σμύρνης ἀνὰ ≺ α΄. καὶ τριώβολον, κρόκου, ὑποκυστίδος χυλοῦ ἀνὰ ≺ α΄. γλυκέος Σκυβελίτου ἢ Θηραίου ξέστας στ΄. βρέχε κόμμι, τραγάκανθαν, σμύρνην, λίβανον ὑποκυστίδος χυλῷ, τούτοις ἐπιβαλὼν μέρος τοῦ γλυκέος, καὶ ὅταν διαλυθῇ, τρῖβε φιλοπόνως καὶ τῷ γλυκεῖ μίξας ἔψε συνεχῶς κινῶν. τὸν δὲ κρόκον εἰς κροκοφαντὸν βαλὼν ἔψε μετὰ τοῦ φαρμάκου, ἄνω τὰς ἀρχὰς κατέχων καὶ γλυκεῖ διαλύσας καὶ λεάνας, ἐπιβαλὼν τῷ φαρμάκῳ, ἀνελόμενος χρῶ. ἄλλη. ℞ γλυκυῤῥίζης χυλοῦ, τραγακάνθης ἀνὰ δραχμὰς γ΄. κρόκου, σμύρνης ἀνὰ ≺ α΄. λιβάνου, ναρδοστάχυος ἀνὰ τριώβολον, προτρόπου ξέστας γ΄. χρῶ.

[Ἄλλη Λυσίου πρὸς τὰς αὐτὰς διαθέσεις.] ℞ Κρόκου,

[*Alia ad exulceratam arteriam Charixenis. Facit et iis qui vocem exercent ante et poſt certamen data. Facit ad oculorum dolores forinſecus impoſita lana ex ea madefacta. Facit et ad internas affectiones linctu accepta.*] ℞ Gummi, tragacanthae, utriusque ʒ vj, thuris, myrrhae, utriusque ʒ j, obolos tres, croci, hypocyſtidis ſucci, utriusque ʒ j, paſſi Scybelitae aut Theraei ſextarios ſex. Gummi, tragacantham, myrrham, thus, una cum hypocyſtidis ſucco macerato, affuſa ipſis paſſi portione, atque ubi diſſoluta fuerint, diligenter terito et ad paſſum miſceto, aſſidueque movendo coquito. Crocum vero ſacculo ſtupa contexto initiis in ſublimi contentis inditum, una cum medicamento coquito, deinde exemptum paſſo dilutum ac tritum ad medicamentum conjicito et repoſitis utitor. *Alia.* ℞ Succi radicis dulcis, tragacanthae, utriusque ʒ iij, croci, myrrhae, utriusque ʒ j, thuris, ſpicae nardi, utriusque obolos tres, protropi ſextarios tres, utere.

[*Alia Lyſiae ad eosdem affectus.*] ℞ Croci, myrrhae,

Ed. Chart. XIII. [539.] Ed. Baſ. II. (263.)

σμύρνης, γλυκυῤῥίζης χυλοῦ, λιβάνου, κασσίας ἀνὰ ≺ α'. πεπέρεως κόκκους κδ'. γλυκέος Κρητικοῦ ξέστας γ'. μέλιτος Ἀττικοῦ κυάθους στ'. χρῶ.

[Ἄλλη Χαριξένους.] ℞ Κρόκου ≺ γ'. σμύρνης ≺ α' S''. λιβάνου, γλυκυῤῥίζης ἀνὰ ≺ α'. γλυκέος Κρητικοῦ ξε. γ'. ποιεῖ πρὸς ἤχους καὶ βράγχους καὶ φωνῆς ἀποκοπὴν καὶ φλεγμονὴν παρισθμίων. ποιεῖ καὶ πρὸς φωνασκουμένους πρὸ τῶν ἀγώνων καὶ μετὰ τοὺς ἀγῶνας διδομένη. καὶ τοὺς κατεψυγμένους δὲ ὠφελεῖ, ποιεῖ βήττουσι προσφάτως καὶ χρονίως. ποιεῖ αἱμοπτυϊκοῖς, ἀναφορικοῖς, κοιλιακοῖς, ποιεῖ καὶ πρὸς τὴν τοῦ πνεύματος δυσωδίαν. ἄλλη ὑπογλωσσίς. ποιεῖ πρὸς ἀρτηρίαν τετραχυσμένην καὶ φωνῆς ἀποκοπὴν καὶ τὰς λοιπὰς διαθέσεις. ℞ τραγακάνθης, κόμμεως Θηβαϊκοῦ ἀνὰ δραχμὰς γ'. σμύρνης, λιβανωτοῦ ἀτμήτου ἀνὰ ≺ α'. καὶ τριώβολον, κρόκου ≺ α'. γλυκυῤῥίζης χυλοῦ τριώβολον, φοινικοβαλάνων τριῶν τὴν σάρκα, γλυκέος προτρόπου ἢ Θηραίου, ὅσον ἐξαρκεῖ εἰς ἀνάληψιν. ἔστω δὲ ἀφεψημένον, ὥστε μέ-

ſucci radicis dulcis, thuris, caſſiae, ſingulorum drach. j, piperis grana xxiv, paſſi Cretici ſextarios tres, mellis Attici cyathos vj, utere.

[*Alia Charixenis.*] ℞ Croci drach. tres, myrrhae drach. j ß, thuris, ſucci glycyrrhizae, utriusque ʒ j, paſſi Cretici ſextarios tres. Facit ad ſonum fractum, deſtillationes in arteriam, interceptam vocem, tonſillas inflammatas, facit etiam ad phonaſcos ante et poſt certamen data. Juvat perfrigeratos, facit ad recentem et veterem tuſſim, ad ſpuentes ſanguinem, eundemque ſurſum rejectantibus, prodeſt et coeliacis. Conducit item ad ſpiritus faetorem. *Alia ſublinguis facit ad arteriam exaſperatam et vocem interceptam, itemque reliquos affectus.* ℞ Tragacanthae, gummi Thebaici, utriusque drach. tres, myrrhae, thuris non ſecti, utriusque drach. unam, obolos tres, croci drach. unam, ſucci glycyrrhizae obolos tres, phoenicobalanorum trium carnem, paſſi protropi aut Theraei quod ſatis eſt his excipiendis, de-

Ed. Chart. XIII. [539. 540.] Ed. Baſ. II. (263.)

λιτος ἔχειν πάχος. δίδου δὲ κυάμου Αἰγυπτίου τὸ μέγεθος ὑπὸ τὴν γλῶτταν κατέχειν καὶ τὸ διαλυόμενον καταπίνειν.

[Ἄλλη ὑπογλωσσὶς Διοσκορίδου.] ℞ Κρόκου, σμύρνης, τραγακάνθης, γλυκυῤῥίζης χυλοῦ ἀνὰ ⊰ α'. στρόβιλα κεκαυμένα ἀριθμῷ ξ'. ἀμύγδαλα καθαρὰ ἰσάριθμα, μέλιτι ἑφθῷ ἀναλάμβανε, ἡ δόσις καρύου Ποντικοῦ τὸ μέγεθος ὥστε ὑπὸ τὴν γλῶτταν κατέχειν.

[540] [Ἄλλη Σκριβωνίου Λάργου ὑπογλωσσίς. ποιεῖ πρὸς τὰς τῆς φωνῆς ἀποκοπάς.] ℞ Κρόκου, τερμινθίνης ἀνὰ ⊰ ιβ'. ἴρεως Ἰλλυρικῆς ⊰ ιστ'. τραγακάνθης ⊰ η'. πεπέρεως κόκκους τξ'. μετὰ μέλιτος ἑφθοῦ καὶ τερμινθίνης ὁμοῦ ἑφθῆς, χρῶ ὑπὸ τὴν γλῶτταν καρύου Ποντικοῦ τὸ μέγεθος. ἄλλη Σκριβωνίου Λάργου ὑπογλωσσὶς ποιεῖ πρὸς τὰς τῆς φωνῆς ἀποκοπάς. ℞ γλυκυῤῥίζης ⊰ η'. σμύρνης ⊰ κδ'. τερμινθίνης ⊰ λβ'. τραγακάνθης ⊰ λκ'. ἕκαστον τῶν ξηρῶν κόπτε κατ' ἰδίαν καὶ σῆθε. τὴν δὲ ῥητίνην ἐφ' ὅλμον βαλὼν, κόπτε καταπλάσσων τὰ ξηρὰ, εἶτα ἑνώσας ἀνάπλαττε, κυάμου Αἰγυπτίου τὸ μέγεθος καὶ ξήναινε ἐν σκιᾷ. ἐπὶ δὲ

coquatur ad craſſitudinem mellis. Datur fabae Aegyptiae magnitudine ſub lingua tenenda et diſſoluta transglutienda.

[*Alia hypogloſſis Dioſcoridis.*] ℞ Croci, myrrhae, tragacanthae, radicis dulcis ſucci, ſingulorum ʒ j, nuces pineas repurgatas numero ſexaginta, amygdalas mundatas totidem, excipe melle cocto. Datur nucis Ponticae magnitudine ſub lingua tenenda.

[*Alia Scribonii Largi hypogloſſis facit ad vocem interceptam.*] ℞ Croci, terebinthinae, ſingulorum ʒ xij, iridis Illyricae ʒ xvj, tragacanthae ʒ viij, piperis grana ccclx, excipe melle cocto et terebinthina ſimul cocta, utere ſub lingua nucis Ponticae magnitudine. *Alia Scribonii Largi hypogloſſis, facit ad vocem interceptam.* ℞ Glycyrrhizae ʒ viij, myrrhae ʒ xxiv, terebinthinae ʒ xxxij, tragacanthae ʒ xxxviij. Arida ſingula per ſe tundito ac cribrato, reſinam autem in pilam conjectam tundito, arida ad ipſam inſpergendo, deinde ex unitis omnibus paſtillos formato fabae Aegyptiae magnitudinis, quos in umbra ſiccato, atque uſus tempore unum aut

Ed. Chart. XIII. [540.] BaEd.f. II. (263.)

[*Χαριξένους περιπνευμονικοῖς, φθισικοῖς, ἀναφορικοῖς, ἐμπυϊκοῖς, αἱμοπτυϊκοῖς, βήττουσι χρονίως.*] ℞ *Σμύρνης, λιβάνου φλοιοῦ, ἐν ἄλλῳ καὶ ὀπίου καὶ μανδραγόρου, σαγαπηνοῦ, ὑοσκυάμου λευκοῦ σπέρματος, ὀποπάνακος, δικτάμνου Κρητικοῦ, πρασίου τῶν σφαιρίων ἀνὰ ⊲ δ'. ὕδατι φυράσας, ἀνάπλαττε τροχίσκους, δίδου τριώβολον καὶ μελικράτου κυάθους γ'. ἄλλη Ἀσκληπιάδου ἐπικληθέντος φιλοφυσικοῦ φάρμακον ἐπιτετευγμένον.* ℞ *μανδραγόρου φλοιοῦ, σελίνου σπέρματος ἀνὰ ⊲ δ'. σμύρνης, κρόκου, ἀνίσου, δαύκου σπέρματος, ῥοῦ ἐρυθροῦ τοῦ χυλοῦ, ὑοσκυάμου σπέρματος, πεπέρεως λευκοῦ, καστορίου, σαγαπηνοῦ, ὀποπάνακος ἀνὰ ⊲ β'. μέλιτι ἑφθῷ ἀναλάμβανε καὶ δίδου πρὸς δύναμιν. τὸ δὲ ὑγρὸν ἔστω κατάλληλον τῇ διαθέσει.*

[*Ἀντίδοτος θεσπεσιανὴ, φθισικοῖς, ἀναφορικοῖς, ἐμπυϊκοῖς. ποιεῖ καὶ πρὸς τὰς ἄλλας τῶν ἐντὸς διαθέσεις, πρὸ παντὸς δὲ εὐορέκτους πρὸς τροφήν.*] ℞ *Σελίνου σπέρματος*

nacis, ſingulorm ʒ ij, piperis, ſpumae nitri, utriusque ʒ j, excipe paſſo.

[*Charixenis, facit peripneumonicis, phthiſicis, anaphoricis, empyicis, haemoptoicis ac veteri tuſſi.*] ℞ Myrrhae, corticis thuris, in alio exemplari opii, mandragorae, ſagapeni, ſeminis hyoſcyami albi, opopanacis, dictamni Cretici, pillularum marrubii, ſingulorum ʒ iiij, ſubigito cum aqua et in paſtillos cogito. Dato ex his obol. ij, ex aquae mulſae cyathis tribus. *Alia Aſclepiadae, qui Philophyſicus appellatus eſt, medicamentum accommodatum.* ℞ Corticis mandragorae, ſeminis apii, utriusque ʒ iiij, myrrhae, croci, aniſi, ſeminis dauci, ſucci rhois rubri, ſeminis hyoſcyami, piperis albi, caſtorii, ſagapeni, opopanacis, ſingulorum ʒ ij, excipe melle cocto. Dato pro viribus. Liquor vero ex quo exhibetur ſit conveniens affectioni.

[*Antidotus theſpeſiana, phthiſicis, ſanguinem rejicientibus, ſuppuratis. Facit et ad alios internos affectus et prae omnibus cibi appetentiam excitat.*] ℞ Seminis apii

Ed. Chart. XIII. [554. 555.] Ed. Baſ. II. (271.)

≺ ιβ'. σμύρνης, ἀνίσου, ὀπίου ἀνὰ ≺ στ'. πεπέρεως λευκοῦ ≺ ε'. πετροσελίνου, νάρδου, πεπέρεως μακροῦ ἀνὰ ≺δ'. καστορίου, σχοίνου ἄνθους, κρόκου ανὰ ≺ γ'. κιννα μώμου ≺ β'. κασσίας ἀρωματιζούσης ≺ δ'. μέλιτι ἑφθῷ ἀναλάμβανε καὶ δίδου καρύου Ποντικοῦ τὸ μέγεθος εἰς νύκτα μεθ' ὕδατος κυάθων γ'.

[*Ἀντίδοτος ἡ Ἀριστάρχου, δύναμις θαυμαστική, ταύτην Παυλίναν ὀνομάζομεν, ποιεῖ αἱμοπτυϊκοῖς, βήσσουσι, φθισικοῖς, ἐμπυϊκοῖς, περιπνευμονικοῖς πρὸς σπάσματα, ῥήγματα.* [555] *πρὸς τὰς τοῦ στομάχου ἀνατροπὰς καὶ πρὸς χολέραν, κοιλιακοῖς, δυσεντερικοῖς, ποιεῖ πρὸς τὰς περὶ κύστιν διαθέσεις, ὑστερικῶς πνιγομένας. πρὸς τοὺς κατὰ περίοδον πυρετοὺς, πρὸ μιᾶς ὥρας τῆς ἐπισημασίας διδομένη, ποιεῖ καχεκτικοῖς, ἀτροφοῦσι. πρὸς τὰ θανάσιμα τῶν φαρμάκων καὶ τὰς τῶν ἰοβόλων πληγάς.*] ℞ *Κιννα μώμου, κόστου, χαλβάνης, καστορίου, ὀποῦ μήκωνος, πεπέρεως μέλανος καὶ μακροῦ, στύρακος ἀνὰ ≺ α'. μέλιτος ξε. α'. τὰ ξηρὰ κόπτεται καὶ σήθεται λεπτοτάτῳ κοσκίνῳ, ἡ δὲ χαλβάνη*

ʒ xij, myrrhae, aniſi, opii, ſingul. ʒ vj, piperis albi ʒ v, petroſelini, nardi, piperis longi, ſingul. ʒ iiij, caſtorii, floris junci odorati, croci, ſingulorum ʒ iij, cinnamomi ʒ ij, caſſiae aromaticae ʒ iiij, excipe melle cocto. Dato nucis Ponticae magnitudine ad noctem, cum aquae cyathis tribus.

[*Antidotus Ariſtarchi, compoſitio admiranda, hanc Paulinam appellamus. Facit haemoptoicis, tuſſientibus, phthiſicis, ſuppuratis, peripneumonicis, ad convulſa, rupta, ad ſtomachi ſubverſionem et bilem vomentes ac ſecernentes, coeliacos, dyſentericos. Facit ad affectus circa veſicam, ſuffocationes uteri, febres per circuitum repetentes, una hora ante exacerbationem exhibita. Facit in malum habitum delapſis cibum non ſentientibus et ad lethalia medicamenta, ac plagas venenum jaculantium beſtiarum.*] ℞ Cinnamomi, coſti, galbani, caſtorii, ſucci papaveris, piperis nigri et longi, ſtyracis, ſingulorum ʒ j, mellis ſextarium unum, arida tunduntur et cribrantur per anguſtiſſimum

Ed. Chart. XIII. [555.] Ed. Baſ. II. (271.)

ἕψεται μετὰ μέλιτος. καὶ ὅταν διαλυθῇ, διυλίζεται τὸ μέλι καὶ τούτῳ ἐπιβάλλεται τὰ λοιπὰ καὶ ἀνακόπτεται, εἶτα ἀποτίθεται εἰς πυξίδα ὑελίνην ἢ ἀργυρᾶν καὶ χρώμεθα πρὸς τὰς εἰρημένας διαθέσεις. ἡ δόσις κυάμου Αἰγυπτίου τὸ μέγεθος μεθ' ὑδρομέλιτος κυάθων β'. ἐπιῤῥαινομένων τῷ δακτύλῳ ὄξους σταγόνων θ'.

[Ἄλλη Ἀντωνίου Μούσα, πανάκεια. ἐχρήσατο Διόγας ἰατραλείπτης. ποιεῖ τοῖς κατὰ περίοδον ὑπὸ ῥίγους ὀχλουμένοις, ἀνασκευάζει χρονίους πυρετοὺς καὶ τὰ λοιπὰ νοσήματα, ποιεῖ βήσσουσι χρονίως, φθισικοῖς, ἀναφορικοῖς, ἐμπυϊκοῖς, δυσπνοϊκοῖς, πρὸς σπάσματα, ῥήγματα, κεχρονισμένας ἐμπνευματώσεις. σπληνικοῖς, ὑδρωπικοῖς κεχρονισμένοις, κοιλιακοῖς. κατάγει τοὺς ἐν νεφροῖς λίθους, ἔστι δὲ καὶ διουρητικὴ ἀγαθή. ποιεῖ καὶ πρὸς παντὸς ἑρπετοῦ πληγὴν καὶ πρὸς τὰ θανάσιμα τῶν φαρμάκων καὶ πρὸς πᾶσαν φθοροποιὸν ὕλην.] ℞ Πεπέρεως λευκοῦ ἢ μακροῦ ≺ η'. ὑοσκυάμου λευκοῦ σπέρματος, καρδαμώμου, σμύρνης, λιβάνου ἀνὰ ≺ ιβ'. ὀπίου, κρόκου ἀνὰ ≺ ι'. θείου ἀπύρου ≺ στ'.

cribrum, galbanum coquitur cum melle et ubi diſſolutum fuerit, mel excolatur, ipſique reliqua adduntur et tunduntur, deinde in pyxidem vitream aut argenteam reponuntur. Uſus eſt ad praedictas affectiones. Datur fabae Aegyptiacae magnitudine, cum aquae mulſae cyathis duobus, irroratis de digito guttis aceti novem.

[*Alia Antonii Muſae panacea. Uſus eſt ea Diogas iatraliptes. Facit ad eos, qui per circuitum a rigore infeſtantur, delet febres antiquas ac reliquos morbos. Facit ad tuſſim veterem, phthiſicos, ſanguinem rejicientes, ſuppuratos, dyſpnoicos, convulſa, rupta, inveteratas inflammationes, ſplenicos, hydropicos inveteratos, coeliacos. Extrahit lapides e renibus, probe ciet urinam. Prodeſt omnium reptilium plagae et ad lethalia venena et ad omnem materiam venenoſam ac corruptoriam vim habentem.*] ℞ Piperis albi aut longi ʒ viij, feminis hyoſcyami albi, cinnamomi, cardamomi, myrrhae, thuris, ſingulorum ʒ xij, opii, croci, utriusque ʒ x, ſulfuris vivi ʒ vj, coſti,

Ed. Chart. XIII. [555.] Ed. Baſ. II. (271.)

κόστου, ἀριστολοχίας μακρᾶς, μανδραγόρου φλοιοῦ ἢ τῶν μήλων ἢ τῶν φύλλων, εὐφορβίου ἀνὰ ≺ γ'. μέλιτος Ἀττικοῦ ἀφεψημένου, ὅσον ἐξαρκεῖ. ἡ δόσις τοῖς κατὰ περίοδον ὀχλουμένοις, καρύου Ποντικοῦ τὸ μέγεθος, τοῖς δὲ λοιποῖς πρὸς δύναμιν.

[Ἄλλη Κερουσιανή. ἐδόθη ὑπὸ Φιλίππου Τραλλιανοῖς. ταύτῃ χρώμενος, φθισικοὺς, ἐμπυϊκοὺς ἀπήλλαττεν.] ℞ Πεπέρεως λευκοῦ, ὀποῦ Κυρηναϊκοῦ, Συριακοῦ, ὀποῦ μήκωνος ἀνὰ γο γ'. σμύρνης, κρόκου, θείου ἀπύρου, ὑοσκυάμου λευκοῦ σπέρματος ἀνὰ γο S''. μανδραγόρου μήλων ≺ β'. καρδαμώμου γο α'. μέλιτος Ἀττικοῦ λίτραν α'. ἡ δόσις πρὸς δύναμιν καθὰ προείρηται. ὡς ἐν ἑτέρῳ ἀντιγράφῳ ἐγέγραπτο. ℞ πεπέρεως γο γ'. ὀποῦ Κυρηναϊκοῦ γο α'. ὀποῦ μήκωνος γο S''. ὀποῦ Συριακοῦ γο S''. κρόκου γο α'. θείου ἀπύρου γο S''. σμύρνης γο S''. ὑοσκυάμου λευκοῦ σπέρματος, μανδραγόρου μήλων ἀνὰ ≺ β'. καρδαμώμου γο α'. μέλιτος Ἀττικοῦ λίτραν α'. ἡ δόσις πρὸς δύναμιν καθὰ προείρηται.

Κεφ. στ'. [Περὶ ὀρθοπνοίας.] Τοὺς ἄνευ τοῦ πυρέτ-

ariſtolochiae longae, corticis mandragorae aut ipſorum malorum vel foliorum, euphorbii, ſingulorum ʒ iij, mellis Attici cocti quod ſatis eſt. Datur iis, qui per circuitum infeſtantur magnitudine nucis Ponticae, reliquis pro viribus.

[*Alia Cerufiana, data eſt a Philippo Trallianis. Hujus uſu phthiſicos et ſuppuratos liberabat.*] ℞ Piperis albi, ſucci Cyrenaici, Syriaci, ſucci papaveris, ſingulorum quadrantem, myrrhae, croci, ſulfuris vivi, ſeminis hyoscyami albi, ſingulorum ℥ ß, malorum mandragorae ʒ ij, cardamomi ℥ j, mellis Attici ℔ j. Datur pro viribus, ut dictum eſt. Porro alterum exemplar ſic ſcriptum habebat. ℞ Piperis quadrantem, ſucci Cyrenaici ℥ j, ſucci papaveris ʒ ß, ſucci Syriaci ℥ ß, croci ℥ j, ſulfuris vivi ℥ ß, myrrhae ℥ ß, ſeminis hyoſcyami albi, malorum mandragorae, utriusque ʒ ij, cardamomi ℥ j, mellis Attici lib. j. Datur pro viribus, ut dictum eſt.

Cap. VI. [*De orthopnoea.*] Qui circa febrem denſe

Ed. Chart. XIII. [555. 556.] Ed. Baf. II. (271.)

τειν ἀναπνέοντας πυκνὸν, ὁποῖον οἱ δραμόντες ὠκέως, ἀπὸ τοῦ συμπτώματος ὀνομάζειν ἔθος ἐστὶ τοῖς ἰατροῖς ἀσθματικοὺς, τοὺς δ' αὐτοὺς τούτους ἀφ' ἑτέρου συμπτώματος ὀρθοπνοϊκοὺς καλοῦσιν, ἐπειδὴ διὰ παντὸς ἀναγκάζονται τὸ τοῦ θώρακος σῶμα πᾶν ὄρθιον ἔχειν, φόβῳ τοῦ πνιγῆναι, καὶ τήν γε στρωμνὴν ἐν τοῖς ἄνω μέρεσιν, οἷς ὁ θώραξ ἐπικλίνεται, παρασκευάζουσιν ἑαυτοῖς ὀρθοτέραν, ὅπως μὴ πνιγῶσι κοιμώμενοι. τὸ γὰρ εἰσπνεόμενον αὐτοῖς ἔλαττόν ἐστιν ἢ κατὰ τὴν χρείαν τῆς ἀναπνοῆς, καίτοι διαστελλομένου τοῦ θώρακος ἐπιπλεῖστον, ᾧ καὶ δῆλον ἐντὸς αὐτοῖς στενοχωρίαν γενέσθαι τινὰ παρὰ φύσιν, ἧς ἐναργῶς καὶ οἱ πάσχοντες αὐτοὶ [556] τὴν αἴσθησιν ἔχουσι. γίνεται μὲν οὖν καὶ τοῖς ἐμπυϊκοῖς ὀνομαζομένοις ἡ στενοχωρία, διὰ τὸ μεταξὺ θώρακός τε καὶ πνεύμονος ἠθροισμένον ὑγρόν. γίνεται δὲ καὶ τοῖς περιπνευμονικοῖς διὰ τὴν τοῦ πνεύμονος φλεγμονήν. ὑπόλοιποι δέ εἰσι δύο διαθέσεις αἱ στενοχωρίαν ἐργαζόμεναι ταῖς ὁδοῖς τοῦ εἰσπνεομένου πνεύματος, ὅταν ἤτοι πλῆθος ὑγρῶν παχέων τε καὶ γλίσχρων ἐμπλασθῇ τοῖς

respirant, qualiter faciunt qui velociter cucurrerunt, eos a symptomate asthmaticos medici solent appellare. Eosdem etiam ab alio symptomate orthopnoicos vocant, propterea quod thoracis corpus penitus rectum habere coguntur ob timorem suffocationis, quin et stratum circa supernas partes, ad quas thorax reclinatur, sibi ipsis erectius faciunt ne dormientes strangulentur, minus est enim quod inspirant quam pro usu respirationis, quamvis thorax plurimum ipsis dilatetur. Ex quo manifestum fit, intrinsecus ipsis coarctationem locorum factam esse praeter naturam, quam etiam aegri ipsi non obscuro sensu perceptant. Fit equidem et suppuratis locorum coarctatio ob coacervatum inter thoracem et pulmonem humorem. Fit etiam peripneumonicis ob pulmonis inflammationem. Restant autem adhuc duo affectus, qui locorum coarctationem efficiunt in viis, per quas aër inspiratur, quum sane aut humorum crassorum ac viscosorum multitudo pulmonis bronchiis fuerit infarta, aut

Ed. Chart. XIII. [556.] Ed. Baſ. II. (271. 272.)

βρογχίοις τοῦ πνεύμονος ἤ τις ὄγκος ἀποστηματικὸς ἐν αὐτῷ συστῇ. καὶ ἡ γε θεραπεία τὸ μέν τι κοινὸν ἔχει τῶν διαθέσεων ἀμφοτέρων, τὸ δέ τι καὶ καθ' ἕτερον ἴδιον· κοινὸν μὲν ἐκδαπανῆσαι καὶ ἀναλῶσαι τὴν περιουσίαν τῆς τὰ πάθη γεννώσης ὑγρότητος, ἴδιον δὲ τῆς μὲν τῶν γλίσχρων τε καὶ παχέων ὑγρῶν διὰ τῶν λεπτυνόντων τε καὶ ῥυπτόντων φαρμάκων, τῆς δὲ τῶν ἀποστηματικῶν ὄγκων διὰ τῶν λεπτυνόντων τε καὶ ξηραινόντων, ἥ τις (272) αὖ πάλιν πᾶσι τοῖς ἐν τῷ βάθει τοῦ σώματος ἀποστήμασίν ἐστι κοινή. οἶνου μὲν οὖν πόσις ἀμφοτέραις ἁρμόζει λεπτοῦ τῇ συστάσει, τὸ δὲ σύμπαν ποτὸν ὀλίγον μὲν οἷς ἀπόστημά που γίνεται, πολὺ δὲ οἷς ἐμπέφρακται τὰ βρογχία τοῖς γλίσχροις ὑγροῖς καὶ παχέσιν. τὰ γὰρ ἀποῤῥύπτοντα τοὺς τοιούτους αὐτῶν χυμοὺς φάρμακα κινεῖ μὲν ἐξ ἀνάγκης βῆχας, οὐκ εὐκόλως δὲ ἀναπτύεται τὸ ἀποῤῥυπτόμενον διὰ τὸ πάχος. ὑγρότητος οὖν αὐτοῖς διεῖ πλείονος, ὡς ἀναφέρεσθαι ῥᾳδίως. καθάπερ δὲ ἐν τοῖς ἄλλοις φαρμάκοις ἀδιορίστως οἱ πλεῖ-

tumor abſceſſui ſimilis in ipſo conſtiterit. Caeterum curatio amborum affectuum aliquid commune habet, aliquid privatum et alteri tantum proprium. Commune quidem utrisque eſt ut redundantia humoris affectiones generantis expendatur et conſumatur. Proprium autem affectioni viſcoſorum ac craſſorum humorum, ut per attenuantia et extergentia medicamenta conſumantur, ei vero quae propter tumorem abſceſſui ſimilem contingit, ut per attenuantia et reſiccantia eadem conſumptio fiat, quae curatio rurſus omnibus in profundo corporis abſceſſibus communis exiſtit. Vini itaque potus ambabus convenit tenuis ſubſtantia. Omnis autem potus modicus ſit in iis, qui alicubi abſceſſum habent, multus contra in iis, quibus bronchia viſcoſis ac craſſis humoribus ſunt obturata. Etenim medicamenta, quae ejusmodi ipſorum humores abſtergunt, neceſſario quidem tuſſes movent non vero facile per ſputum rejicitur quod abſterſum eſt, ob craſſitudinem videlicet, quapropter humectatione multa opus habent quo facile efferatur. Porro quemadmodum in aliis medicamentis plurimi medici, ſic etiam in

Ed. Chart. XIII. [556.] Ed. Baſ. II. (272.)

στοι τῶν ἰατρῶν, οὕτω κἂν τοῖς πρὸς ταῦτα ἀμφότερα χρησίμοις ἁμαρτάνουσιν. καὶ μὲν δὴ καὶ σύγκειται τινὰ μὲν τῶν φαρμάκων θατέρῳ τῶν παθῶν χρήσιμα, τινὰ δὲ θατέρῳ, τινὰ δὲ ὡς πρὸς ἄμφω μὲν ἁρμόττειν μετρίως, ἀξιόλογον δὲ μηδὲν ὠφελεῖν. ἐπισημανοῦμαι δὲ καθ' ἕκαστον ὧν ἔγραψαν οἱ πρὸ ἐμοῦ φαρμάκων ἀξιολόγων, ὁποῖα τὴν δύναμίν ἐστιν, ἀρξάμενος ἀπὸ τῶν ὑπ' Ἀσκληπιάδου γεγραμμένων ἐν τῷ δευτέρῳ τῶν ἐντός.

[*Τὰ ὑπ' Ἀσκληπιάδου γεγραμμένα δυσπνοϊκοῖς φάρμακα.*] Ἐκλεικτὸν δυσπνοϊκοῖς Ἀντωνίου Μούσα. ὄνων τῶν ὑπὸ ταῖς ὑδρίαις ξέστην α'. ἐμβαλὼν εἰς ἄγγος κεραμεοῦν φρῦγε ἐπ' ἀνθράκων, λευκανθέντας δὲ τρῖβε καὶ μέλιτι ἑφθῷ ἀναλάμβανε καὶ δίδου μύστρον ἐκλείχειν πρὸ τροφῆς. ἄλλο. σκίλλης ὠμῆς τὸν χυλὸν ἐκθλιβε, τούτῳ παραμέτρει μέλιτος Ἀττικοῦ τοσόνδε καὶ θεὶς ἐπ' ἀνθράκων εἶρε καὶ δίδου μύστρον πρὸ τροφῆς καὶ μετὰ τροφήν. ἄλλο Χαριξένους. ℥ ὀριγάνου ⊰ η'. θύμου κόμης, ἴρεως Ἰλλυρικῆς, καλαμίνθης

iis, quae ad ambas has affectiones commoda ſunt, delinquunt indefinite ipſa tradentes, quum tamen compoſita ſint, quaedam medicamenta alteri affectioni commoda, quaedam rurſus alteri, quaedam vero lic ut ad ambas quidem moderate conveniant, verum nihil operae pretium efficiant. Quare recenſendo medicamenta alicujus pretii a prioribus medicis prodita indicabo juxta ſingula, quali facultate praedita ſunt, initio ab iis quae Aſclepiades ſcripſit in ſecundo internorum facto.

[*Aſclepiadae medicamenta ad dyſpnoicos conſcripta.*] *Eclegma ad dyſpnoicos, Antonii Muſae.* Aſellorum ſub hydriis naſcentium ſextarium unum in vas fictile conjicito et ad prunas torreto, inalbatos autem terito ac melle cocto excipito et ante cibum myſtrum delingendum dato. *Aliud.* Scillae crudae ſuccum exprimito, eique parem mellis Attici menſuram addito et ad prunas admota coquito. Dato inde ante et poſt cibum myſtri menſuram. *Aliud Charixenis.* ℥ Origani ℨ viij, comae thymi, iridis Illyricae, ca-

Ed. Chart. XIII. [556. 557.] Ed. Baſ. II. (272.)

ξηρᾶς, πεπέρεως λευκοῦ, ἀνίσου πεφωγμένου ἑκάστου τοσόνδε, κόπτε καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ καὶ ἀναλάμβανε μέλιτι ἑψθῷ, δίδου δὲ καρύου Ποντικοῦ τὸ μέγεθος. ἄλλο. ℞ πεπέρεως λευκοῦ λίτραν α'. λιβυστικοῦ γο δ'. καλαμίνθης ξηρᾶς, ἀνίσου πεφωγμένου, γλήχωνος ἀκύρπου ἀνὰ γο γ'. σελίνου σπέρματος καὶ θύμου κόμης ἀνὰ γο α'. ἀναλάμβανε μέλιτι καὶ σκευάσας χρῶ καθὰ προείρηται.

[*Πόμα δυσπνοϊκοῖς, Χαρικλέους, φάρμακον ἐπιτετευγμένον, ὠφελεῖ παραχρῆμα.*] ℞ Σταφίδος Ῥοδίας, χωρὶς τῶν γιγάρτων, ὀξύβαφον, τήλεως πεπλυμένης τὸ ἴσον, ὕδατος ὀμβρίου ξε. α'. ἕψε μέχρι διαλύσεως καὶ τὸ ὑγρὸν διηθήσας ἀπόθου. ἐκ τούτου δίδου [557] θερμαίνων συνεχῶς καὶ καθ' ἑκάστην ἐπισημασίαν κυαθου τὸ πλῆθος. ἄλλο. ℞ ἀβροτόνου μέρη δύο, σταφίδος λιπαρᾶς τὸ ἴσον, πηγάνου ἀκρεμόνων μέρος ἕν, ὕδατος ὀμβρίου ξε. γ'. ἕψε εἰς τὸ τρίτον καὶ τὸ ὑγρὸν ἔκθλιβε, καὶ τούτῳ ἐπιβαλὼν μέλιτος γο ι'. πάλιν ἕψε καὶ δίδου καθὰ προείρηται. καταπότιον δυσπνοϊ-

laminthae ſiccae, piperis albi, aniſi torrefacti, ſingulorum tantundem, tundito et per anguſtiſſimum cribrum concernito ac melle cocto excipito. Dato nucis Ponticae magnitudinem. *Aliud.* ℞ Piperis albi ℔ j, libyſtici trientem, calaminthae ſiccae, aniſi toſti, pulegii ſemen non gerentis, ſingulorum quadrantem, feminis apii, comae thymi, utriusque ʒ j, excipe melle et praeparato utere, ut praedictum eſt.

[*Potio ad dyſpnoicos, Chariclis medicamentum accommodatum, auxiliatur confeſtim.*] ℞ Uvae paſſae Rhodiae exacinatae acetabulum, ſoenigraeci loti tantundem, aquae pluviae ſextarium j, coquito, donec diſſolvantur et liquorem excolatum reponito. Ex hoc praebeto aſſidue et juxta ſingulas irritationes cyathi menſuram calefactam. *Alia potio.* ℞ Abrotoni partes duas, uvae paſſae pinguis tantundem, ſummitatum rutae partem unam, aquae pluvialis ſextarios iij, coquito ad tertias et exprimito liquorem, eique mellis ʒ x addito, rurſusque coquito, ac dato ut praedictum eſt. *Catapotium dyſpnoicis et aſthmaticis.* ℞ Abro-

Ed. Chart. XIII. [557.] Ed. Baſ. II. (272.)

κοῖς, ἀσθματικοῖς. ℞ ἀβροτόνου, πηγάνου ἀκρεμόνων, ἀψινθίου κόμης ἀνὰ ⊰ δ'. κόψας καὶ σήσας, ὄξει φυράσας ποίει καταπότια δεκαδύο καὶ δίδου μετ' ὀξυμέλιτος. ἄλλο Νικηράτου. ℞ καστορίου, ἀμμωνιακοῦ θυμιάματος, ἀβροτόνου ἀνὰ ⊰ α'. ἀψινθίου, κυμίνου Αἰθιοπικοῦ ἀνὰ ⊰ α'. ὄξει φυράσας ἀνάπλαττε καταπότια καὶ δίδου ἐρεβίνθου τὸ μέγεθος.

[*Τὸ διὰ θείου ἀπύρου δυσπνοϊκοῖς.*] ℞ *Ἀνίσου, θείου ἀπύρου ἀνὰ γο γ'. ἀμμωνιακοῦ θυμιάματος, καστορίου, μελανθίου ἀνὰ ⊰ δ'. ὕδατι διαλύσας, ποίει καταπότια καὶ δίδου ἓν δι' ὀξυμέλιτος κυάθων τριῶν. ἄλλο.* ℞ *πηγάνου ἀγρίου σπέρματος ⊰ δ'. ἀριστολοχίας, ἀβροτόνου, ἀψινθίου, ἀμμωνιακοῦ θυμιάματος, θείου ἀπύρου, ἑκάστου τὸ ἴσον, ὄξει φυράσας ἀνάπλαττε καταπότια ἐρεβίνθου τὸ μέγεθος καὶ δίδου δύο μετ' ὀξυμέλιτος θερμοῦ κυάθων γ'. ταῦτα πάντα τὰ φάρμακα τὰ ὑπ' Ἀσκληπιάδου γεγραμμένα τοῖς ἰδίως δυσπνοϊκοῖς ὀνομαζομένοις ἁρμόζει. καλοῦσι δὲ οὕτως, ὅσοις ἐμπέπλησται τὰ βρογχία τοῦ πνεύμονος ὑγρῶν παχέων*

toni, virgultorum rutae, comae abſinthii, ſingulorum ʒ iv, tuſa et cribrata aceto ſubigito, et catapotia xij formato. Dato ex aceto mulſo. *Aliud Nicerati.* ℞ Caſtorii, ammoniaci thymiamatis, abrotoni, ſingulorum ʒ j, abſinthii, cumini Aethiopici, utriusque ʒ j, aceto ſubigito ac catapotia formato, ac dato ad ciceris magnitudinem.

[*Medicamentum ex ſulfure vivo dyſpnoicis.*] ℞ Aniſi, ſulfuris vivi, utriusque quadrantem, ammoniaci thymiamatis, caſtorii, melanthii, ſingulorum ʒ iv, aqua diluta in catapotia cogito, unumque in aceti mulſi cyath. iij dato. *Aliud.* ℞ Seminis rutae ſilveſtris ʒ iv, ariſtolochiae, abrotoni, abſinthii, ammoniaci thymiamatis, ſulfuris vivi, ſingulorum tantundem, aceto ſubigito et catapotia ciceris magnitudinis formato, ex quibus duo cum aceti mulſi calidi cyathis tribus exhibeto. Haec omnia medicamenta ab Aſclepiade conſcripta iis, qui proprie dyſpnoici appellantur, conveniant. Vocant autem ſic eos, quibus bronchia pulmonis craſſis et

Ed. Chart. XIII. [557.] Ed. Baſ. II. (272.)

τε καὶ γλίσχρων, ἐφ' ὧν, ὡς ἔφην, μετὰ τοῦ τέμνεσθαι καὶ λεπτύνεσθαι τὸ πάχος τε καὶ τὴν γλισχρότητα τῶν χυμῶν ὑγρότητός τι δεῖ προσεῖναι τοῖς φαρμάκοις καὶ τῇ διαίτῃ. τὰ δὲ ἀποστήματα τῶν λεπτυνόντων καὶ ξηραινόντων δεόμενα χαίρει μάλιστα ταῖς τῶν ἀρωμάτων δυνάμεσιν, ἃς ἐπεδείξαμεν ἁπάσας εἶναι λεπτομερεῖς τε καὶ ξηραντικὰς μετὰ τοῦ θερμαίνειν, ὥστε τοῖς ἰδίως λεγομένοις ὀρθοπνοϊκοῖς τε καὶ ἀσθματικοῖς ἁρμόσει τὰ τέμνοντα φάρμακα χωρὶς τοῦ θερμαίνειν, καὶ διὰ τοῦτο μάλιστα αὐτοὺς ὀνίνησιν ὄξος τὸ σκιλλητικὸν ὀνομαζόμενον, αὐτή τε ἡ σκίλλα καὶ τὸ διὰ τοῦ τοιούτου ὄξους ὀξύμελι. τῶν δὲ ὑπὸ τῆς ὑδρίας ὄντων μέμνηται ἐπ' αὐτῶν ὡς λεπτυντικὴν ἐχόντων καὶ διαφορητικὴν δύναμιν. ἐκ τίνος δὲ ἐννοίας ἐπὶ τὴν χρῆσιν αὐτῶν ἦκεν οὐκ ἔχω φάναι. καθάπερ δὲ τὸ θερμαῖνον σφόδρα φυλακτέον ἐστὶν ἐπὶ τοῦ τοιούτου πάθους, διὰ τὸ τοὺς γλίσχρους τε καὶ παχεῖς χυμοὺς οὐ μόνον οὐδὲν ὀνίνασθαι πρὸς αὐτῶν, ἀλλὰ καὶ βλάπτεσθαι, τὸν αὐτὸν τρόπον ὅσα ψύχει

viſcoſis humoribus ſunt obſarta, in quibus, velut dixi, ultra hoc quod craſſitudinem et viſcoſitatem humorum neceſſario ſecamus, atque attenuamus humiditatem quandam cum medicamentis tum victui adeſſe oportet. At vero abſceſſus, qui attenuantibus et reſiccantibus opus habent, maxime gaudent aromatum facultatibus, quas omnes oſtendimus tenuium partium eſſe et reſiccatorias, una cum hoc quod calefaciant. Quare iis, qui proprie orthopnoici et aſthmatici appellantur, medicamenta convenient ſecantia citra calefactionem, et ob id maxime eos juvat acetum ſcilliticum appellatum, atque ipſa adeo ſcilla et acetum mulſum ex ejusmodi aceto confectum. Caeterum aſellorum ſub hydriis naſcentium meminit inter ea, tanquam attenuatoriam et diſcuſſoriam vim habeant, verum quo conſilio ad uſum ipſorum pervenerit, non habeo quod dicam. Quemadmodum autem in hac affectione vehementer cavendum eſt ne calefaciamus, propterea quod viſcoſi et craſſi humores non ſolum nihil ab his auxilii ſentiunt, ſed etiam offenduntur, eodem modo etiam

Ed. Chart. XIII. [557. 558.] Ed. Baſ. II. (272.)

σφοδρῶς φυλάττεσθαι χρή. παχύνει γὰρ ἅπαντα καὶ συνάγει τοὺς χυμοὺς καὶ δυσαπονίπτους ἐργάζεται, καὶ διὰ τοῦτο καλῶς ἐποίησαν οἱ συνθέντες τὰ τοιαῦτα φάρμακα μήτε μήκωνος ὀπὸν μήτε μανδραγόρου χυλὸν ἢ τῆς ῥίζης φλοιὸν ἢ ὑοσκυάμου σπέρμα μίξαντες ἢ κωνείου ἢ ψυλλίου ἢ λινοσπέρμου, πολὺ δὲ μᾶλλον οὐδὲ τῶν στυφόντων τι φαρμάκων. ἐναντιώτατα γάρ ἐστι ταῖς τοιαύταις διαθέσεσιν, ὡς ὁρᾶτε.

[*Τὰ ὑπ' Ἀνδρομάχου γεγραμμένα φάρμακα πρὸς τὰς τοιαύτας διαθέσεις.*] *Πρὸς δύσπνοιαν.* ℞ θείου ἀπύρου δραχμὴν μίαν, πηγάνου ἀγρίου σπέρματος δραχμὴν μίαν, ἀριστολόχου, ἀψινθίου, ἀμμωνιακοῦ θυμιάματος, ἀβροτόνου, [558] ἀνὰ ≺ δ'. λειάνας ὄξει ἀνάπλαττε ἡλίκα κύαμος, δίδου πρωῒ τρεῖς καὶ ὀψὲ τρεῖς. ἄλλο πρὸς δύσπνοιαν, ὡς Ἀλκίμιος. ℞ κολοκυνθίδος σαρκὸς τριώβολον, πάνακος τριώβολον, ἀνίσου ὀβολὸν α'. ἀναλάμβανε ὕδατι καταπότια δ'. καὶ ξηράνας δίδου ὀβολόν. πρὸ μιᾶς δὲ κενούσθω ἁπλῶ κενώ-

quae valde refrigerant vitanda ſunt, omnia enim craſſefaciunt et cogunt ac coagmentant humores, eosque aegre eluibiles reddunt. Et ob hanc rem ſane recte fecerunt, qui ejusmodi medicamenta compoſuerunt, quod neque papaveris ſuccum neque mandragorae ſuccum aut radicis corticem aut hyoſcyami ſemen aut cicutae aut pſyllii aut ſemen lini admiſcuerunt, et multo magis, quod neque ex adſtringentibus quippiam pharmacis addiderunt, maxime enim contraria ſunt ejusmodi affectibus, ut palam videtis.

[*Quae medicamenta Andromachus ad hujusmodi affectus conſcripſit.*] *Ad dyſpnoeam.* ℞ Sulfuris vivi ʒ j, ſeminis rutae ſilveſtris ʒ j, ariſtolochiae, abſinthii, ammoniaci thymiamatis, abrotoni, ſingulorum ʒ iiij, trita cum aceto ad catapotia magnitudine fabae redige. Dato mane tria et veſperi totidem. *Aliud ad dyſpnoeam, ut Alcimius.* ℞ Colocynthidis carnis obolos iij, panacis obolos iij, aniſi obolum unum, fac cum aqua catapotia iiij et reſiccatorum obol. j praebeto. Praecedente autem die aeger ſim-

Ed. Chart. XIII. [558] Ed. Baſ. II. (272. 273.)

ματι. ἄλλο. ♃ κολοκυνθίδος ≺ α′ S″. Ἰλλύριδος ≺ β′. ὀποπάνακος ῥίζης ≺ β′. ἀβροτόνου ≺ α′. νίτρου ≺ α′. οἱ δὲ τριώβολον, ὕδατι ἀναλάμβανε καὶ ποίει κυάμου μέγεθος. ἡ δόσις δ′. διαστήσας ἡμιώριον, δίδου μελικράτου κοτύλης S″. ἄλλο. ♃ νάπυος ≺ α′. ἁλὸς κοινοῦ τριώβολον, ἐλατηρίου τριώβολον, οἱ δὲ ὀβολὸν α′ S″. λεάνας μεθ' ὕδατος, ἀνάπλαττε τροχίσκους ὀκτὼ παρ' ἡμέραν μεθ' ὑδρομέλιτος. ἄλλο. ♃ ἀμμωνιακοῦ θυμιάματος ≺ α′. ἀβροτόνου ≺ β′. θείου ἀπύρου ≺ α′. σὺν ὕδατι ἀνάπλαττε τροχίσκους καὶ δίδου σὺν ὑδρομέλιτι κυάθους τρεῖς. ἄλλο πρὸς ὀρθοπνοϊκούς. ♃ ἐλατηρίου ἡμιωβόλιον, ὄνους τοὺς ἀπὸ τῶν κοπρίων γ′. λεάνας ὁμοῦ τὸ ἥμισυ δίδου σὺν ὕδατος κυάθῳ ἑνί. ἄλλο, ὡς Φιλῖνος πρὸς ἆσθμα καὶ δύσπνοιαν. (273) ♃ καρδαμώμου ≺ γ′. ἴρεως ≺ α′ S″. πάνακος ≺ α′. S″. κασσίας ≺ α′ S″. στρουθίου ≺ α′ S″. στύρακος ≺ β′. θύμου ≺ η′. πηγάνου ἀγρίου σπέρματος ≺ η′. ἀβροτόνου ≺ η′. ἀριστολοχίας κληματίδος, θείου ἀπύρου, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ ≺ η′. σὺν ὄξει δριμεῖ, ποιήσας πάχος κηρωτῆς,

plici evacuatorio evacuetur. *Aliud.* ♃ Colocynthidis ſeſquidrachmam, iridis Illyricae ʒ ij, radicis opopanacis ʒ ij, abrotoni ʒ j, nitri ʒ j, alii obol. iij, excipe aqua et redige ad fabae magnitudinem. Dantur catapotia quatuor et poſt ſemihorae ſpatium datur aquae mulſae hemina dimidia. *Aliud.* ♃ Sinapi ʒ j, ſalis communis obol. iij, elaterii obol. iij, alii obol. j et dimidium, terito cum aqua, fac paſtillos viij, dato alternis diebus cum hydromelite. *Aliud.* ♃ Ammoniaci thymiamatis ʒ j, abrotoni ʒ ij, ſulfuris vivi ʒ j, formato cum aqua paſtillos et cum aquae mulſae cyathis tribus praebeto. *Aliud ad orthopnoicos.* ♃ Elaterii oboli dimidium, aſellos ex ſterquiliniis iij, terito ſimul, et dimidium ex aquae cyatho uno dato. *Aliud ut Philinus ad aſthma et dyſpnoeam.* ♃ Cardamomi ʒ iij, iridis ʒ j ß, panacis ʒ j ß, caſſiae ʒ j ß, ſtruthii ʒ j ß, ſtyracis ʒ ij, thymi ʒ viij, ſeminis rutae ſilveſtris ʒ viij, abrotoni ʒ viij, ariſtolochiae clematitidis, ſulfuris vivi, ammoniaci thymiamatis, ſingulorum ʒ viij, cum acri aceto ad cerati craſſitudi-

Ed. Chart. XIII. [558.] Ed. Baſ. II. (273.)

δίδου κυάμου Αἰγυπτίου μέγεθος ἐν ὕδατος κυάθοις τρισί. πρὸς ὀρθόπνοιαν ὡς Ἀπολλώνιος. ℞ σκίλλης μέρος α΄. θείου ἀπύρου, ἀσφάλτου ἀνὰ μέρος α΄. ἡ δόσις τριώβολον ἐν ὀξυμέλιτι. πρὸς ὀρθόπνοιαν παρὰ Σωσικράτους. ℞ ὀποπάνακος ⊰ α΄. σμύρνης ⊰ α΄. πεπέρεως κόκκους μ΄. πηγάνου δεσμίδιον, ὅσον τοῖς δυσὶ δακτύλοις, ποιήσας λεῖα ἀνάπλαττε καταπότια εἴκοσι καὶ δίδου πρωῒ ἓν καὶ δείλης ἕν, πυρέσσουσιν ἐν ὕδατος κυάθοις δυσὶν, ἀπυρέτοις μετ' οἴνου. πρὸς ὀρθόπνοιαν Ἀνδρονίκου. ℞ θείου ἀπύρου τριώβολον, ἀμμωνιακοῦ θυμιάματος ⊰ α΄. ἀνίσου, σμύρνης, καστορίου ἀνὰ ⊰ α΄. κυμίνου Αἰθιοπικοῦ ⊰ α΄. μεθ' ὕδατος ἀνάπλασσε τροχίσκους ἀνὰ γράμματα τρία ἢ τέσσαρα, εἰς κοίτην δίδου μεθ' ὕδατος κυάθων β΄. πρὸς ὀρθοπνοϊκοὺς, βηχικοὺς, περιπνευμονικοὺς, φθισικευομένους, δυσπνοοῦντας, ἡπατικοὺς, ὡς Εὐγένειος. ℞ κρόκου ⊰ ἡ΄. μίσυος ⊰ δ΄. δαφνίδων ⊰ β΄. πεπέρεως λευκοῦ καὶ μακροῦ ἀνὰ ⊰ α΄. ὀπίου ⊰ γ΄. κόστου τριώβολον, τερμινθίνης ὀβολοὺς ε΄. χαλβάνης τριώβολον, γλυκείας χυλοῦ ὀβολοὺς δύο κόμμεως ὀβολὸν α΄. μέλιτος λίτραν S″.

nem redige, praebe fabae Aegyptiae magnitudine ex aquae cyath. iij. *Ad orthopnoeas, ut Apollonius.* ℞ Scillae partem unam, ſulfuris vivi, bituminis, ſingulorum partem unam. Dantur oboli tres in aceto mulſo. *Ad orthopnoeam, Soſiceratis.* ℞ Opopanacis ʒ j, myrrhae ʒ j, piperis grana xl, rutae faſciculum quantus duobus digitis apprehendi poteſt, ex tritis catapotia xx formato. Dato mane, itemque veſperi unum, febricitantibus in aquae cyathis duobus, aliis ex vino. *Ad orthopnoeam, Andronici.* ℞ Sulfuris vivi obol. iij, ammoniaci thymiamatis ʒ j, aniſi, myrrhae, caſtorii, ſingulorum ʒ j, cumini Aethiopici ʒ j, cum aqua paſtillos cogito ſcrupulorum trium aut quatuor. Dato ad noctem ex aquae cyathis duobus. *Ad orthopnoicos, tuſſientes, peripneumonicos, tabeſcentes, aegre ſpirantes, hepaticos, ut Eugenius.* ℞ Croci ʒ viij, miſyos ʒ iiij, baccarum lauri ʒ ij, piperis albi et longi, utriusque ʒ j, opii ʒ iij, coſti obol. iij, terebinthinae obol. v, galbani obol. iij, ſucci radicis dulcis obol. ij, gummi obol. j, mellis lib. dimidiam. Dato cochleare unum

Ed. Chart. XIII. [558] Ed. Baſ. II. (273.)

δίδου κοχλιάριον ἓν μεθ' ὕδατος κυάθων δυοῖν ἢ τριῶν· ἐὰν δὲ ἐπείγῃ, καὶ πρὸ τροφῆς καὶ μετὰ τροφήν. πρὸς ὀρθοπνοϊκοὺς Οὐάλεντος ℔ ὀποπάνακος ≺ β'. κολοκυνθίδος σαρκὸς ≺ α'. ἡ τελεία δόσις ἔστω αὕτη. ἄλλη Ὀνήτρου. ℔ καστορίου ≺ α'. ἀμμωνιακοῦ θυμιάματος ≺ β'. τούτου τὸ ἥμισυ διδόσθω μετὰ μελικράτου. πρὸς δύσπνοιαν τὸ τοῦ Ποδανίτου. ℔ νάπυος ≺ α'. ἁλὸς ≺ α'. νίτρου τριώβολον, ποιήσας ὀκτὼ καταπότια, δίδου εἰς νύκτα δύο καὶ διαλείπων ἡμέραν, εἶτα καὶ ἓξ δίδου, ἀναλάμβανε ὕδατι.

cum aquae cyathis duobus aut tribus, ſi res urgeat, ante et poſt cibum. *Ad orthopnoicos Valentis.* Opopanacis ʒ ij, carnis colocynthidis ʒ j. Tantum datur ad ſummum. *Aliud Onetri.* ℔ Caſtorii ʒ j, ammoniaci thymiamatis ʒ ij. Detur dimidium ex aqua mulſa. *Ad dyſpnoeam Podanitae.* ℔ Sinapi ʒ j, ſalis ʒ j, nitri obol. iij. redigito in catapotia viij. Dato ex his duo ad noctem et intermittens diem, poſtea etiam ſex deinceps dato, aqua excipe.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΤΟΠΟΥΣ ΒΙΒΛΙΟΝ Θ.

Ed. Chart. XIII. [559.] Ed. Baſ. II. (273.)

Κεφ. α΄. Ὅπερ ἀεὶ λέγω καὶ νῦν ἐρῶ, πεπεισμένος ὅτι χαλεπώτατόν ἐστι μεταστῆναι πρὸς τὴν ἀλήθειαν τοὺς φθάσαντας αἱρέσει δουλεύειν. ὅσοι δὲ συνετοί τε ἅμα καὶ ἀληθείας ὄντως φίλοι, τούτους ἐλπίζω φυλάξειν τὰ παρὰ τῆς φύσεως ἡμῖν δοθέντα κριτήρια τῶν κατὰ τὸν βίον πράξεων, ἐμπειρίαν καὶ λόγον, ἐπ᾽ ἐνίων μὲν ἴσον ἑκάτερον συντελοῦν εἰς τὴν τέχνην, ἐπ᾽ ἐνίων δὲ πλέον θατέρου θά-

GALENI DE COMPOSITIONE MEDICAMENTORVM SECVNDVM LOCOS LIBER VIII.

Cap. I. Quod ſemper dico etiam nunc proloquar, nimirum perſuaſum me habere quod difficillimum ſit ad veritatem revocare eos qui ſectae alicujus ſervituti ſeſe addixerunt. Verum qui prudentes ſunt ſimulque veritatem ſincere amant, eos ſpero cuſtodituros eſſe ea quae veluti judicandi inſtrumenta nobis a natura data ſunt ad actionum vitae cognitionem, experientiam dico et rationem. Quae quidem utraque ex aequo quibusdam conferunt ad

Ed. Chart. XIII. [559. 560] Ed. Baſ. II. (275.)

τερον, ἀεὶ μέντοι πρὸς τὸ τέλεον ἑκατέρου δεόμενον, οὕτω ποιήσομαι τὸν λόγον. αἱ γάρ τοι ψευδεῖς δόξαι, προκαταλαμβάνουσαι τὰς ψυχὰς τῶν ἀνθρώπων, οὐ μόνον κωφοὺς, ἀλλὰ καὶ τυφλοὺς ἐργάζονται τῶν τοῖς ἄλλοις ἐναργῶς ὁρωμένων. ὅπερ οὐχ ἥκιστα καὶ περὶ τῶν κατὰ τὸ στόμα τῆς κοιλίας παθῶν ἐστι, καὶ μάλισθ' ὅταν φλεγμαίνῃ. δέονται γὰρ αὗται καὶ αἱ τοῦ ἥπατος φλεγμοναὶ τῆς τῶν στυφόντων παραπλοκῆς. ἐὰν γὰρ ὑπὸ τῆς χαλαστικῆς ἀγωγῆς, ἀμίκτου τῆς τονωτικῆς δυνάμεως γενομένης, θεραπεύωνται, κίνδυνον ἐπάγονται περὶ τῆς ζωῆς αὐτῆς, καὶ τοῦτο πάντων μὲν τῶν ἐμπειρικῶν ἰατρῶν ὑπὸ τῆς πείρας δεδιδαγμένων, πάντων δὲ τῶν δογματικῶν ἐπὶ τῶν ἔργων τῆς τέχνης φυλαττόντων, οὐκ ὀλίγοι τῶν νῦν μεθοδικῶν, [560] οὐ γὰρ δὴ πάντες γε, μυρίοις μὲν αὐτοὶ στομαχικοῖς συγκοπῆς αἴτιοι γεγόνασιν, ἅπαντας δὲ τοὺς ἡπατικοὺς ἀναιροῦσιν· οὐδένα γὰρ εἶδον ἐγὼ σωθέντα τῶν εἰς τοιοῦτον ἰατρὸν ἐμπεσόντων. τινὲς δὲ αὐτῶν ὀλίγοι μὲν καταντλοῦσιν ἐλαίῳ, κόμην

artem, quibusdam vero alterum altero amplius, et tamen tanquam ſemper ad perfectionem alterum altero opus habeat. Sic ſane ad reſiduum ſermonis et doctrinae hujus abſolvendum progrediar. Falſae etenim opiniones animas hominum praeoccupantes non ſolum ſurdos, ſed et caecos faciunt, ita ut videre nequeant quae aliis conſpicue appareant. Quod ipſum vel maxime circa affectiones oris ventris videre contingit, praeſertim quum fuerit inflammatum. Ejus enim itemque jecinoris inflammationes aſtringentium complexu opus habent, ſi namque per laxatorium medicationis ductum citra admixtionem facultatis robur addentis curentur, periculum incurrunt de ipſa vita. Atque hoc ipſum quum omnes empirici medici per experientiam edocti ſint et omnes dogmatici in ipſis artis operibus obſervent, non pauci tamen hujus temporis methodici, neque enim de omnibus dico, innumeros quidem ſtomachicos ipſi in animi deliquium inducunt, omnes vero hepaticos occidunt, nullum enim ego vidi ſervatum ex iis, qui in ejusmodi medicum inciderunt. Quidam tamen ex ipſis quamquam

Ed. Chart. XIII. [560.] Ed. Baſ. II. (273.)

ἐναποξεννύντες ἀψινθίου καὶ ναρδίνῳ μύρῳ βρέξαντες, ἔριον ἐπιδέουσιν. ἔνιοι δὲ καὶ μαστίχης Χίας μιγνύουσιν ἢ ἁλόης, ἢ μήλινον ἀντὶ νάρδου παραλαμβάνουσιν. ἐπὶ δὲ τῶν πλουσίων γυναικῶν καὶ τὸ καλούμενον ὑπ' αὐτῶν φουλίατον καὶ σπικάτον προσφέρουσι, καὶ ταῦτα ποιοῦντες οἴονται τὴν χαλαστικὴν ἀγωγὴν φυλάττειν, τοσοῦτον αὐτοῖς παρίεστιν ἐμπειρίας φαρμάκων δυνάμεως. εὐξαίμην ἂν πάντας οὕτως ἀμαθεῖς εἶναι μᾶλλον ἢ γινώσκοντας τὰ στύφοντα φυλάττεσθαι τὴν χρῆσιν αὐτῶν. ὅσα μὲν οὖν ἐν ἐπιβροχαῖς τε καὶ καταπλάσμασι τῶν στυφόντων μίγνυται τοῖς ἧπαρ ἢ στόμα γαστρὸς ἀλγοῦσιν, ὃ δὴ καὶ στόμαχον καλοῦσιν, οὐ τοῦ παρόντος λόγου διελθεῖν· ὅσα δὲ ἐν φαρμάκοις ἐμπλαστοῖς καὶ κηρωτοειδέσιν ἔξωθεν ἐπιτιθεμένοις, ὅσα τε ἐν τοῖς καταπινομένοις ἐστὶ χρήσιμα, ταῦτα δηλώσω, τὰ τῶν φλεγμαινόντων πρῶτα γράψας, ἐπειδὴ καὶ μάλιστα κινδυνεύουσιν ἐπ' αὐτοῖς οἱ κάμνοντες. κηρωτὴ μὲν οὖν, ᾗ συνεχῶς χρῶμαι, δι' ἁλόης καὶ μαστίχης καὶ κηροῦ Ποντικοῦ τοῦ

pauci oleo eos fovent, in quo abſinthii coma eſt ſervefacta et lanam nardino unguento imbutam obligant. Quidam vero etiam maſtichen Chiam aut aloën admiſcent aut atiam pro nardino melinum adhibent. In divitibus vero mulierculis foliatum et ſpicatum ab eisdem appellata unguenta admovent, atque quum haec faciunt, laxatorium ductum ſe ſervare putant, tantum ſcilicet habent experimenti facultatis medicamentorum. Malim autem ego omnes ſic indoctos eſſe, quam quod aſtringentia quae ſint ſciant, uſum tamen ipſorum vitent. Quaecunque igitur aſtringentia in fomenta et cataplasmata miſceantur in hepatis aut oris ventris, quod ſane et ſtomachum vocant, affectionibus non eſt praeſentis ſermonis explicare. Quaecunque vero in emplaſtra et ceratiformia medicamenta, quae forinſecus imponuntur, commoda ſunt et quaecunque utiliter devorantur, haec ipſa indicabo ea, quae inflammatis proſunt, primum tradendo, quandoquidem etiam in ipſis aegri maxime periclitantur. Ceratum igitur, quo aſſidue utor, ex aloë et maſtiche et

Ed. Chart. XIII. [560.] Ed. Baſ. II. (273.)

πικροῦ καὶ ναρδίνου μύρου. συντίθεται δὲ χειμῶνος μὲν εἰς ≺ η'. τοῦ κηροῦ γο α'. μετρικῆς Ῥωμαϊκῆς ἐμβαλλομένης τοῦ ναρδίνου μύρου, θέρους δὲ εἰς ζ'. κατὰ τὴν ἀναλογίαν τοῦ μύρου. κάλλιστον δὲ εἶναι χρὴ τὸ μύρον, ὁποῖον ἔμπροσθεν μὲν ἐν Λαοδικείᾳ τῆς Ἀσίας ἐσκευάζετο μόνῃ, νυνὶ δὲ καὶ κατὰ πολλὰς ἄλλας Ἀσιανὰς πόλεις ὁμοίως συντίθεται. κηρὸς δὲ, εἰ μὴ Ποντικὸς ὁ πικρὸς εὐποροῖτό σοι, τὸν γοῦν ἄλλον Ποντικὸν ἔμβαλλε, κἀκείνου μὴ παρόντος, τὸν καλούμενον Τυῤῥηνικόν. ἂν δὲ μηδ' οὗτος παρῇ, τῶν ἄλλων τινὰ τῶν εὐωδῶν καὶ λιπαρῶν. εἰ δὲ μηδὲ τοιοῦτον ἔχοις, τὸν εὐπορηθέντα σοι κηρὸν πλύνας ἔμβαλλε· τηκέσθω δὲ ἐν ἀγγείῳ διπλῷ, κἄπειτα ψυχθεῖσαν τὴν κηρωτὴν ξύων μίγνυε λελειωμένοις ἀκριβῶς τῇ τε ἀλόῃ καὶ τῇ μαστίχῃ. ἔστω δὲ ἑκατέρου ≺ α'. καί ποτε καὶ πλεῖον, καὶ μὴ ὥστε ὑπερβάλλειν μίαν τε καὶ ἡμίσειαν. εἰ δὲ καὶ πλέονος δέοιτο στύψεως, ἀτονίας οὔσης, ὡς μηδὲ τῆς τροφῆς κρατεῖν, προσμιγνύσθω καὶ ὀμφακίου τὸ ἴσον, ὥστε τῶν τριῶν ἑκάστου

cera Pontica amara atque unguento nardino conſtat. Componitur autem hieme, ad viij drachmas cerae uncia j menſurali Romana unguenti nardini conjecta, aeſtate autem ad vij eadem unguenti proportione. Optimum autem unguentum eſſe oportet, quale antea quidem in ſola Laodicea Aſiae praeparabatur, nunc vero etiam in aliis multis Aſianis urbibus ſimiliter componitur. Cera ſi non Pontica amara tibi in promptu ſit, aliam Ponticam conjice, et neque illa praeſente, eam quae Tyrrhenica appellatur, ſi vero neque haec adſit, aliam aliquam odoratam et pinguem, ſi neque talem habeas, eam quam habere potes lotam adde. Liquefiat autem in duplici vaſe, atque ita refrigeratum et eraſum ceratum cum tritis reliquis probe permiſce, cum aloë videlicet et maſtiche. Sit autem utriusque drach. j et quandoque plus, non tamen ut ſeſquidrachmam transgrediaris. Quod ſi ampliori opus ſit adſtrictione, nimirum debilitate tanta exiſtente, ut cibum retinere non poſſint, omphacium pari pondere addatur, ut trium ſingulorum drachma ſit

Ed. Chart. XIII. [560. 561.] Ed. Baſ. II. (273. 274.)

δραχμὴν εἶναι μίαν, τῆς ἀλόης λέγω καὶ τῆς μαστίχης μίαν καὶ τρίτην τοῦ ὀμφακίου. μιγνύσθω δὲ ἐν τῇ σκευασίᾳ τῆς κηρωτῆς πρῶτον μὲν ὀμφάκιον, εἶθ' οὕτω τὰ ἄλλα τούτοις ἑνούσθω. μίγνυμι δ' ὥσπερ ὀμφάκιον, οὕτω καὶ ἀψινθίου χυλόν. ἔστι δ' ὅτε καὶ ἄμφω καὶ τρίτης ἐπ' αὐτοῖς τῆς ὑποκυστίδος καὶ τετάρτης οἰνάνθης, οὕτω δ' ὀνομάζω τὸ τῶν ἀγρίων ἀμπέλων ἄνθος ἢ ἐκβλάστημα σὺν τοῖς ἄνθεσιν, ἐξ οὗ ταῖς ἡμέραις ἡ σταφυλὴ γίνεται. καὶ μέντοι καὶ ῥοῦ χυλὸν οὐκ ὀλιγάκις ἔμιξα, καὶ παραύξειν δὲ χρὴ τῆς ναρδίνης κηρωτῆς τὸ πλῆθος, ἀνάλογον τῷ τῶν ἄλλων φαρμάκων ἀριθμῷ, ὥστε ἂν τέσσαρες ἐκ τῶν ἄλλων ἀθροίζωνται δραχμαὶ, τέσσαρας γο εἶναι τῆς ναρδίνης κηρωτῆς, δύο μὲν τοῦ κηροῦ, δύο δὲ τῆς νάρδου, τουτέστιν (274) ἑκκαίδεκα δραχμὰς ἑκατέρου. χρονιζούσης δὲ τῆς φλεγμονῆς καὶ σκληρυνομένης ἤδη, ποικιλώτερα φάρμακα προσφέρειν χρὴ καὶ τῶν ἀρωμάτων ἐχόντά τι καὶ τῶν μαλακτικῶν τε καὶ διαφορητικῶν φαρμάκων, ὁποῖόν ἐστι καὶ τὸ διὰ τοῦ μελιλώτου σκευαζόμενον. [561] ἔστι δὲ ἡ σύνθεσις αὐτοῦ πολυειδεστέρα,

una, aloës una, maſtiches una et tertia omphacii. Caeterum in cerati praeparatione primum omphacium miſceatur, deinde etiam alia his uniantur. At vero quemadmodum omphacium, ſic etiam abſinthii ſuccum admiſceto, quandoque etiam ambo, et tertium inſuper hypocyſtidis et quartum oenanthes, ſic autem appello vitium ſilveſtrium florem aut germen una cum floribus, ex quo ſuccedentibus diebus uva fit; quin et rhois ſuccum non raro admiſcui. Sed et cerati nardini copiam augere oportet juxta proportionem numeri reliquorum medicamentorum, ita ut ſi quatuor drachmae aliarum rerum accumulentur, triens ſit nardini cerati, ſextans quidem cerae, ſextans item nardini unguenti, hoc eſt utriusque drach. xvj. Porro ſi inveterata fuerit inflammatio et jam obdurata, magis varia medicamenta adhibere oportet et quae ex aromaticis quippiam habeant ac mollientibus et diſcuſſoriis, quale eſt quod fit ex meliloto. Eſt autem compoſitio ipſius multiformis, propterea quod omnibus juxta

Ed. Chart. XIII. [561.] Ed. Baſ. II. (274.)

διὰ τὸ πᾶσι τοῖς καθ' ὑποχόνδριον φλεγμαίνουσιν ὁρμότ-
τειν, ὑπαλλαττόμενον οὐ μεγάλαις διαφοραῖς, ὥστε τὴν μέν
τινα σκευασίαν αὐτοῦ τοῖς περὶ ἧπαρ εἶναι χρησιμωτέραν,
τὴν δέ τινα τοῖς περὶ τὸν στόμαχον ἢ κοιλίαν ἢ σπλῆνα ἤ
τινα τῶν ἐνταῦθα μυῶν, ἃ κοινῇ γραφῇ περιείληπται πάντα
κατὰ τὰς τῶν μαλαγμάτων συνθέσεις. ἐν δὲ τῷ παρόντι τὰ
γεγραμμένα τοῖς πρὸ ἐμοῦ πρὸς ἁπάσας τὰς περὶ τὸν στό-
μαχον διαθέσεις, οὐ διὰ τῆς ἔξωθεν ἐπιθέσεως τῶν φαρμά-
κων μόνον, ἀλλὰ καὶ διὰ πόσεως ὠφελοῦντα γραφήσεται
πάντα. τινὰ δὲ αὐτῶν ἐστι κοινὰ καὶ τοῖς κατὰ τὴν γα-
στέρα πάθεσιν.

Εἴρηται πολλάκις ὡς τὸ τῆς γαστρὸς στόμα καλεῖν
ἔθος ἐστὶ τοῖς ἰατροῖς ὥσπερ καρδίαν, οὕτω καὶ στόμαχον.
ἀλλὰ πάλαι μὲν ἦν συνηθέστερον τὸ τῆς καρδίας ὄνομα,
νυνὶ δὲ ἀπ' ἐκείνου μὲν ἔτι διαμένει τὸ καρδιώσσειν καὶ ἡ
καρδιαλγία, τὸ δὲ μόριον αὐτὸ στόμαχον ὀνομάζουσιν ὁμω-
νύμως τῷ καταφέροντι τὴν τροφὴν ἐκ τοῦ στόματος εἰς αὐ-
τήν. γεγράφασιν οὖν οἱ πρὸ ἡμῶν φάρμακα πρὸς τὰς ἐν

praecordia inflammatis convenit, non magnis adeo differentiis evarians, ita ut aliqua ipſis praeparatio inflammato hepati ſit commodior, alia ſtomacho aut alvo aut ſpleni aut quibusdam iſtius loci muſculis, quae omnes communi deſcriptione comprehenſae ſunt in malagmatum compoſitionibus. Verum in praeſenti loco ea, quae prioribus medicis ad omnes ſtomachi affectus ſcripta ſunt, et non ſolum forinſecus impoſita, ſed etiam in potu accepta auxiliantur, omnia conſcribentur, quaedam vero ex ipſis communia ſunt etiam affectionibus ventris.

Saepenumero jam dictum eſt quod medici in more habent, os ventris veluti cor, ſic etiam ſtomachum appellare; verum quondam frequentior cordis appellatio erat, nunc autem ab ea adhuc reſtant, *corde dolere et cordis dolor*, quibus vocibus non cordis, ſed oris ventris dolores ſignificantur. Partem autem ipſam ſtomachum vocant aequivoce cum illa parte, quae cibum ex ore in ipſam defert. Scripſerunt igitur priores medici medicamenta ad affectus

Ed. Chart. XIII. [561.] Ed. Baſ. II. (274.)

αὐτῷ διαθέσεις, ὥσπερ τὰς ἄλλας, οὕτω καὶ τὰς ὀνομαζομένας αὐτοῖς ἀνατροπάς· ἐοίκασι δ' οὕτω καλεῖν τάς τε ἀνορεξίας καὶ τὰς ναυτιώδεις διαθέσεις, ἐφ' αἷς ἐνίοτε μὲν συμβαίνουσιν ἔμετοι, γίνονται δὲ καὶ δήξεις ἐν αὐτῷ τινες, ὥσπερ βουλιμιώδεις τε καὶ ἀσώδεις διαθέσεις, ἐφ' ὧν ἁπασῶν κοινὴ μέν τις ἡ τῶν στυφόντων φαρμάκων εὕρηται χρῆσις. ἐπιμέμικται δ' αὐτῶν τοῖς πλείστοις τὰ θερμαίνοντα καὶ ξηραίνοντα. γίνονται δὲ καὶ αἱ ἄλλαι διαθέσεις σπανιώτεραι τῶν ὑγραινόντων ἢ ψυχόντων ἢ ἀμφοτέρων ἅμα δεόμεναι φαρμάκων. τοῖς δὲ ἐκ πείρας ἄνευ λογικῆς μεθόδου τὰ βοηθήματα εὑρίσκουσιν, εἰκότως τὰ πολλάκις ὠφελήσαντα, μνημονεύεταί τε καὶ εἰς χρῆσιν ἄγεται. τῶν γὰρ πλειστάκις ὡσαύτως ἑωραμένων τήρησίν τε καὶ μνήμην εἶναί φασι τὴν ἑαυτῶν ἐμπειρίαν. ὥσπερ δὲ ἐν τῷ στόματι τῆς κοιλίας, οὕτω καὶ κατ' αὐτὴν ὅλην ἕκαστόν τε τῶν ἐντέρων καὶ συνελόντι φάναι κατὰ πᾶν μόριον τοῦ σώματος αἱ αὐταὶ δυσκρασίαι γινόμεναι τὰς ἐνεργείας τῶν ὁμοιομερῶν

in ipſo, quum alias tum ſubverſiones ab ipſis appellatas, videntur autem ſic vocare tum appetitus perditionem tum nauſeoſas diſpoſitiones, in quibus aliquando quidem vomitus contingunt. Fiunt autem et morſus quidam in ipſo, quemadmodum etiam magnae famis et anxiae affectiones. In quibus omnibus communis quidam aſtringentium medicamentorum uſus inventus eſt, admixta autem ſunt pleriſque ipſorum calefacientia et reſiccantia. Fiunt et aliae affectiones rariores, humectantibus aut refrigerantibus aut utrisque ſimul opus habentes. Caeterum qui ab experientia citra rationalem methodum auxilia inveniunt merito ea, quae ſaepe juverunt, in memoriam revocant et in uſum convertunt; eorum enim, quae ſaepe eodem modo facere viſa ſunt, obſervationem et memoriam ſuam ipſorum experientiam eſſe ajunt. Quemadmodum autem in ore ventris, ſic etiam circa ipſum totum ſingulaque inteſtina et, ut comprehenſim dicam, circa omnem corporis partem, eaedem intemperaturae obortae actiones ſimilarium partium

Ed. Chart. XIII. [561.] Ed. Baſ. II. (274.)

βλάπτουσιν, ὡς εἰ μή τις πεισθείη τὰ νοσήματα αὐτῶν, οὐδὲ ἂν ἀσκήσειε τὴν διάγνωσιν. ἀγνοήσας δὲ αὐτὴν οὐδὲ τὴν θεραπείαν εὑρήσει. ἔχουσι δ' οὐκ ὀλίγον στοχασμὸν αἱ διαγνώσεις τῶν ἐν τῷ βάθει τοῦ σώματος συνισταμένων διαθέσεων, διὸ καὶ χρησιμώτατόν ἐστι τῆς ἰατρικῆς τέχνης μόριον τὸ διαγνωστικὸν τῶν τοιούτων διαθέσεων, ἃς οὐδ' ὅτι πρῶταί τε καὶ μέγισταί εἰσι γινώσκουσιν οἱ πολλοὶ τῶν ἰατρῶν, ὥστε εἰκότως οὔτε διάγνωσιν αὐτῶν οὔτε θεραπείαν ἐζήτησαν. ἀναγκάζονται τοίνυν, εἰ καὶ δογματικοὶ τύχοιεν ὄντες, τὰς λογικὰς μεθόδους ἐπὶ τὴν ἐμπειρίαν ἀφικνεῖσθαι μόνην, ὥστε θαυμάζειν, ὅταν ἄνευ πυρετοῦ καὶ φλεγμονῆς ἀποστήματός τε καὶ ἑλκώσεως ἀσθενῶς τινος πέπτοντος ἢ μηδ' ὅλως πέπτοντος ἐπαγγειλάμενοι θεραπείαν εὑρεῖν ζητῶσιν εἰ τῇ τρίψει τῶν σιτίων ἡ πέψις γίνεται, κἄπειτα ὡς μέγιστον τοῦτο εὑρηκότες εὔτριπτα διδόασιν αὐτὰ τὰ ἐδέσματα, μηδὲ τὸ προχειρότατον ἐννοοῦντες, ὃ καὶ τῶν ἰδιωτῶν ἰατρικῆς, ἄλλως δὲ συνετῶν ὄντων ἀνδρῶν, ἤρετό μέ τις

offendunt, quas ſi quis non eſſe morbos ipſarum credet, nihil circa cognitionem efficiet, qua ignorata neque curationem inveniet. Habent autem non modicam conjecturam cognitiones ipſae affectuum in profundo corporis conſiſtentium, et ob id utiliſſima medicae artis pars eſt quae cognitionem docet ejusmodi affectionum, quas neque quod primae et maximae ſunt plerique ex vulgo medici ſciunt, quare merito neque cognitionem ipſam, neque curationem inveſtigarunt. Coguntur igitur etiam ſi dogmatici ſint, in rationalibus methodis ad ſolam experientiam pervenire, ut juſte miremur quod, quum absque febre et inflammatione abſceſſuque et ulceratione quispiam debiliter concoquat aut penitus non concoquat, promiſſione facta ſe inventuros curationem, quaerant an contritione ciborum concoctio fiat, et deinde ubi hoc ut maximum invenerint, edulia, quae facile conterantur, exhibent, neque quod promptiſſimum eſt intelligentes, quod etiam quispiam rei medicae rudis, alias autem prudens vir, me interrogavit, quomodo prodeſt ſcire

Ed. Chart. XIII. [561. 562.] Ed. Baſ. II. (274.)

ὅπως χρήσιμόν ἐστι τὸ γνῶναι τῇ τρίψει τὴν πέψιν γίνεσθαι πρὸς τὸ τὴν διάθεσιν ἐξιάσασθαι τῆς γαστρὸς, καθ' ἣν ἀτονεῖ πέπτειν τὰ σιτία, [562] πρὸς τῷ μηδὲ θεραπείαν εἶναι τὴν τῶν εὐτρίπτων προσφορὰν, ἀλλὰ μόνον ἔκκλισιν τῆς βλάβης, ὥσπερ καὶ τὴν ὀλιγοσιτίαν τε καὶ ἀσιτίαν. ὥσπερ γὰρ ὁ ἀσιτήσας οὐκ ἀπεπτεῖ μὲν, οὐ μὴν ἐθεραπεύθη τὴν διάθεσιν, οὕτως οὐδ' ὁ τὰ μηδ' ὅλως δεόμενα τρίψεως προσαραμένος, ὁποῖόν ἐστι τὸ γάλα καὶ ὁ τῆς πτισάνης χυλὸς καὶ τὰ διὰ τοῦ χόνδρου ῥοφήματα. ταῦτα μὲν οὖν ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν αὐτάρκως λέλεκται, καὶ δῆλον ὅτι τοῖς ἐν ἐκείνοις γεγυμνασμένοις ἡ νῦν ἐνεστῶσα διδασκαλία χρήσιμος ὑπάρχει. καθάπερ δὲ ἐπὶ τῶν ἄλλων, ὡς ἔμπροσθεν εἶπον, ἀναμιμνήσκων ἕκαστα τῶν ἐν ἐκείνῃ μοι προδεδειγμένων κεφαλαίων ἐπὶ τὴν περὶ τῶν φαρμάκων σύνθεσιν ἠρχόμην, οὕτω καὶ νῦν ποιήσω.

Δυσκρασιῶν οὐσῶν ὀκτὼ καθ' ἕκαστον τῶν μορίων, καὶ τούτων ἁπασῶν γινομένων ἢ κατὰ ψιλὰς καὶ μόνας τὰς

per contritionem ciborum fieri concoctionem ad hoc, ut quis affectionem ventris ſanet, in qua debilitatur ad concoctionem ciborum? quum non per exhibitionem alimentorum, quae facile conterantur, curatio fiat, ſed laeſio tantum evitetur velut etiam per paucum alimentum ac inediam. Quemadmodum enim qui inediam perfert, in concoctionis quidem debilitatem non incurrit, non tamen ab affectu hoc modo curatur, ſic neque qui in cibo accipit ea, quae in totum nulla contritione opus habent, quale eſt lac, ptiſanae ſuccus et ſorbitiones ex alica. Haec quidem igitur in libris de curandi methodo ſufficienter tradita ſunt, et non obſcurum eſt praeſentem doctrinam utilem eſſe iis, qui ſe in illis praeexercuerunt. Quemadmodum autem in aliis, quae prius tradidi, revocatis in memoriam ſingulis illic mihi praemonſtratis capitibus, ad medicamentorum compoſitionem progreſſus ſum, ſic etiam nunc faciam.

Quum octo ſint in ſingulis partibus corporis intemperaturae, atque hae omnes aut circa ſolas nudas qualitates,

Ed. Chart. XIII. [562.] Ed. Baſ. II. (274.)

ποιότητας, ἢ καὶ μετά τινος χυμοῦ, τὴν μὲν κατὰ ξηρότητα δυσκρασίαν ὑγραίνειν χρὴ, τὴν δὲ καθ' ὑγρότητα ξηραίνειν, οὕτω δὲ καὶ τὴν κατὰ θερμότητα ψύχειν, τὴν δὲ κατὰ ψύξιν θερμαίνειν χρή. ὁμοίως δὲ καὶ τὰς συνθέτους δυσκρασίας ἤτοι θερμαίνειν καὶ ξηραίνειν ἢ ὑγραίνειν καὶ θερμαίνειν ἢ ψύχειν καὶ ὑγραίνειν ἢ ξηραίνειν καὶ ψύχειν. ἐπεὶ δὲ, ὡς ἔφην, αἱ πλεῖσται δυσκρασίαι τοῖς ἀνθρώποις ἐκ περιουσίας ὑγρῶν μᾶλλον ἢ ἐνδείας γίνονται, τὰ ξηραίνοντα φάρμακα τοὺς πολλοὺς ὀνίνησι μᾶλλον. ἐπὶ δὲ τῶν ξηραινόντων τὰ μὲν στύφει, συνάγοντα καὶ στύφοντα τὴν τῶν ὁμιλούντων οὐσίαν, τὰ δὲ διαφοροῦντα, κἂν τούτῳ διαλύοντα τὴν οὐσίαν αὐτῶν, διὰ τοῦτο πλείους εἰσὶν οἱ τῶν στυφόντων δεόμενοι. ἀλλ' ἐὰν μετὰ ψύξεως ἡ ὑγρὰ δυσκρασία γένηται, βλάπτονται διὰ τῶν στυφόντων μόνων θεραπευόμενοι ψυχρῶν ὄντων ταῖς δυνάμεσιν. εἰκότως οὖν τὰ πλεῖστα τῶν διὰ πείρας εὑρημένων φαρμάκων ἐκ μικτῆς ὕλης σύγκειται, στυφούσης τε καὶ θερμαινούσης. γνωρίσεις δὲ αὐτῶν τὴν

aut cum alicujus humoris complexu fiant, intemperiem quidem ſiccam humectare oportet, humidam autem ſiccare, ſic et calidam refrigerare, frigidam calefacere, ſimiliter vero etiam compoſitas intemperaturas aut calefacere et ſiccare aut humectare et calefacere aut refrigerare et humectare aut ſiccare et refrigerare oportet. Quando vero, velut dixi, plurimae intemperaturae hominibus ex redundantia humorum magis quam ex inopia fiunt, medicamenta reſiccantia plerosque magis juvant. At vero quum reſiccantia partim quidem aſtringant cogendo ac aſtringendo ſubſtantiam eorum quae contingunt, partim vero diſcutiant et in hoc ſubſtantiam ipſorum diſſolvant, ob hoc ipſum ſane plures ſunt, qui aſtringentibus indigent, verum ſi humida intemperies cum frigiditate fiat, laeduntur qui per ſola aſtringentia curantur, quae frigidae facultatis exiſtunt. Quapropter merito plurima pharmaca per experientiam inventa ex mixta materia componuntur, aſtringente videlicet et calefaciente. Verum ipſorum differentiam cognoſces, ſi ſimplicium medica-

Ed. Chart. XIII. [562.] Ed. Baſ. II. (274.)

διαφορὰν τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ἔχων τὴν μνήμην. εἴρηται γάρ μοι πολλάκις ἤδη μηδένα δύνασθαι λογικῶς τε καὶ κατὰ μέθοδον τοῖς ἐν τῇδε τῇ πραγματείᾳ γεγραμμένοις χρήσασθαι χωρὶς τοῦ μεμνῆσθαι τῶν εἰρημένων ἐν ταῖς πρὸ ταύτης δύο πραγματείαις, τῆς τε τῶν ἁπλῶν φαρμάκων δυνάμεως καὶ τῆς θεραπευτικῆς μεθόδου. τινὲς μὲν γὰρ ἄνευ διορισμοῦ τινος ἔγραψαν φάρμακα πρὸς τὰς τοιαύτας διαθέσεις στομάχου τε καὶ γαστρὸς, ἔνιοι δὲ ἐφήψαντο διορισμῶν τινων ἀπὸ συμπτωμάτων ἅπασι φαινομένων. ὅπως οὖν καὶ ὑμεῖς εἰδῆτε γνωρίζειν ἑκάστου τῶν διὰ πείρας εὐδοκιμησάντων φαρμάκων τὰς δυνάμεις, εἰ καὶ μὴ προσγεγραμμένας εὑρίσκοιτε τὰς διαφορὰς τῶν διαθέσεων ἐφ' ὧν ἁρμόττουσι, παραγράψω πρώτας μὲν τὰς ὑπ' Ἀνδρομάχου γεγραμμένας, εἶτα τὰς ὑπ' Ἀσκληπιάδου καὶ μετὰ ταύτας, ἐὰν δόξῃ, καὶ ἄλλας τινάς.

Κεφ. β'. [Αἱ ὑπ' Ἀνδρομάχου γεγραμμέναι στομαχικαὶ δυνάμεις.] Προγράψας Ἀνδρόμαχος, στομαχικαὶ, μετὰ τὴν προγραφὴν τήνδε οὕτως ἤρξατο. πρὸς στομαχικοὺς ἱερὰ, ἣ

mentorum facultatem memoria tenueris. Dictum enim jam mihi ſaepe eſt, neminem poſſe rationabiliter et ſecundum methodum uti his, quae in hoc opere conſcripta ſunt, ſi non memoria teneat quae in duobus operibus ante hoc opus editis prodita ſunt, de ſimplicium medicamentorum facultate et curandi methodo dico. Quidam enim absque diſcrimine medicamenta ad ejusmodi affectus ſtomachi et ventris conſcripſerunt, quidam vero aliqua diſcrimina attigerunt a ſymptomatis quae omnibus apparent. Quo igitur et vos cognoſcere ſciatis facultates uniuscujusque medicamenti per experientiam longam approbati, etiam ſi non inveneritis differentias affectionum, in quibus conveniunt, aſcriptas, primum quidem ea quae Andromachus prodidit aſcribam, deinde quae Aſclepiades et poſt haec, ſi ita videbitur etiam alia quaedam.

Cap. II. [*Confectones ſtomachicae Andromachi.*] Andromachus poſtquam praeſcripſit, ſtomachicae, poſt hanc praeſcriptionem ſic auſpicatur. *Ad ſtomachicos hiera, qua*

Ed. Chart. XIII. [562. 563.] Ed. Baſ. II. (274. 275.)

χρῶμαι, κἄπειθ' ἑξῆς ἔγραψε τὴν ὅλην αὐτῆς σύνθεσιν, ὡδί πως ἔχουσαν. ℔ σχοίνου ἄνθους, ξυλοβαλσάμου, [563] μαστίχης, (275) κρόκου, νάρδου Ἰνδικῆς, ἀσάρου, κινναμώμου ἀνὰ ≺ στ'. ἀλόης πεπλυμένης ≺ ρ'. ὁμοῦ λεάνας ἀποτίθεσο, δίδου νήστει κοχλιάρια β'. οἱ δὲ ἓν, μεθ' ὕδατος ψυχροῦ κυάθων δ'. ἢ θερμοῦ. ταῦτα μὲν οὖν ὁ Ἀνδρόμαχος ἔγραψεν, οὔτε τίνας ὀνομάζει στομαχικοὺς δηλώσας οὔτε εἰ πᾶσιν αὐτοῖς ἁρμόττει τὸ φάρμακον οὔτ' εἰ πλείοσιν. ἐμοὶ τοίνυν ἀναγκαῖον εἰπεῖν, ἐπειδὴ τῶν λεγομένων στομαχικῶν ἔνιοι μὲν ὑπὸ τῆς εἰρημένης ἀρτίως ἱερᾶς ὀνίνανται μεγάλως, ἔνιοι δὲ βλάπτονται. οἱ μὲν γὰρ πολλοὶ τῶν ἀνθρώπων τούς τε ἀνορέκτους οὕτω καλοῦσι καὶ ὅσοις μετὰ τὸ προσάρασθαι τὴν τροφὴν τὸ τῆς γαστρὸς στόμα βαρύνεταί τε καὶ θλίβεται καί τινα δύσφορον ἄσην ἔχει. καλοῦσι δ' ὡσαύτως κἀκείνους, οἷς ἐπιγίνεται ναυτία, καὶ μᾶλλόν γε ὅταν εἰς ἔμετον ὁρμήσῃ, καὶ μᾶλλον ἔτι μετὰ τοῦ διαφθείρεσθαι τὰ σιτία, ποτὲ μὲν ὀξώδη γινόμενα, ποτὲ δὲ καὶ κνισώδη, ποτὲ δὲ καὶ ἄλλην ποιότητα μοχθηρὰν ἐπικτώμενα.

utor, et deinceps totam ejus compoſitionem aſcribit in hunc modum. ℔ Schoenanthi, xylobalſami, maſtiches, croci, nardi Indicae, aſari, cinnamomi, ſingulorum ʒ vj, aloës lotae ʒ c, ſimul trita repone. Praebe jejunis cochlearia duo, alii unum praebent cum aquae frigidae cyathis quatuor aut calidae. Haec quidem Andromachus ſcripſit, neque quos ſtomachicos nominet oſtendens ac declarans, neque an omnibus ipſis hoc medicamentum conveniat an pluribus. Itaque id mihi neceſſarium eſt dicere, quum ex iis, qui ſtomachici dicuntur, aliqui quidem ſtatim magnopere ex praedictae hierae uſu juventur, aliqui vero laedantur. Plerique quidem vulgo homines eos, qui appetentiam perdiderunt ita vocant, et quibus poſt acceptum cibum ventris os gravatur atque apprimitur et quandam aegre tolerabilem anxietatem habet. Appellant eodem modo etiam illos, quibus nauſea contingit et maxime ſi ad vomitum impellat, et adhuc magis ſi ſimul cibi corrumpantur, quandoque acidi, quandoque nidoroſi facti, quandoque etiam aliam vitiatam qualitatem

Ed. Chart. XIII. [563.] Ed. Baſ. II. (275.)

καὶ τούτων ἁπάντων ἔτι μᾶλλον ἐκείνους στομαχικοὺς ὀνομάζουσιν, ὅσοις ἐρυγαὶ τοιαῦται μετὰ δυσφορίας τινὸς καὶ ἄσης καὶ ἀνατροπῆς γίνονται, πολλάκις οὐδέπω τροφὴν προσενεγκαμένοις. κἂν ἐπὶ πλεῖστον δὲ χρόνον ἐν τῷ στόματι τῆς γαστρὸς διαμένῃ τὰ σιτία βαρύνοντα καὶ μόλις ὑποβιβαζόμενα, καὶ τούτους στομαχικοὺς ὀνομάζουσιν. ἑτέρους δὲ τὴν καλουμένην ὄρεξιν κυνώδη ἴσχοντας, ὡς ἐσθίειν τε πλεῖστα καὶ βαρυνομένους μάλιστα ὀλίγον ὕστερον ἐμεῖν, ὁμοίως προσαγορεύουσιν, ἄλλους δὲ ἰσχυρῶς ἐκλυομένους, ὅταν ἐπὶ πλεῖον ἀσιτήσωσι, κἂν μὴ θᾶττον ἐπὶ τὴν τῶν σιτίων ἀφίκωνται προσφοράν, δακνομένους τὸ τῆς γαστρὸς στόμα, καλοῦσιν ὡσαύτως στομαχικούς. αὐτῶν δὲ τούτων ἔνιοι ναυτιώδεις γίνονται ῥᾳδίως, εἰ μὴ θᾶττον προσάροιντο πόμα καὶ σιτία. κατὰ μέθοδον οὖν λογικὴν ὁ τὰ βοηθήματα εὑρίσκων ἐπὶ τὴν τῆς διαθέσεως ἀφικνεῖται ζήτησιν, ἧς εὑρεθείσης εὐπορήσειν ἐλπίζει τῶν οἰκείων αὐτῇ βοηθημάτων. ὁ δὲ διὰ μόνης τῆς πείρας ἀθροίζων τὰ βοηθήματα περίπτωσίν τε τὴν ἑαυτοῦ περιμένει καὶ τὴν τῶν ἔμπροσθεν ἱστο-

adepti. Et prae his omnibus adhuc magis illos ſtomachicos nominant, quibus ructus ejusmodi cum moleſtia quadam et anxietate ac ſubverſione contingunt ſaepe, quum nondum cibum acceperunt. Quin etiam ſi per plurimum tempus cibi in ore ventris morentur gravantes et vix deſcendentes, hos itidem ſtomachicos appellant. Alios item appetitum caninum appellatum habentes et ut plurima edant et maxime gravati paulo poſt revomant ſimiliter vocant. Alios rurſus, qui fortiter oxolvuntur, ubi diutius inediam pertulerint, et ſi non citius cibum accipiant, in ore ventris morſus percipiunt, eodem modo ſtomachicos vocant. Horum ipſorum vero aliqui facile nauſeoſi ſiunt, niſi citius potum ac cibum acceptent. Itaque qui ſecundum rationalem methodum auxilia inveſtigat ad affectus inquiſitionem procedit, qua inventa abundaturum ſe ſperat propriis ipſi auxiliis. Qui vero per ſolam experientiam auxilia accumulat, ipſe ſuam fortuitam occaſionem expectat et a prioribus tradita relegit.

Ed. Chart. XIII. [563.] Ed. Baſ. II. (275)

ρίαν ἀναλέγεται. γεγραφότων δὲ αὐτῶν ἀδιορίστως τὰ πλεῖστα, καὶ μέντοι καὶ διαφερομένων ἐν πολλοῖς, εἰκότως καὶ αὐτὸς ἄλλοτε ἄλλης γίνεται γνώμης, καὶ μᾶλλον ὅταν ὑπ' αὐτῶν τῶν βοηθημάτων ἐνίοτε μὲν ὠφελουμένους ὁρᾷ τοὺς στομαχικοὺς, ἐνίοτε δὲ βλαπτομένους, καθάπερ ἐπὶ τῆς προκειμένης ἱερᾶς, ἣν οἱ νῦν ἰατρεύοντες ἐν Ῥώμῃ σχεδὸν ἅπαντες ὀνομάζουσι πικράν, ἐπειδὴ τὸ τῆς ἱερᾶς ὄνομα τῷ διὰ τῆς κολοκυνθίδος ἐπιφέρειν ἐδικαίωσαν. οἱ δὲ πρὸ ἡμῶν ἰατρεύσαντες ἐν Ῥώμῃ τὰς δύο καλοῦντες ἱερὰς προσέθεσαν αὐταῖς ἕνεκα διαστολῆς, τῇ μὲν ἑτέρᾳ τὸ διὰ κολοκυνθίδος, τῇ δ' ἑτέρᾳ τὸ δι' ἀλόης, οὕτω γράφοντες ἱερὰ ἡ διὰ κολοκυνθίδος, ἱερὰ ἡ δι' ἀλόης. ἡ τοίνυν διὰ τῆς ἀλόης ἱερὰ σκευάζεται διττῶς, ὑπὸ μὲν ἐνίων, ὥσπερ καὶ ἡ τοῦ Ἀνδρομάχου πρὸς ἑκατὸν δραχμὰς τῆς ἀλόης, μιγνυμένων ἑκάστου τῶν ἄλλων δραχμῶν ἓξ, ὑπὸ δὲ ἐνίων τε οὐχ ἓξ, ἀλλ' ὀκτώ. τινὲς δὲ τῆς ἀλόης εἰς ὀγδοήκοντα δραχμὰς ἓξ τῶν ἄλλων μιγνύουσιν. οἱ μὲν οὖν πλεῖστοι τὰ μιγνύμενα τῇ ἀλόῃ φάρμακα τὸν ἀριθμὸν ἓξ καὶ τὸ καλούμενον ἄνθος

Quum vero plurima ab ipſis indefinite prodita ſint et in plerisque etiam inter ſe differant ac diſſentiant, merito etiam ipſe alias aliud ſentit, maxime ubi ab iplis auxiliis aliquando quidem juvari ſtomachicos videt, aliquando vero laedi, quemadmodum in propoſita hiera contingere ſolet, quam quidem omnes, qui nunc Romae medicantur, pieram i. e. amaram, nominant, quandoquidem hierae appellationem medicamento ex colocynthide cenſuerint adſcribendam. Verum qui ante nos Romae medicinam exercuerunt, ambo ea medicamenta hieras appellarunt et diſtinctionis gratia alteri ex colocynthide, alteri ex aloë appoſitionem addiderunt ſic ſcribentes, hiera ex colocynthide, hiera ex aloë. Hiera itaque ex aloë dupliciter praeparatur ab aliquibus, velut Andromachus deſcribit, ad centum aloës drachmas ſingulorum aliorum drachmis ſex admixtis, ab aliquibus vero non ſex, ſed octo. Quidam vero in octoginta aloës drachmas ſex aliorum addunt. Plurimi autem ad medicamenta, quae aloae miſcentur, et ſex numero ſunt, etiam ſlorem junci

Ed. Chart. XIII. [563. 564.] Ed. Baſ. II. (275.)

σχοίνου, καὶ μέντοι καὶ τὴν ἀλόην αὐτὴν ὁ μὲν Ἀνδρόμαχος πεπλυμένην, τῶν δὲ ἄλλων ἔνιοι μὲν οὕτως, ἔνιοι δὲ ἄπλυτον ἐμβάλλουσιν. ἡμᾶς δὲ νῦν χρὴ γινώσκειν εἰς μὲν τὴν ὑπαγωγὴν τῆς γαστρὸς ἐπιτηδειοτέραν εἶναι τὴν ἄπλυτον ἀλόην, ἀποτίθεσθαι δὲ τὸ πολὺ τοῦ φαρμακώδους τὴν πεπλυμένην καὶ ἧν μᾶλλον ἄν τις θαῤῥήσειε δοῦναι τοῖς πυρέσσουσιν, οὐδὲ τούτοις σφοδρῶς, ἀλλὰ πάνυ βληχρῶς. [564] ἔνιοι δὲ καὶ τὸ διὰ τῆς ἀπλύτου πολλοῖς τῶν οὕτω πυρεσσόντων δόντες, εἶτα μηδὲν σαφὲς βλάψαντες, ἐπ' ἄλλων μεγίστης ἐπειράθησαν βλάβης, ἐναντιωτάτη γάρ ἐστιν ἀλόη, κἂν πλυνθῇ, τοῖς ἄνευ μοχθηρῶν ὑγρῶν κατὰ δυσκρασίαν τὴν θερμὴν καὶ ξηρὰν ἐνοχλουμένοις. ἐγγὺς δέ τι τούτων καὶ οἱ κατὰ τὴν ξηρὰν δυσκρασίαν, εἰ μετὰ ψυχρότητος εἴη τὴν βλάβην ἴσχουσι. καὶ ὅλως ὅσοι κατὰ τὰς ποιότητας μόνας ἐβλάβησάν τι μόριον. αἱ γὰρ ἐπὶ χυμοῦ δυσκρασίαι τῶν κενούντων αὐτὰς δέονται φαρμάκων. αἱ δ' ἄνευ τούτων εἰς μαρασμὸν ἀφικνοῦνται πάντως ἐπὶ τῷ διὰ τῆς ἀλόης φαρμάκῳ, ἔνθα τοίνυν ὑγρότης μοχθηρὰ διαβρέχει τοὺς χιτῶνας

odorati apponunt. At vero ipſam aloën Andromachus quidem lotam, aliqui vero ex aliis etiam ſic, aliqui vero illotam adjiciunt. Verum noſſe operae pretium eſt ad ventris ſubductionem illotam aloën aptiorem eſſe, multum vero de medicamentoria vi deponere lotam, quam etiam febricitantibus dare aliquis audeat, ſi non vehemens, ſed valde debilis ſit febris. Quidam vero etiam ex illota aloë medicamentum multis ſic febricitantibus exhibuerunt, deindeque quum nihil manifeſte laeſiſſent, in aliis rurſus magnam experti ſunt cladem. Infeſtiſſima eſt enim aloë etiam lota iis qui citra vitiatos humores ex intemperie calida et ſicca afſliguntur. Proximam ab his cladem percipiunt, qui ſiccam intemperiem habent cum frigiditate implicata, et in univerſum, qui ex ſola qualitate partem aliquam affectam ac laeſam habent. Etenim in humoribus intemperaturae medicamentis ipſas evacuantibus egent, quae vero absque his conſiſtunt, penitus in tabem deveniunt ex medicamenti hujus ex aloë conſtantis uſu. Itaque ubi humiditate vitiata tuni-

Ed. Chart. XIII. [564.] Ed. Baſ. II. (275.)

τῆς γαστρὸς, ἡ δι' ἀλόης πικρὰ χρήσιμος, ἐκκαθαίρουσα τὴν ὑγρότητα. πάντως δὲ τοῖς οὕτω διακειμένοις ὑπάρχει σύμπτωμα ναυτιῶδες ἧττον ἢ μᾶλλον. αὕτη μὲν οὖν ἡ κένωσις τοῦ λυποῦντος χυμοῦ διὰ τῆς ἀλόης γίνεται μόνης, καθαρτικὴν ἐχούσης δύναμιν οὐκ ἰσχυρὰν, ἀλλ' ὥστε τὰ μὲν κατὰ τὴν κοιλίαν ὧν ψαύει δύνασθαι καθαίρειν, κἂν πλείων ποτὲ δοθῇ, μέχρι τῶν κατὰ τὸ ἧπαρ ἀναβαίνει χωρίων, οὐ μὴν ὅλου τοῦ σώματός ἐστι καθαρτικὸν ἡ ἀλόη. τῶν μιγνυμένων δ' αὐτῇ μαστίχη μὲν ὡς εὐστόμαχός τε καὶ εὐώδης, θραῦσαι τὸ φαρμακῶδες τῆς ἀλόης δυναμένη μίγνυται. κινάμωμον δὲ πρὸς αὐτοῖς ὅτι λεπτομερέστατόν ἐστιν, ὡς ἀναστομοῦν τε ἅμα τοὺς πόρους τῆς γαστρὸς διαῤῥύπτειν τε καὶ λεπτύνειν εἴ πού τι γλίσχρον ἢ παχὺ τοῖς χυμοῖς ἐπιφέροιτο. τὰ γὰρ παχέα τῶν ὑγρῶν διὰ τὴν τῆς καθαρτικῆς δυνάμεως ἀῤῥωστίαν οὐ πέφυκεν ἕλκειν ἡ ἀλόη διὸ καὶ τῶν χολωδῶν τῶν ἐν τῇ γαστρὶ διαθέσεων ἄριστόν ἐστι φάρμακον, ὡς ἐν ἡμέρᾳ μιᾷ πολλάκις ἰάσασθαι, στομαχικῶς ἐνοχλεῖσθαι πεπιστευμένους πολλούς. ὠφελεῖ δὲ καὶ ταῦτα καὶ τἄλλα

cae ventris perſunduntur, picra ex aloë utilis eſt expurgans humiditatem, omnino autem ſic affectis acceſſio nauſeae plus aut minus adeſt. Evacuatio igitur affligentis humoris per ſolam aloen contingit, quae purgatoriam vim non fortem habet, ſed ut ea quae circa alvum ſunt, quae etiam contingit, purgare poſſit. Et ſi aliquando ampliori pondere exhibeatur, usque ad locos circa hepar conſcendit, non tamen totius corporis purgatoria aloë exiſtit. Caeterum ex iis, quae ei admiſcentur, maſtiche, ut ſtomacho commoda et odora et quae medicamentariam aloës vim frangere queat admiſcetur. Cinnamomum vero his additur, propterea quod tenuiſſimarum eſt partium, ut aperire ventris meatus poſſit extergereque ac attenuare, ſi quid viſcoſum aut craſſum in humoribus feratur, craſſos enim humores ob purgatoriae facultatis imbecillitatem aloë trahere non poteſt. Quapropter bilioſarum ventris affectionum optimum medicamentum eſt, adeo ut in uno die ſaepe multos ſtomacho ita affectos credita ſit perſanaſſe. Juvat autem et hos et alios

Ed. Chart. XIII. [564.] Ed. Baſ. II. (275.)

πάντα πάθη τα κακόχυμα τὸ κιννάμωμον μιγνύμενον, ἀλλοιωτικὴν ἐπὶ τὸ κατὰ φύσιν ἔχον δύναμιν τῶν μοχθηρῶν ποιοτήτων. εἰδέναι τοίνυν χρὴ τὰς ἐπὶ χυμοῖς μοχθηροῖς διαθέσεις κατά τε τὴν γαστέρα καὶ τὸν στόμαχον ὠφελουμένας μὲν διὰ τῶν τῆς ἀλόης φαρμάκων, εἰς μεγίστην δὲ βλάβην ἀφικουμένας ὑπὸ τῶν στυφόντων ἐδεσμάτων τε καὶ ποτίτων καὶ φαρμάκων. ὥσπερ γε πάλιν ἐφ' ὧν ὑγρότης πολλὴ καὶ οἷον πλάδος τίς ἐστι κατὰ τὸ πεπονθὸς ἄνευ κακίας χυμῶν, αὐτῷ μόνῳ τῷ ποσῷ λυποῦσα καὶ οἷον διάβροχον ἐργασαμένη τὸ τῆς γαστρὸς σῶμα χρησιμωτάτη τῶν στυφόντων ἐδεσμάτων τε καὶ ποτῶν καὶ φαρμάκων ἡ χρῆσίς ἐστιν, ἐκλύτου καὶ παρέτου γενομένου τηνικαῦτα τοῦ πεπονθότος, ὁμοίως τοῖς κεχαλασμένοις ἄρθροις, ἐφ' ὧν καὶ αὐτῶν ἡ τῶν στυφόντων χρῆσις ἐπανορθοῦται τὴν διάθεσιν. ἀλλ' ἥ γε πικρὰ, περὶ ταύτης γὰρ ἡμῖν ὁ λόγος, ὥσπερ τὸ κιννάμωμον, οὕτω καὶ τἄλλα τὰ μὲν ὡς εὐστόμαχα, τὰ δὲ ὡς λεπτομερῆ καὶ ῥύπτοντα λαμβάνει, τῇ μὲν ἰσχύϊ πάμ-

omnes affectus ex vitiatis humoribus ortos cinnamomum admixtum, utpote quod alterantem habet facultatem vitioſarum qualitatum in id, quod ſecundum naturam habet. Quare ſcire oportet affectiones in humoribus vitiatis circa ventrem et ſtomachum maxime per medicamenta ex aloë juvari, in maximum vero detrimentum pervenire ex aſtringentium eduliorum, potuum ac medicamentorum uſu, quemadmodum vice verſa, in quibus humiditas multa et velut mador quiſpiam eſt circa affectam partem citra vitiatos humores, qui ipſe ſola quantitate et copia affligat et velut irriguum ventris os reddat, utiliſſimus aſtringentium eduliorum, potuum ac medicamentorum uſus exiſtit, languida nimirum et exoluta tunc reddita affecta particula ad modum laxatorum articulorum, in quibus ipſis etiam aſtringentium uſus corrigit affectionem. Caeterum piora confectio, de hac enim nobis ſermo eſt, velut cinnamomum, ſic etiam alia partim ut ſtomacho commoda, partim ut tenuium partium et extergentia aſſumit, quae robore quidem mul-

Ed. Chart. XIII. [564. 565.] Ed. Baſ. II. (275. 276.)

πολυ κινναμώμου λειπόμενα, τὸ δὲ γένος τῆς δυνάμεως ταὐτὸν ἔχοντα. δευτέραν ἐπὶ τῇ προγεγραμμένῃ συνθέσει ὁ Ἀνδρόμαχος κατὰ λέξιν οὕτως ἔγραψεν, ὡς Λάμπων ὁ Πηλουσιώτης. ℔ κινναμώμου, καλάμου ἀρωματικοῦ, κασσίας μελαίνης, ξυλοβαλσάμου, σχοίνου ἄνθους, ἑλάτης ἀνὰ γο γ'. οἱ δὲ ἀνὰ γο α'. κόψας πάντα ἀδρομερῶς, ἐμβαλλε εἰς χύτραν καινὴν, ἐπιβαλὼν ὕδατος ὀμβρίου ξε. γ'. καὶ ἕψε ἕως τὸ ἥμισυ (276) λειφθῇ καὶ διηθησον καὶ λαβὼν ἀλόης Ἰνδικῆς λίτραν α'. ἐπίχει ὕδατος ὀμβρίου τὸ ἱκανὸν καὶ λέαινε τοῖς ὑπὸ κύνα καύμασιν ἕως ξηρανθῇ, [565] τούτῳ πρῶτον ἀπογλυκάνας τὴν ἀλόην τό τε ἀπὸ τῶν ἀρωματικῶν βαλὼν ὕδωρ λέαινε ἐν ἡλίῳ ἄχρι ξηρανθῇ, καὶ λεάνας λεῖα κατάμισγε ταῦτα, κρόκου, σμύρνης, μαστίχης ἀνὰ γο γ'. οἱ δὲ ἀνὰ γο α'. συλλεάνας ὁμοῦ πάντα, ἀπόθου ξηρὸν καὶ χρῶ ποτίσματι πρὸς σπάσματα, ῥήγματα, πληγὰς τῶν ἐντὸς, ἐναρχομένους πόνους πλευρῶν καὶ ἐπὶ τῶν πνευματουμένων, στομάχους ἀλγούντων καὶ βραδυπεπτούντων καὶ αἷμα ἀνα-

tum a cinnamomo deficiunt, idem vero facultatis genus habent. Secundam a praefcripta compofitione Andromachus fic ad verbum tradidit. *Ut Lampon Peluſiota.* ℔ Cinnamomi, calami aromatici, caffiae nigrae, xylobalfami, floris junci odorati, palmae elates, fingulorum quadrantem, alii ʒ j, omnia in craffas partes tufa in ollam novam conjice, et aquae pluviae fextariis tribus infufis donec dimidium fuperfit coque et excola, et accepta aloes Indicae libra una, aquam pluviam fufficientem fuperfundito, et fub caniculae aeftus donec reficcetur terito, atque ubi primum per hanc aquam aloën ipfam dulcem feceris, poftea eam quae ab aromatis excolata eſt, aquam affundito et in fole, donec reficcetur, terito, indeque trita haec quae fequuntur admifceto, croci, myrrhae, maſtiches, fingulorum quadrantem, alii ʒ j, conterito fimul omnia et ficca reponito, atque in potionibus ad convulfa, rupta, plagas internarum partium incipientes laterum dolores utitor, item ad inflatos, dolentes ſtomachum, tarde concoquentes, rejicientes fanguinem et

Ed. Chart. XIII. [565] Ed. Baſ. II. (276.)

γόντων καὶ ἰσχιαδικῶν τὴν τελείαν δόσιν δίδου ἐν ὕδατος κυάθῳ ἑνὶ ὀβολὸν α'. οἷς δὲ ὀβολοὺς δύο, τοῖς δὲ ἄλλοις πρὸς δύναμιν. ἐπὶ δὲ τῶν τραυμάτων καὶ φλεγμονῶν διηθὲν, ὀξυμέλιτος πάχος ἐπιτεθειμένον. ἐπὶ δὲ τῶν ἐν ὀφθαλμοῖς φλεγμονῶν χυλῷ ἡδυόσμου ἢ καλαμίνθης ἢ στρύχνου ἢ τινος τῶν ὁμοίων. ἐπὶ δὲ τῶν ἐν δακτυλίῳ φλεγμονῶν ἐν ῥοδίνῳ ἢ οἴνῳ Ἀμιναίῳ. χρῶ δὲ καὶ ἐπὶ παρωνυχιῶν ξηρῷ, ἐπάνω μοτῶν σὺν ῥοδίνῳ καὶ πρὸς αἱμορῥαγίας καὶ ξηρὸν σὺν ὄξει καὶ πρὸς ἐσχάραν ἐν στόματι, ἐν γλυκεῖ ἀναγαργαριζόμενον. τοῦτο τὸ φάρμακον, ὃ τοῦ Πηλουσιώτου Λάμπωνος εἶναί φησι τῶν πολυχρήστων ἐστὶ, περὶ ὧν εἴρηταί τι καὶ πρόσθεν, ὡς ἀπολειπόμενα τῶν ἔν τι ποιούντων ἄριστα τῷ πλήθει τῆς ἐπαγγελίας σπουδάζεται, βουλομένων ἡμῶν ἓν ἔχειν μᾶλλον ἐπὶ παθῶν εἴκοσιν ἁρμόζον ἢ τοσαῦτα τὸν ἀριθμὸν ἕτερα βελτίω καθ' ἓν ἕκαστον πάθος ἑνὸς τοῦ πολυχρήστου. δύναμις δὲ αὐτοῦ, καθ' ἣν ἐπὶ τῶν προειρημένων ἐνεργεῖ, λεπτομερής τε καὶ θερμαίνουσα καὶ τέμνουσα

ſchiadicos. Datur ad ſummum obolus j aut duo ex aquae cyatho uno, reliquis pro viribus praebeto. In vulneribus et inflammationibus dilutum aceto mulſo uticiter imponitur, in oculorum inflammationibus ſucco menthae aut calaminthae aut ſolani aut alicujus conſimilis. In podicis inflammationibus cum roſaceo aut vino Aminaeo. Utere etiam in paronychiis ſicco ſuperne linamento cum roſaceo impoſito, et ad ſanguinis eruptiones ſicco cum aceto, et ad cruſtas in ore ex paſſo gargariſſandum dato. Hoc medicamentum, quod Peluſiotae Lamponis eſſe ait, ex iis eſt quae ad multos affectus commoda ſunt, de quibus etiam ante aliquid dictum eſt, quod videlicet deficiant ab iis, quae unum quoddam optime faciunt ob multitudinem eorum, quae promittunt. Apparantur autem quum unum habere viginti affectionibus congruum malumus, quam tot numero alia, quum tamen ad ſingulas affectiones unum aliquod deſtinatum eo, quod ad plures paratum eſt melius exiſtat. Facultas autem ipſius, per quam in praedictis efficax eſt,

Ed. Chart. XIII. [565.] Ed. Baf. II. (276.)

καὶ διαῤῥύπτουσα καὶ ἀναστομῶσα καὶ διὰ ταῦτα διαφορητικὴ τῶν πλεοναζόντων ἐν τισι μορίοις ἰχώρων τε καὶ χυμῶν, κατὰ τοῦτο δὲ καὶ τοῖς προκειμένοις ἐν τῷ λόγῳ πάθεσιν ἁρμόττει διαφοροῦν τοὺς μοχθηροὺς, ὡς ἔφην, ἰχῶρός τε καὶ χυμοὺς τῶν πεπονθότων μορίων, ὥστε καὶ τὰς προειρημένας τῆς κοιλίας διαθέσεις, ἐφ' ὧν ἡ πικρὰ κάθαρσιν ἐργάζεται μετρίαν, ἰάσαιτο τῷ ξηραίνειν κατ' ὀλίγον οὐ τῷ κενοῦν ἀθρόως, ἀμείνων οὖν εἰς τὰς τοιαύτας διαθέσεις ἡ πρώτη γεγραμμένη πικρά. τρίτον ἐπὶ τοῖς προγεγραμμένοις ὁ Ἀνδρόμαχος ἔγραψε φάρμακον ὧδί πως.

[Πρὸς στομαχικοὺς καὶ κοιλιακοὺς ὁ πικρὸς τροχίσκος μαλάσσει κοιλίαν, ποιεῖ καὶ πρὸς ὕπνον καὶ ἔστιν ἐκ τῶν Ἀφρόδα. ποιεῖ καὶ πρὸς κύστιν καὶ πρὸς τὰ ἐν κώλῳ] ℔ Σελίνου σπέρματος ≺ στ'. ἀνίσου ≺ στ'. πεπέρεως λευκοῦ ≺ α' S''. καστορίου ≺ β'. σμύρνης ≺ α' S''. νάρδου Κελτικῆς τοῦ ἄνθους ≺ α' S''. ὀπίου ≺ α' S'. κινναμώμου ≺ α' S''. ἀψινθίου κόμης ≺ γ'. ἁλόης τριώβολον, μαστίχης ≺ α'. μεθ' ὕδατος ἀνάπλασσε τροχίσκους τριωβολιαίους ἢ

tenuium partium exiſtit et caleſactoria, ſecans, extergens et aperiens et ob id diſcuſſoria redundantium in quibusdam partibus ſeroſorum ſuccorum ac humorum. Et propterea etiam praedictis in ſermone affectibus convenit, discutiens, ut dixi, vitioſos et ſeroſos ſuccos ac humores affectarum partium, quare etiam praedictas alvi affectiones, in quibus picra confectio moderatam purgationem operatur, curaverit per modicam reſiccationem, non per coacervatam evacuationem. Praeſtantior igitur eſt ad hujusmodi affectus picra compoſitio prima deſcripta. Tertium poſt praedicta medicamentum Andromachus ſic deſcripſit.

[*Ad ſtomachicos et coeliacos paſtillus amarus mollit alvum, facit ad ſomnum. Eſt autem ex libris Aphrodae. Facit et ad veſicam et coli affectus.*] ℔ Seminis apii ʒ vj, aniſi ʒ vj, piperis albi ʒ j ß, caſtorii ʒ ij, myrrhae ʒ j ß, nardi Celticae floris ʒ j ß, opii ʒ j ß, cinnamomi ʒ j ß, comae abſinthii ʒ ij, aloës obol. iij, maſtiches ʒ j, cum aqua pallillos formato triobolares aut drachmales et dato cum

Ed. Chart. XIII. [565. 566.] Ed. Baf. II. (276.)

ἀνὰ ⊰ α'. καὶ δίδου μεθ' ὕδατος κυάθων γ'. οὐδ' ἐπὶ τούτου τοῦ φαρμάκου προσέγραψεν ὁ Ἀνδρόμαχος, ὁποίους λέγει στομαχικοὺς τούς τι πάσχοντας. ἐκ δὲ τοῦ προσκεῖσθαι τῇ συνθέσει τὸ ὀπίου ὁ συνθεὶς τὸν τροχίσκον εὔδηλός ἐστιν ἐστοχασμένως τοῦ ξηραντικόν τε ἅμα καὶ ἀνώδυνον ἐργάσασθαι τὸ φάρμακον, ὕπνον τέ τινα φέρον, οὐ μὴν πρὸς μίαν γε τῶν εἰρημένων διαθέσεων ἀγωνιστικῶς ἱστάμενος, ἐκκόψαι διὰ ταχέων αὐτήν. τέταρτον ἄλλο φάρμακον ὁ Ἀνδρόμαχος ἔγραψεν, οὐδὲ πρὸς μίαν διάθεσιν ἀγωνιστικῶς συγκείμενον οὔτε πρὸς πολλὰς μετρίως. ἔχει δὲ οὕτως ἡ γραφή.

[566] [*Πρὸς στομαχικοὺς ἱερὰ Ἀντιπάτρου.*] ℞ Ἀλόης καλῆς ⊰ δ'. μαστίχης ⊰ β'. ἀσάρου ⊰ δ'. ῥόδων ξηρῶν, σχοίνου, μήου, φοῦ, κασσίας ὁμοίως ἀνὰ γο S''. ξηρῷ λείῳ χρῶ ὡς ἐπὶ τῆς ἀλόης. τὸ πέμπτον δὲ ἐπὶ τούτοις φάρμακον, ὃ δι' ἀρνογλώσσου χυλοῦ σκευάζεται, καὶ φησιν Ἀπολλωνίου εἶναι αὐτό, τοιοῦτόν ἐστιν. ℞ ἀρνογλώσσου χυλοῦ ξηροῦ ⊰ γ'. μαστίχης ⊰ β'. σμύρνης ⊰ α'. ἡδυόσμου ⊰ α'. ζιγ-

aquae cyathis tribus. Neque in hoc medicamento adfcripfit Andromachus, quosnam ſtomachicos dicat ex iis, qui quidpiam patiuntur, verum ex eo, quod compoſitioni additum eſt opium, manifeſtum fit, compoſitorem hujus medicamenti intentionem ſuam eo direxiſſe, ut reficcatorium ſimul et doloris ſedatorium medicamentum efficeret, ſomnumque aliquem induceret, non tamen contentioſe contra unum aliquem ex praedictis affectibus inſtando, quo videlicet brevi ipſam excideret. Quartum deinde medicamentum Andromachus ſcripſit, neque ad unum aliquem affectum contentioſe compoſitum, neque ad multas moderate. Habet deſcripto hoc modo.

[*Ad ſtomachicos hiera Antipatri.*] ℞ Aloës bonae ʒ iv, maſtiches ʒ ij, aſari ʒ iv, roſarum ſiccarum, junci odorati, mei, phu, caſſiae, ſingulorum ʒ ſ. Utere arido trito, quemadmodum in hiera ex aloë. Quintum poſt haec medicamentum, quod ex plantaginis ſucco praeparatur et ipſum Apollonii eſſe ait, tale eſt. ℞ Sueci plantaginis aridi ʒ ij, maſtiches ʒ ij, myrrhae ʒ j, mentae ʒ j, zingib. ʒ j. Videtur

Ed. Chart. XIII. [566.] Ed. Baſ. II. (276.)

γιβέρεως ≺ α'. δοκεῖ μοι ταύτης τῆς δυνάμεως ὁ Ἀπολλώνιος πεπειρᾶσθαι, θερμοτέραν διάθεσιν ἔχοντος τοῦ στομάχου, καὶ οὕτως αὐτὴν ἀδιορίστως ἐπαινεῖν, οὐ δυναμένην ἐπὶ τῶν ψυχρὰν ἐχόντων διάθεσιν ἁρμόττειν, ἐμψυκτικὸς γάρ ἐστιν ὁ τοῦ ἀρνογλώσσου χυλός· ἡ δὲ ἐφεξῆς γεγραμμένη δοκεῖ μοι συντίθεσθαι προσπταίσαντος ἐν τῇ τῆς προτέρας χρήσει τοῦ συνθέντος αὐτὴν καὶ γνόντος ὡς ἐμψῦχον ἐποίησε τὸ φάρμακον, εἶτα διὰ τοῦτο καστορίου τε προσθέντος ὀλίγον καὶ ἀλόης τι κενοῦν δυναμένης καὶ μαστίχης ὡς εὐστομάχου καὶ κρόκου καὶ σμύρνης ὡς πέπτειν δυναμένων. διόπερ οὔτε τοῦτο τὸ φάρμακον οὔτε τὸ πρὸ αὐτοῦ παραλάβοιμι ἂν ἐπὶ στομαχικῆς διαθέσεως, οὐδεμίαν ἰάσασθαι καλῶς δυνάμενα πλὴν τῆς ἱκανῶς θερμῆς. ἔγραψε δ' οὕτως αὐτό. ℞ ἀρνογλώσσου χυλοῦ ξηροῦ ≺ ι'. ἀλόης Ἰνδικῆς ≺ α'. μαστίχης ≺ α'. κρόκου ὀβολοὺς β'. ὀπίου τριώβολον, καστορίου τριώβολον, σμύρνης ≺ α'. ἀνάπλασσε ἡλίκα ἐρέβινθος. ὡσαύτως δὲ οὐδὲ τὸ ἐφεξῆς γεγραμμένον ἄνευ διορισμοῦ καλῶς ἄν τις παραλάβοι κατὰ διάθεσιν ἄλλην, ὅτι

mihi Apollonius hanc compoſitionem experimento cognoviſſe in ſtomacho calidiorem affectum habente, atque ita ipſam indiſcriminatim extuliſſe, non potentem frigidis affectibus convenire, refrigeratorius enim eſt plantaginis ſuccus. Porro quae ſequitur, videtur mihi compoſita eſſe ab eodem auctore, in prioris uſu ſucceſſum non ſentiente et cognoſcente medicamentum refrigeratorium ſe effeciſſe et ob id caſtorii modicum et aloës quippiam apponente, quae evacuare poteſt, et maſtichen ut ſtomacho commodam, ac crocum et myrrham, ut quae coneoquere queant. Quapropter neque hoc neque hoc praecedens medicamentum adhibuerim in ſtomachico affectu, quum nullum probe curare poſſint, praeterquam multum calidum. Scripſit de ea hoc modo. ℞ Succi plantaginis ſicci ʒ x, aloës Indicae ʒ j, maſtiches ʒ j, croci obol. ij, opii obolos tres, caſtorii obolos tres, myrrhae ʒ j, formato ad magnitudinem ciceris. Similiter autem neque conſequenter ſcriptum citra diſcrimen recte quis adhibuerit in alio affectu quam qui moderata

Ed. Chart. XIII. [566.] Ed. Baſ. II. (276.)

μη μετρίας ξηρότητος καὶ στύψεως δεομένην, ἐπὶ χυμοῖς ὀλίγοις μὲν, μοχθηροῖς δὲ τῇ ποιότητι, σύγκειται γὰρ ἔξ ἠλέκτρου καὶ μαστίχης, ὥδί πως αὐτὸ γράψαντος καὶ τοῦ Ἀνδρομάχου. ♃ ἠλέκτρου, μαστίχης Χίας, τὴν ἤλεκτρον πλείονα βάλλε, δίδου κοχλιάριον ἕν, λεάνας ὕδατι. τὸ δ' ἐφεξῆς τῶν προγεγραμμένων φαρμάκων, οὕτω πως ἔχον ἐν τῇ γραφῇ, στομαχικὴ Γάλλου τῇ θερμαίνεσθαί τε καὶ τέμνεσθαι δεομένῃ διαθέσει χρήσιμός ἐστιν ἐκ μαράθρου καὶ ὄξους καὶ μέλιτος συγκειμένη, ἣν κατὰ λέξιν ἔγραψεν οὕτως ὁ Ἀνδρόμαχος. στομαχικὴ Γάλλου. ♃ μαράθρου χλωροῦ ῥίζης φλοιοῦ λίτρας S''. ὄξους δριμέος ξε. α' S''. ἀλόης γο γ'. μέλιτος Ἀττικοῦ λίτραν μίαν. τὰς ῥίζας πλύνας ἔμβρεχε τῷ ὄξει ἡμέρας γ'. εἶτα ἕψονται εἰς τὸ τρίτον, εἶτα ὅταν ἐφθαὶ γένωνται, ἐκθλιβεῖσαι ῥίπτονται, ἐπιχέας δὲ τὸ μέλι συνέψει, εἶτα ἐπίπασσε τὴν ἀλόην καὶ δίδου κοχλιάρια γ'. σὺν ὕδατι. Ἀλκέτιος δὲ ὁ σοφιστὴς προσέθηκε τῇ γραφῇ, πηγάνου καὶ σελίνου ἐγκάρπων ἀνὰ χειροπληθὲς κελεύσας σὺν ταῖς ῥίζαις βρέχεσθαι καὶ τοῦ ὄξους ξε. S''. τοῦ μέλιτος λίτρας β'. καὶ

ſiccatione et adſtrictione opus habeat, in humoribus quidem modicis qualitate vero vitiatis, componitur enim ex ſuccino et maſtiche, ſic ipſo Andromacho prodente. ♃ Succini, maſtiches Chiae, ſuccini plus conjice. Dato cochleare unum ex aqua tritum. Caeterum quod ſequitur medicamentum hac deſcriptione, ſtomachica Galli, affectui, qui caleſieri et incidi poſtulat, utilis exiſtit, ex foeniculo, aceto et melle conſtans, quod ipſum Andromachus his verbis tradidit. *Stomachica Galli.* ♃ Corticis radicis foeniculi viridis librae dimidium, aceti acris ſextarium unum et dimidium, aloës quadrantem, mellis Attici lib. j. Radices lotas ad triduum aceto macerato, deinde coquito, atque ubi coctae fuerint, expreſſas projicito et affuſo ad acetum melle ſimul coquito, deinde aloën inſpergito, et cochlearia tria cum aqua dato. Alcetius ſophiſta ad hanc deſcriptionem addidit rutae et apii, ſemina gerentium, utriusque manipulum jubens cum radicibus macerari ac coqui, et aceti ſextarium

Ed. Chart. XIII. [566. 567.] Ed. Baſ. II. (276. 277.)

ταύτην ἐπαινεῖ. τοῖς προγεγραμμένοις ἑφεξῆς ἔγραψεν ὁ Ἀνδρόμαχος οὕτως εἰπών. στομαχικὴ ὡς Νικόστρατος. ℔ καθαρᾶς ἠλέκτρου, Χίας μαστίχης, ἴρεως Ἰλλυρικῆς ἀνὰ γο δ'. ῥόδων ἄνθους γο β'. δίδου ξηροῦ λείου κοχλιάρια β'. μεθ' ὕδατος γαλακτώδους, εὐθὺς γὰρ ἄπονον ποιεῖ, ἐν κερατίνῳ δὲ ἀποκείσθω. καὶ τοῦτο δὲ τὸ φάρμακον εὔδηλον ὅτι στυπτικώτερόν πως ἐστι καὶ δεῖται διαθέσεως ὑγροτέρας ἐπὶ χυμοῖς οὔτε πολλοῖς οὔτε λίαν δακνώδεσιν, ἐφ' οἷς, οἶμαι, πειραθέντα τὸν συνθέντα τὸ φάρμακον ἢ χρώμενον αἵπτῳ συνεχῶς, ἄπονον ποιῆσαι τὸν κάμνοντα καὶ καθολικὴν ἀποφασιν προσθεῖναι τῷ φαρμάκῳ, τοῦ ποιεῖν εὐθέως ἄπονον (277) τὸν κάμνοντα, οὐ δυνάμενον ἐπὶ πολλῶν τοῦτο πρυίττειν. καὶ τὸ τελευταῖον γεγραμμένον φάρμακον ὑπ' Ἀνδρομάχου τόνδε τὸν τρόπον [567] πρὸς στομαχικούς. ℔ μαράθρου ῥίζης φλοιοῦ ≺ β'. οἴνου κυάθους γ'. ἕψε ἕως γένηται κύαθος εἷς, καὶ δίδου ὅλον, καὶ τοῦτο τῶν θερμαινόντων ἐστὶ καὶ δεῖται διαθέσεως θερμαίνεσθαι δεομένης.

dimidium et mellis libras duas conjicit, atque hanc laudat. Poſt praeſcripta medicamenta Andromachus ſic ait. *Stomachica, ut Nicoſtratus.* ℔ Succini puri, maſtiches Chiae, iridis Illyricae, ſingulorum trientem, floris roſarum ſextantem, dato aridi triti cochlearia duo cum aqua lactea, ſtatim enim dolorem levat, reponatur in corneo vaſe. Et hoc medicamentum palam eſt adſtringentius quodammodo eſſe, optatque affectum humidiorem in humoribus non multis, neque valde mordacibus, in quibus ſane experimentum medicamenti feciſſe ejus auctorem opinor, aut certe aſſiduo ejus uſu aegrum a dolore levaſſe, atque inde univerſalem pronunciationem ipſi appoſuiſſe, quod videlicet ſtatim aegrum a dolore levet, quum non poſſit id in multis praeſtare. Poſtremum deinceps medicamentum ab Andromacho ſcriptum hoc modo eſt. *Ad ſtomachicos.* ℔ Corticis radicis foeniculi ʒ ij, vini cyathos tres, coquito doneo unus cyathus ſuperſit, ac totum praebeto. Et hoc ex calefacientibus eſt, opusque habet affectu qui calefieri expetat.

Ed. Chart. XIII. [567.] Ed. Baſ. II. (277.)

Κεφ. γ'. [*Περὶ τῶν ὑπ' Ἀσκληπιάδου γεγραμμένων στομαχικῶν φαρμάκων ἐν τῷ πρώτῳ τῶν ἐντός.*] Ἤρξατο μὲν οὖν αὐτῶν ὠδί πως, πρὸς στομάχου ἀνατροπάς. τίνας δὲ λέγει ἀνατροπὰς οὐκ ἐδήλωσε σαφῶς. δύναται μὲν γὰρ καὶ τὰς ἀνορεξίας λέγειν, δύναται δὲ καὶ τὰς ἐπὶ τῇ τροφῇ γινομένας ναυτιώδεις διαθέσεις. ἐνίοτε μὲν γὰρ ἓν τοῦτο μόνιον σύμπτωμα γίνεται μετὰ τὰς ἐδωδάς, ἂν κινηθῶσιν ἰσχυροτέραν βραχὺ κίνησιν εὐθέως ἐμοῦσι. καλοῦσι γοῦν ἔνιοι καὶ τοὺς τοιούτους στομαχικοὺς καὶ ὑπτιοῦσθαι τὸν στόμαχον αὐτοῖς φασιν. ἕπεται δὲ τὸ σύμπτωμα τοῦτο ποτὲ μὲν ἀτονίᾳ μόνῃ τοῦ στόματος τῆς κοιλίας, οὐ δυναμένου περιστέλλεσθαι τοῖς σιτίοις ὁμοίως τῷ παντὶ κύτει τῆς γαστρὸς, ἔσθ' ὅτε δὲ καὶ μετὰ τοῦ μοχθηράν τινα περιέχειν ὑγρότητα βραχεῖαν. ἡ γὰρ πολλὴ, καθάπερ γε καὶ ἡ πάνυ μοχθηρὰ καὶ χωρὶς τροφῆς, ἐργάζεται τὴν ναυτίαν, ἀλλ' ὅ γε καλούμενος ὑπὸ τῶν πολλῶν ὑπτιασμὸς τοῦ στομάχου γίνεται μὲν καὶ κατὰ δυσκρασίαν ἠντιαοῦν ἄνευ κακίας ὑγρῶν, γίνεται δὲ καὶ δι' ὑγρότητα πολλὴν μὲν, οὐ μὴν κακοήθη

Cap. III. [*Stomachica medicamenta ab Aſclepiade in primo internorum conſcripta.*] Aſclepiades porro de ſtomachicis ſcripturus de ipſis ſic orditur. Ad ſtomachi ſubverſiones. Quas vero ſubverſiones dicat, non manifeſte indicavit. Poteſt enim et inappetentiam ita appellare. Poteſt etiam nauſeoſos affectus, qui ab accepto cibo fiunt, aliquando enim hoc unum ſolum ſymptoma accidit accepto cibo, ut ſi paulo fortiori motu moveantur ſtatim vomant, appellant igitur aliqui etiam tales ſtomachicos et ſtomachum ipſis ſupinum reddi ajunt. Sequitur autem hoc ſymptoma quandoque ad ſolam oris ventris debilitatem, quod cibos amplecti non poteſt, velut tota ventris amplitudo ſolet. Quandoque vero et cum vitiatae alicujus, modicae tamen humiditatis complexu, etenim multa, quemadmodum etiam valde vitiata etiam citra cibum nauſeam efficit. Caeterum quae a multis vulgo reſupinitas ſtomachi appellatur, contingit quidem juxta intemperiem quamcunque tandem citra vitiatos humores. Fit etiam per humiditatem multam quidem,

Ed. Chart. XIII. [567.] Ed. Baſ. II. (277.)

τῇ ποιότητι. διαβρεχόμενος γὰρ ὁ στόμαχος ὑγρότητι δαψιλεῖ χαλᾶται τοῖς συνδετικοῖς νεύροις ὁμοίως. εὐϊατοτάτη τοιγαροῦν ἡ διάθεσις αὕτη σχεδὸν ἁπασῶν ἐστι δεομένη φαρμάκων, ξηρᾶναι μὲν τὴν ὑγρότητα δυναμένων, συνάγειν δὲ καὶ σφίγξαι τὸ κεχαλασμένον σῶμα. διὰ βάθους μὲν οὖν ἐκτεταμένης τῆς ὑγρότητος καὶ παχείας καὶ γλίσχρας οὔσης, χρεία μίξεώς ἐστι φαρμάκου λεπτυντικοῦ τε καὶ ὡς ἂν εἴποι τις διαβρωτικοῦ, ὁποῖόν ἐστιν ὄξος τε καὶ ὀξύμελι. μήτε δὲ τοιαύτης οὔσης τῆς ὑγρότητος μήτε διὰ βάθους ἱκανὰ μόνα τὰ στύφοντα θεραπεύειν ἐστί. τὸ τοίνυν προκείμενον ἐν τῷ λόγῳ φάρμακον οὐ τῶν μετρίων ὑπτιασμῶν, ἀλλὰ τῶν ἰσχυροτέρων ἐστὶν ἰατικόν. ἦν δ' ἂν μετρίων, εἰ τὰ στύφοντα μόνα τις ἔμιξεν ἢ καὶ τῶν θερμαινόντων τι, ψυχρᾶς τῆς διαθέσεως αἰσθανόμενος. ἱκανὸν δὲ γνώρισμα τοῦ ψυχροτέραν τὴν διάθεσιν εἶναι πρὸς τῇ τοῦ κάμνοντος αἰσθήσει τὸ ἄδιψον. ὅταν γὰρ μήτε διψώδης εἴη μήτε καύματος αἰσθάνηται κατὰ τὸ τῆς κοιλίας στόμα, δῆλόν ἐστιν οὐκ εἶναι θερμὴν τὴν διάθεσιν. ἐπιτήδεια τοίνυν ἐστὶν εἰς τὰ

non tamen malignae qualitatis, irriguus enim ſtomachus per largam humectationem ſimiliter ut ligamenta nervorum laxatur. Facillime itaque curabilis haec eſt affectio ex omnibus fere aliis, medicamentis indigens, quae ſiccare humiditatem et coagmentare et conſtringere laxatum corpus valent. Ubi igitur per profundum fuerit extenta humiditas craſſaque ſit et viſcoſa, opus eſt mixtura medicamenti attenuatorii et ſi ita dicere libeat corroſivi, quale eſt acetum et acetum mulſum. Si vero neque talis ſit humiditas neque in altum extenſa, aſtringentia ſola ſuffecerint ad curationem. Propoſitum igitur in ſermone medicamentum non moderatarum reſupinitatum, ſed fortiorum eſt curativum, eſſet autem et moderatarum ſanativum, ſi aſtringentia ſola quis miſceret aut etiam ex calefacientibus quippiam, ſi frigidum eſſe affectum ſentiret. Sufficiens autem ſignum eſt frigidi affectus, ſi aeger ſe non ſitire percipiat, ubi enim neque ſiticuloſus fuerit neque ardorem ſenſerit in ore ventris, palam eſt affectum non calidum eſſe. Idonea itaque ſunt

Ed. Chart. XIII. [567. 568.] Ed. Baſ. II. (277.)

τοιαῦτα πάθη τῆς γαστρὸς τὰ γεγραμμένα τέτταρα φάρμακα κἀχὼ νῦν γράψω κατὰ τὴν αὐτοῦ Ἀσκληπιάδου λέξιν τε καὶ τάξιν.

[*Πρὸς στομάχου ἀνατροπάς.*] ℞ Ῥοιᾶς ὀξείας τῶν πυρήνων τεθλασμένων τοῦ χυλοῦ ξε. γ'. ἡδυόσμου χυλοῦ ξε. α'. μέλιτος Ἀττικοῦ ξε. α'. βαλὼν εἰς ἀγγεῖον κεραμεοῦν ἕψε κινῶν συνεχῶς, καὶ ὅταν συστραφῇ, ἆρας ἀπὸ τοῦ πυρὸς ἀπόθου. ἐν δὲ τῇ χρήσει δίδου πρὸ τροφῆς μύστρον α'. ἢ καὶ δύο. ἄλλο, ποιεῖ καὶ δυσεντερικοῖς καὶ ἐμοῦσι τὴν τροφήν. ℞ μηλέας κυδωνίας τῆς ῥίζης λίτραν α'. οἴνου μυρτίτου ξε. γ'. ἕψε εἰς τὸ τρίτον, εἶτα ἐκθλίψας τὸ ὑγρὸν, ἐπίβαλλε μέλιτος Ἀττικοῦ λίτραν α' S''. καὶ πάλιν ἕψε συνεχῶς κινῶν καὶ ἀνελόμενος, δίδου καθὰ προείρηται.

[568] [*Ἡ διὰ τῶν ὀπωρῶν. ποιεῖ πρὸς στομάχου ἀνατροπὴν καὶ κοιλιακοῖς καὶ δυσεντερικοῖς.*] ℞ *Μῆλα Κυδώνια ἀριθμῷ ι'. οὖα ἀριθμῷ ν'. μέσπιλα ἀριθμῷ ν'. ῥοῦ ἐρυθροῦ ξε. α'. ὕδατος χοὰς στ'. τὰς ὀπώρας θλάσας καὶ βαλὼν εἰς ὕδωρ ἕψε φιλοπόνως. καὶ ὅταν διαλυθῇ, ἐκθλιβε τὸ*

ad hujusmodi ventris affectus quatuor medicamenta ab Aſclepiade conſcripta, quae etiam ego nunc ſcribam ipſius Aſclepiadae et verbis et ordine ſervatis.

[*Ad ſtomachi ſubverſiones.*] ℞ Nucleorum mali punici acidi tuſorum ſucci ſextarios iij, ſucci mentae ſextarium j, mellis Attici ſextarium j, in vas fictile conjicito ac coquito aſſidue agitando, et ubi denſata fuerint, ab igne ablata reponito. Tempore uſus dato myſtrum j aut duos ante cibum. *Aliud, facit ad dyſentericos et vomentes cibum.* ℞ Radicis mali cotoneae lib. j, vini myrtei ſextarios tres, coquito ad tertias, deinde exprimito liquorem et mellis Attici ſeſquilibram addito, rurſusque coquito aſſidue movendo. Dato ex repoſito velut dictum eſt.

[*Conſectio ex fructibus, facit ad ſtomachi ſubverſionem coeliacos et dyſentericos.*] ℞ Mala cotonea numero decem, ſorba numero quinquaginta, meſpila quinquaginta, rhois rubri ſextarium j, aquae congios ſeptem. Fructus tuſos et in aquam conjectos diligenter coquito, et ubi diſſo-

Ed. Chart. XIII. [568.] Ed. Baſ. II. (277.)

ὑγρὸν καὶ πάλιν ἕψε, ἐκβαλὼν τὸ ἀχυρῶδες τῶν ὀπωρῶν, καὶ ὅταν τὸ τρίτον τοῦ ὑγροῦ ὑπολειφθῇ, ἐπίβαλλε μέλιτος Ἀττικοῦ λίτρας δ'. καὶ ἕψε ἐπ' ἀνθράκων κινῶν συνεχῶς, καὶ ὅταν συστραφῇ, ἄρας ἀπόθου. ἡ χρῆσις δεδήλωται. ἄλλο. ♃ οὔων πεπείρων ξε. α'. μύρτων μελάνων ξε. α'. ῥοῦ Συριακοῦ ξε. α'. κοκκυμήλων ἀγρίων ξε. α'. μεσπίλων ξε. α'. φοινικοβαλάνων Θηβαϊκῶν λίτρας β'. μῆλα κυδώνια ι'. ῥοιὰς ὁλοκλήρους σὺν τοῖς πυρῆσιν ι'. γλεύκους Ἀμιναίου ξε. μή'. σκεύαζε κατὰ τρόπον καὶ τὸ ὑγρὸν ἐκθλίψας, πάλιν ἕψε φιλοπόνως, ὥστε συστραφῆναι, καὶ χρῶ καθὰ προείρηται, ὁμοίως ταῖς προγεγραμμέναις δυνάμεσιν. πέμπτην ἔγραψεν ὁ Ἀσκληπιάδης ὧδί πως.

[*Καταπότια πρὸς στομάχου ἀνατροπὰς Ὀριγενείας, καλὰ καὶ δόκιμα λίαν.*] ♃ Ῥόδων ἄνθους ⊰ ἡ'. μυρσίνης μελαίνης τοῦ καρποῦ, χωρὶς τῶν γιγάρτων, ὀξύβαφον, ὑοσκυάμου σπέρματος ὀξυβάφου ἥμισυ, τρῖβε ὁμοῦ φιλοπόνως κατὰ μι-

luti fuerint, liquorem exprimito, ac rurſus coquito ejecto eo, quod ex fructibus inſtar palearum exuccum reliquum eſt, quum vero tertia pars liquoris ſuperfuerit, mellis Attici ℔ iv addito, et ad prunas aſſidue agitando coquito ac ſpiſſata reponito. Uſus oſtenſus eſt. *Aliud medicamentum.* ♃ Sorborum maturorum ſextarium j, baccarum myrti nigrarum ſextarium j, rhois Syriaci ſextarium j, prunorum ſilveſtrium ſextarium j, meſpilorum ſextarium j, phoenicobalanorum Thebaicorum lib. duas, mala cotonea decem, mala punica integra una cum nucleis decem, muſti Aminaei ſextarios xlviij. Praepara pro conſuetudine et expreſſum liquorem rurſus diligenter coque donec ſpiſſetur. Utere ut dictum eſt. Porro poſt praeſcriptas confectiones quintam ſcripſit Aſclepiades hoc modo.

[*Catapotia ad ſtomachi ſubverſiones, Origeniae, bona et valde probata.*] ♃ Florum roſarum ʒ viij, baccarum myrti nigrae exacinatarum acetabulum, ſeminis hyoſcyami acetabuli dimidium. Terito ſimul diligenter ſufficiente pro-

Ed. Chart. XIII. [568.] Ed. Bal. II. (277.)

μρὸν ἐπιβαλὼν προτρόπου ὅσον ἐξαρκεῖ, ἔπειτα τούτοις ἐπιβάλλων φοινίκων πατητῶν ι'. τὴν σάρκα καὶ συλλεάνας, ἀνάπλασσε καταπότια ἐρεβίνθου τὸ μέγεθος καὶ δίδου γ'. ἢ καὶ δ'. καὶ μελικράτου παλαιοῦ κεκραμένου κυάθους β'. καὶ τοῦτο τὸ φάρμακον ἐπὶ τῶν αὐτῶν διαθέσεών ἐστι χρήσιμον, ἐφ' ὧν καὶ τὰ πρὸ αὐτοῦ τέσσαρα. βεβούληται δὲ ὁ συνθεὶς αὐτὸ καὶ ὑοσκυάμου σπέρμα μίξας διὰ τὴν μίξιν ταύτην ἀνωδυνώτερόν τε καὶ ὑπνοποιὸν ἐργάσασθαι μετὰ τοῦ καὶ ξηραίνειν. εὔδηλον δ' ὅτι καὶ ψυκτικὸν ἔχει τι τὸ σπέρμα τοῦ ὑοσκυάμου, καθάπερ καὶ τὰ τῆς μήκωνος, ὥστε πρὸς τὰς θερμὰς διαθέσεις ἁρμόττειν. ὅμοιον τῷ προγεγραμμένῳ φάρμακον ἐφεξῆς αὐτῷ γέγραπται κατὰ λέξιν τήνδε. ℞ ῥόδων προσφάτων χωρὶς τῶν λοβῶν ≺ η'. μήκωνος λευκῆς τοῦ σπέρματος ≺ δ'. ὑοσκυάμου σπέρματος ≺ β'. ἀλόης τριώβολον, ἀσάρου τριώβολον, ὕδατι διαλύσας ἀνάπλασσε σφαιρία καὶ δίδου ἐρεβίνθου τὸ μέγεθος. ἕβδομον ἐπὶ τοῖς προγεγραμμένοις φάρμακον ὁ Ἀσκληπιάδης ἔγραψεν, προσθεὶς αὐτῷ διορισμὸν ἀπὸ συμπτώματος φαινομένου. φησὶ

tropo paulatim inſtillato, deinde his palmularum paſſarum decem numero carnem addito, et ex contritis catapotia ciceris magnitudine formato, et tres aut quatuor cum aquae mulſae veteris dilutae cyath. ij exhibeto. Et hoc medicamentum in iisdem affectibus commodum eſt, in quibus quatuor praeſcripta. Voluit autem auctor hujus medicamenti per ſeminis hyoſcyami mixturam doloris ſedationem et ſomnum inducere una cum reſiccatione. Manifeſtum eſt autem refrigeratorium quippiam hyoſcyami ſemen habere, velut etiam papaveris ſemen habet, quare ad calidos affectus facit. Simile praeſcripto medicamentum deinceps proditum ab ipſo eſt his verbis. ℞ Roſarum recentium defectis unguibus ℥ viij, ſeminis papaveris albi ℥ iv, ſeminis hyoſcyami ℥ ij, aloës obol. iij, aſari obol. iij, cum aqua diluta in pillulas redigito et ciceris magnitudinem praebeto. Septimum poſt praedicta medicamentum Aſclepiades ſcripſit appoſito diſcrimine a ſymptomate palam apparente; ait enim

Ed. Chart. XIII. [568. 569] Ed. Baſ. II. (277. 278)

γὰρ τοῖς ἐγκαιομένοις ἁρμόζειν αὐτὸ καὶ διὰ τοῦτο ἄδιψον ὀνομάζει τὴν σύνθεσιν αὐτοῦ γράφων τήνδε.

[Ἐγκαιομένοις ἄδιψον καταπότιον.] ℔ Σικύου ἡμέρου σπέρματος ≺ ἡ. ἀνδράχνης σπέρματος ≺ ἡ. τραγακάνθης ≺ δ'. διάλυε τὴν τραγάκανθαν ὠῶν ὠμῶν προσφάτων τῷ λευκῷ καὶ ὅταν διαλυθῇ, τρίψας ἐπιμελῶς, ἐπίβαλλε τοῖς λοιποῖς καὶ τρίψας ἐπιμελῶς καὶ μίξας, ἀνάπλαττε καταπότια καὶ ξήραινε ἐν σκιᾷ, καὶ δίδου ἐν ὑπὸ τὴν γλῶτταν κατέχειν καὶ τὸ διαλυόμενον ὑγρὸν καταπινέτω καὶ τὸ μετὰ τοῦτο δὲ ψυκτικόν τε ἅμα καὶ τονωτικὸν πλαδῶντος στομάχου, διάθεσιν ἔχοντος ὑγρὰν καὶ θερμήν. γράφει δὲ περὶ αὐτοῦ κατὰ λέξιν οὕτως ὁ Ἀσκληπιάδης.

[569] [Ἄλλο. ποιεῖ καὶ πρὸς τὴν τοῦ στομάχου ἀνατροπὴν, μάλιστα δὲ χρήσιμόν ἐστι τοῖς καῦμα πολὺ ὑπομένουσιν καὶ τοῖς καυσουμένοις.] ℔ Ῥόδων χλωρῶν τῶν φύλλων ≺ στ'. γλυκυῤῥίζης ≺ δ'. νάρδου Ἰνδικῆς ≺ δ'. οἴνῳ γλυκεῖ ἢ προτρόπῳ ἀναλάμβανε καὶ ποίει καταπότια καὶ δίδου ἐν ὑπὸ τὴν γλῶτταν κατ(278)έχειν ἢ διαλύων ὕδατι

ardori ſtomachi ipſum convenire et propterea adipſum i. e. ſitim extinguens, appellat compoſitionem ipſius ſic tradens.

[*Ad ardorem ſtomachi adipſon catapotium.*] ℔ Seminis cucumeris ſativi ʒ viij, ſeminis portulacae ʒ viij, tragacanthae ʒ iv. Tragacantham ovorum crudorum recentium candido diſſolve et probe tritis aliis adde, et ex mixtis catapotia forma, eaque in umbra reſicca, atque unum ſub lingua tenendum praebe ac liquorem inde ſolutum devorare jube. Quin et quod poſtea ſequitur, refrigerat ac corroborat ſtomachum madore praegnantem et qui humidum ac calidum affectum habet. Scribit autem de ipſo Aſclepiades haec verba.

[*Aliud, facit ad ſtomachi ſubverſionem, maxime commodum eſt ardorem multum perferentibus et qui ſtomacho exuruntur.*] ℔ Foliorum roſarum viridium ʒ vj, glycyrrhizae ʒ iv, nardi Indicae ʒ iv, excipe vino dulci aut protropo et redige in catapotia, ex quibus unum ſub lingua tenendum praebe, aut ciceris magnitudinem cum frigida aqua

Ed. Chart. XIII. [569] Ed. Baſ. II (278.)

ψυχρῷ, ἐρεβίνθου τὸ μέγεθος δίδου πίνειν. ἕνατον ἐπὶ τοῖς προγεγραμμένοις φάρμακον ἔγραψεν ὁ Ἀσπληπιάδης ὧδί πως. πρὸς λυγμὸν καὶ στομάχου ἀτονίαν καὶ τροφῆς ἀναβολήν. ἡ μὲν οὖν ἀναβολὴ, τουτέστιν ὁ ἔμετος, ἐκ τοῦ γένους ἐστὶ τῶν ὑπτιασμῶν. ὅταν γὰρ ἰσχυρῶς τὸ στόμα τῆς γαστρὸς πάθῃ. τοῦτο γίνεται, καθάπερ ἔφην, ἐπί τε μοχθηρῶν χυμῶν, οὓς ἀποῤῥύψαι δι' ἀτονίαν ἡ γαστὴρ ὁρμήσασα τὸ τῆς ναυτίας ἴσχει σύμπτωμα καὶ πρὸ τοῦ προσάρασθαι τὴν τροφὴν καὶ δι' ἀτονίαν ἐσχάτην ἐπὶ τῇ τροφῇ πάσχει τοῦτο. τοὺς μὲν οὖν ἐπὶ τῇ τῶν ὑγρῶν φαυλότητι γινομένους ὑπτιασμοὺς ἡ πικρὰ θεραπεύει τάχιστα τὴν κακοχυμίαν ἐκκαθαίρουσα. τῶν δὲ διὰ τὴν ἀτονίαν βαρυνομένου τοῦ στομάχου γινομένων ἐμέτων ἴασίς ἐστι κατὰ τὴν τῆς δυσκρασίας ἐπανόρθωσιν. οὐκ ὀλιγάκις δὲ συμβαίνει μὴ μόνον τὸν στόμαχον, ἀλλὰ καὶ τὴν γαστέρα δι' ἀτονίαν οὐ δυναμένην φέρειν τὸ βάρος τῶν σιτίων, ἀποῤῥίπτειν αὐτὰ ποτὲ μὲν εἰς τὸ κάτω μέρος, ὅταν καὶ ὁ στόμαχος ἐκείνων εὐτονώτερος ᾖ, ποτὲ δὲ ἄνω δι' ἀτονίαν στομάχου, καθ' ὃν

diſſolve et in potu exhibe. Nonum deinceps medicamentum Aſclepiades ſcripſit hoc modo. *Ad ſingultum et ſtomachi debilitatem et cibi rejectionem.* Rejectio itaque, hoc eſt vomitus ex genere eſt ſupinitatum. Quando enim os ventris fortiter afficitur, hoc autem, velut dixi, ob vitioſos humores, quos venter abrumpere conatus, propter debilitatem nauſeae ſymptoma perpetitur, atque hanc etiam tum ante acceptionem cibi tum poſt ingeſtum cibum ob extremam debilitatem perfert. Supinitates igitur ex vitiatis humoribus obortas picra confectio quam celerrime curat, nempe vitiatos humores expurgans. Vomitus vero ob imbecillitatem gravati ſtomachi oborti curantur per intemperiei emendationem. Non parum ſaepe contingit etiam non ſolum ſtomachum, ſed et ventrem ob debilitatem ferre non poſſe ciborum onus, atque ideo rejicere, aliquando quidem ad infernam partem, ubi illis robuſtior ſit ſtomachus, aliquando vero ſurſum ob ſtomachi imbecillitatem, quando

Ed. Chart. XIII. [569] Ed. Baſ. II. (278)

ἂν καιρὸν οὗτος ἀτονώτερος ᾖ τῶν κάτω. τοῦτο τοίνυν τὸ σύμπτωμα τὸ κατὰ τοὺς ἐμέτους ἓν μέν ἐστιν, ἕπεται δὲ πολλαῖς διαθέσεσι διάφορον ἐχούσαις ἴασιν. ὡσαύτως δὲ καὶ ὁ λυγμὸς ἐνίοτε μὲν ἐπιγίνεται τῷ στομάχῳ διὰ ψύξιν ἢ πλήρωσιν, ἐνίοτε δὲ διὰ δῆξιν ὑγρῶν, δριμέων τε καὶ φαρμακωδῶν ταῖς ποιότησιν. οὔκουν οἷόν τε φάρμακον εὑρεῖν ἐστιν ἐπιτήδειον ἁπάσαις ταῖς εἰρημέναις διαθέσισιν. ἃ δ' ἐφεξῆς ἀλλήλων ἔγραψεν ὁ Ἀσκληπιάδης δύο πρὸς τοῖς ἄλλοις φάρμακα δέδεικται πολὺ διαφέρουσαν ἔχοντα τὴν οὐσίαν τῆς ἀνθρωπίνης φύσεως, ἃ μάλιστα πάντων τῶν μορίων τοῦ σώματος ὁ στόμαχος οὐ φέρει διὰ τὸ περιττὸν τῆς αἰσθήσεως. ἀνιᾶται οὖν μεγάλως, κἂν πειδὰν τῶν στοματικῶν τι φαρμάκων εἰς αὐτὸν τύχῃ παραῤῥυὲν, ὅσα χάλκανθον ἢ τι τοιοῦτον ἔχει. τὸ γὰρ διὰ τῶν ὀπωρῶν ἐξ ἐδωδίμου γέγονεν ὕλης. ἐναντιώτατον δέ ἐστιν ἀνθρώπου φύσει τὸ χάλκανθον, ὥσπερ δὴ καὶ ὁ μανδραγόρας. φευκτέον οὖν ἐστι τὰ δύο ταῦτα φάρμακα τὰ διὰ χρυσοβαλάνου τε καὶ

ſane hic debilior fuerit infernis partibus. Hoc itaque vomitus ſymptoma unum quidem eſt, ſequitur autem ad multos affectus diverſam medelam exigentes. Similiter et ſingultus ſtomacho interdum ob frigiditatem aut repletionem accidit, interdum ob mordacitatem humorum acrium et medicamentaria qualitate praeditorum. Impoſſibile itaque eſt medicamentum invenire omnibus dictis affectibus aptum. Caeterum quae deinceps ſcripſit Aſclepiades duo medicamenta, oſtenſa ſunt ſubſtantiam habere multum ab humana natura diverſam, quae ipſa maxime omnium inter reliquas corporis partes ſtomachus non fert ob excellentiam ſenſus, qua praeditus exiſtit. Magnopere igitur affligitur ſtomachus etiam ubi ex ſtomaticis medicamentis quippiam in ipſum fuerit praeterlapſum, maxime quae atramentum ſutorium aut tale quid in ſe habent. Quod enim ex fructibus conſtat ex comeſtili materia compoſitum eſt, verum atramentum ſutorium contrariae penitus homini naturae eſt, quemadmodum etiam mandragora. Fugienda itaque ſunt haec duo medicamenta ex chryſobalano et radicis mandragorae

Ed. Chart. XIII. [569, 570.] Ed. Baſ. II. (278.)

μανδραγόρου ῥίζης τοῦ φλοιοῦ συγκείμενα, παραθήσομαι δ' ὁμως αὐτῶν καὶ τὴν σύνθεσιν. ἔστι δ' ἡ μὲν τοῦ προτέρου γεγραμμένη τοιάδε. ℞ χρυσοβαλάνου λίτραν α'. μαστίχης Χίας λίτραν S''. μανδραγόρου ῥίζης φλοιοῦ γο γ'. κόψας καὶ σήσας, ἀναλάμβανε ἡδυόσμου χυλῷ καὶ ποίει καταπότια καὶ δίδου τριάβολον μεθ' ὕδατος ψυχροῦ κυάθων τριῶν. ἡ δὲ τοῦ δευτέρου γεγραμμένου φαρμάκου σύνθεσις ἔστιν ἥδε. ℞ μαστίχης Χίας λίτραν α'. τραγακάνθης λευκῆς λίτραν μίαν, μανδραγόρου ῥίζης τοῦ φλοιοῦ γο β'. κόψας καὶ σήσας ἀπόθου. ἐν δὲ τῇ χρήσει δίδου κοχλιάριον ἐπιπάσσων ὕδατος ψυχροῦ κυάθῳ ἑνί. μετὰ τὰς προγεγραμμένας δύο δυνάμεις ὁ Ἀσκληπιάδης οὕτως ἔγραψεν. πρὸς τὰς εἰλεώδεις τοῦ στομάχου ἀνατροπάς. εἰκάσειε δ' ἄν τις αὐτὸν εἰλεώδεις ὀνομάζειν τὰς ἰσχυράς, ὡς γὰρ ἐν τοῖς εἰλεοῖς ἔμετοι μετὰ σφοδρᾶς γίνονται συντονίας ὡς καὶ κόπρον ἐμεῖν, οὕτω καὶ τοὺς ἄλλους ἐμέτους, ὅσοι σύντονοί γέ εἰσιν, δύναιτ' ἄν τις εἰλεώδεις ὀνομάζειν [570] ἔπονται δ' οὗτοι μεγάλως ἀνιαθεῖσι τοῖς πάσχουσι μορίοις ὑπὸ φαρμακωδῶν ἰχώρων, ἐὰν

cortice compoſita, apponam tamen etiam ipſorum compoſitionem. Et prioris quidem deſcriptio haec eſt. ℞ Chryſobalani ℔ j, maſtiches Chiae librae dimidium, corticis radicis mandragorae quadrantem, tuſa et cribrata excipe mentae ſucco et redige in catapotia. Da inde obolos tres cum aquae frigidae cyathis tribus. Poſterioris autem deſcriptio haec eſt. ℞ Maſtiches Chiae ℔ j, tragacanthae albae ℔ j, corticis radicis mandragorae ſextantem, tuſa et cribrata reponito. Uſu exigente dato cochleare inſperſum aquae frigidae cyatho uno. Poſt praeſcriptas duo confectiones Aſclepiades ſic ſcripſit. Ad volvuloſas ſtomachi ſubverſiones. Conjectarit quispiam ipſum volvuloſas appellare fortes, quemadmodum enim in volvulis ſubverſiones fiunt cum magna contentione et violentia, adeo ut ſtercus etiam evomant, ſic etiam alios vomitus concitatos quis appellare volvuloſos poſſit. Sequuntur autem hujusmodi vomitus, ubi affectae partes a medicatis ferosis humoribus magnopere

Ed. Chart. XIII. [570.] Ed. Baſ. II. (278.)

δὲ καὶ ἀτονώτερά πως ᾖ, διπλασιάζεται τὸ κακόν. ἔσται δὴ διὰ τοῦτο τῆς ἰάσεως ὁ σκοπὸς ἅμα μὲν ἀνατιθέντων ἡμῶν τοῖς πάσχουσι μορίοις εὐώδεις ποιότητας, οἷαί περ αὐτῶν ἀρωμάτων εἰσὶ καί τινων ἐδωδίμων σπερμάτων, ὁποῖόν ἐστιν ἄνισόν τε καὶ σέλινον καὶ δαῦκος καὶ κύμινον καὶ σέσελι. κατὰ τοῦτο οὖν καὶ ὁ Ἱπποκράτης ἐπὶ τῶν πλευριτικῶν διδοὺς καθαῖρον φάρμακον, μιγνύναι τι τούτων ἐκέλευσε γράφων ὧδε. ἢν δὲ ὑπὸ φρένας εἴη τὸ ἄλγημα, εἰς δὲ τὴν κληῖδα μὴ σημάνῃ, μαλθάσσειν χρὴ τὴν κοιλίαν μέλανι ἐλλεβόρῳ ἢ πεπλίῳ, μέλανι μὲν δαῦκον ἢ σέσελι ἢ κύμινον ἢ ἄνισον ἢ ἄλλο τι τῶν εὐωδῶν μιγνύντας. φαίνεται γὰρ ἐν τούτοις τῆς εὐωδίας αὐτῶν μάλιστα δεόμενος εἰς τὴν μίξιν, ἕνεκα τοῦ τὸ φαρμακῶδες, ὅπερ ἐστὶν ἐναντίον ἀνθρώπου φύσει, παραμυθήσασθαί τε καὶ ἀμβλῦναι. καθάπερ γὰρ τὰ δυσώδη πάντα τὸν στόμαχον ἀνατρέπειν πέφυκεν, οὕτω τὰ εὐώδη ῥωννύναι. ἂν δὲ πρὸς τοῦτο καὶ τὸ ἐδωδίμοις αὐτοῖς εἶναι παρῇ, πολλαπλασίως ὠφελήσει τὸν ἀνατεταραμμένον στόμαχον ἐπὶ τῇ κακίᾳ τῶν ἰχώρων. κατὰ τοῦτον μὲν οὖν

fuerint afflictae, ſi vero etiam imbecilliores fuerint duplicatur malum. Erit itaque ob id curationis ſcopus, ut ſimul ad affectas partes odoratas qualitates opponamus, quales aromatum ſunt et quorundam ſeminum in ciborum uſum venientium, velut eſt aniſum, apium, daucus, cuminum et ſeſeli. Juxta hanc itaque rationem Hippocrates in pleuriticis purgativum exhibens medicamentum, miſceri aliquid ex his juſſit ſic ſcribens: *Si vero ſub ſepto transverſo ſit dolor et ad claviculam non ſe extendat, mollire ventrem oportet veratro nigro aut peplio, ad veratrum quidem dauco aut ſeſelide aut cumino aut aniſo aut alio quopiam odorato addito.* Apparet enim quod in his miſcendis maxime odorem ipſorum reſpiciat, quo medicamentariam vim, quae hominis naturae contraria eſt, mitiget et obtundat. Quemadmodum enim graveolentia omnia ſtomachum ſubvertere ſolent, ſic odorata corroborare. Si vero ultra hoc etiam in ciborum uſum veniant, multipliciter auxiliantur ſtomacho ob vitiatos ſeroſos humores ſubverſo. Atque

Ed. Chart. XIII. [570.] Ed. Baſ. II. (278.)

τὸν λογισμὸν ἄνισόν τε καὶ σέλινον ἐνέμιξεν ὁ συνθεὶς τὸ προκείμενον φάρμακον, ἀψίνθιόν τε διότι ῥυπτικὸν πέφυκεν, καὶ ἀποσμῆχον καὶ ὑπάγον ὅσοι κατὰ τὸν στόμαχόν εἰσι μοχθηροὶ χυμοὶ συνάγειν τε καὶ σφίγγειν καὶ τόνον ἐπιτιθέναι τῷ μορίῳ. τὸ δὲ κιννάμωμον, ὡς ἐν ἅπασι τοῖς δυσώδεσι καὶ σηπεδονώδεσιν ἀντιτεταγμένον ἰχῶρσι, κατ' ἄμφω τὰς ἑαυτοῦ δυνάμεις, ἀλλοιωτικήν τε καὶ διαφορητικὴν, οὐ μικρὰν γὰρ ἐκ τῆς εὐωδίας ὠφέλειαν παρέχει ταῖς κακαῖς ἁπάσαις διαθέσεσιν. ὅπιον δ' ὀλίγον ἔμιξε τῷ φαρμάκῳ τὴν αἴσθησιν ἀμβλῦναι τοῦ στομάχου βουλόμενος, ᾧ λόγῳ καὶ τοῖς κοιλιακοῖς αὐτὸ δίδομεν, εἴτε καρώδη τινὰ ὕπνον ἐπενεγκεῖν δυνάμενον. ἐπανορθούμενος δὲ ὁ συνθεὶς τὸ φάρμακον τὴν ἐκ τοῦ ὀπίου σφοδρὰν ψύξιν, ἔμιξεν αὐτῷ τὸ καστόριον, ἀντιτεταγμένον πως αὐτοῦ τῇ δυνάμει. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τὸ πέπερι μέμικται. περὶ δὲ τῆς σμύρνης ἄξιον ἐπιστῆσαι, καθ' ὅσον γὰρ ἡ δύναμις αὐτῆς ἐστι πεπτικὴ τῶν παρὰ φύσιν καὶ μοχθηρῶν χυμῶν, κατὰ τοσοῦτον προσηκόντως μέμικται· καθ' ὅσον δὲ φαρμακώδης ἐστὶν,

juxta hanc ratiocinationem auctor propoſiti medicamenti aniſum et apium admiſcuit, abſinthium vero propterea, quod a natura vim habet extergendi ac repurgandi et ſubducendi vitiatos ſtomachi humores, ampliusque denſat et conſtringit ac robur addit parti affectae. Cinnamomum autem addidit, ut quod omnibus foetidis et putredinoſis ſeroſis humoribus ſe opponat juxta utramque facultatem ſuam, alterativam et diſcuſſoriam; non parvam enim ex odore ſuo exhibet utilitatem omnibus malis affectionibus. Opii vero parum medicamento immiſcuit, ſenſum ſtomachi hebetare volens, qua ratione etiam coeliacis ipſum damus, ut quod profundum quendam ſoporem inducere poſſit. Quo vero vehementem opii frigiditatem compoſitor ipſe corrigeret, caſtorium ipſi adjecit oppoſitum ferme ipſi in facultate. Eadem ratione etiam piper admixtum eſt. De myrrha vero operae pretium eſt ſcire quod in quantum facultas ipſius eſt concoctoria humorum praeter naturam et vitioſorum, in tantum convenienter admiſcetur, in quantum autem medi-

Ed. Chart. XIII. [570.] Ed. Baſ. II. (278.)

οὐ προσηκόντως, ἀλλ' ἡ βραχύτης αὐτῆς εἰς μὲν τὴν πέψιν τι συντελεῖ, τὸ δὲ τῆς ποιότητος ἀλλόκοτον οὐκ ἐνδείκνυται νικωμένης ὑπὸ τῶν εὐόσμων. ἐγὼ γοῦν τὸ προκείμενον φάρμακον καὶ χώρις τῆς σμύρνης εἴωθα σκευάζειν, ἐπὶ τὸ ἀσφαλέστερον ἀεὶ πειρώμενος ἄγειν τὰς χρήσεις ἁπάντων τῶν φαρφάκων καὶ μάλισθ' ὅταν ὀξέως πυρέττοντι δίδοταί τι τοιοῦτον. ὡς οὖν κινναμωμον ἔχον τοῦτο τὸ φάρμακον καὶ σπέρματα θερμὰ καὶ διουρητικὰ καὶ πέπερι, καὶ πρὸς τούτῳ γε καστόριόν τε καὶ ὄπιον, ἐπὶ πολλῶν παθῶν εἰκότως ὠφέλιμον γίνεται, ποτὲ μὲν μετ' οἴνου τινὸς τῶν εὐστομάχων διδόμενον, ὁποῖος ὁ πρότροπός ἐστι, ποτὲ δὲ μετὰ μύρτων ἀφεψήματος ὡς ἐπὶ δυσεντερικῶν, ἢ μετ' ὀξυμέλιτος ὡς ἐπὶ σπληνικῶν. ἐπὶ δὲ χολέρας μετὰ ψυχροῦ, καθάπερ ὁ Ἀσκληπιάδης ἔγραψεν, ἀλλὰ προσδιορισάμενος, εἰ διψωδέστερός ἐστι νῦν ἢ πρόσθεν, ἢ ἄσης θερμῆς αἴσθησις αὐτῷ κατὰ τὸ στόμα τῆς κοιλίας, ἢ ψυχροπότης ἦν ὁπόθ' ὑγίαινε. ἐγὼ τοῦτο τὸ φάρμακον ἐπὶ τὸ ἀσφαλέστερον ἄγων ἀφῆκά τε τὴν σμύρναν ηὔξησά τε τὴν τοῦ πεπέρεως ποσότητα. πλεῖστον δὲ

camentaria eſt non convenienter, verum paucitas ejus ad concoctionem quippiam conſert, qualitatis autem peregrinitas non apparet, utpote victa ab odoratis. Ego itaque hoc medicamentum etiam ſine myrrha praeparare conſuevi, ad ſecuritatem perducere ſemper tentans uſum omnium medicamentorum, praeſertim ubi in acuta febre tale quid exhibetur. Quum igitur cinnamomum habeat hoc medicamentum et ſemina calida urinam cientia ac piper et praeterea caſtorium ac opium, merito multis affectionibus commodum eſt, quandoque cum vino ſtomacho grato datum, quale protropum eſt, quandoque cum myrti baccarum decocto velut in dyſentericis, aut cum aceto mulſo velut in ſplenicis, in cholera vero et bilis vomitu ac effluxu cum frigida, velut Aſclepiades ſcripſit, ſed addito diſcrimine, ſi ſiticuloſior eſt nunc quam antea, aut nauſeae calidae ſenſus circa os ventris ipſis contingat, aut frigidam bibere ſanus conſuevit. Ego ſane hoc medicamentum ad ſecuriorem uſum perduxi, myrrhamque dimiſi et piperis quantitatem auxi. Quum vero

Ed. Chart. XIII. [570. 571] Ed. Baſ. II. (278 279.)

κιννάμωμον αὐτοῦ λαβόντος ἀναγκαῖον ἡμῖν ἐστιν, ὅταν ἀπορῶμεν κινναμώμου, [571] κασσίαν τὴν ἀρίστην ἐμβάλλειν, ἤτοι πλείονα διπλῷ σταθμῷ τοῦ κινναμώμου ἢ πάντως οὐκ ἐλάττονα. ἡ δ' ὑπ' Ἀσκληπιάδου γεγραμμένη συμμετρία τῶν μιγνυμένων φαρμάκων ἐστὶν ἥδε κατὰ λέξιν.

(279) [Πρὸς τὰς εἰλεώδεις τοῦ στομάχου ἀνατροπὰς ὁ τῶν Ἀμαζόνων. ποιεῖ πρὸς ἐμπνευμάτωσιν, ἐγκαιομένοις καὶ ἐμοῦσι τὴν τροφήν. ποιεῖ καὶ πρὸς τὰς τῶν ἐντὸς διαθέσεις.] ℥ Σελίνου σπέρματος ≺ στ'. ἀνίσου ≺ στ'. ἀψινθίου ≺ δ'. πεπέρεως ≺ β'. σμύρνης ≺ β'. κινναμώμου ≺ στ'. ὀπίου ≺ β'. καστορίου ≺ β'. ἀνάπλαττε δι' ὕδατος καὶ ποίει τροχίσκους καὶ δίδου τὴν τελείαν δόσιν ≺ α'. στομαχικοῖς μετὰ προτρόπου κεραννυμένου κυάθων γ'. χολερικοῖς καὶ ἐμοῦσι τὴν τροφὴν μετὰ ψυχροῦ, κολιακοῖς καὶ δυσεντερικοῖς μετὰ μύρτων ἀφεψήματος. τοῖς δὲ σπληνικοῖς μετ' ὀξυμέλιτος θερμοῦ κυάθων γ'. ἄλλο φάρμακον ἐφεξῆς ἔγραψεν ὁ Ἀσκληπιάδης, οὐ μόνον πρὸς τὰς εἰλεώδεις τοῦ στομάχου διαθέσεις ἁρμόττειν ἐπαγγελλόμενος, ἀλλὰ καὶ πρὸς τοὺς ἐπιτεταμένους λυγμοὺς καὶ τοὺς δι' ἐγκαύσεως, ὅπερ

plurimum cinnamomum accipiat, neceſſarium nobis eſt, ubi cinnamomo caremus, caſſiam optimam conjiciamus aut plus quam duplo cinnamomi pondere aut omnino non minus. Caeterum commenſuratio ac apponderatio medicamentorum, quae ipſum conſtituunt, ab Aſclepiade his verbis proditur.

[*Ad volvuloſas ſtomachi ſubverſiones paſtillus Amazonum. Facit ad inflatos, ardorem ſtomachi et vomentes cibum. Facit et ad internos affectus*] ℥ Seminis apii ʒ vj, aniſi ʒ vj, abſinthii ʒ iiij, piperis ʒ ij, myrrhae ʒ ij, cinnamomi ʒ vj, opii ʒ ij, caſtorii ʒ ij, cum aqua paſtillos formato et ad ſummum ʒ j, dato ſtomachicis cum protropi diluti cyathis tribus, cholericis et vomentibus cibum cum frigida, coeliacis et dyſentericis cum baccarum myrti decocto, ſpleniticis cum aceti mulſi cyath. iij. Aliud medicamentum deinceps ſcripſit Aſclepiades, non ſolum ad volvuloſas ſtomachi ſubverſiones ipſum convenire promittens, ſed et ad intenſos ſingultus et ſtomachicos, qui ardorem,

Ed. Chart. XIII. [571.] Ed. Baſ. II. (279.)

ἐστὶ, πολλῆς θερμασίας αἰσθανομένους στομαχικούς. εὕρηται δέ μοι πολλάκις, ὡς ἔστιν ἀδύνατον εὑρεῖν φάρμακον εἰς πολλὰς διαθέσεις ἄριστον, εὑρίσκεται γὰρ ἑκάστης αὐτῶν ἕτερον ἴδιον ἄμεινον. ἀλλὰ τοῖς βουλομένοις ἐν ἔχειν φάρμακον πρὸς πολλὰ πάθη καὶ ἡ τούτων σκευασία καὶ παρασκευὴ χρήσιμος γίνεται. περιέχεται μέντοι καὶ ἀμφιβολία τις ἐν ταῖς τοιαύταις ἐπαγγελίαις τῶν φαρμάκων, ὁποίαν ὁ Ἀσκληπιάδης νῦν περὶ τοῦ προκειμένου πεποίηται. δόξουσι γὰρ ἴσως ἔνιοι τῶν ἀγνοούντων ἕκαστόν τε τῶν τριῶν συμπτωμάτων ἐπαγγέλλεσθαι θεραπεύειν, ἅμα τε δύο συνελθόντων καὶ πάνθ' ὁμοῦ, καθάπερ ὅταν σπαράττηται σφοδρῶς ναυτιῶν ὁ κάμνων καὶ λύξῃ καὶ θερμασίας πολλῆς καὶ ἀσώδους κατὰ τὸν στόμαχον αἴσθηται. καὶ περὶ πρώτης γε ἐρῶ τῆς τοιαύτης διαθέσεως, ἐφ' ἧς ἅμα τρία παθήματα διοχλεῖ τὸν ἄνθρωπον, ἥ τε τῆς ἐγκαύσεως αἴσθησις ὅ τε λυγμὸς ἥ τε εἰλεώδης διάθεσις. Ἱπποκράτης μὲν οὖν σπασμὸν ἔφησε γίνεσθαι ὑπό τε πληρώσεως καὶ κενώσεως, καὶ πρόσκειται τῷ ἀφορισμῷ σχεδὸν ἐν ἅπασι τοῖς ἀντιγράφοις, οὕτω δὲ

hoc eſt multam caliditatem percipiunt. Dictum autem jam ſaepe a me eſt, impoſſibile eſſe invenire medicamentum ad multos affectus optimum, invenitur enim in unaquaque ipſarum id, quod proprie ipſis deſtinatum eſt praeſtantius eſſe. Verum iis, qui unum medicamentum ad multos affectus habere volunt, etiam horum praeparatio ac compoſitio utilis exiſtit. Continetur tamen ambiguitas quaedam in hujusmodi medicamentorum promiſſionibus, qualem Aſclepiades nunc de propoſito medicamento fecit. Putabunt enim fortaſſis aliqui ex ignaris tum ſingulorum trium ſymptomatum curationem promitti tum duorum ſimul coincidentium aut omnium ſimul, velut quum lancinatur vehementer nauſeans aeger et ſingultit et multae anxioſae caliditatis ſenſum circa ſtomachum percipit. Et de tali ſane affectione primo dicam, in qua tria haec mala ſimul hominem infeſtant, nimirum ardoris ſenſus et ſingultus et affectio volvuloſa. Hippocrates quidem igitur convulſionem fieri dixit ex repletione et evacuatione, et additum eſt ad aphorismum ferme in omni-

Ed. Chart. XIII. [571.] Ed. Baſ. II. (279.)

καὶ λυγμός. ἐγὼ δὲ ἐπὶ τοῦ σπασμοῦ τρίτον αἴτιον παρὰ τὸ τῆς κενώσεως καὶ πληρώσεως οὐδὲν προσθεῖναι εὗρον. λυγμὸν δὲ ὁρῶ καὶ χωρὶς τούτων γιγνόμενον, ἐνίοτε δριμέων χυμῶν ἢ ἰχώρων φαρμακωδῶν δακνόντων τὸν στόμαχον, οὓς ἐὰν ἐμέσωσιν, εὐθέως παύονται λύζοντες, καὶ πολλοὶ τὸ διὰ τριῶν πεπέρεων φάρμακον καταπιόντες, ἐὰν εὐθέως ἐπιπίωσιν οἶνον αὐτῷ, πάντως λύζουσιν· ὧν εἷς εἰμι κἀγὼ αὐτός. ἔτι δὲ καὶ τροφῆς διαφθαρείσης εἰς δακνώδη ποιότητα λύζουσιν ἔνιοι. καὶ ὅτι γε ἐμέσαντες παραχρῆμα παύονται, τῶν ἅπασι γινωσκομένων ἐστί. καὶ ῥιγώσαντες τὸ στόμα τῆς κοιλίας ἔνιοι λύζουσι, μάλιστα δὲ τοῖς παιδίοις συμβαίνει λύζειν συνεχῶς ἐπί τε διαφθορᾷ τῆς κατὰ τὴν γαστέρα τροφῆς καὶ ψύξει τοῦ μορίου. εἰ δὲ καὶ δι' ὑπερκένωσιν γένηται λυγμὸς, ὥσπερ καὶ σπασμὸς, ἄξιον σκέψεώς ἐστιν. ἀλλ' ἐὰν ἐν τῷ παρόντι καταλιπόντες ἄσκεπτον τοῦτο τοὺς διὰ ψύξιν ἢ πλῆθος σιτίων βαρυνομένους ἢ δριμύτητα δάκνουσαν ἐννοήσωμεν, ἔμετον μὲν εὑρήσομεν αὔταρκες ἴαμα

bus exemplaribus. Sic autem et ſingultus. Ego vero in convulſione tertiam aliquam cauſam ſupra evacuationem et repletionem nondum reperi. Singultum autem ſine his fieri video, acribus humoribus aut ferosis et medicatis ſtomachum mordentibus, quos ubi vomitu rejecerint, ſtatim ſingultu liberantur. Quin et multi devorato medicamento ex tribus piperis generibus conſtante, ſi ſtatim vinum inſuper bibant, omnino ſingultiunt, ex quorum numero etiam ego ſum. Amplius autem et cibo in mordacem qualitatem corrupto aliqui ſingultiunt, et quod a vomitu ſtatim liberantur omnibus notum eſt. Quidam etiam ex rigore oris ventris ſingultiunt. Verum pueros maxime frequenter ſingultire contingit tum ob corruptionem alimenti in ventre tum ob partis frigiditatem. An vero et ob nimiam evacuationem fiat ſingultus, veluti etiam convulſio, dignum conſideratione eſt. Verum ſi in praeſens hac conſideratione relicta eos, qui ob frigiditatem, aut ciborum copiam aut mordacem acredinem gravantur, intueamur, vomitum reperiemus ſufficientem medelam eorum, qui ob copiam aut morſum ſingul-

Ed. Chart. XIII. [571. 572.] Ed. Baf. II. (279)

τῶν διά τι πλῆθος ἢ δῆξιν λυζόντων, θερμασίαν δὲ τῶν διὰ ψύξιν. ἑτέρῳ δὲ τρόπῳ καὶ τὴν τῆς αἰσθήσεως νάρκωσιν ἐπὶ τοῖς ψύχουσι καὶ τὴν ἀλλοίωσιν δακνόντων καὶ τὴν διαφόρησιν, ὑπὸ τῶν λεπτυνόντων τε καὶ ξηραινόντων. [572] σύγκειται δὲ ἐκ τοιούτων τὸ φάρμακον. ὄπιον μὲν γὰρ καὶ ῥόδα καὶ ψυλλίου χυλὸς τῶν ψυχόντων ἐστὶ, νάρδου δὲ στάχυς καὶ χρυσοβάλανος τῶν διαφορούντων τε καὶ τονούντων, ἄσαρον δὲ τῶν ἐπ' οὖρα ποδηγούντων τὰς μοχθηρίας τῶν ὑγρῶν, ἡ δ' ἀλόη τῶν ἐκκαθαιρόντων τε τὴν κακοχυμίαν ἐστὶν, ἐκκενούντων τε διὰ τῆς κάτω γαστρός. ὁ δὲ κρόκος καὶ πέττει καὶ τονοῖ τὰ μόρια, καὶ τῷ μὲν εὐκράτῳ τῆς θερμότητος τὴν πέψιν ἐργαζόμενος, τῇ δὲ συνούσῃ στύψει τὸν τόνον. ὁ δὲ κόστος τῶν ἱκανῶς μὲν θερμαινόντων, μετρίως δὲ στυφόντων ἐστὶν, ὡς αὐτὸς ἐνδείκνυται τοῖς γευομένοις αὐτοῦ. ἐκ τούτων δὲ συγκείμενον τὸ φάρμακον ἐπιτήδειον μὲν τοῖς λύζουσίν ἐστιν, ἐπιτήδειον δὲ καὶ τοῖς σπαραττομένοις ἐμετικῶς, διὰ τοὺς κατὰ τὸ προγεγραμμένον εἰρημένους χυμοὺς, ἀλλ' οὐχ ὁμοίως ἐκείνῳ μήτ' ἄλλο τι τῶν

tiunt, caliditatem vero eorum, qui ob frigiditatem. Alio autem modo reperiemus etiam ſenſus ſtupefactionem per refrigerantia et permutationem ac diſcuſſionem mordacium per attenuantia et reſiccantia. Componitur autem ex hujusmodi ipſum medicamentum. Opium enim et roſae et pſyllii ſuccus ex refrigerantibus ſunt. Spica nardi vero et chryſobalanos ex diſcutientibus et corroborantibus. Aſarum autem per urinam deducit vitioſos humores. Aloë vero vitiatos humores expurgat et inferne per ventrem evacuat. Crocus autem concoquit et roborat partes per temperamentum quidem caliditatis concoctionem efficiens, per aſtringendi vero vim, quae ipſi adeſt, robur addens. Coſtus autem ſufficienter calefacit, moderate vero aſtringit, quod et ex guſtu ejus percipitur. Ex his porro compoſitum medicamentum aptum eſt ſingultientibus, aptum eſt et iis, qui ad vomendum lancinantur, ob humores in praecedenti dictos, verum non ſimiliter ut illud, neque aliquid aliud ex odoratis habet

Ed. Chart. XIII. [572.] Ed. Baſ. II. (279.)

εὐωδῶν ἔχον μήτε κιννάμωμον. ἡ δὲ τῶν ψυχόντων ἐν αὐτῷ μίξις, ναρκῶσαι τὴν αἴσθησιν δυναμένη τῷ πραῦνειν τὴν ἐκ τῶν δακνόντων ἰχώρων τε καὶ χυμῶν ἀνίαν, ἐπιτήδειον ὄντως ἐργάζεται τὸ φάρμακον εἰς τὴν τῆς ναυτιώδους διαθέσεως μείωσιν. ἐπεὶ δὲ καὶ τοῖς ἐγκαιομένοις τὸν στόμαχον ἁρμόττειν ἔφησε τὸ φάρμακον· ἀνθίσταται δὲ τῷ λόγῳ τούτῳ ὁ θερμαίνων κόστος, ἄξιον εἰπεῖν καὶ περὶ τοῦδε. καθάπερ ἐν ταῖς κωλικαῖς καλουμέναις ἀντιδότοις, ὑπό τινων ἀνωδύνοις, ὁποῖα καὶ ἡ τοῦ Φίλωνός ἐστιν. ὁ μὲν σκοπὸς τῆς συνθέσεως τοῦ φαρμάκου, ναρκῶσαι τῇ ψύξει τὴν αἴσθησιν τῶν ὀδυνωμένων. ὅπως δὲ μὴ μετὰ μεγάλης βλάβης συμβαίνῃ τοῦτο, διά τε τοῦ βάθους τῶν ὀδυνωμένων σωμάτων ἡ ψύξις ταχέως διέλθῃ, μίγνυται τὰ θερμαίνοντα ποδηγοῦν δυνάμενα τὴν ἐκ τῶν ψυχόντων νάρκωσιν, ὡς ἂν ἐκείνων αὐτῶν καθ' ἑαυτὰ βραδυπόρων ὑπαρχόντων. ταῦτα οὖν προακηκοώς τις ἐπισκεπτέσθω τὴν ποσότητα τῶν μιγνυμένων ἐν ταῖς συνθέσεσι τῶν ἁπλῶν φαρμάκων. ἐκ ταύτης γὰρ εἴσεται εἴτε τι μᾶλλον ὧν ἐπαγάλλεται τὸ σύν-

neque cinnamomum. Refrigerantium autem in ipſo mixtura ſtupefacere ſenſum potens, mitigando moleſtiam ex mordacitate feroſorum et aliorum etiam humorum obortam vere aptum medicamentum efficit ad nauſeoſae affectionis imminutionem. Quandoquidem vero etiam ad ſtomachi ardorem convenire medicamentum dixit, repugnat autem huic ſermoni caleſaciens coſtus, operae pretium fuerit et de eo dicere. Quemadmodum in antidotis colicis appellatis et a quibusdam dolorum ſedatoriis, qualis eſt Philonis antidotus, ſcopus componendi medicamentum eſt ſtupefacere ſenſum dolentium. Quo vero non cum magno detrimento id fiat et ut per altum dolentium corporum frigiditas celeriter penetret, caleſacientia miſcentur, quae refrigerantium ſtupefactionem deducere poſſunt, quum illa ipſa per ſe tardi transitus exiſtant. Haec igitur ubi quis inaudiverit, quantitatem conſideret ſimplicium medicamentorum, quae in compoſitiones miſcentur, ex hac enim ſciet num magis aut minus

Ed. Chart. XIII. (572.) Ed. Baſ. II. (279.)

θετον φάρμακον ἐργάζεσθαι δυνατόν ἐστιν ἢ καί τι ἧττον εἰ μὲν γὰρ φαίνοιτο τὰ ψύχοντα πλείω τὴν αἴσθησιν τῶν πεπονθότων ἀμβλύνει μᾶλλον, ὅσον δὲ θερμασίας ἢ ἐν τῷ μορίῳ, καὶ ταύτην σβέννυσι. τῶν θερμαινόντων δὲ αὐξηθέντων ἧττον μὲν ταῦτα ἐργάζεται τὸ φάρμακον ἀβλαβέστερον δὲ γίνεται. χρὴ γὰρ γινώσκειν ὑπὸ πάντων τῶν δι' ὀπίου καὶ ὑοσκυάμου καὶ μανδραγόρου φαρμάκων ὅμοιον τῇ νεκρώσει πάσχοντα τῶν ζώντων τὰ σώματα, τῶν ὀδυνώντων αἰτίων ἀναισθήτων γινομένων, καὶ πολλοὶ τῶν συνεχῶς τὰ τοιαῦτα λαμβανόντων εἰς ἀνίατον ψύξιν ἤγαγον τὰ μόρια· καθάπερ δὲ ἐπὶ τῆς τῶν ψυχόντων τε καὶ θερμαινόντων ἀντιθέσεως ἡ ποσότης ἑκατέρων ἐνδείκνυται τὴν ἐπικρατοῦσαν ἐνέργειαν τοῦ φαρμάκου, κατὰ τὸν αὐτὸν τρόπον κἀπὶ τῶν ἄλλων ἐννοεῖν προσῆκεν, οἷον πυκνούντων τε καὶ ἀραιούντων, ἢ συναγόντων καὶ χεόντων, ἢ εὐωδῶν τε καὶ δυσωδῶν, ἢ ὑγραινόντων τε καὶ ξηραινόντων διαφορούντων τε καὶ συνεχόντων. ὑπαγράψας οὖν τούτοις τὴν τῶν μιχθέντων ποσότητα

efficere poſſit compoſitum medicamentum ea quae promittit. Si namque refrigerantia plura apparuerint, ſenſum affectorum magis obtundit et quantum caloris in ipſa particula fuerit etiam hunc extinguit, ubi vero calefacientia fuerint aucta, minus quidem haec efficiet ipſum medicamentum, innocentius autem reddetur. Noſſe enim oportet corpora viventium mortificationi ſimile quippiam perpeti ab omnium ex opio et hyoſcyamo et mandragora compoſitorum medicamentorum uſu, nimirum cauſis dolorem infligentibus inſenſibilibus factis, et multi ſane, qui aſſidue talia accipiunt, ad immedicabilem frigiditatem partes perducunt. Quemadmodum autem in refrigerantium et calefacientium oppoſitione utrorumque quantitas oſtendit praedominantem medicamenti actionem, eodem modo etiam in aliis conſiderationem facere oportet, velut denſantibus et rarefacientibus, coagmentantibus et diffundentibus, odoratis et graveolentibus, humectantibus et ſiccantibus, diſcutientibus et cohibentibus. Itaque ubi ſubſcripſero his mixtorum in compo-

Ed. Chart. XIII. [572. 573.] Ed. Baſ. II. (279. 280.)

πρὸς τὰ συνεχῆ μεταβήσομαι, γράφει δὲ αὐτὴν ὁ Ἀσκληπιάδης αὐτοῖς ὀνόμασιν οὕτως.

[Στομαχικοῖς ἐγκαιομένοις πρὸς ἐπιτεταμένους λυγμοὺς καὶ τὰς εἰλεώδεις τοῦ στομάχου διαθέσεις.] ℔ Κόστου ≺ δ'. ναρδοστάχυος ≺ δ'. χρυσοβαλάνων ≺ δ'. ῥόδων χλωρῶν ≺ δ'. μαστίχης δραχμὰς δ'. ἀλόης δραχμὰς β'. ἀσάρου δραχμὰς β'. ὀπίου δραχμὴν μίαν, [573] ἀναλάμβανε ψυλλίου χυλῷ καὶ ἀνάπλαττε τροχίσκους καὶ δίδου τριώβολον. τὸ ὑγρὸν ἔστω κατάλληλον τῇ διαθέσει. ἐφεξῆς τοῖς προγεγραμμένοις τὴν ἔμπροσθεν ἤδη γεγραμμένην ἀντίδοτον, ἱερὰν δι' (280) ἀλόης τε καὶ κινναμώμου συγκειμένην, ἐν τοῖς Ἀνδρομάχου φαρμάκοις καὶ αὐτὸς ἔγραψεν οὐ κατὰ τὴν αὐτὴν συμμετρίαν. ἔχει δὲ ἡ λέξις αὐτοῦ τόνδε τὸν τρόπον.

[Ἀντίδοτος ἱερὰ Θεμίσωνος πρὸς τὰς τοῦ στομάχου ἀνατροπάς. ποιεῖ καὶ τοῖς καυσουμένοις καὶ πρὸς πᾶσαν ἐμπνευμάτωσιν καὶ βραδυπεψίαν καὶ πρὸς τὰς περὶ μήτραν διαθέσεις. ἔστι δὲ καὶ διουρητικὴ ἀγαθὴ καὶ καθόλου δύναμις θαυμαστὴ ὑδρωπικοῖς, νεφριτικοῖς, ἡπατικοῖς, κατάγει

ſitione quantitatem ad cohaerentia tranſibo. Scripſit autem ipſam Aſclepiades in haec verba.

[*Stomachicis ardorem ſentientibus et intenſos ſingultus et volvuloſos ſtomachi affectus.*] ℔ Coſti ʒ iiij, ſpicae nardi ʒ iiij, chryſobalanorum ʒ iiij, roſarum viridium ʒ iiij, maſtiches ʒ iiij, aloës ʒ ij, aſari ʒ ij, opii drach. unam. Excipe ſucco pſyllii et reduc ad paſtillorum formam et exhibe obolos tres. Liquor ſit affectui conveniens. Poſt praeſcripta medicamenta antidotum hieram jam antea in Andromachi medicamentis conſcriptam, ex aloë et cinnamomo compoſitam etiam ipſe tradidit, non juxta eandem commenſurationem et ſymmetriam. Habent autem verba ejus in hunc modum.

[*Antidotus hiera Themiſonis ad ſtomachi ſubverſiones. Facit et ad ſentientes ardorem et omnem inflationem, tardam concoctionem et affectiones uteri. Probe ciet urinam et omnino admiranda confectio eſt hydropicis, hepaticis et nephriticis. Deducit et feminis menſes.*] ℔

Ed. Chart. XIII. [573.] Ed. Baſ. II. (280.)

καὶ γυναιξὶν ἔμμηνα] 24 Ἀλόης ≺ ρ'. μαστίχης γο α'. κρόκου γο α'. νάρδου Ἰνδικῆς γο α'. κινναμώμου γο α'. καρποβαλσάμου γο α'. ἀσάρου γο α'. κόπτε, σῆθε λεπτοτάτῳ κοσκίνῳ καὶ φύλαττε ξηρὸν καὶ ἀδιάπνευστον. ἡ χρῆσις πρὸς μὲν τὰς βραδυπειρίας καὶ τοὺς οὕτως ὑγιαίνοντας ὁλκὴ μία μετὰ ψυχροῦ ὕδατος κυάθων δ'. τοῖς δὲ χολὴν ἐμοῦσιν ἢ ἄλλως πως ῥευματιζομένοις ὁλκῆς ἥμισυ. πρὸς δὲ τοὺς φλεγμαίνοντάς τι τῶν ἐντὸς ἁρμόσει μεθ' ὑδρομέλιτος διδόμενον. ἐφ' ὧν δὲ οὖρα κινεῖν προαιρούμεθα ἢ ἔμμηνα κατάγειν, δίδομεν μετ' οἴνου τὸ φάρμακον. ἔστι δὲ καταπαστόν. ταῦτα μὲν ἔγραψεν ὁ Ἀσκληπιάδης ὑπὲρ τοῦ προκειμένου φαρμάκου. σκεψώμεθα δὲ πρῶτον μὲν ἐν τοῖς περὶ τῆς ποσότητος τῶν συνθέντων αὐτὴν φαρμάκων, ᾗ συνεφώνησέν τε καὶ διεφώνησεν, εἶθ' ἑξῆς περὶ τῆς ἐπαγγελίας τε καὶ χρήσεως αὐτῆς. ἐν μὲν δὴ τῇ μίξει τῶν φαρμάκων συνεφώνησαν ἀλλήλοις ὅ τε Ἀνδρόμαχος καὶ ὁ Ἀσκληπιάδης ἐν τῷ τῆς ἀλόης ρ'. ἐμβάλλειν δραχμάς. διεφώνησαν δὲ ἔν τε τῷ τὸν Ἀσκληπιάδην ἁπλῶς ἀλόης γράψαι, τὸν δὲ Ἀνδρόμαχον

Aloës ʒ c, maſtiches ʒ j, croci ʒ j, nardi Indicae ʒ j, cinnamomi ʒ j, carpobalſami ʒ j, aſari ʒ j, tundito et anguſtiſſimo cribro excernito, atque aridum ne tranſpiret ſervato. Uſus ejus eſt ad tarde concoquentes, atque ita ſanos ʒ iij, cum frigidae cyath. iiij, vomentibus bilem aut alias fluxione laborantibus drachmae dimidium ad inflammationes internas convenit cum aqua mulſa bibitum, verum quibus urinam ciere volumus aut menſes deducere, medicamentum cum vino damus. Eſt autem medicamentum inſperſile, in pulveris ac farinae formam redactum. Haec quidem ſcripſit Aſclepiades de praedicto medicamento. Videamus autem primum in his de quantitate medicamentorum ipſum conſtituentium quatenus conſenſit et diſſenſit cum Andromacho, deinde conſequenter de promiſſione et uſu. Equidem in mixtura medicamentorum conſenſerunt inter ſe Andromachus et Aſclepiades in hoc, quod aloës drachmas centum conjiciunt. Diſſentiunt autem in eo, quod Aſclepiades ſimpliciter aloës ſcripſit, Andromachus autem

Ed. Chart. XIII. [573.] Ed. Baſ. II. (280.)

τὸ πεπλυμένης προσθεῖναι, κἂν τῷ τὸν Ἀσκληπιάδην τῶν ἄλλων οὐγγίας μῖξαι, τουτέστιν ὁλκὰς ἢ δραχμὰς ἀργυρᾶς ὀκτὼ ἢ ἑπτὰ ἥμισυ, ἓξ δὲ τὸν Ἀνδρόμαχον. ἔτι τὸ καθόσον μὲν ὁ Ἀσκληπιάδης βαλσάμου καρπὸν, ὁ δ' Ἀνδρόμαχος ξυλοβάλσαμον ἐμβάλλει καὶ πρὸς τούτοις, ὅτι μηδ' ὅλως ὁ Ἀσκληπιάδης τὸ ἄνθος τοῦ σχοίνου μίγνυσι, κατὰ δὲ τὴν ἐπαγγελίαν τῶν ἔργων τοῦ φαρμάκου τῷ μὲν Ἀνδρομάχῳ πλέον οὐδὲν γέγραπται τοῦ δίδοσθαι τισὶ μὲν ἓν κοχλιάριον, τισὶ δὲ δύο μεθ' ὕδατος ψυχροῦ κυάθων δ'. ἢ θερμοῦ. τῷ δ' Ἀσκληπιάδῃ πλείω περὶ τῆς χρήσεως εἴρηται τῆς προκειμένης ἀντιδότου. πρὸς μὲν γὰρ τὰς δυσπεψίας τῶν ὑγιαινόντων κελεύει δίδοσθαι μίαν ὁλκὴν μεθ' ὕδατος ψυχροῦ κυάθων δ'. ἡγοῦμαι δὲ λέγειν αὐτὸν δραχμὴν ἀργυρᾶν καὶ γὰρ οὕτω σχεδὸν ἅπασι τοῖς νεωτέροις ἰατροῖς ἔθος ὀνομάζειν. ἄλλο δὲ νοεῖν ἡμᾶς οὐδὲν ἡ τοῦ πράγματος φύσις ἀναγκάζει. πρόδηλον δ' ὅτι δραχμὴν λέγομεν νῦν ἐν τοῖς τοιούτοις ἅπαντες ὅπερ Ῥωμαῖοι δηνάριον ὀνομάζουσιν. ἀλλ' ἐπί γε τῶν βραδυπεπτούντων οὐχ ἁπάντων ἁρμόσει διδόναι

lotae appoſuit. Et quod Aſclepiades reliquorum ſingulorum ſingulas uncias admiſcuit, hoc eſt drachmas argenteas octo aut ſeptem et dimidiam, Andromachus vero ſex. Amplius etiam in eo, quod Aſclepiades carpobalſamum, Andromachus xylobalſamum injicit, et praeterea quod Aſclepiades florem junci odorati penitus relinquit. Caeterum circa promiſſionem operum Andromachus nihil amplius ſcripſit, quam quibusdam unum cochleare, quibusdam duo cum aquae frigidae aut calidae cyathis tribus exhibere, verum Aſclepiades plura de uſu propoſitae antidoti prodidit. Ad tardas enim concoctiones ſanorum ʒ j dari jubet cum aquae frigidae cyathis quatuor, opinor autem ipſum dicere drachmam argenteam; etenim ſic fere omnes recentiores medici appellare in more habent, neque ipſa rei natura aliud nos intelligere cogit, manifeſtum eſt autem, quod drachmam dicimus nunc in hujusmodi omnes, quod Romani denarium appellant. Verum non omnibus tarde concoquentibus expedit

Ed. Chart. XIII. [573. 574.] Ed Baſ. II. (280.)
τὸ φάρμακον, ἀλλ' ἐπ' ἐκείνων μόνον, ἐφ' οἷς ἐπὶ χυμοῖς μοχθηροῖς γίνεται τοῦτο, μᾶλλον δ' ὅταν ὦσι λεπτοὶ καὶ χολώδεις. ποιήσει δ' ἄν τινα ῥᾳστώνην καὶ τοῖς ἄνευ χυμῶν τὴν ὑγρὰν δυσκρασίαν ἔχουσιν, ἐπὶ τοσοῦτον διαβεβρωκυῖαν τὸ πεπονθὸς μόριον, ὡς ἐκλύεσθαι καὶ χαλᾶσθαι παραπλησίως τοῖς συνδετικοῖς καλουμένοις νεύροις ἐπὶ τῶν κεχαλασμένων ἄρθρων. ἐπὶ μέντοι τῶν χολὴν ἐχόντων ἐν τῇ κοιλίᾳ, μάλιστα ἐφ' ὧν ἐν αὐτοῖς τοῖς χιτῶσι διὰ βάθους περιέχεται, κάλλιον φάρμακον οὐκ ἄν εὕροις. [574] ἀλλ' οὐκ οἶδα ὅπως ὀλίγον αὐτοῦ δίδωσιν ὁ Ἀσκληπιάδης, τῆς συμμέτρου δόσεως εἰς ≺ στ'. ἐξισούσης. πρὸς δὲ τοὺς φλεγμονήν τινα ἔχοντας οὐχ ἁπλῶς δοτέον ἐν παντὶ καιρῷ τῆς φλεγμονῆς, ἀλλ' ὅταν πεφθῇ τε καὶ παρακμάσῃ, πέπονα γὰρ φαρμακεύειν ἀξιοῖ καλῶς ὁ Ἱπποκράτης, μὴ ὠμὰ, μηδ' ἐν ἀρχῇσιν, εἰ μὴ ὀργᾷ, τουτέστιν εἰ μὴ πρὸς τὴν ἔκκρισιν ἐπείγοιτο ἡ κίνησις καὶ μήπω μηδεμίαν ἔχουσα πρὸς ἓν μέρος ἑδραίαν ῥοπήν τε καὶ στάσιν. ὀρθῶς δὲ τὸ φάρμακον τοῦτο τοῖς μὲν βραδυπεπτοῦσι καὶ τοῖς χολὴν ἐμοῦσιν ἢ ἄλλως πως

praebere hoc medicamentum, ſed iis ſolum quibus ob vitioſos humores tarda concoctio contingit et maxime cum tenues fuerint et bilioſi. Fecerit et quietem in iis, quibus citra vitiatos humores humida intemperies in tantum affectam partem perrigavit, ut exolvatur et laxetur ad modum ligatoriorum nervorum circa laxatos articulos. At vero qui bilem in ventre habent, quae praeſertim ipſis in tunicis in alto continetur, praeſtantius medicamentum non repererint. Verum haud ſcio qua ratione parum de ipſo exhibeat Aſclepiades, quum moderata exhibitio ipſius ad drachmas tres progrediatur. Porro ad inflammationem habentes non ſimpliciter in omni inflammationis tempore dandum eſt, ſed ubi concocta fuerit et declinarit. *Concocta enim medicanda certe cenſet Hippocrates, non cruda, neque in principiis, niſi ſuopte cieantur impetu*, hoc eſt niſi motus ad excretionem nos adducat, qui nondum firmam aliquam inclinationem ac ſtationem ad unam partem habeat. Recte autem hoc medicamentum tarde concoquentibus aut bilem vomen-

Ed. Chart. XIII. [574.] Ed. Baſ. II. (280.)

ῥευματιζομένοις τὸν στόμαχον, ἐπιπάττων ὕδατος κυάθοις τέσσαρσι, δίδωσι, τὴν ἐκ τοῦ μέλιτος ἀνατροπὴν προσγινομένην τῷ στομάχῳ δεδιώς. πρὸς δὲ τὰς παρακμὰς τῶν ἔνδον φλεγμονῶν μεθ' ὑδρομέλιτος ὡραίως ἄν τις διδοῖ τοῦτο. καθάπερ καὶ κινεῖν οὖρα προαιρούμενος ἢ ἔμμηνα κενοῦν ὁ μὲν Ἀσκληπιάδης φησὶ μόνον δι' οἴνου. βέλτιον δ' ἄν, ὡς ἐγώ φημι, ποιεῖ τις, εἰ δι' οἰνομέλιτος διδοῖ τὸ φάρμακον. οὕτω γὰρ ἅμα τε τὰ κατὰ τὴν ἐκ τῆς κοιλίας ἀνάδοσίν τε καὶ φορὰν ἐπ' οὖρα καὶ τὰ κατὰ τὰς μήτρας ἐνιστάμενα διαλύει καὶ τέμνει καὶ ῥώμην τοῖς μορίοις παρέχει δι' ὧν ποιεῖται τὴν πορείαν. ἔτι τε τὴν θερμασίαν αὔξει τῶν τόπων δι' ὧν φέρεται, συντελοῦσαν καὶ αὐτὴν οὐ σμικρὰ πρός τε τὴν χύσιν τῶν ἐνισταμένων ὑγρῶν καὶ τὴν κένωσιν. μετὰ δὲ τὴν προγεγραμμένην ἱερὰν Θεμίσωνος ἀντίδοτον ὁ Ἀσκληπιάδης ἑτέραν οὕτως ἔγραψεν· ἄλλη ἐκ τῶν Μαντίου δυναμεων Ἀτταλικὴ. ποιεῖ στομαχικοῖς καὶ ἀπορῥίπτουσι τὴν τροφὴν, ποιεῖ χολερικοῖς, κοιλιακοῖς, δυσεντερικοῖς. τὰ δὲ τῆς σκευασίας ἔχει οὕτω. ♃ κρόκου ≺ β'.

tibus aut alias ſtomachi fluxione laborantibus aquae cyathis quatuor inſpergens praebet, nimirum ſubverſionem ſtomacho ex melle oborientem formidans. Ad declinationem autem internarum inflammationum cum aqua mulſa tempeſtive quis exhibuerit, quemadmodum etiam urinam ciere volens aut menſes evacuare, Aſclepiades quidem ex vino dandum ait. Praeſtiterit autem, ut ego ſentio, cum vino mulſo medicamentum praeberi; ita enim ſimul et quae circa diſtributionem et delationem ex ventre in urinam et quae circa uterum inſtant, ſecat ac diſſolvit, et robur partibus addit, per quas tranſitum facit, ampliusque et locorum per quos fertur caliditatem auget, quae et ipſa non parum confert ad inſtantes humores fundendos ac evacuandos. Poſt praeſcriptam hieram Themiſonis antidotum Aſclepiades aliam ſic ſcripſit. *Alia ex Mantiae compoſitionibus Attalica. Facit ad ſtomachicos et rejicientes cibum, cholericos, coeliacos, dyſentericos.* Compoſitio ſic habet. ♃ Croci ℥ ij,

Ed. Chart. XIII. [574.] Ed. Baſ. II. (280.)

νάρδου ≺ β'. ὑοσκυάμου σπέρματος ≺ α'. ἀλόης γο α'. βαλαυστίου γο α'. τραγακάνθης γο α'. πεπέρεως λευκοῦ γο α'. ἀκακίας γο α'. ῥήου Ποντικοῦ γο α'. ῥοὸς Συριακοῦ τοῦ ἐπὶ τὰ ὄψα γο α'. ῥόδων χυλῷ ἀφεψημένων ἐν οἴνῳ αὐστηρῷ ἀναλαβὼν, ποίει τροχίσκους ἀνὰ ≺ α'. τὴν δὲ τραγάκανθαν προεμβρέξας τῷ χυλῷ ἕνου. τοῦτο τὸ φάρμακον οὐδὲν ἔοικε τῷ προγεγραμμένῳ, καθαρτικὸν μὲν γὰρ ἐκεῖνο, στυπτικὸν δὲ τοῦτό ἐστιν, ἁρμόττον τοῖς δι' ὑγρότητα πολλὴν ἔκλυτόν τε καὶ χαλαρὸν ἔχουσι τὸν στόμαχον ἢ καὶ σύμπασαν τὴν γαστέρα, καθάπερ κἂν τοῖς ἄρθροις τὰ χαλάσματα γίνεται, διαβραχέντων ὑγρότητι πολλῇ τῶν ἐν αὐτοῖς συνδέσμων, ἃ τοῖς πλείστοις τῶν ἰατρῶν ἔθος ἐστὶν ὀνομάζειν συνδετικὰ νεῦρα· πολλαὶ γὰρ τοιαῦται διαθέσεις ἔν τε τῇ γαστρὶ καὶ τῷ στομάχῳ γίνονται τοῖς πολυποτοῦσι καὶ δαψιλῶς ὀπώρας ὑγραινούσας ἢ ὅλως ἐδέσματα τοιαύτης κράσεως προσενεγκαμένοις. πολλῶν οὖν ὄντων τῶν οὕτω διῃτημένων, εὐλόγως καὶ τὰ τῆς προειρημένης διαθέσεως φάρμακα πλειστάκις εὐδοκιμεῖ τὴν στύψιν ἐπικρατοῦ-

nardi ʒ duas, ſeminis hyoſcyami ʒ j, aloës ʒ j, balauſtii ʒ j, tragacanthae ʒ j, piperis albi ʒ j, acaciae ʒ j, rheu Pontici ʒ j, rhois Syriaci culinarii ʒ j, excipe ſucco roſarum in vino auſtero coctarum et redige in paſtillos drachmae unius, tragacantham vero ſucco praemaceratam unito. Hoc medicamentum nihil priori ſimile habet, illud enim purgatorium eſt, hoc aſtringens, iis qui ſtomachum aut totum ventrem ob multam humiditatem exolutum ac laxum habent conveniens, quemadmodum etiam in articulis ejusmodi laxitates contingunt ligamentis ipſorum multa humiditate perrigatis, quae plurimi medici nervos ligatorios appellare ſolent. Multi enim ejusmodi affectus tum in ventre tum in ſtomacho fiunt iis, qui multo potu ſe explent aut fructus humectantes aut etiam edulia talis temperamenti ingerunt. Quum itaque multi ſint qui tali victu utantur, rationabiliter etiam praedictae facultatis medicamenta ſaepe ſucceſſu clara evadunt, ut quae praedominantem aſtringendi vim habeant.

Ed. Chart. XIII. [574. 575.] Ed. Baſ. II. (280. 281.)

σαν ἔχοντα. ἔνθα δὲ ἤτοι κακοχυμίας ἐκκενῶσαι προσῆκεν ἢ θερμῆναι τὸ πεπονθὸς μόριον, οὐ μόνον οὐδὲν ὀνίνησιν ἡ τῶν οὕτω στυφόντων φαρμάκων χρῆσις, ἀλλὰ καὶ βλάπτει. μετὰ γὰρ τὸ προγεγραμμένον φάρμακον ἑτέρων δυοῖν ὁ Ἀσκληπιάδης μέμνηται καλῶν ἑκατέρων αὐτῶν. σύγκειται δὲ ἐκ πολλῶν ἀμφότερα καὶ διὰ τοῦτό ἐστι πολύχρηστα, καὶ μᾶλλόν γε τὸ δεύτερον. ὅτι δέ ἐστι τοιοῦτον, οἷον εἶναί φησιν αὐτὸ, τῶν ἁπλῶν ἐν αὐτῷ φαρμάκων ἀναμιμνησκομένοις ἡμῖν, ὁποῖόν ἐστιν ἕκαστον, ἀκηκοόσι τε περὶ τῆς κατὰ τὴν σύνθεσιν αὐτῆς μεθόδου, δυνατὸν ἔσται κρίνειν καὶ αὐτοῖς.

[575] Ἀστὴρ στομαχικός. ποιεῖ ἀποξύνουσι τὴν τροφὴν, στροφουμένοις, καταῤῥοϊκοῖς, κεφαλαλγικοῖς, αἱμοπτυϊκοῖς, φθισικοῖς, ποιεῖ καὶ πρὸς τὰς περὶ κύστιν ἢ μήτραν διαθέσεις. ἡ δὲ σκευασία ἔχει οὕτως] ℞ Μανδραγόρου χυλοῦ ⊰ δ'. σμύρνης ⊰ δ'. βαλαυστίου ⊰ δ'. καστορίου ⊰ δ'. κρόκου ⊰ δ'. ὀπίου ⊰ στ'. ἀνίσου ⊰ η'. σελίνου (281) σπέρμτος ⊰ η'. στύρακος ⊰ η'. ὑσσώπου Κρητικοῦ ⊰ ιβ'. ὑοσκυάμου λευκοῦ σπέρματος ⊰ ιβ'. συντίθει κατὰ τρόπον

Ubi vero aut vitiatos humores evacuare aut affectam partem calefacere oportet, non ſolum nihil juvat ita aſtringentium medicamentorum uſus, ſed etiam nocet. Poſt praeſcriptum medicamentum aliorum duorum Aſclepiades meminit, quae et ipſa ambo bona ſunt et ex multis compoſita ac propterea multi ad varios affectus uſus et praeſertim poſterius. Quod vero tale ſit, quale ipſum eſſe dicit, etiam nobis ipſis facile erit judicare ubi in memoriam revocarimus ſimplicia in ipſo medicamenta, qualia ſingula ſint, ampliusque methodum compoſitionis ejus audiverimus.

[*Aſter ſtomachicus, facit ad eos, quibus cibus in ventre aceſcit ad tormenta, deſtillationes, dolorem capitis, ſpuentes ſanguinem, tabeſcentes, affectiones circa veſicam et uterum. Praeparatur ſic.*] ℞ Succi mandragorae drach iv, myrrhae drach. iv, balauſtii ʒ iv, caſtorii ʒ iv, croci drach. iv, opii drach. ſex, aniſi ʒ viij, ſeminis apii drach. viij, ſtyracis ʒ viij, hyſſopi Cretici ʒ xij, ſeminis hyoſcyami albi drach. xij, componito pro more et digerito in pa-

Ed. Chart. XIII. [575.] Ed. Baſ. II. (281.)

καὶ ἀνάπλαττε τροχίσκους καὶ δίδου πρὸς δύναμιν. τὸ δ' ὑγρὸν ἔστω κατάλληλον τῇ διαθέσει. ἀστὴρ ἀνίκητος, φάρμακον ἐπιτετευγμένον ἀνώδυνον, ὑπνοποιὸν, πολύχρηστον. καὶ γὰρ τὰ περὶ τὸν στόμαχον ἰᾶται νοσήματα θαυμαστῶς, ὀξυρεγμίας καὶ δυσπεψίας ἀπαλλάττει, στρόφους, λυγμοὺς, ἐμπνευματώσεις. ποιεῖ καὶ πρὸς τὰ τῆς κεφαλῆς ἀλγήματα πινόμενον τὸ φάρμακον καὶ ἔξωθεν καταχριόμενον κατὰ τοῦ μετώπου ὄξει ἀνεθέν. ποιεῖ καὶ πρὸς ὠταλγίαν περδικίου χυλῷ ὁ τροχίσκος ἀνεθείς. ποιεῖ καὶ πρὸς ὀδονταλγίαν τῷ βρώματι ἐντιθέμενος, λεανθεὶς καὶ χαλβάνῃ ἀναληφθεὶς ἢ συκῆς ὀπῷ. ποιεῖ καὶ πρὸς τὰς τῶν ὀφθαλμῶν ἐπιφορὰς καὶ τὰς τῶν παρισθμίων φλεγμονὰς, οἴνῳ γλυκεῖ ἀνεθείς, ὥστε ἐπὶ μὲν τῶν ὀφθαλμῶν τὸ ἔριον ἐμβρέχοντας ἐπιτιθέναι. τοῖς γὰρ τὰ παρίσθμια πεπονθόσιν χλιαίνοντας παραίνει ἀναγαργαρίζεσθαι. ποιεῖ δὲ καὶ πρὸς πᾶσαν αἵματος φορὰν ἀνεθεὶς οἴνῳ μυρτίτῃ, ποιεῖ καὶ πρὸς βῆχας χρονίους καὶ προσφάτους καὶ κατάῤῥους διαλυθεὶς οἴνῳ Θηραίῳ ἢ προτρόπῳ ἢ Σκυβελίτῃ. ποιεῖ καὶ φθισικοῖς, ἐμπυϊκοῖς, διαλυθεὶς πρασίου ἀφεψήματι. ποιεῖ αἱμοπτυϊκοῖς, δυσεντερικοῖς, χολερικοῖς,

ſtillos, dato pro viribus. Liquor ſit affectioni convenieus. *Aſter alter inexuperabilis, medicamentum accommodatum ſedans dolorem, inducens ſomnum, multi uſus ad varios affectus. Nam et ſtomachi morbos mirabiliter ſanat a ructibus acidis, aegris concoctionibus, torminibus, volvulis, inflationibus. Facit et ad capitis dolores potatum et foris illitum fronti aceto dilutum. Facit et ad oculorum dolorem paſtillus perdicii ſucco dilutus. Facit et ad dentium dolorem cavernae inditus, tritus ac galbano exceptus aut ſici ſucco. Prodeſt ad epiphoras et tonſillarum inflammationes vino dulci dilutus, ita ut ad oculos lanam eo imbutam imponamus: in tonſillis vero affectis tepefactum colluamus. Facit ad omnem ſanguinis fluxum vino myrtite diſſolutus, et ad veteres ac recentes tuſſes et deſtillationes dilutus vino Theraeo aut protropo aut Scybelite Facit phthiſicis, ſuppuratis, marrubii ſucco diſſolutus. Haemoptoicis, dyſentericis, cholericis, ſanguinariae ſucco*

Ed. Chart. XIII. [575.] Ed. Baſ. II. (281.)

χυλῷ πολυγόνου διαλυθεὶς καὶ πρὸς παντὸς ἕρπετοῦ πληγὴν ποθεὶς μετὰ πηγάνου ἀφεψήματος. λύει καὶ τὰς κατὰ περίοδον ἐπισημασίας, πινόμενος πρὸ δυοῖν ὡρῶν τῆς ἐπισημασίας μετ' οἴνου κεκραμένου κυάθων γ'. καὶ ἔμμηνα γυναιξὶ κατάγει διαλυθεὶς ἀρτεμισίας ἀφεψήματι. ποιεῖ καὶ πρὸς τὰς περὶ κύστιν διαθέσεις, οἰνομέλιτι διαλυθεὶς, ὁμοίως καὶ ταῖς ὑστερικαῖς πνιγομέναις βοηθεῖ. ποιεῖ ἀρθριτικοῖς, ποδαγρικοῖς, γεντιανῆς ἀφεψήματι διαλυθείς. καὶ περὶ μὲν τούτων διαπράττεται ἐπὶ τοσοῦτον. τὰ δὲ τῆς συνθέσεως οὕτως ἔχει. ℞ σμύρνης ⊰ δ'. στύρακος ⊰ δ'. νάρδου Ἰνδικῆς ⊰ δ'. κασσίας σύριγγος ⊰ δ'. σφραγῖδος Λημνίας ⊰ δ'. μανδραγόρου φλοιοῦ ⊰ δ'. ἐν ἄλλῳ καὶ πεπέρεως ⊰ δ'. κρόκου ⊰ στ'. ὀποῦ μήκωνος ⊰ στ'. δαύκου Κρητικοῦ σπέρματος ⊰ η'. ἀνίσου ⊰ η'. σεσέλεως Μασαλεωτικοῦ ⊰ η'. σελίνου σπέρματος ⊰ η'. τὸ σμύρνιον καὶ τὸ στυράκιον καὶ τὸ ὄπιον οἴνῳ διαλύεται εὐώδει καὶ λεαίνεται. τὰ δὲ ξηρὰ κόπτεται καὶ σήθεται, εἶθ' ὁμοῦ μίγνυται καὶ φυρᾶται καὶ ἀναπλάτ-

dilutus, et ad omnis reptilis plagam cum rutae decocto potatus. Solvit irritationes per circuitum repetentes, duabus ante ejus invaſionem horis ex vini diluti cyathis tribus acceptus. Menſes etiam feminarum ducit artemiſiae decocto dilutus. Facit et ad veſicae affectiones vino mulſo diſſolutus. Similiter etiam iis, quae ab utero ſuffocantur, auxiliatur. Facit arthriticis, podagricis, gentianae decocto dilutus. Et de his quidem quae efficit hactenus. Compoſitio vero hoc modo habet. ℞ Myrrhae drach. quatuor, ſtyracis drach. quatuor, nardi Indicae drach. quatuor, caſſiae fiſtulae drach. quatuor, terrae Lemniae drach. quatuor, corticis mandragorae drach. quatuor. In alio exemplari etiam piperis drach. quatuor, croci drach. ſex, ſucci papaveris drach. ſex, ſeminis dauci Cretici drach. octo, aniſi drach. octo, ſeſelis Maſſilienſis drach. octo, ſeminis apii drach. octo. Myrrha et ſtyrax atque opium vino diſſolvuntur odorato et teruntur, arida vero tunduntur et cribrantur, ac deinde ſimul miſcentur, ſubiguntur ac in paſtil-

Ed. Chart. XIII. [575. 576.] Ed. Baſ. II. (281.)

τομεν τροχίσκους ὁλκῆς ἄγοντας ἥμισυ καὶ ξηραίνομεν ἐν σκιᾷ. ἡ χρῆσις δεδήλωται. ἐν ἄλλοις τῶν τροχίσκων ἡ ὁλκὴ ἀνὰ ≺α'.

Κεφ. δ'. [*Τὰ ὑπ' Ἀρχιγένους γεγραμμένα ἐν τῷ πρώτῳ τῶν κατὰ γένος φαρμάκων περὶ τῶν κατὰ τὸν στόμαχον παθῶν.*] *Τῶν δὲ περὶ τὸν στόμαχον παθῶν πολλῶν καὶ ποικίλων ὄντων, καὶ τούτων σχεδὸν ἁπάντων ὡς ἐπίπαν ἐξ ἀπεψίας γινομένων, παντὶ σθένει αὐτὸν ἐπισκεπτέον. εἰ μὲν δὴ ὑδάτων ἢ ἀέρος κακία δείκνυται, ὡς μάλιστα ἐπιδέχεται μεθοδεύοντας, ταῦτα ἀλλάσσοντας ἀπαλλάττειν· εἰ δὲ ἀσυνήθων βρωμάτων, παραιτουμένους ταῦτα· εἰ δὲ διὰ πλῆθος, συστέλλοντας τὰ σιτία* [576] *καὶ καθόλου ἐξ οὗ ἂν ὑπονοήσωμεν γίνεσθαι, τοῦτο παραιτουμένους. εἰ δὲ πάντα τὰ εἰρημένα εὐτακτοίη, παρ' αὐτὸν δὲ τὸν στόμαχον τὰ κατὰ τὰς πέψεις παραποδίζοιτο, ἀλείμμασι καὶ γυμνασίοις ἀναφωνήσεσί τε καὶ τοῖς τοιούτοις ὁμοίοις γινομένοις τὸν στόμαχον ῥωστέον. τοῖς δὲ ὀξυρεγμιώδεσι κοριάνου ὡς κοχλιάριον δίδου πρὸ ἑτέρου τῶν σιτίων τρώγειν καὶ ἐπιῤῥοφεῖν*

los ccguntur ponderis drachmae dimidiae et in umbra reſiccantur. Uſus oſtenſus eſt. In aliis exemplaribus paſtillorum pondus drachmale proditur.

Cap. IV. [*Quae Archigenes in primo medicamentorum ſecundum genus prodidit de affectionibus circa ſtomachum.*] Quum multae et variae ſint circa ſtomachum affectiones, atque hae omnes fere in totum ex cruditate oboriantur, totis viribus conſiderandum. Et ſi quidem aquarum aut aëris malitia oſtendatur, univerſali via ac ratione quam maxime licet utentes, haec immutando hominem liberare eſt opus. Si vero ob inconſuetos cibos, eis interdicemus; ſi vero ob copiam, cibos contrahemus, et in univerſum ex quacunque cauſa ſuſpicati fuerimus fieri, eam probibebimus. Quod ſi in omnibus ipſis bono ordine tractetur et juxta ipſum ſtomachum tamen concoctiones impediantur, unctionibus et exercitiis, vociferationibusque et aliis hujusmodi per expertum artificem adhibitis ſtomachus corroboretur. Verum ructu acido affectis coriandrum cochlearii menſura ante reliquum cibum edendum dato et merum inſuper bi-

Ed. Chart. XIII. [576.] Ed. Baſ. II. (281.)

ἄκρατον. γενομένης δὲ ἀπεψίας μετρίας ποτὲ καὶ εὐκαταφρονήτου πλείονα χρόνον ἐπὶ τῆς κλίνης ἠρεμητέον. εἰ δὲ μὴ τὰ πράγματα ἐπιτρέποι, ἐφ' ὅσον ἐνδέχεται, πᾶσαν διάτασιν καὶ κόπον, ἔτι τε καῦμα καὶ ψῦχος καὶ θυμὸν ἐκφευκτέον. ὀψιαίτερον δὲ τῆς συνήθους ὥρας ἐν ζεστῷ λουστέον. ἔν τε τῷ προβαλανείῳ χλιαρὸν ὕδωρ πιόντες ἀπερευγέτωσαν πάντα τὰ εἰς τὸν στόμαχον συναθροισθέντα φλέγματα, ὀλιγοσιτίᾳ τε καὶ ὀλιγοποσίᾳ τῇ πρώτῃ χρήσθωσαν εἰ δ' εὐτονος ἡ φθορὰ τῶν σιτίων γένοιτο, δάκνοιντό τε τὸν στόμαχον καὶ ἐρεύγοιντο αὐτὰ, ἔτι τε ναυτοῖεν, χλιαρῷ ποτίσας ἀνάγκαζε ἐξερᾶν, μέχρι πᾶν τὸ διέφθορον καθαρισθῇ, εἶτα ἐμβρέξας τὴν κεφαλὴν λιπαροῖς ὀθονίοις παρὰ πυρὶ θερμανθεῖσιν ἢ τοιαύτῃ τινὶ ἀπεριέργῳ ἀγωγῇ, πυρία τὰ περὶ τὸν στόμαχον καὶ ὑποχόνδρια παρηγορήσας τά τε ἄκρα λιπαρὰ ψηλαφίᾳ ἢ καὶ κατειλησίᾳ λεάνας, ἐπὶ τοῦ κλινιδίου ἠρεμεῖν ἐάσεις ἀσιτήσαντάς τε ἕξ ὅλου τῇ ἑξῆς, εἰ μηδὲν ἐπακολουθήσειεν ἄτοπον. εὐτονοῦντας μὲν, ὡς προείρηται, λού

bendum. Quod ſi quandoque moderata cruditas et quae contemni poſſit, oboriatur, longiore tempore in lecto decumbendum eſt, et ſi negotia id non permittant, quanto poſſibile eſt, omnis diſtentio et labor, ampliusque aeſtus et frigus ac ira vitanda ſunt. Serius etiam quam pro conſueto tempore ex fervida aqua lavandum eſt, et in priore balnei domo aqua tepida hauſta, omnia in ſtomachum coacervata pituitoſa removenda, et modico cibo itemque potu prima die utendum. Si vero fortis ciborum corruptio fiat ſtomachique morſum ſentiant ac ipſos eructent, ampliusque nauſea afficiantur, aqua tepida exhibita vomere cogito donec omne corruptum expurgetur, deinde caput mollibus linteolis ad ignem caleſactis obducito, aut hujusmodi aliquo non inani ductu locos circa ſtomachum foveto et praecordia mitigato, ſummas item partes molli frictione aut etiam conſtrictione lenito. Atque ita in lectulo quieſcere ſinito, ac inediam per totam ſequentem diem perferre, ſi non abſurdum quid inde conſequatur. Fortiores quidem, ut prae-

Ed. Chart. XIII. [576.] Ed. Baſ. II. (281.)

σας ἐπιμελοῦ· εἰ δ' ἀτονοῖεν, συμμέτρως ἐπὶ μίαν ἀναλαβὼν τῇ ἑξῆς λοῦε, παραινῶν μέχρι τριῶν ἡμερῶν ἐν ταῖς τροφαῖς καὶ τοῖς πότοις μετριάζειν. ἀπεψίας μὲν οὖν τοιαύτη τις, ὡς τύπῳ εἰπεῖν, ἡ ἐπιμέλεια. περὶ δὲ τῶν ἐξ αὐτῆς ἀποβαινόντων, οἷον διαῤῥοίας ἢ χολέρας ἢ τῶν τοιούτων, ἐν ἰδίῳ τόπῳ εἰρήσεται. ἐπὶ δὲ τῶν ἄλλων τῶν περὶ τὸν στόμαχον δυσχερειῶν, τοῖς μὲν καυσουμένοις τὸν στόμαχον μετ' ἐκλύσεως ἢ λειποθυμίας ἢ τινος ἀνορεξίας ἐξ οἱασδηποτοῦν αἰτίας, ὅτι μὴ πυρετοῦ, κυάθους τρεῖς ἢ τέτταρας δίδου ψυχροῦ ὕδατος καταῤῥοφεῖν δὶς ἢ τρὶς ἐκ διαλειμμάτων. καὶ εἰ μὲν παρηγοροῖντο, τούτῳ αὐτοὺς ἀνακτησάμενος ὡς τροφῇ καὶ τοῖς ἄλλοις ἀναλάμβανε. εἰ δ' ἐπιμένοι, διακρατουμένων καὶ διαλεαινομένων τῶν ἄκρων, ἀπόβρεγμά τι τῶν τοιούτων συνεχῶς καταῤῥοφεῖν δίδου, οἷον φοινικοβαλάνων, μήλων κυδωνίων, ἀπίων, μεσπίλων, ἀρκευθίδων, ἑλίκων ἀμπέλου, ῥόδων, ῥοιᾶς ἀπυρήνου χυλὸν ἢ στροβίλους κ'. καὶ σικύου σπέρματος κόκκους κε'. μύρτων κ'. κρόκου ὀβολοὺς β'.

dictum eſt, effectos lavatione curato, ſi vero infirmi eſſent, moderate ad diem unum refectos, in ſequentem lavato moderatis cibis ac potibus ad triduum uti juſſos. Et cruditatis quidem talis quaedam, ut rudi quadam forma expreſſi, curatio exiſtit. Verum de iis, quae ex ipſa proveniunt, velut profluvio ventris aut bilis per vomitum ac feceſſum rejectione aut aliis ejusmodi, in proprio loco dicetur. Caeterum in aliis ſtomachi moleſtiis, iis quidem, qui ſtomacho exuruntur cum exolutione aut animi deliquio aut appetentia perdita, ex qualicunque tandem cauſa praeter febrem, cyathos iij aut iv aquae frigidae abſorbendos dato, bis aut ter per intervalla, et ſi quidem inde mitius habeant, ipſos revocatos tum cibo tum etiam aliis refocillare tentabis. Si vero permaneat malum, deprehenſis atque laevigatis extremitatibus, hujusmodi quendam cremorem aſſidue abſorbendum dato, velut palmularum, malorum cotoneorum, pyrorum, meſpilorum, baccarum juniperi, pampinorum vitis, roſarum, mali item punici nucleum non habentis ſuccum aut nuces pineas xx et ſeminis cucumeris grana xxv, baccas

Ed. Chart. XIII. [576.] Ed. Baſ. II. (281.)

ῥόδων δυοῖν φύλλα μεθ' ὕδατος δίδου πίνειν. ἢ ψυχρὸν ὕδωρ δίδου μετ' ὀμφακίου χυλοῦ, ἢ ῥόδων ἄνθος μετὰ νάρδου καὶ ὕδατος ψυχροῦ, ἢ ἀνδράχνης σπέρματος προσμιγέντος ἢ ἀτραφάξιος σπέρματος ἢ μήλων κυδωνίων ἀφεψήματος. ἢ σικύων σπερμάτια ν' λεῖα ἐκ ψυχροῦ δίδου. ἢ ὄρυζαν ἑψήσας μετὰ βουτύρου δίδου φαγεῖν. ἢ τραγορίγανον λείαν μεθ' ὕδατος χυλίσας δὸς φαγεῖν. ἢ κυάμους Αἰγυπτίους ι'. καὶ νάρδου Κελτικῆς ὀβολοὺς δύο, φρύξας ἀμφότερα καὶ λεάνας δίδου πιεῖν. ἐπιπάσας ῥόας ὀξείας καὶ γλυκείας χυλοῦ καὶ ὕδατος ἑκάστου ἴσον. ἢ κλώνιον ἡδυόσμου συλλεάνας δὸς πίνειν. ἢ οἰνάνθην ὁμοίως τρίψας μετὰ νάρδου Ἰνδικῆς δὸς πιεῖν. ἢ φακοὺς ἐψημένους λείους δίδου μεθ' ὕδατος. ἢ φοινικοβαλάνους μετὰ ῥόδων. ἢ πρασίου χυλὸν μετὰ μέλιτος καὶ βραχὺ ἡσυχάσασιν δίδου οἶνον μετὰ ἀλφίτου. ἢ καρδαμώμου δραχμὴν μίαν μετὰ ὀξυμέλιτος κυάθων τριῶν ποτίσας, σύγχριε καὶ ἄφες ἠρεμεῖν. τοῖς δὲ σιελίζουσι ξηρὰν κόνυζαν δίδου μασᾶσθαι. ἐπιθετέον δὲ ἔξω-

myrti xx, croci obol. ij et roſarum duarum folia ex aqua bibenda exhibeto. Aut aquam frigidam cum omphacii ſucco praebeto. Aut florem roſarum cum nardo et aqua frigida. Aut etiam portulacae ſemen admiſceto aut atriplicis ſemen aut malorum cotoneorum decoctum. Aut cucumerum ſativorum ſemina 1 trita ex frigida praebe. Aut oryzam coctam cum butyro edendam exhibe. Aut tragoriganum tritam et exuccatam cum aqua edendam praebe. Aut fabas Aegyptias x et nardi Celticae obol. ij, utraque toſta et trita bibenda exhibe cum mali punici acidi ac dulcis ſucco et aqua, pari utriusque menſura. Aut menthae ramulum contritum bibendum dato. Aut oenanthen ſimiliter tritam cum nardo Indica bibendam dato. Aut lentes coctos tritos ex aqua praebeto. Aut phoenicobalanos cum roſis. Aut marrubii ſuccum cum melle, et ubi paululum quieverint, vinum cum polenta exhibeto. Aut cardamomi ʒ j cum aceti mulſi cyathis tribus potandam dato ac quieſcere ſinito. Porro iis, qui ſalivam multam in ſtomacho aggregarunt, aridam conyzam manducandam dato, forinſecus vero ſtomacho impo-

Ed. Chart. XIII. [576. 577.] Ed. Baſ. II. (281. 282.)

θεν ἐπὶ τὸν στόμαχον ἀμπέλου φύλλα [577] χλωρὰ λεῖα ἢ μῆλα κυδώνια ἢ φοινικοβαλάνους ἢ μέσπιλα μετὰ κηρωτῆς, ἢ μυρσίνης ἁπαλὰ φύλλα ἢ βάτου ἢ σχίνου λεῖα μετὰ πάλης ἀλφίτου ψυχρῷ πεφυραμένου. ἢ χλωρὰν ἀνδράχνην ὁμοίως ἐσκευασμένην, ἢ τυρὸν ἁπαλὸν νεαρὸν μετ' (282) ἀλφίτου καὶ σελίνου φύλλων, ἢ σέρεως φύλλα μετ' ὄξους καὶ ἀλφίτων καὶ σελίνου φύλλων. πυρουμένων δὲ εὐτόνως φῦσαν πληρωθεῖσαν ὕδατος ἐπιτίθει, ἢ χιόνα ἐπίβαλλε, ἢ τῶν κολοκύνθων τὰ ξύσματα ἐπιτίθει καὶ καθόλου πάντα ὅσοις ἐπὶ τῶν καρδιακῶν χρώμεθα. τὰ δὲ ἀλγήματα τοῦ στομάχου πραΰνει καὶ μάλιστα ἐφ' ὧν δυσθυμία τις ἢ ἀπορία παρέπεται, γάλα ὄνειον ἢ γυναικεῖον ἢ βόειον, κοχλάκων ἐναφεψημένων πινόμενον, ἢ νάρδινον μύρον ἢ τῶν λίαν πολυτελῶν δίδου μεθ' ὕδατος, ἢ ἀπόζεμα σχοίνου ἄνθους, ἢ καὶ ῥόδων ἄνθους ἐπιπασσομένου, ἢ ἀνδράχνης χυλὸν, ὁτὲ μὲν καθ' αὑτὸν, ὁτὲ δὲ μετὰ τῆς νάρδου ἢ ὠοῦ λέκιθον πεφρυγμένην καὶ ἀληλεσμένην μετὰ ἀλφίτων πότιζε, ἢ κάρυα πικρὰ μετὰ σικύου σπέρματος καὶ στροβίλου, ἢ λαπάθου ἀγρίου

nantur vitis folia viridia trita, aut mala cotonea aut palmulae aut meſpila cum cerato. Aut myrti folia tenera vel rubi vel lentiſci, trita cum polentae flore frigida ſubacto. Aut portulaca viridis ſimiliter praeparata. Aut caſeus recens mollis cum polenta et apii foliis. Aut ſeridis folia cum aceto et polenta ac apii foliis. Si vero multum ſint aeſtuoſi, veſicam aqua expletam imponito. Aut nivem ſuperdato. Aut cucurbitarum ramenta imponito et omnino omnia, quibus in cardiacis utimur. Dolores autem ſtomachi lenit et maxime iis, quibus auxietas aliqua aut indigentia accedit, lac aſininum aut muliebre aut bubulum, filicibus incoctis potatum. Aut unguentum nardinum vel aliquod pretioſum dato ex aqua. Aut decoctum ſchoenanthi, roſarum flore ſimul inſperſo. Aut portulacae ſuccum, quandoque per ſe, quandoque cum nardo. Aut ovi vitellum toſtum et in farinam comminutum cum polenta bibendum dato. Aut amaras nuces cum cucumeris ſemine et nuce pinea. Aut rumi-

Ed. Chart. XIII. [577.] Ed. Baſ. II. (282.)

σπέρματος τριώβολον πότιζε. πάντα τὰ κατὰ τὸν στόμαχον ἀλγήματα καὶ δυσαρεστήματά φασι παύειν κοχλίαν ὠμὸν Λιβυκὸν καταπινόμενον ὅλον. ἀναλυομένου δὲ αὐτοῦ μόνου καὶ ναυτιώδους τοῦ στομάχου γινομένου, θρίδακος λευκῆς σπέρματος ὀλίγον μεθ' ὕδατος κυάθων τεσσάρων ἢ ἑνὸς πιεῖν δίδου, ἢ στρουθῶν ἀφόδευμα ξηρὸν ἐπιπάσσων, ὡς ἄλφιτον, εἶτα ὕδωρ πίνοιεν, εἶτα οἶνον, ἢ μαστίχης Χίας κοχλιάριον μετὰ ψυχροῦ ὕδατος, ἢ ἀπὸ πάγου νήστει καθ' ἡμέραν δίδου καὶ μασώμενοι αὐτὴν συνεχῶς τὸν σίελον ἀποπτυέτωσαν. ἢ κόνυζαν ξηρὰν μασάσθωσαν. εἰ δὲ πρὸς τῷ πλάδῳ καὶ φλεγμονή τις εἴη, οἰνάνθην σὺν μελιλώτῳ ἢ ῥόδον ξηρὸν μετὰ κηρωτῆς ῥοδίνης, ὀλίγον ἐχούσης ῥητίνης ἀποκεκαυμένης ἐπιτίθει, ἢ ἀκακίας καὶ στυπτηρίας μηλείας ἴσα, κηρωτῆς τῷ διπλῷ ἀναλαβὼν, ὡς μάλαγμα ἐπιτίθει. ἐπὶ δὲ τῶν χολὴν μέλαιναν γεννώντων καὶ φυσωμένων τὸν στόμαχον ἐπιτίθει τῷ στομάχῳ καὶ μάλιστα ἐν ταῖς ἐπιτάσεσι, σπόγγους ὄξει δριμυτάτῳ θερμῷ βεβρεγμένους. μετὰ δὲ τούτους εἰ ἐπιμένοιεν, στυπτηρίαν ὑγρὰν μετὰ χαλκάνθου λείου

cis ſilveſtris ſeminis obolos tres bibendos praebeto. Omnes vero circa ſtomachum dolores et implacabiles moleſtias ſedari ajunt cochlea Africana cruda integra vorata. Exoluto autem ſolum et nauſeabundo facto ſtomacho lactucae albae ſemen modicum ex aquae cyathis quatuor aut uno bibendum dato. Aut paſſerum ſtercus aridum velut polentam ſive aquam biberint ſive vinum inſpergito. Aut maſtiches Chiae cochleare ex aqua frigida dato. Aut glaciem jejunis quotidie exhibeto, ut ea aſſidue manducata ſalivam expuant. Aut conyzam aridam manducent. Si vero una cum humectatione etiam inflammatio aliqua adſit, oenanthen cum meliloto aut roſam ſiccam cum cerato roſaceo parum reſinae uſtae habente impone. Aut acaciae et aluminis melii pares partes dupla cerati proportione excipe et ut malagma impone. Caeterum quibus bilem atram generantibus ſtomachus inflatur, ſpongias aceto acerrimo calido imbutas ad ſtomachum imponito, atque hoc maxime tempore diſtentionum, et ſi poſtea etiamnum perſeverarint, alumen liqui-

Ed. Chart. XIII. [577.] Ed. Baſ. II. (282.)

μέλιτι ἀναλαβὼν ἐπιτίθει, ἢ ταῦτα καὶ ἀλόην ἴσην μίξας αὐτοῖς, κηρωτῇ μυρσίνῃ ἀναλαβὼν ἐπιτίθει, ἢ κισσοῦ φύλλοις ἑφθοῖς ἐν οἴνῳ κατάπλασσε, ἢ ἀρνογλώσσου μετὰ ἁλῶν τριβέντα, ἢ ἀγελαίας βοὸς βόλβιτον ξηρὸν ἐψημένον ἐν οἴνῳ, ἢ πρασίῳ μετὰ ἄρτου καὶ ῥοδίνου φυραθέντι, ἢ βολβοῖς πυρρόοις καὶ στυπτηρίας ἴσης. μετὰ δὲ ταῦτα ποτιστέον αὐτοὺς τῇ τε ἀπυρέτῳ λεγομένῃ ἢ τῇ ἱερᾷ ἀντιδότῳ ἤ τινι ἄλλῃ, ἥτις ἑκάστῳ διὰ πείρας. τροφὰς δ' ἁρμοδίους τοῖς στομαχικοῖς τάσδε δοτέον· τεῦτλον, φακήν, τράγον, ὄρυζαν, χόνδρον, ἐγκαθεψημένων μήλων κυδωνίων ἢ φοινικοβαλάνων ἢ μεσπίλων ἢ ῥοᾶς ἀπυρήνου κόκκων ἢ μηλαπίων ἢ σχίνου κλωνίων ἁπαλῶν, ἢ σμύρνης ἢ βάτου παραμιγνυμένων, ἄρτον δὲ ἀκρόζυμον ἢ ἄζυμον. τῶν δὲ λαχάνων τῶν μὲν ὠμῶν κιχώρια, μηκωνίδες, ἠρύγγιον, ἴντυβον ἢ γιγγίδιον, σέρις, θρίδακες· τῶν δὲ ἑφθῶν εὐθετεῖ μάλιστα κράμβη καὶ σίσαρον. τῶν δὲ λοιπῶν ἀφεψημάτων κοχλίαι καὶ βολβοί, κρεῶν δὲ γαστὴρ, ῥύγχη, πόδες, κίχλαι, πέρδικες, ἀτταγῆνες, τρυγό-

dum cum chalcantho trito melle exceptum imponito. Aut haec et aloëm pari portione mixta et cerato myrteo excepta imponito. Aut hederae foliis vino coctis pro cataplasmate utitor, aut plantaginis cum ſale tritis. Aut armentariae bovis ſtercus aridum vino coctum. Aut marrubium cum pane et roſaceo ſubactum. Aut bulbos rufos et alumen pari portione imponito. Poſt haec antidotus apyretos appellata aut hiera aut alia quaepiam, quae cuique per experientiam cognita eſt, in potu exhibenda eſt. In cibo ſtomachicis conveniunt beta, lens, tragus, oryza, alica, malis cotoneis aut palmulis aut meſpilis aut mali punici nucleo carentis, granis aut melapiis ſimul incoctis, aut teneris lentiſci aut myrti aut rubi ramulis admixtis. Panis ſit ſumme tantum fermentatus aut penitus absque fermento praeparatus. Ex oleribus conveniunt cruda, cichorium, meconides, eryngium, intybus, gingidium, ſeris, lactucae, cocta maxime commoda eſt braſſica et ſiſarum. Ex reliquis autem coctis conveniunt cochleae et bulbi. Ex carnibus venter, roſtra, pedes, turdi, perdices, attagenes, turtures,

Ed. Chart. XIII. [577. 578.] Ed. Baſ. II. (282.)

νες, φάσσαι, νῆσσαι, λαγωοὶ, δορκάδες, ὀψαρίων δὲ καρίδες, ἀστακοὶ, κολύμβαιναι, κάραβοι, τευθίδες, σηπίαι καὶ τῶν σκληροσάρκων τρίγλαι, τῶν δὲ ὀστρακωδῶν μάλιστα μὲν κήρυκες, πορφύραι, κτένες, γλαῦκοι, σμαρίδες, βάλανοι. [578] τὸ δὲ σίσαρον ἐπὶ πᾶσι λαμβανόμενον καὶ ὡς εὐστόμαχον πρὸς τὰς ἀναλήψεις κατὰ τὰ πλεῖστα τῶν περὶ τὸν στόμαχον συμπτωμάτων συμφωνεῖ. πόμα δὲ ὁ ὑφ' ἑκάστου πινόμενος ἡδέως οἶνος. τοὺς δὲ πνευματουμένους καὶ διατεινομένους τὸν στόμαχον πολίου δεσμίδιον καθέψων πότιζε. ἢ καλαμίνθης ἀφέψημα ἐξηθριασμένου τοῦ ὕδατος, μίξας ὀλίγον μέλιτος καὶ πεπέρεως δραχμὴν μίαν δίδου. ἢ σπόγγον ὄξει δριμυτάτῳ βρέξας τοῖς ποσὶ καὶ τοῖς βραχίοσιν ἐπιτίθει, μέχρι φλυκταινώσεως μάλιστα, εἰ καὶ ἀπειροῖεν τὰς τροφάς. ἢ τήλινον ἄλευρον ὄξει φυρῶν ἢ σίνηπι λεῖον σὺν ὄξει μέχρι φοινίξεως. ἢ ψύλλιον ὄξει καὶ ὕδατι βρέξας καὶ ἐν ὅλμῳ κόψας, προσδοὺς κοχλιῶν σαρκῶν ἴσον, μαλαγματῶδες ποιῶν ἐπιτίθει. ἀνώδυνα στομαχικοῖς. κύμινον πεφρυγμένον καὶ σέ-

palumbes, anates, lepores, dorcades. Ex piſcibus ſquillae, gammari, colymbaenae, locuſtae, loligines, ſepiae, et ex iis qui duras carnes habent mulli, ex teſtaceis maxime buccina, purpurae, pectines, glauci, cerri, glandes. Verum ſiſarum a reliquis omnibus acceptum, ut ſtomacho gratum et refectioni commodum, ad pleraque omnia ſtomachi ſymptomata conveniens eſt. In potu prodeſt vinum, quod unusquisque libenter bibit. At vero iis, qui inflantur et ſtomacho diſtenduntur, polii faſciculum coquito et bibendum dato. Aut calaminthae decoctum per noctem ſub dio expoſitum, modico melle et piperis ʒ j admixtis, bibendum praebeto. Aut ſpongiam acerrimo aceto imbutam pedibus ac brachiis imponito, usquequo bullae excitentur, maxime ſi cibos rejectent. Aut foenigraeci farinam aceto ſubactam. Aut ſinapi tritum cum aceto usquequo rubeſiat locus. Aut pſyllium aceto et aqua maceratum et in mortario tuſum, pari portione carnium cochlearum admixta, in malagmatis forma imponito. *Quae ſtomachicis dolorem eximant.* Cuminum

Ed. Chart. XIII. [578.] Ed. Baſ. II. (282.)

λινον ἀνὰ ὀλίγον πότιζε σὺν ὕδατι. ἢ ἀλόης δύο ὀβολοὺς μετὰ οἰνομέλιτος ἢ οἴνου ἢ ὕδατος πότιζε. ἢ ἀβροτόνου καὶ θύμου ἀνὰ δύο ὀβολοὺς σὺν οἴνῳ δὸς πιεῖν. διαδέσμοις δὲ τῶν ἄκρων εὐτόνως χρῶ, κατ' αὐτοῦ δὲ τοῦ στομάχου σικύαις τε καὶ πυρίαις ποικίλαις. εἰ δὲ εὔτονος σφρόδρα ἡ διάτασις εἴη καὶ φλεβοτομία δραστήριον βοήθημα καὶ λύσις κοιλίας διὰ βαλάνου. ἐφεξῆς τῶν προγεγραμμένων ἔγραψεν ὁ Ἀρχιγένης περὶ τοῦ βουλίμου καὶ τοῦ λυγμοῦ τὰ ὑπογεγραμμένα. τοὺς δὲ βουλιμιῶντας ἐν ταῖς ὁδοῖς ἢ ἄλλως πως ἀνακτησόμεθα μὲν ὀσφραίνοντες ὄξει ἢ γλήχωνι, ἢ τῇ παρατυχούσῃ γῇ βρέξαντες ὄξει ἢ μήλοις ἢ ἀπίοις ἢ τῶν ἄλλων καρπῶν τῶν παρακειμένων. ἔτι δὲ ἀρτίδιον συνοσφραίνοντες καὶ προσφέρεσθαι ἀναγκάζοντες, πρὸς ἕκαστον γὰρ τούτων διεγείρονται ταχέως. πρὸς δὲ τούτοις ὕειον κρέας ὀπτὸν καὶ ἑφθόν. καὶ καθόλου πᾶν τὸ τροφῶδες καὶ μάλιστα τὰ ὀσμὴν κνισώδη καὶ εὐάρτυτον καὶ ἱκανὴν ἔχοντα. ταύταις γὰρ ταῖς

toſtum et apium, utrumque modica portione cum aqua bibendum praebe. Aut aloës obol. ij cum vino mulſo aut vino aut aqua bibendos dato. Aut abrotoni et thymi utriusque obol. ij, ex vino praebe bibendos. Ligaturas inſuper extremarum partium fortiter adhibe et circa ipſum ſtomachum cucurbitulis et fomentis variis utere. Quod ſi vehementer valida ſit diſtentio, etiam venae ſectio efficax auxilium erit et alvi ſolutio per ſuppoſititiam glandem. Deinceps poſt praeſcripta Archigenes de fama ingenti, itemque de ſingultu prodit quae ſequuntur. Porro eos, qui ex ingenti fame in viis vel alio quocunque modo animo linquuntur, revocabimus odoramentis aceti aut pulegii, aut quae ſorte obtingit terra aceto macerata aut malis aut pyris aut aliis ſimilibus fructibus, qui ad manum ſunt. Panem inſuper odorandum dabimus et ingerere cogemus. Ad haec enim ſingula confeſtim excitantur et praeterea ad ſuillam carnem aſſatam ac coctam et in univerſum ad omne, quod multum alit et praeſertim ea, quae odorem nidoroſum ac probe conditum abundanter habent; per hujusmodi enim odores

Ed. Chart. XIII. [578.] Ed. Baſ. II. (282.)

ὀσμαῖς κατὰ τὸ πλεῖστον οἱ τοιοῦτοι ἀνακτῶνται. τά τε ἄκρα αὐτῶν οὐδὲν ἧττον διακρατητέον καὶ διεγερτέον αὐτούς, τάς τε σιαγόνας νύσσοντας καὶ τρίχας ἢ ὦτα ἀνατείνοντας. ἀνακτήσῃ δὲ ἀπὸ τῆς ἐκλύσεως, ἄρτον ἐν κράματι ἢ καὶ ἄλλο τι τῶν δυναμένων ἀθρόως ἀναλαβεῖν διδοὺς, οἷον ὠὰ ῥοφητὰ, βολβοὺς, κοχλίας. καὶ γὰρ τὸν πλάδον τοῦ στομάχου τούτων ἕκαστον παραιτεῖται καὶ ἐν ὀλίγῳ πλήθει δύναμιν ἱκανὴν ἔχον ἀθρόως ῥώννυσιν. τοῖς δὲ λύζουσι πήγανον μετ᾽ οἴνου δίδου ἢ νίτρον ἐν μελικράτῳ ἢ σέλινον ἢ καστόριον ἢ ἀβρότονον ἢ ἀριστολοχίαν ἢ δαῦκον Κρητικὸν ἢ κύμινον ἢ ἄνισον ἢ ζιγγίβερι ἢ σκίλλαν μετ᾽ ὄξους καὶ ἐλαίου ἢ τορδύλου ἢ δίκταμνον ἢ καλαμίνθην ἢ ἄκορον ἢ ἄσαρον ἢ νάρδον Κελτικὴν ἢ γλήχωνα, ἰδίᾳ ἕκαστον καὶ ὁμοῦ.

[*Τὸ διὰ τῶν κυδωνίων μήλων τοῦ χυλοῦ φάρμακον ἡμέτερον.*] Αἱ μὲν μεγάλαι τοῦ στόματος τῆς κοιλίας διαθέσεις ὑπὸ τῶν ἔμπροσθεν εἰρημένων φαρμάκων θεραπεύονται, τὰς δὲ μετρίας σχεδὸν πλὴν τῶν κατ᾽ ἔγκαυσιν σφοδρὰν γινο-

ut plurimum tales revocantur. Nihilo minus tamen etiam extremae partes ipſorum conſtringendae ſunt, ipſique excitandi tum maxillarum punctura tum capillorum ac aurium diſtentione. Refocillabis porro ab exolutione, panem in vino diluto aut etiam aliud quippiam ex iis quae acervatim reficere vires poſſunt exhibendo, velut ſunt ova ſorbilia, bulbi, cochleae. Etenim ſingula haec ſtomachi humiditatem eximunt et in modica mole multam vim complexa cumulatim corroborant. Singultientibus autem rutam cum vino dato aut nitrum in aqua mulſa aut opium aut caſtorium aut abrotonum aut ariſtolochiam aut daucum Creticum aut cuminum aut aniſum aut zingiberis radicem aut ſcillam cum aceto et oleo aut tordylion aut dictamnum aut calaminthen aut acorum, aſarum item et nardum Celticum et pulegium, ſingula tum per ſe tum ſimul mixta.

[*Medicamentum noſtrum ex ſucco malorum cotoneorum conſtans.*] Magnae equidem oris ventris affectiones a praedictis medicamentis curantur, moderatas vero onmes ferme praeter eas, quae ex vehementi ardore fiunt, ſub-

Ed. Chart. XIII. [578. 579.] Ed. Baſ. II. (282. 283)

μένων, ὠφελεῖ τὸ ὑπογεγραμμένον φάρμακον. ℔ κυδωνίων μήλων χυλοῦ ξε. β′. μέλιτος Ἀττικοῦ ξε. β′. ὄξους ξε. α′ S″. ἐὰν δὲ ἱκανῶς εἴη δριμὺ, ξε. α′. ἀρκεῖ ζιγγιβέρεως γο γ′. πεπέρεως λευκοῦ γο α′. τὰ ξηρὰ ἐπιπάσσεις, ὅταν ἐπὶ μαλακοῦ πυρὸς ἑψόμενος ὁ χυλὸς τῶν μήλων μετὰ τοῦ μέλιτος καὶ τοῦ ὄξους ἔχῃ σύστασιν Ἀττικοῦ μέλιτος.

[579] [Ἄλλο τὸ διὰ τῶν κυδωνίων μήλων τῆς σαρκός.] ℔ Τῶν κυδωνίων μήλων τῆς σαρκὸς λίτρας γ′. μέλιτος λίτρας γ′. ὄξους λευκοῦ λίτρας γ′. πεπέρεως γο γ′. ζιγγιβέρεως γο γ′. πετροσελίνου Μακεδονικοῦ γο α′.

Κεφ. ε′. [Περὶ τῶν ἔξωθεν ἐπιβαλλομένων τῷ στόματι τῆς κοιλίας.] Καλοῦσι μὲν οἱ πλεῖστοι τῶν ἰατρῶν οὐκ οἶδ' ὅπως, ὥσπερ ὁ Ἀσκληπιάδης καὶ ὁ Ἀνδρόμαχος, ἅπαντα τὰ ἔξωθεν (283) ἐπιτιθέμενα, κἂν συνάγῃ στύφοντα κἂν σκληρύνῃ, μαλάγματα. συγχωρήσαντες δὲ αὐτοῖς ἡμεῖς, εἰ καὶ μὴ κυρίως ὀνομάζουσιν, ἃ γεγράφασι πρὸς τὰς τοῦ στομάχου διαθέσεις χρήσιμα φάρμακα, διὰ τῆς πείρας οὐ μόνης τῆς ἐκείνων,

ſcriptum medicamentum juvat. ℔ Succi malorum cotoneorum ſextarios duos, mellis Attici ſextarios duos, aceti ſeſquiſextarium, ſi vero multum acre fuerit, ſextarium unum, zingiberis quadrantem, piperis albi unciam unam, arida ſperges, ubi malorum ſuccus cum melle et aceto coctus ad lentum ignem Attici mellis craſſitiem acceperit.

[*Aliud ex malorum cotoneorum carne conſtans.*] ℔ Malorum cotoneorum carnis lib. iij, mellis lib. iij, aceti albi lib. iij, piperis quadrantem, zingiberis quadrantem, petroſelini Macedonici unciam unam.

Cap. V. [*De medicamentis, quae foris ori ventris imponuntur.*] Vocant quidem plurimi medici, haud ſcio quare, velut Aſclepiades et Andromachus, omnia medicamenta, quae forinſecus imponuntur, ſive aſtringendo condenſent ſive indurent, malagmata. Verum nos permittemus ipſis, etiam ſi non proprie appellant. Quae autem conſcripſerunt ad ſtomachi affectus commoda medicamenta, per experientiam non illorum ſolum, ſed etiam noſtram appro-

Ed. Chart. XIII. [579.] Ed. Baſ. II. (283.)

ἀλλὰ καὶ τῆς ἡμετέρας κεκριμένων νῦν ὑπογράψομεν, ἀπὸ τῶν ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένων ἀρξάμενοι.

[Τὰ ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένα φάρμακα πρὸς τὰς τοῦ στομάχου διαθέσεις ἐν τῷ τετάρτῳ τῶν ἐντὸς, ἃ Μαρκέλλας ἐπιγράφει.] *Εὐηνοῦ πρὸς τὰς τοῦ στομάχου ἀνατροπὰς καὶ περιωδυνίας, ποιεῖ καὶ πρὸς τὰς κατὰ μέρος φλεγμονάς.* ℔ οἰνάνθης ⊲ η΄. κρόκου ⊲ β΄. ῥόδων ξηρῶν ⊲ δ΄. μελιλώτου ⊲ δ΄. ματτίχης ⊲ δ΄. ἠλέκτρου ῥινήματος ⊲ δ΄. φοινικοβαλάνων τῆς σαρκὸς γο γ΄. οἴνου μυρτίτου ὅσον ἐξαρκεῖ. τὰ ξηρὰ κόπτε καὶ σῆθε λεπτῷ κοσκίνῳ καὶ τῷ μυρτίτῃ διαλύσας, ὥστε κηρωτῆς παχυτέρας πάχος ἔχειν, ἐπίβαλλε τούτοις τὴν σάρκα τῶν φοινικοβαλάνων καὶ ἀνακόψας ἀναλάμβανε κηρωτῇ σκευασθείσῃ διὰ ῥοδίνου, ἔπειτα ἐμπλάσας εἰς ὀθόνιον, ἐπιτίθει κατὰ τοῦ στόματος τῆς κοιλίας, ποιεῖ καὶ πρὸς τὰς τῶν ὀφθαλμῶν φλεγμονάς. ἄλλο. ℔ οἰνάνθης ⊲ στ΄. κρόκου ⊲ δ΄. σμύρνης ⊲ δ΄. ῥόδων ἄνθους ⊲ δ΄. μελιλώτου, μαστίχης ἀνὰ ⊲ δ΄. ἀλόης ⊲ δ΄. μαν-

bata, ea nunc aſcribemus, ab iis quae Aſclepiades prodidit initio facto.

[*Quae medicamenta Aſclepiades ad ſtomachi affectus in quarto externorum tradidit, quae Marcellae inſcribit.*] *Eveni ad ſtomachi ſubverſiones doloresque, facit etiam ad inflammationes.* ℔ Oenanthes drach. octo, croci drach. duas, roſarum ſiccarum drach. quatuor, meliloti drach. quatuor, maſtiches drach. quatuor, ramentorum ſuccini drach. quatuor, carnis phoenicobalanorum quadrantem, vini myrtei quod ſatis eſt. Arida tundito et per anguſtiſſimum cribrum concernito et cum vino myrteo diluito, ut cerati ſpiſſioris craſſitudinem accipiant, his carnem phoenicobalanorum addito et conquaſſata cerato ex roſaceo apparato, excipito et linteolo infarta ori ventris imponito. Facit et ad oculos inflammatos. *Aliud.* ℔ Oenanthes drach. ſex, croci drach. iv, myrrhae drach. quatuor, floris roſarum drach. iv, meliloti, maſtiches, utriusque drach. quatuor, aloës drach.

Ed. Chart. XIII. [579.] Ed. Baf. II. (283.)

δραγόρου φλοιοῦ ≺ δ'. φοινικοβαλάνων τῆς σαρκὸς γο γ'. ἀναλάμβανε κηρωτῇ σκευασθείσῃ διὰ ῥοδίνου.

[Ἀσκληπιάδου τοῦ ἐπικληθέντος φιλοφυσικοῦ, πρὸς τὰς τοῦ στομάχου ἀνατροπὰς, ποιεῖ κοιλιακοῖς δυσεντερικοῖς.] ℞ Ὑοσκυάμου σπέρματος ≺ δ'. σελίνου σπέρματος ≺ δ'. ῥόδων ἄνθους ≺ β'. ἀνίσου σπέρματος ≺ β'. ὑποκυστίδος χυλοῦ ≺ β'. σμύρνης ≺ β'. κρόκου ≺ α' S''. ὀπίου ≺ α' S''. τὰ ξηρὰ κόπτε καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ. τὴν δὲ ὑποκυστίδα καὶ τὴν σμύρναν καὶ τοῦ μήκωνος τὸν ὀπὸν οἴνῳ μυρτίτῃ διαλύσας ἐπίβαλλε τοῖς ξηροῖς καὶ ἀνάπλαττε τροχίσκους καὶ ξήραινε ἐν σκιᾷ. ἐν δὲ τῇ χρήσει κόπτων ὅσον ἐξαρκεῖ ἀναλάμβανε μέλιτι ἑφθῷ, ἔπειτα ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει ἐπὶ τῶν πεπονθότων. ἐὰν δέ πως ἰσχυρὸν εἴη τὸ ῥεῦμα, προστίθει ὑποκυστίδος χυλοῦ ἄλλην ≺ καὶ ῥόδων τοσόνδε.

[Ἄλλη Γάλλου Μάρκου τοῦ Ἀσκληπιάδου, πρὸς τὰς εἰρημένας διαθέσεις.] ℞ Ὑοσκυάμου σπέρματος ≺ γ'. ῥόδων ἄνθους ≺ β'. ἀνίσου ≺ β'. σελίνου σπέρματος ≺ δ'. ὀπίου

quatuor, corticis mandragorae ʒ iv, carnis palmularum quadrantem, excipe cerato ex roſaceo apparato.

[*Aſclepiadae, qui philophyſicus dictus eſt, ad ſtomachi ſubverſiones. Facit et coeliacis et dyſentericis.*] ℞. Seminis hyoſcyami ʒ iv, ſeminis apii ʒ iv, floris roſarum drach. duas, ſeminis aniſi drach. ij, ſucci hypocyſtidis ʒ ij, myrrhae ʒ duas, croci ʒ j ß, opii ʒ j ß. Arida tundito et per anguſtiſſimum cribrum excernito, hypocyſtidem vero et myrrham et papaveris ſuccum vino myrteo diſſoluta aridis adjicito et paſtillos formato, eosque in umbra reſiccato. Uſus tempore quantum opus eſt tuſum, melle cocto excipito et deinde linteolo inſartum locis affectis imponito. Si vehemens fuerit fluxio, ſucci hypocyſtidis aliam adhuc drachmam addito et floris roſarum tantundem.

[*Aliud Galli Marci Aſclepiadei, ad eosdem affectus.*] ℞ Seminis hyoſcyami drach. iij, florum roſarum drach. duas, aniſi drach. duas, ſeminis apii drach. iv, opii drach. j,

Ed. Chart. XIII. [579. 580.] Ed. Baſ. II. (283.)

≺ α΄. ὑποκυστίδος χυλοῦ ≺ β΄. σμύρνης Τρωγλοδύτιδος δραχμὰς β΄. κρόκου ≺ α΄ S΄΄. οἴνου μυρτίτου τὸ αὐταρκες, μέλιτος ἀφεψημένου ὅσον ἐξαρκεῖ, σκεύαζε καὶ χρῶ καθὰ προείρηται. [580] *τὰ τοιαῦτα τῶν φαρμάκων πίνεται καὶ σφόδρα βοηθεῖ. ἐπισχεθέντος δὲ τοῦ ῥεύματος καὶ παρεπομένης ὀδύνης προστιθέναι δεῖ τῇ τοῦ φαρμάκου σκευασίᾳ τοσαύτας ὁλκὰς κηρωτῆς σκευασθείσης διὰ ῥοδίνου. ἐπιγινομένου δὲ πολλοῦ ῥεύματος, προστίθεμαι τῷ φαρμάκῳ ὑποκυστίδος χυλοῦ ≺ γ΄. καὶ ῥόδων ἄνθους ἄλλην ≺, ἀγρυπνίας δὲ ἐπιγενομένης καὶ τοῦ μήκωνος ὀποῦ προστίθει ἄλλην ≺.*

[*Ἄλλο Νικηράτου κοιλιακοῖς, δυσεντερικοῖς, σφόδρα γενναῖον.*] ℞ *Οἰνάνθης ≺ β΄. ῥόδων ξηρῶν γο α΄. μαστίχης γο α΄. ἀλόης γο α΄. κηκίδων ὀμφακιτίδων γο α΄. στυπτηρίας στρογγύλης γο α΄. ἀκακίας γο α΄. κηροῦ λίτραν α΄. πίσσης βρυτίας γο γ΄. μυρσίνου ἐλαίου λίτραν α΄. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. ἄλλο σφόδρα γενναῖον.* ℞ *οἰνάνθης γο α΄. ὀμφακίου γο α΄. κηκίδος ὀμφακίτιδος γο α΄. στυπτηρίας σχιστῆς γο α΄. ἀκακίας γο α΄. κυτίνων ῥοιᾶς γο α΄. βαλαυστίου ≺ α΄.*

ſucci hypocyſtidis drach. ij, myrrhae Troglodytidis drach. duas, croci ſeſquidrachmam, vini myrtei quod ſatis eſt, mellis cocti quod ſufficit, praepara ac utere ut dictum eſt. Ejusmodi medicamenta etiam bibuntur et valde auxiliantur. Cohibito autem fluxu et ſequente dolore, tantundem ponderis cerati roſacei ad medicamenti confectionem addere oportet. Si vero multa fluxio contingit, ad medicamentum ſucci hypocyſtidis drachmas tres conjicito et florum roſarum aliam drachmam. Vigiliis infeſtantibus, etiam ſucci papaveris aliam drachmam addito.

[*Aliud Nicerati, coeliacis, dyſentericis, valde generoſum.*] ℞ Oenanthes drach. duas, roſarum ſiccarum ʒ j, maſtiches ʒ j, aloës ʒ j, gallarum omphacitidum ʒ j, aluminis rotundi ʒ j, acaciae ʒ j, cerae lib. j, picis brutiae ʒ iij, olei myrtei lib. j, arida cum liquidis committito. *Aliud valde praeclarum.* ℞ Oenanthes ʒ j, omphacii ʒ j, gallae omphacitidis ʒ j, aluminis ſciſſi ʒ j, acaciae unc. unam, cytinorum mali punici ʒ j, balauſtii ʒ j, maſtiches ʒ j, vini

Ed. Chart. XIII. [580.] Ed. Baſ. II. (283.)

μαστίχης γο α'. οἴνου μυρτίνου ὥστε τὰ ξηρὰ φυρᾶσαι, φοινικοβαλάνων τῆς σαρκὸς γο σ'. ἀναλάμβανε κηρωτῇ σκευασθείσῃ διὰ σχινίνου λίτρᾳ μιᾷ σκεύαζε καὶ χρῶ καθὰ προείρηται. τὰ μὲν οὖν προγεγραμμένα φάρμακα στυπτικώτερά ἐστι δυνάμει, τὰ δ' ἐφεξῆς ὑπὸ τοῦ Ἀσκληπιάδου γεγραμμένα μικτῆς, ὡς καὶ τὰς σκληρουμένας φλεγμονὰς ἐκθεραπεύειν καὶ διὰ τοῦτο καὶ τοῖς ἡπατικοῖς ἐστι χρήσιμα. δέονται γὰρ κἀκεῖνοι μεμίχθαι τι τῶν στυπτικῶν τοῖς χαλαστικοῖς, οὐ μὴν ὁμοίως τοῖς στομαχικοῖς· ἐπικρατεῖ γὰρ ἡ στυπτικὴ ποιότης ἐν τοῖς στομαχικοῖς φαρμάκοις.

[*Μάλαγμα Νείλου ἐπιγραφόμενον, ποιεῖ πρὸς τὰς τῶν ὑποχονδρίων διατάσεις καὶ πρὸς τὰς τῶν ἄρθρων ὀδύνας. ἔστι δὲ καὶ διαλυτικὸν πάσης σκληρίας. ποιεῖ πρὸς τρίμματα καὶ λυγίσματα μετὰ τὰς παρακμὰς τῶν φλεγμονῶν ἐπιτιθέμενον, ποιεῖ σπληνικοῖς, ἡπατικοῖς.*] ℞ *Κηροῦ λίτραν α'. ἀμμωνιακοῦ θυμιάματος λίτραν α'. ἐλαίου κυπρίνου λίτραν α'. κρόκου γο S''. ὄξους ὅσον ἐξαρκεῖ, τὸ ἀμμωνιακὸν διαλύσας, εἶθ' οὕτως ἐπίβαλλε τὰ ξηρά.*

myrtitae quantum ſatis eſt his ſubigendis, carnis phoenicobalanorum ʒ vj, excipe cerato praeparato ex lentiſcini libra una, praepara ac utere ut dictum eſt. Haec quidem igitur praeſcripta medicamenta facultatis ſunt aſtringentioris, quae vero deinceps ab Aſclepiade prodita ſunt, mixtam facultatem habent, adeo ut etiam induratas inflammationes curent et propterea etiam hepaticis utilia ſunt; opus enim habent etiam illi aſtringentium ad laxantia mixtura non tamen aeque, ut ſtomachici; in ſtomachicis enim medicamentis qualitas aſtrictoria praedominatur.

[*Malagma Nilo inſcriptum, facit ad hypochondriorum diſtentiones et articulorum dolores. Diſſolvit omnem duritiem. Facit et ad exarticulata et luxata poſt declinationem inflammationum impoſitum. Facit ſpleniticis et hepaticis.*] ℞ Cerae lib. j, ammoniaci thymiamatis lib. j, olei cyprini lib. j, croci ʒ ß, aceti quod ſatis eſt, ammoniacum diſſolvito, deinde ſic arida adjicito.

Ed. Chart. XIII. [580.] Ed. Baſ. II. (283.)

[*Ἄλλο ἐκ τῶν Ἀρείου Ἀσκληπιάδου.*] ℔ *Ἀμμωνιακοῦ θυμιάματος λίτρας δύο, λεάνας ἐπιμελῶς καὶ βαλὰν εἰς ἄγγος κεραμεοῦν, ἐπίβαλλε τούτῳ ἁλὸς ἀνθους λίτραν α΄. καὶ ἐλαίου κυπρίνου λίτραν α΄ S΄΄. ἕψε μαλακῷ πυρὶ χρώμενος καὶ κινῶν συνεχῶς, καὶ ὅταν ἐμπλαστρῶδες γένηται, ἐπίβαλλε κηροῦ λίτρας β΄. καὶ ὅταν τακῇ καὶ ἀμόλυντον γένηται, ἐξεράσας εἰς θυίαν καὶ ἀνακόψας, ἐπιμελῶς ἀνελόμενος χρῶ.*

[*Μάλαγμα Νειλέως κροκηρὸν φάρμακον ἐπιτετευγμένον πρὸς τὰς εἰρημένας διαθέσεις. ποιεῖ καὶ πρὸς ἐρυσιπέλατα. τούτῳ ἐχρήσατο Λυκίνιος Ἀττικός.*] ℔ *Ἀμμωνιακοῦ θυμιάματος λίτραν α΄. κηροῦ λίτραν α΄. ῥοδίνου λίτραν α΄. κρόκου γο α΄. ὄξους ὅσον ἐξαρκεῖ, σκεύαζε κατὰ τρόπον.*

[*Ἄλλο τὸ μήλινον ἐπιγραφόμενον ἀρωματικὸν, ἡπατικοῖς, στομαχικοῖς καὶ πρὸς τὰς τῶν ὑποχονδρίων διατάσεις καὶ πᾶσαν νευρικὴν συμπάθειαν.*] ℔ *Ἀμμωνιακοῦ θυμιάματος ≺ ρ΄. κηροῦ Ποντικοῦ ≺ ρ΄. μελιλώτων ≺ ιβ΄. κρόκου, σμύρνης, βδελλίου ἀνὰ ≺ η΄. ἐλαίου κυπρίνου λίτραν α΄.*

[*Aliud ex libris Arii Aſclepiadei.*] ℔ Ammoniaci thymiamatis lib. ij, diligenter tritas in vas fictile conjice, eique floris ſalis lib. j adde et olei cyprini ſeſquilibram. Coque ad lentum ignem aſſidue agitando, atque ubi emplaſtri formam acceperint, adjice cerae lib. ij, qua eliquata, quum medicamentum amplius non inquinaverit, eximito et in mortarium transferto, conquaſſatumque diligenter reponito ac ulitor.

[*Malagma Nilei crocerum, medicamentum accommodatum ad praedictos affectus, facit et ad eryſipelata. Hoc uſus eſt Licinius Atticus.*] ℔ Ammoniaci thymiamatis libram unam, cerae libram unam, olei roſacei libram unam, croci unciam unam, aceti quantum ſufficit, praeparato pro more.

[*Aliud melinum inſcriptum aromaticum, hepaticis, ſtomachicis et ad praecordia diſtenta et omnem nervorum per conſenſum affectionem.*] ℔ Ammoniaci thymiamatis ℥ c, cerae Ponticae drach. c, melilotorum drach. duodecim, croci, myrrhae, bdellii, ſingulorum drach. viij, olei cyprini lib. unam.

Ed. Chart. XIII. [581.] Ed. Baſ. II. (283.)

[581] [Ἄλλο. ποιεῖ στομαχικοῖς, ἡπατικοῖς καὶ πρὸς τὰς τῶν ὑποχονδρίων φλεγμονὰς καὶ πρὸς πᾶσαν νευρικὴν συμπάθειαν.] ℞ Κηροῦ ≺ ρ'. κρόκου ≺ ιβ'. ἀμμωνιακοῦ θυμιάματος ≺ ρ'. σμύρνης ≺ ιβ'. βδελλίου ≺ η'. μάγματος ἡδυχρόου γο γ'. οἴνου γλυκέος ὅσον ἐξαρκεῖ, ἐλαίου κυπρίνου λίτραν α'. σκεύαζε μετὰ τρόπον.

[Ἄλλο τὸ τοῦ Νεαπολίτου ἀρωματικὸν ἐπιγραφόμενον, φάρμακον ἐπιτετευγμένον πρὸς τὰς τῶν ἐντὸς διαθέσεις.] ℞ Ἀμμωνιακοῦ θυμιάματος λίτρας γ'. κηροῦ λίτρας γ'. ῥοδίνου λίτρας γ'. μάγματος ἡδυχρόου λίτρας S''. μελιλώτου λίτρας S''. κυπρίου λίτρας S''. νάρδου Κελτικῆς λίτρας S''. σχοίνου ἄνθους λίτρας S''. οἴνου γλυκέος ὅσον ἐξαρκεῖ, τὰ ξηρὰ φύρα.

[Τῶν χωρὶς ἀτονίας φλεγμονῶν χρονιζουσῶν μαλάγματα καλὰ καὶ πρὸς τὰς τοῦ ἥπατος ὁμοίως φλεγμονάς. Ἀσκληπιάδου μάλαγμα τὸ διὰ μελιλώτου, ἱερατικὸν ἐπιγραφόμενον, στομαχικοῖς, ἡπατικοῖς καὶ πρὸς τὰς τῶν σπλάγχνων ὀδύνας.] ℞ Νάρδου Κελτικῆς ≺ ι'. κυπέρου ≺ ι'. σμύρνης ≺ ι'.

[*Aliud facit ſtomachicis, hepaticis, ad praecordia inflammata et omnem nervorum per conſenſum affectionem.*] ℞ Cerae ʒ c, croci ʒ xij, ammoniaci thymiamatis ʒ c, myrrhae ʒ xij, bdellii ʒ viij, confectionis hedychroi quadrantem, vini dulcis quantum ſufficit, olei cyprini lib. j, praepara pro more.

[*Aliud Neapolitae, aromaticum inſcriptum, medicamentum accommodatum ad internos affectus.*] ℞ Ammoniaci thymiamatis lib. iij, cerae lib. iij, olei roſacei lib. iij, confectionis hedychroi lib. ß, meliloti lib. ß, cyperi lib. ß, nardi Celticae lib. ß, floris junci odorati lib. ß, vini dulcis quod ſatis eſt. Arida cum liquidis ſubacta committito.

[*Malagmata bona inflammationibus citra debilitatem inveteratis, quae ad hepatis inflammationes ſimiliter conveniunt. Malagma Aſclepiadis ex meliloto hieraticon inſcriptum, ſtomachicis, hepaticis et ad viſcerum dolores.*] ℞ Nardi Celticae ʒ x, cyperi ʒ x, myrrhae ʒ x, cardamomi

Ed. Chart. XIII. [581.] Ed. Baſ. II. (283. 284.)

καρδομώμου ≺ η'. μελιλώτου ≺ μ'. κρόκου ≺ η'. ἀμώμου ≺ η'. (284) κύφεως ἱερατικοῦ ≺ ιστ'. ἀμμωνιακοῦ θυμιάματος ≺ μ'. ῥητίνης τερμινθίνης ≺ π'. κηροῦ μνᾶν α'. ἐλαίου κυπρίνου μνᾶν α'. οἴνου εὐώδους Ἰταλικοῦ κοτύλην α'. σκεύαζε καθὰ προείρηται καὶ χρῶ.

[Ἄλλο βασιλικὸν ἐπιγραφόμενον, ποιοῦν πρὸς τὰς εἰρημένας διαθέσεις καὶ πᾶσαν νευρικὴν συμπάθειαν.] ℔ Κηροῦ μνᾶς γ'. ἀμμωνιακοῦ θυμιάματος μνᾶς β'. ῥητίνης φρυκτῆς μνᾶν α'. μελιλώτου μνᾶς S''. προπόλεως ≺ κέ. σμύρνης ≺ κέ. νάρδου Κελτικῆς ≺ κέ. στύρακος ≺ κέ. κυπέρου ≺ κέ. Ἰλλυρικῆς ≺ κέ. καρδαμώμου, πάνακος ἀνὰ ≺ κέ. κρόκου, κασσίας, μαστίχης, ὀποβαλσάμου, ἀμώμου, σχοίνου ἄνθους ἀνὰ ≺ ιστ'. οἴνου Ἰταλικοῦ εὐώδους ὅσον ἐξαρκεῖ, τὰ ξηρὰ φυράσας, νάρδου Ἀσιανῆς ἀρωματικῆς λίτρας δ'. σκεύαζε κατὰ τρόπον.

[Μάλαγμα Πολυάρχιον. ποιεῖ περιπνευμονικοῖς, στομαχικοῖς, σπληνικοῖς, ὑδρωπικοῖς, ποιεῖ πρὸς τὰς περὶ κύστιν ἢ μήτραν διαθέσεις, πρὸς πᾶσαν νευρικὴν συμπάθειαν.] ℔

ℨ viij, meliloti ℨ xl, croci ℨ viij, amomi ℨ viij, cypheos ſacrificulorum ℨ xvj, ammoniaci thymiamatis ℨ xl, reſinae terebinthinae ℨ lxxx, cerae minam j, olei cyprini minam j, vini odorati Italici heminam j. Praepara, ut dictum eſt, ac utere.

[*Aliud baſilicum inſcriptum, faciens ad praedictos affectus omnemque per conſenſum nervorum affectionem.*] ℔ Cerae minas iij, ammoniaci thymiamatis minas ij, reſinae frictae minam unam, meliloti minae dimidium, propoleos ℨ xxv, myrrhae ℨ xxv, nardi Celticae ℨ xxv, ſtyracis ℨ xxv, cyperi ℨ xxv, iridis Illyricae ℨ xxv, cardamomi, panacis, utriusque ℨ xxv, croci, caſſiae, maſtiches, opobalſami, amomi, floris junci odorati, ſingulorum ℨ xvj, vini Italici odorati quantum ſufficit. Arida cum nardini Aſiani aromatici libris quatuor ſubacta pro more praeparato.

[*Malagma Polyarchion facit peripneumonicis, ſtomachicis, ſplenicis, hydropicis. Facit ad affectus circa veſicam aut uterum, ad omnem nervorum per conſenſum af-*

Ed. Chart. XIII. [581.] Ed. Baſ. II. (284.)

Κηροῦ μνᾶν α΄. τερμινθίνης μνᾶν α΄. βδελλίου μνᾶν α΄. ἀμμωνιακοῦ θυμιάματος, καρδαμώμου, κυπέρου ἀνὰ μνᾶν α΄. μελιλώτου, ἀμώμου, νάρδου Ἰνδικῆς, κρόκου, σμύρνης, λιβάνου, ξυλοκινναμώμου ἀνὰ ≺ κέ. ἐλαίου κυπρίνου κοτύλην α΄. οἴνου Ἰταλικοῦ ὅσον ἐξαρκεῖ, σκεύαζε κατὰ τρόπον καὶ χρῶ, ποτὲ μὲν ἀκράτῳ, ἔσθ' ὅτε καὶ ἀνιεμένῳ κηρωτῇ σκευασθείσῃ διὰ κυπρίνου.

[Πολυάρχου φάρμακον ἐπιτετευγμένον. ποιεῖ καὶ πρὸς τὰς εἰρημένας διαθέσεις καὶ πᾶσαν νευρικὴν συμπάθειαν. ποιεῖ καὶ πρὸς τὰς συνεχεῖς ἀπεψίας καὶ τοῖς φθείρουσι τὴν τροφὴν καὶ χολεμετοῦσι, καὶ πάσας τὰς κεχρονισμένας διαθέσεις. ἐχρήσατο Ἰούλιος Ἀγρίππας. τὰ δὲ τῆς σκευασίας ἔχει οὕτως.] 4 *Καστορίου, ἀμώμου ἀνὰ γο α΄ S″. πεπέρεως λευκοῦ γο α΄ S″. καὶ μακροῦ γο α΄ S″. σμύρνης γο γ΄. μάγματος ἡδυχρόου γο γ΄. καρποβαλσάμου γο γ΄. κόστου γο γ΄. φύλλων μαλαβάθρου, κασσίας ῥοδιζούσης, πάνακος, ὀποβαλσάμου, νάρδου Ἰνδικῆς ἀνὰ γο γ΄. σχοίνου ἄνθους. κινναμώμου ἀνὰ γο δ΄. πυρέθρου, κρόκου, καρδαμώμου ἀνὰ γο δ΄.*

fectionem.] 4 Cerae minam j, terebinthinae minam j, bdellii minam j, ammoniaci thymiamatis, cardamomi, cyperi, ſingulorum minam j, meliloti, amomi, nardi Indicae, croci, myrrhae, thuris, xylocinnamomi, ſingulorum ʒ xxv, olei cyprini heminam j, vini Italici quod ſatis eſt. Praepara pro more, ac utere quandoque immixto, quandoque diſſoluto cum cerato cyprino.

[*Polyarchi medicamentum accommodatum, facit ad praedictos affectus et omnem nervorum per conſenſum affectionem. Facit etiam ad aſſiduas cruditates et corrumpentes cibum et vomentes bilem, ac omnes inveteratos affectus. Uſus eſt eo Julius Agrippa. Compoſitio hoc modo habet.*] 4 Caſtorii, amomi, utriusque ʒ j ß, piperis albi ʒ j ß, et longi ʒ j ß, myrrhae ʒ iij, confectionis hedychroi ʒ iij, carpobalſami ʒ iij, coſti ʒ iij, foliorum malabathri, caſſiae roſas referentis, panacis, opobalſami, nardi Indicae, ſingulorum ʒ iij, floris junci odorati, cinnamomi, utriusque trientem, pyrethri, croci, cardamomi, ſingulorum trientem.

Ed. Chart. XIII. [581. 582.] Ed. Baſ. II. (284.)

κυπέρου γο στ'. ἴρεως Ἰλλυρικῆς, ἀριστολοχίας μακρᾶς καὶ στρογγύλης ἀνὰ γο στ'. κηροῦ λίτρας δ'. τερμινθίνης λίτρας β'. ῥητίνης λάρικος γο γ'. ἐν ἄλλῳ καὶ βδελλίου γο δ'. ἀμμωνιακοῦ θυμιάματος γο δ'. νάρδου Ἀσιανῆς τῶν [582] μύρου λίτρας γ'. οἴνου Φαλερίνου ὅσον ἐξαρκεῖ, σκεύαζε κατὰ τρόπον. ἐγὼ δὲ προσβάλλω, μαστίχης, κινναμώμου, ἀμμωνιακοῦ θυμιάματος, στύρακος, ἀλόης, ὀποβαλσάμου ἀνὰ γο γ'.

[Τὸ διὰ μελιλώτου Ἀνδρομάχου μάλαγμα.] ℞ Νάρδου Κελτικῆς ⊰ η'. κυπέρου ⊰ η'. καρδαμώμου ⊰ η'. ἴρεως Ἰλλυρικῆς ⊰ η'. σμύρνης ⊰ η'. κρόκου ⊰ δ'. μελιλώτου ⊰ κε'. ἀμμωνιακοῦ θυμιάματος ⊰ ν'. τερμινθίνης ⊰ ν'. κηροῦ ⊰ ρ'. κυπρίνου κοτύλης S''. ὄξους τὸ ἱκανόν. τινὲς ἀμμωνιακοῦ θυμιάματος ⊰ ρ'. ποιεῖ πρὸς τὰ ἐντὸς πάντα. τὸ Πολυάρχου ἐκ τῆς ἐπιστολῆς πρὸς πάντα τὰ ἐντὸς μάλαγμα. ℞ κυπέρου μνᾶν α'. καρδαμώμου μνᾶι α'. μάννης ἴσον, κηροῦ ἴσον, τερμινθίνης φρυκτῆς μνᾶν α' S''. ἢ ὑγρᾶς μνᾶς γ'. κυπρίνου τὸ ἱκανὸν, ἐγὼ δὲ καὶ βδελλίου προστίθημι μνᾶν α'.

cyperi ſemiſſem, iridis Illyricae, ariſtolochiae longae et rotundae, ſingulorum ʒ vj, cerae ℔ iv, terebinthinae ℔ ij, reſinae laricis ʒ iij, in alio exemplari etiam bdellii ʒ iv, ammoniaci thymiamatis ʒ iv, unguenti nardini Aſiani lib. iij, vini Falerni quod ſatis eſt, praepara pro more. Ego autem adjicio maſtiches, cinnamomi, ammoniaci thymiamatis, ſtyracis, aloës, opobalſami, ſingulorum quadrantem.

[*Malagma Andromachi ex meliloto.*] ℞ Nardi Celticae ʒ viij, cyperi ʒ viij, cardamomi ʒ viij, iridis Illyricae ʒ viij, myrrhae ʒ octo, croci ʒ iv, meliloti ʒ xxv, ammoniaci thymiamatis ʒ l, terebinthinae ʒ l, cerae ʒ c, cyprini heminae dimidium, aceti quod ſatis eſt, quidam ammoniaci thymiamatis ʒ c conjiciunt. Facit ad omnia interna. *Malagma Polyarchi ex epiſtola ad omnia interna.* ℞ Cyperi minam j, cardamomi minam j, mannae tantundem, cerae tantundem, terebinthinae frictae ſeſquiminam aut liquidae minas iij, cyprini quantum ſufficit. Ego etiam bdellii ap-

Ed. Chart. XIII. [582.] Ed. Baſ. II. (284.)

ἄλλο, ἡ δευτέρα γραφή. ♃ κυπέρου, καρδαμώμου, ἀμώμου, βδελλίου, λιβάνου, βαλσάμου ἀνὰ μνᾶν α'. κηροῦ μνᾶν α' S''. ῥητίνης φρυκτῆς μνᾶς δ'. κυπρίνου κοτύλης S''. οἴνου εὐωδους κοτύλην α' S''. σκεύαζε κατὰ τρόπον καὶ χρῶ, ὡς καὶ τοῖς πρὸ αὐτοῦ. ὡς δὲ ἐγώ. ♃ κυπέρου, καρδαμώμου, ἀμώμου, βδελλίου, λιβάνου ἀνὰ μνᾶν α'. κηροῦ μνᾶς S''. ῥητίνης φρυκτῆς ἢ τερμινθίνης μνᾶς γ'. κυπρίνου κοτύλην α'. κασσίας μνᾶς δ'. ἀμμωνιακοῦ θυμιάματος μνᾶς δ'. νάρδου Ἰνδικῆς, κρόκου, σμύρνης ἀνὰ μνᾶς δ'. οἴνος εὐώδης.

Κεφ. στ'. [Περὶ ἥπατος καὶ τῶν ἐν αὐτῷ παθῶν.] Ὑστάτης ἁπασῶν τῆσδε τῆς πραγματείας μοι γραφομένης, ἡγοῦμαι παντί που πρόδηλον ὑπάρχειν, ὡς δυοῖν τῶνδε θάτερον ἀληθές ἐστιν, ἢ τὰς ἄλλας πάσας ἀχρήστους εἶναι καὶ περιττὰς, εἴ τις ἐκ ταύτης μόνης ἱκανὸς ἔσται θεραπεύειν ἅπαντα τὰ πάθη τὰ δεόμενα τῆς διὰ φαρμάκων ἰάσεως, ἢ εἴπερ ἐκεῖναι χρήσιμοι τυγχάνουσιν οὖσαι, πρῶτον αὐτὰς ἀναγνωστέον ἐστὶ καὶ μνημονευτέον τοῖς μέλλουσιν ὠφελήσε-

pono minam j. *Aliud, altera deſcriptio.* ♃ Cyperi, cardamomi, amomi, bdellii, thuris, balſami, ſingulorum minam j, cerae ſeſquiminam, reſinae frictae minas iv, cyprini heminae ʃʃ, vini odorati ſeſquiminam. Praepara ut moris eſt, ac utere velut praeſcriptis. Ut ego componere ſoleo. ♃ Cyperi, cardamomi, amomi, bdellii, thuris, ſingulorum minam j, cerae minae ʃʃ, reſinae frictae aut terebinthinae minas iv, cyprini heminam j, caſſiae minae quartam partem, ammoniaci thymiamatis minae quartam partem, nardi Indicae, croci, myrrhae, ſingulorum minae quartam partem, vinum odoratum.

Cap. VI. [*De hepate et ejus affectionibus.*] Quum haec tractatio poſtrema omnium a me conſcribatur, omnibus ſane manifeſtum eſſe opinor, quod ex duobus his alterum verum ſit, aut alias omnes inutiles eſſe et ſupervacaneas, ſi quis ex hac ſola ſufficiens ſit omnes affectiones curare, quae medelam per medicamenta requirant, aut ſi quidem illae utiles exiſtant, primum ipſas legendas eſſe et in memoriam revocandas illis, qui hinc aliquid commodi

Ed. Chart. XIII. [582.] Ed. Baf. II. (284.)

σθαί τι πρὸς τῆσδε. τὰς μὲν γὰρ μεθόδους αὐτὰς τῆς τῶν εἰρημένων ἰάσεως ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου ιδ'. βιβλίοις ἔγραψα· νῦν δὲ ὡς εἰδόσιν αὐτὰς ἤδη χωρὶς τῶν εἰρημένων ἀποδείξεων ἀναμιμνήσκω δεικνὺς πάντως, ὅπως καλῶς τε ἡμεῖς συνθήσομεν φάρμακα, τά τε ὑπὸ τῶν ἔμπροσθεν γεγραμμένα κρίναντες εἰς πεῖραν ἄγειν θαρρήσομεν. καὶ χρήσιμόν γε τοῦτο τὸ σκέμμα. καὶ γὰρ ἄλογον εἶναι βουλόμενοι τὴν ἑαυτῶν τέχνην οἱ ἐμπειρικοὶ μετεχειρίσαντο, πάντα μὲν ἀναγινώσκειν ἀξιοῦντες, ὅσα καὶ τοῖς ἐνδόξοις ἰατροῖς γέγραπται, μὴ πάντα δὲ εἰς χρῆσιν ἄγειν εὐθέως, ἀλλὰ καὶ κρίνειν πρότερον, εἰ δυνατὸν ἕκαστον αὐτῶν ἐστι τὴν ἐπαγγελίαν ἔργῳ ἐπιδείξασθαι. ἡμεῖς δὲ τὴν ἐμπειρίαν ἐν πάσῃ τῇ τέχνῃ μέγα τι δύνασθαι πεπεισμένοι τά τε διὰ λογικῆς μεθόδου τῶν θεωρημάτων εὑρημένα τοῖς περὶ κρίσεως ἱστορίας ὑπ' αὐτῶν εἰρημένοις τὰ διὰ τῆς λογικῆς ἐνδείξεως προστίθεμεν, δεδειχότες ἐν ἑτέροις ὁποίαν δύναμιν εἰς τὸ βαδίζειν ἑκάτερον τῶν σκελῶν εἰσφέρεται, τοιαύτην ἐν ἰατρικῇ τὴν ἐμπειρίαν τε καὶ τὸν λόγον ἔχειν. ἐν μὲν οὖν τῇ

auferre velint. Ipſas etenim methodos curandi praedictas affectiones in xiv libris de curandi methodo inſcriptis prodidi, nunc vero tanquam his ipſis cognitis citra praedictas demonſtrationes in memoriam revoco, oſtendens omnino quomodo nos medicamenta componamus et quae a prioribus ſcripta ſunt judicemus, indeque in uſum agere ac aſſumere confidamus. Et ſane utilis haec ſpeculatio exiſtit. Nam empirici, qui ſuam artem rationis expertem eſſe volunt, omnia quidem legenda eſſe cenſent, quae a probatis medicis ſunt conſcripta, non autem ſtatim in uſum aſſumenda eſſe, ſed prius judicanda an ſingula ex ipſis ea, quae promittunt, opere etiam demonſtrare poſſint. Nos autem experientiam in omni arte magnum quid poſſe perſuaſi, ſpeculationes tum per rationalem methodum tum per rationalem indicationem inventas ad ea, quae ab ipſis de judicationis hiſtoria tradita ſunt, apponimus, demonſtrantes, qualem facultatem ad ambulandum utrumque crus exhibet, talem medicina experientiam et rationem habere. Itaque in

Ed. Chart. XIII. [582. 583.] Ed. Baſ. II. (284)

περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ δι' ἑνδεκα βιβλίων γεγραμμένη τὴν δύναμιν ἑκάστου τῶν αὐτοφυῶν φαρμάκων, ὅπως ἄν τις εὑρίσκοι μεθόδῳ διήλθομεν, ἐπί τε τὴν κατὰ μέρος αὐτῶν ὕλην ἀφικόμενοι τὴν χρησιμωτάτην εἰς τὰ τῆς τέχνης ἔργα κατ' εἴδη πᾶσαν ἐργάψαμεν. ἐφεξῆς δὲ αὐτῇ καὶ τὴν θεραπευτικὴν πραγματείαν, ὅπως ἄν τις ἄριστα μὴ μόνον τοῖς ἁπλοῖς, ἀλλὰ καὶ τοῖς συνθέτοις χρῷτο, διήλθομεν [583] ἅμα τῷ καὶ τὰς ὁδοὺς τῆς συνθέσεως αὐτῶν πάσας εἰπεῖν. ἐν δὲ τῇ νῦν προκειμένῃ πραγματείᾳ τὴν ποικιλίαν τῶν συνθέτων φαρμάκων ὅπως ἐγένετο δηλοῦμεν, εἰς ὡρισμένους σκοποὺς κατ' εἶδος ἄγοντες αὐτῶν τήν τε σύνθεσιν καὶ τὴν χρῆσιν, ἔτι τε τὴν κρίσιν τῶν ἤδη γεγραμμένων. μέλλοντες οὖν ἀκολούθως τοῖς προειρημένοις ἐπὶ τὴν τῶν ἐν ἥπατι παθῶν ἀφικνεῖσθαι διδασκαλίαν, ἐροῦμεν τὰ κατ' αὐτὸ πάθη λόγῳ διελθόντες, οὐ ψιλαῖς διδασκαλίαις, ἀπό τε τῶν καθόλου σκοπῶν τῆς ἰάσεως αὐτῶν, οὓς ἐν τῇ θεραπευτικῇ πραγματείᾳ διήλθομεν, ἐπὶ τὴν τῶν συνθέτων ἀφί-

tractatione de ſimplicibus medicamentis per undecim libros conſcripta ſingulorum ſponte naturae productorum medicamentorum facultatem qua methodo quis inveniat recenſuimus, atque etiam ad particularem ipſorum materiam progreſſi, utiliſſimam ad artis opera facultatem omnem ſecundum ſpecies prodidimus. Conſequenter autem ab illo opere etiam curativam tractationem, quomodo quis optime non ſolum ſimplicibus, ſed etiam compoſitis utatur expoſuimus, ſimulque vias compoſitionis ipſorum omnes indicavimus. Caeterum in propoſito jam opere, quomodo varietas compoſitorum medicamentorum inducta ſit, oſtendimus ac certos juxta ſpeciem ſcopos tum compoſitionem tum uſum ipſorum deducentes, ampliusque judicationem eorum, quae jam ante ſcripta ſunt docentes. Quum igitur conſequenter poſt praedicta ad affectionum hepatis doctrinam progredi velimus, affectus circa ipſum conſiſtentes non nuda doctrina, ſed ratione exquiſitos referemus et ab univerſalibus ſcopis curationis ipſorum, quos in curandi methodo tradidimus,

Ed. Chart. XIII. [583.] Ed. Baſ. II. (284 285.)

ξομαι διδασκαλίαν. ἔστιν οὖν ἐν αὐτῷ πρῶτον ἁπάντων διακρῖναι, πότερον ἀτονία τίς ἐστι τοῦ σπλάγχνου, καθάπερ ἐπὶ τῶν κατὰ τὴν κοιλίαν εἴπομεν, ἢ καί τι ἄλλο πάθημα κατείληφε τὸ σπλάγχνον, ἢ χωρὶς ἀτονίας πάσχει φλεγμαῖνον ἢ σκιῤῥούμενον ἢ ἀποστήματι κάμνον ἢ ἐμφράξει, καθάπερ καὶ ἐρυσιπελατώδη διάθεσιν ἴσχον ἢ ἕλκος, ἤ τινα σηπεδόνα. καὶ γὰρ οὖν κἀπὶ τούτου ἡπατικὴν λέγουσι, καθάπερ κἀ(285)πὶ τοῦ στόματος τῆς κοιλίας πάσχοντος οἱ πολλοὶ τῶν ἰατρῶν τε καὶ τῶν ἰδιωτῶν ὀνομάζουσι στομαχικὴν διάθεσιν ἐπὶ πολλοῖς συμπτώμασιν, οὐ κατὰ μίαν ἅπασι γιγνομένοις διάθεσιν, ἀλλὰ κατὰ πολλὰς μιᾷ μέν τινι γενικῇ κοινότητι παραλαμβανομένας, ἀλλήλων δὲ διαφερούσας εἰς τοσοῦτον, ὡς ἐνίας αὐτῶν ἐναντιωτάτας εἶναι. πῶς γάρ τις οὐκ ἐναντιωτάτην εἶναι φαίη τὴν μὲν ψυχρὰν δυσκρασίαν τῇ θερμῇ, τῇ δὲ ὑγρᾷ τὴν ξηράν, καίτοι κατά γε τὸ γένος εἰσὶν αἱ αὐταί. σχεδὸν δὲ καὶ πάντα τὰ ἐναντία τὰ αὐτὰ τῷ γένει λέγων ἄν τις οὐκ ἂν ἁμάρτοι, καὶ γὰρ ἡ ἔννοια

ad compoſitorum doctrinam perveniemus. Primum igitur omnium diſcernendum eſt num debilitas quaedam viſceris adſit, quemadmodum etiam de ventre diximus, aut etiam alia quaedam affectio ipſum apprehenderit, aut citra debilitatem affectum ſit inflammatione aut induratione aut abſceſſu laborans aut obturatione, quemadmodum etiam an eryſipelatoſum habeat affectum aut ulcus aut aliquam putrefactionem, nam et in hoc hepaticam affectionem dicunt, quemadmodum etiam ore ventris affecto plerique medici ac idiotae ſtomachicum affectum vocant, in multis ſymptomatibus, non tamen omnibus, circa unam affectionem accidentibus contingentem, ſed circa multas una quadam generali communitate comprehenſas et tamen inter ſe in tantum differentes, ut aliquae ipſarum maxime contrariae exiſtant. Quomodo enim non maxime contrariam quis dixerit frigidam intemperiem calidae, humidam ſiccae, quamquam ſecundum genus eaedem ſint? Ferme autem omnia contraria eadem genere ſiquis dixerit, non peccabit; contrariorum enim

Ed. Chart. XIII. [583.] Ed. Baſ. II. (285.)

τῶν ἐναντίων ἐστὶν, ἐπειδὰν πλεῖστον ἀλλήλων ἀφέστηκε. πλεῖστον δὲ ἀφέστηκε τῶν μέσων καθοτιοῦν γένος τὰ ἐπὶ τοῖς πέρασιν ὄντα, ὡς τὰ ἐναντία πολλάκις μὲν τὰ αὐτὰ φαίνεσθαι κατὰ τὰ πέρατα τοῦ κοινοῦ γένους, πολλάκις δὲ ἐπαναβεβηκότων αὐτοῖς γενικωτέρων ἐναντίων, ὑπ' ἐκείνων περιέχεσθαι, αὐτὰ δὲ ἐκεῖνα πάντως διὰ τοῦτό ἐστιν ἐναντία, διότι καθ' ἓν γένος ὄντα πλεῖστον ἀλλήλων ἀφέστηκεν, ὥστε καὶ τὰ τούτοις ὑποπεπτωκότα τὸ πρῶτον καὶ ἀνωτάτω γένος κοινὸν ἴσχει. τοῦτο μὲν οὖν ἡμῖν ἅπαξ ἐνταῦθα κατὰ τὸ πάρεργον εἰρημένον εἰσαεὶ μνημονευέσθω πρὸς τὸ μὴ δόξαι τινὶ διαφωνεῖν ἑαυτῷ, εἰπόντα ποτὲ μὲν ἓν τι πάθος εἶναι ταὐτὸν ἀνθρώποιν δυοῖν, ποτὲ δὲ οὐχ ἓν οὔτε ταὐτὸν, ἀλλ' ἐναντία δύο. δυσκρασίαν γὰρ ἓν μέν τι πάθος γενικῶς ὀνομάζουσι, τεμνόμενον δ' εἰς ἐναντίας διαφοράς ἔξεστι γὰρ, καθάπερ ἐνταῦθα εὔπομεν, οὕτως καὶ δύο καὶ τρία καὶ πολλὰ κατὰ τὰς ἐν μέρει διαφορὰς ἐναντιωτάτας ἀλλήλαις εἶναι καὶ κατὰ τοῦτο τῆς ἀτονίας τοῦ ἥπατος,

notio contingit, ubi plurimum inter ſe diſtarint. Plurimum autem diſtant a mediis in quocunque genere ea, quae extrema ſunt, adeo ut contraria ſaepe quidem eadem videantur juxta communis generis fines, ſaepe vero generalioribus contrariis ſupra ipſa aſcendentibus, ab illis comprehendantur. Illa ipſa vero ob id omnino contraria ſunt, quod quum unius generis ſint, plurimum inter ſe diſtent, adeo ut quae his ſubjacent, primum et ſupremum genus commune habeant. Atque hoc quidem, hoc loco ſemel a nobis obiter et acceſſionis loco dictum, ſemper in memoria teneatur, ne videlicet cuipiam videri poſſit a ſe ipſo diſſentire, qui aliquando unam affectionem in duobus hominibus eandem eſſe dixerit, aliquando non unam neque eandem, ſed duas contrarias. Intemperiem enim unam quandam affectionem generaliter appellant, ſed quae in contrarias differentias ſecetur. Licet enim ſecundum hoc, quod diximus, duo et tria et plura juxta particulares differentias inter ſe contrariiſſima eſſe, et ſecundum hoc debilitatis he-

Ed. Chart. XIII. [583. 584.] Ed. Baſ. II. (285.)

ὀρθῶς ἂν εἰπὼν διάθεσιν αἰτίαν εἶναι μίαν, ἣν δυσκρασίαν ὀνομάζομεν, αὖθις ὀρθῶς ἂν λέγοιμι μὴ μίαν, ἀλλ' ὀκτὼ τὰς διαθέσεις εἶναι, διότι τοσαῦται διαφοραὶ τῶν δυσκρασιῶν εἰσι. καὶ γὰρ αὖ καὶ καθ' ἑτέραν τομὴν δύο διαφοραὶ τῶν δυσκρασιῶν γίγνονται καὶ καθ' ἑτέραν τρεῖς, αἱ μὲν ἐν ταῖς ποιότησι μόναις ἀλλοιουμένων τῶν πασχόντων μορίων, αἱ δὲ μεθ' ὑγρῶν τινῶν ἤτοι γε ἐν ταῖς εὐρυχωρίαις τῶν πεπονθότων περιεχομένων ἢ ἐν τοῖς σώμασιν αὐτοῖς διαβρόχοις ὑπ' αὐτῶν γεγονόσι. κατὰ μὲν οὖν τὴν γαστέρα καὶ τὰ ἔντερα μία καθ' ἑκαστόν ἐστι κοιλότης ὑγρότητα μοχθηρὰν δέξασθαι δυναμένη, κατὰ δὲ τὸ ἧπαρ τοσαῦται τὸν ἀριθμόν, ὅσαι περ αἵ τε ἀρτηρίαι καὶ αἱ φλέβες. τῶν δ' ἁπασῶν ἐχουσῶν στενὰ τὰ πέρατα, καθ' ἃ συμβάλλει τὰ σιμὰ τοῦ σπλάγχνου τοῖς κυρτοῖς, ἔμφραξίς τε καὶ σφήνωσις [584] ἐνίοτε γίγνονται τῶν μοχθηρῶν ὑγρῶν, αἷς ἕπεται σηπεδὼν ἐν τάχει ταῖς ψυχραῖς δυσκρασίαις, θερμαῖς δὲ οὐ ταχέως, ἀλλ' ἐπὶ προήκοντι τῷ χρόνῳ συμπίπτουσα. γίνεται δὲ ἡ δυσκρασία κατά τε τὴν ἰδίαν οὐσίαν τοῦ ἥπατος, ἣν

patis affectum unum eſſe, quem intemperiem vocant, praefatus, non male rurſus dixero non unum, ſed octo affectus eſſe, propterea quod tot differentiae intemperierum exiſtant. Etenim rurſus juxta aliam ſectionem duae intemperierum differentiae fiunt et rurſus juxta aliam tres, hae quidem in qualitatibus ſolis affectis partibus alteratis, hae vero cum humoribus quibusdam aut in ſpatiis affectarum partium contentis aut in ipſis corporibus irriguis ab illis factis. Circa ventrem igitur et inteſtina una in ſingulis eſt cavitas, quae vitiatam humiditatem ſuſcipere poteſt. Verum circa hepar tot numero ſunt, quot ſunt arteriae et venae. Quum vero hae omnes anguſta oſcula habeant, qua parte ſima hujus viſceris cum gibbis coeunt ac committuntur, obturatio et oppilatio vitioſorum humorum aliquando contingunt, ad quas putrefactio conſequitur in calidis brevi, in frigidis intemperaturis vero non cito, ſed temporis progreſſu accedens. Fit autem intemperies juxta propriam hepatis ſub-

Ed. Chart. XIII. [584.] Ed. Baſ. II. (285.)

Ἐρασίστρατος ἡγεῖται παρέγχυμά τι καὶ οὐκ αὐτὸ τὸ κυριώτατον εἶναι μόριον τοῦ σπλάγχνου. γίνεται δὲ ἡ δυσκρασία καὶ κατὰ τὰς περιεχομένας ἐν αὐτῷ φλέβας τε καὶ ἀρτηρίας καὶ δηλονότι καὶ κατὰ τὰς ἐν ταῖς εὐρυχωρίαις αὐτῶν ὕλας. ἔχοντος δὲ τοῦ σπλάγχνου τῶν ἐνεργειῶν, ἃς ἐνεργεῖ κατὰ τὸν τῆς ζωῆς χρόνον, οὐ μίαν, ἀλλὰ πλείους δυνάμεις καὶ τοσαύτας γε τὸν ἀριθμὸν, ὅσα τῶν ἐνεργειῶν εἴδη, συμβαίνει πολλάκις μὲν ἐξαιρέτως μίαν αὐτῶν βλάπτεσθαι, πολλάκις δὲ δύο καὶ τρεῖς καὶ πάσας ἅμα τὰς τέσσαρας. ἐνέργεια γὰρ αὐτοῦ μία μὲν ἑλκύσαι τὴν τροφὴν ἐφ' αὑτὸ, μία δὲ ἄλλη περιστεῖλαί τε καὶ κατασχεῖν, ἄχρις ἂν ἀλλοιῶσαν αὐτὴν ἑαυτοῦ ποιήσηται μόριον. ἔστι γὰρ οὖν δὴ καὶ αὕτη δύναμις αὐτοῦ κυριωτάτη τε καὶ σχεδὸν πρώτη πέττειν τε καὶ μεταβάλλειν καὶ ἀλλοιοῦν καὶ ὁμοιοῦν ἑαυτῷ τὴν τροφὴν, ἣν ὀνομάζομεν ἀλλοιωτικήν. ὅσα δὲ κατὰ τὴν ἀλλοίωσιν τήνδε γίνεται περιττώματα τῷ σπλάγχνῳ, ταῦτα δι' ἑτέρας δυνάμεως, ἣν ὀνομάζομεν ἐκκριτικὴν καὶ ἀποκριτικὴν ἀπωθεῖται. δεδειγμέναι δέ εἰσιν αἱ δυνάμεις αἵδε πᾶσαι τοῖς

ſtantiam, quam Eraſiſtratus putat parenchyma et non principaliſſimam viſceris partem eſſe. Fit etiam intemperies circa contentas in ipſo venas et arterias et juxta materias in ſpatiis ipſarum contentas. Quum autem habeat hoc viſcus non unam, ſed plures facultates actionum, quas vitae tempore operatur, easque tot numero quot ſunt actionum ſpecies, contingit ſaepe unam ipſarum praecipue laedi, ſaepe duas et tres, atque omnes quatuor ſimul. Actio namque ipſius una quidem attrahere cibum et alimentum in ſeſe, altera vero obvolvere et continere, donec permutans ipſum ſui ipſius faciat partem. Eſt igitur haec ipſius facultas principaliſſima et fere prima, concoquere videlicet et permutare ac alterare, atque aſſimilare ſibi ipſi alimentum, quam alterativam vocamus, quae vero juxta hanc alterationem remanent recrementa, ea per aliam facultatem, quam excretricem et expulſoriam nominamus expelluntur. Oſtenſum autem eſt quod hae facultates omnes in omnibus ſunt par-

Ed. Chart. XIII. [584.] Ed. Baſ. II. (285.)

τοῦ σώματος ὑπάρχουσαι μορίοις, ἐν ἅπαντι τῷ τῆς ζωῆς χρόνῳ. πάντα γὰρ ἕλκει τὸ οἰκεῖον ἑαυτῷ καὶ ἀποκρίνει τὸ ἀλλότριον, ἀλλοιοῖ τε τὸ ἐλχθὲν, ἕν τε τῷ χρόνῳ, καθ' ὃν ἀλλοιοῖ, κατέχει τε καὶ σφίγγει. καλεῖται δὴ ἀλλοίωσις αὕτη, μέχρι μὲν ἂν εἰς ὁμοιότητα τοῦ τρεφομένου μορίου μεταβάλληται, πέψις, ὅταν δὲ ἤδη προστίθεται τῷ μορίῳ, θρέψις. ὅταν μὲν οὖν ἕλκειν ἐκ τῆς κοιλίας τε καὶ τῶν ἐντέρων τὴν τροφὴν ἀτονήσῃ τὸ ἧπαρ, ὑγρὰ καὶ ἀνεκχύμωτα ἐκκρίνεται διὰ τῆς ἕδρας. ἐὰν μὲν ἡ γάστηρ συνατονῇ τῷ πλάγχνῳ μὴ πέττουσα καλῶς, ἠπεπεπτημένα, ἐὰν δὲ εὐρωσθῇ, πεπεμμένα μὲν, ἀλλ' ὑγρὰ διὰ τὸ μηδεμίαν ἢ βραχεῖάν γε τὴν ἐξ αὐτῆς ἀνάδοσιν εἰς τὸ ἧπαρ γεγονέναι. ἐὰν δὲ ἕλκῃ μὲν τὸ ἧπαρ ἐφ' ἑαυτὸ τὴν ἐκ τῆς κοιλίας τε καὶ τῶν ἐντέρων τροφὴν, αἱματοῦν δ' αὐτὴν ὑπ' ἀτονίας ἀδυνατῇ, καθάπερ ἐν τῇ γαστρὶ πολυειδὴς ἡ φθορὰ γίνεται τῶν ἀπεπτηθέντων, οὕτω καὶ κατὰ τὸ ἧπαρ. καλῶ δὲ νῦν ἀπεψίαν μόνην, οὐ περιλαμβάνων τῷ λόγῳ τὴν βραδυπεψίαν. εἰ δὲ βούλει, κἀπειδὰν

tibus corporis per omne vitae tempus, omnes enim familiare ſibi attrahunt et alienum excernunt attractumque temporis progreſſu alterant, quo tempore etiam retinent et conſtringunt. Vocatur autem alteratio ipſa, usque quo in ſimilitudinem partis, quae nutritur, transmutatur concoctio, ubi vero jam parti apponitur, nutritio. Quum igitur hepar prae imbecillitate ex ventre et inteſtinis alimentum trahere non poteſt, liquida et nondum juſto modo exuccata per ſedem excernuntur, et ſi quidem venter ſimul cum hoc viſcere fuerit imbecillis ac non probe concoquens, cruda, ſi vero validus fuerit, concocta quidem, ſed liquida, propterea quod nulla aut omnino modica digeſtio ac diſtributio ad hepar eſt facta. Si vero traxerit quidem hepar in ſe ipſum ex ventre et inteſtinis alimentum, ſanguificare autem ipſum prae debilitate nequit, quemadmodum in ventre multiformis corruptio contingit eorum, quae cruda remanent, ſic etiam circa hepar. Dico autem nunc cruditatem ſolam, non comprehendens hoc ſermone tardam concoctionem. Quod ſi velis alimentum, ubi crudum permanet et alterationem, quae

Ed. Chart. XIII. [584.] Ed. Baſ. II. (285.)

τροφὴ ὠμὴ διαμείνῃ τὴν κατὰ φύσιν ὑπὸ τοῦ μορίου γενομένην ἀλλοίωσιν οὐκ εἰληφυῖα, καὶ ταύτην ἄπεπτον καλεῖν, οὐδ' ἐγὼ φεύγω τὴν προσηγορίαν, ἐάν μοι μόνον ἡ διαφορὰ τῶν πραγμάτων φυλάττηται. χεῖρον μὲν γάρ ἐστιν ἡ εἰς ἀλλόκοτον ποιότητα μεταβολὴ κατὰ τὴν ἀπεψίαν γινομένη, μετριώτερον δὲ καθ' ἣν ἐπὶ πλεῖστον φυλάττει τὴν ἑαυτῆς φύσιν ἡ τροφὴ μηδεμίαν ἐν τῷ πεφυκότι πέττειν αὐτὴν ἀλλοίωσιν εἰληφυῖα. καὶ μὴν καὶ τρίτον τι παρὰ ταῦτά ἐστιν εἶδος ἀποτυχίας πέψεως, ὅταν ἡμίπεπτος ἡ τροφὴ γίνηται, καὶ κατ' αὐτήν γε τὴν ἀποτυχίαν τῆς ἀκριβοῦς πέψεως τοῖς ἡπατικοῖς ἐκκρίνεται διὰ τῆς κοιλίας αἱματώδης χυμὸς, τοιοῦτος δὲ τῇ συστάσει, καθάπερ εἴ τις ὕδατι κεράσειεν αἷμα. καὶ πολλοὶ τῶν ἰατρῶν ἔγραψαν, εἰκάζοντες αὐτοῦ τὴν σύστασιν, ὡς ἂν εἰ νεοσφαγοῦς ἱερείου τὰ κρέα πλύνειέ τις ὕδατι. καὶ πλεῖσταί γε τῶν ἡπατικῶν διαθέσεων ἀπὸ τοιούτων ἐκκρίσεων ἄρχονται, μήπω μεγάλην ἀτονίαν ἔχοντος τοῦ ἥπατος, ἀλλ' ἔτι πέττειν τε καὶ μεταβάλλειν τὴν τροφὴν εἰς τὴν οἷον ὑπογραφὴν τοῦ αἵματος δυναμένου. αὐξηθέντος δὲ

fit a particula juxta naturam non aſſumpſit, itidem crudum appellare, neque ego fugio appellationem, ſi mihi ſaltem differentia rerum conſervetur. Prior enim eſt ea transmutatio, quae in peregrinam qualitatem juxta cruditatem fit, moderatior vero ea eſt, in qua alimentum ſuam naturam quam diutiſſime ſervat, nulla alteratione ex particula, quae ad ipſum concoquendum a natura deſtinata eſt, ſuſcepta. Atqui et tertia praeter has ſpecies eſt fruſtratae concoctionis, quum ſemicoctum fit alimentum. Et circa ipſam ſane exactam concoctionem fruſtratam hepaticis ſanguinolentus humor per alvum excernitur talis conſiſtentiae, veluti ſi quis ſanguinem cum aqua confudiſſet, et plerique ſane medici imaginem ejus depingentes ſcripſerunt talem ejus conſiſtentiam eſſe, velut ſi quis victimae recens mactatae carnes aqua lavaſſet. Et plurimi hepatici affectus ab ejusmodi excretionibus initium capiunt, nondum magnam debilitatem hepate habente, ſed adhuc concoquere et alimentum alterare, velut in formam ſanguinis potente. Aucta autem affe-

Ed. Chart. XIII. [584. 585.] Ed. Baſ. II. (285. 286.)

τοῦ πάθους οὐκ ἔτι μὲν οὐδὲν τοιοῦτον ἐκκρίνεται, ἀλλὰ πολυειδεῖς [585] ἄλλαι ποιότητές τε καὶ συστάσεις, ὥσπερ ἀπὸ τῆς γαστρὸς ἀπεπτούσης. ἀλλ' ἐν μὲν τῇ γαστρὶ τῶν σιτίων αὐτῶν αἱ διαφοραὶ σαφῶς φαίνονται, κατὰ δὲ τὸ ἧπαρ τῆς ἀναδοθείσης τροφῆς μιγνυμένης τῷ προϋπάρχοντι κατὰ τὸ σπλάγχνον αἵματι. συνδιαφθείρεται γὰρ ἐν τῷ χρόνῳ καὶ τοῦτο τῇ μὴ πεφθείσῃ κατ' αὐτὸ τροφῇ. θερμῆς μὲν οὖν κατὰ τὸ σπλάγχνον τῆς δυσκρασίας οὔσης αἱ συντήξεις γίνονται, πρῶτον μὲν τῶν χυμῶν, εἶτα καὶ τῆς σαρκὸς αὐτῆς τοῦ ἥπατος, καὶ κενοῦται διὰ τῆς γαστρὸς δυσώδης πάνυ χολὴ παχεῖα καὶ κατακορὴς τῇ χροιᾷ, καθάπερ ἐν τοῖς λοιμώδεσι πυρετοῖς. ψυχρᾶς δὲ δυσκρασίας οὔσης οὔτε συνεχεῖς ἐκκρίσεις οὔτε πολλαὶ γίνονται. χρονίζει δὲ τὸ πάθος καὶ δι' ἡμερῶν τινων καταῤῥήσσει ἡ γαστὴρ αὐτοῖς ἀθροώτερον, οὔθ' ὁμοίαν ἐχόντων τὴν δυσωδίαν τοῖς διὰ θερμότητα συντακεῖσιν οὔθ' ὁμοίαν τὴν χρόαν ἢ τὴν σύστασιν, ἀλλ' ἧττόν τε (286) δυσώδη διαχωρεῖται τούτοις, ἰδέαν τε σεσηπότος αἵματος, οὐ συντετηκυίας ἔχοντα σαρκὸς, ἐνίοτε

ction nihil amplius tale excernitur, ſed multiformes aliae qualitates et conſiſtentiae, velut a ventre ex cruditate laborante. Verum in ventre ciborum ipſorum corruptiones manifeſte apparent, circa hepar vero diſtributum alimentum ad ſanguinem prius in viſcere exiſtentem admiſcetur, corrumpiturque temporis progreſſu etiam hic una cum alimento circa ipſum non concocto. Calida igitur intemperie circa viſcus exiſtente colliquationes fiunt primum humorum, deinde etiam carnis ipſius hepatis, et evacuatur per ventrem bilis craſſa, graveolens et abunde colorata, quemadmodum in peſtilentibus febribus contingit. Frigida vero intemperie exiſtente, neque aſſiduae excretiones neque multae fiunt, durat tamen affectus diutius et per aliquos dies profluet ipſis venter majori copia, cujus neque foetor ſimilis eſt iis, quae ex calore ſunt liquefacta, neque color ſimilis aut conſiſtentia, verum minus graveolentia ab his excernuntur, ſpeciem putrefacti ſanguinis, non colliquatae carnis

Ed. Chart. XIII. [585.] Ed. Baſ. II. (286.)

δ' ἄν σοι τὸ διαχωρούμενον οἷον αἷμα μέλαν εἶναι φανείη, θεωροῦντι δὲ ἀκριβῶς οὔτε αἷμα μέλαν ἐστὶν οὔτε θρόμβος, ἀλλ' οἷον ἰλύς τις αἵματος παχέος ἐγγὺς τῇ μελαίνῃ χολῇ, καὶ πλείω γε καὶ δύσκριτα χρώματα κατὰ τὴν τοιαύτην διάθεσιν ἐμφαίνεται τοῖς διαχωρουμένοις. ἐν ἀμφοτέραις δὲ ταῖς δυσκρασίαις τῇ τε κατὰ θερμότητα καὶ τῇ κατὰ ψυχρότητα, μιχθείσης τῆς καθ' ὑγρότητα καὶ ξηρότητα δυσκρασίας, ὑγρότερα μὲν ἐπὶ τῆς καθ' ὑγρότητα, ξηρότερα δὲ ἐπὶ τῆς κατὰ ξηρότητα τὰ διαχωρήματα γίνεται. ὁ σκοπὸς οὖν τῆς θεραπείας ἐν τοῖς τοιούτοις παθήμασι γίνεται, κοινὸς μὲν κατὰ τὴν ἐναντίωσιν τῆς δυσκρασίας, καθ' ἑκάστην δὲ ἴδιος ὁ καθ' ἑκάστην ἐναντίος. τὸ μὲν οὖν ἡπατικὸν ἰδίως ὀνομαζόμενον πάθος, ὥσπερ οὖν καὶ τὸ κοιλιακόν τε καὶ στομαχικὸν, ἄνευ τοῦ κατὰ τὰ μόρια παρὰ φύσιν ὄγκου γίνεται, φλεγμαίνειν μὲν ἢπαρ ἢ ἀφίστασθαι λεγόντων ἢ σκιροῦσθαι τῶν ἰατρῶν ἤ τι τοιοῦτον ἕτερον πάσχειν, οὐ μὴν ἡπατικόν γε καλούντων τὸν ἄνθρωπον αὐτὸν, ᾧ συμβαίνει τι τούτων· ἀλλ' ὅταν ἄνευ φανεροῦ τινος ἐν τῷ σπλάγχνῳ

habentia. Aliquando vero id quod excernitur velut ſanguis niger apparebit, verum diligenter conſideranti neque ſanguis niger eſt neque grumus, ſed velut limus quidam ſanguinis craſſi, qui prope ad atram bilem accedat, et plures ac aegre judicabiles colores circa ejusmodi affectionem in egeſtionibus apparent. In utraque autem intemperie cum calida tum frigida, quando intemperies humida et ſicca fuerint admixta, liquidiora in humiditatis complexu, ſicciora vero ex ſiccitatis copula fient recrementa. Scopus igitur curationis in ejusmodi affectionibus ſit communis quidem juxta intemperiei contrarietatem, peculiaris autem unicuique per cujusque contrarietatem. Affectio igitur hepatica peculiariter appellata, veluti etiam coeliaca et ſtomachica, citra tumores praeter naturam circa ipſas partes contingit. Inflammatum enim eſſe hepar aut abſceſſu laborare aut induratum eſſe, medici dicunt aut aliud quippiam tale, non tamen hepaticum vocant hominem ipſum, cui tale quippiam accidit, verum quando citra manifeſtum aliquod in viſcere

Ed. Chart. XIII. [585.] Ed. Baſ. II. (286.)

κακοῦ περὶ τὰς οἰκείας ἐνεργείας ἀτονῇ, τηνικαῦτα τὸν κάμνοντα προσαγορευόντων ἡπατικόν. ἴδωμεν οὖν πρῶτον ἃ γεγράφασιν οἱ πρὸ ἡμῶν ἄριστα πραγματευόμενοι περὶ φαρμάκων, ἀπὸ τῶν ὑπ᾽ Ἀνδρομάχου τὴν ἀρχὴν ποιησάμενοι. οὗτος γὰρ ἀνὴρ ἐν τῇ τῶν ἐντὸς παθῶν ἰάσεις ἐχούσῃ βίβλῳ πολλὰς ἔγραψε δυνάμεις ἡπατικὰς, ὧν ἁπασῶν μνημονεύσω, κἀνταῦθα κατὰ τὴν ἐκείνου λέξιν αὐτοῦ γεγράψεται τὰ φάρμακα, καὶ πρῶτόν γε αἱ ἀντίδοτοι. τὸ πρῶτον γεγραμμένον αὐτοῖς ὀνόμασιν ὧδί πως.

Κεφ. ζ. [*Τὰ ὑπ᾽ Ἀνδρομάχου γεγραμμένα πρὸς ἡπατικοὺς φάρμακα.*] *Ἀνδρομάχου πρὸς ἡπατικοὺς κυφοειδὴς καὶ πρὸς τὰ ἐν θώρακι πάντα.* ℞ σταφίδος σαρκὸς ⊰ κέ. οἱ δὲ ⊰ ρ΄. κρόκου ⊰ α΄. οἱ δὲ τριώβολον· καλάμου ⊰ β΄ S″. βδελλίου ⊰ β΄ S″. κασσίας ⊰ α΄ S″. κινναμώμου τριώβολον, ναρδοστάχυος ⊰ γ΄. σχοίνου ἄνθους ⊰ β΄ S″. σμύρνης ⊰ δ΄. τερμινθίνης ⊰ δ΄. οἱ δὲ ⊰ ιστ΄. ἀσπαλάθου ῥινήματος ⊰ β΄. μέλιτος ⊰ ιστ΄. οἴνου τὸ ἀρκοῦν. αὕτη μὲν ἡ τῆς ἀντιδότου γραφή. κέκληκε δὲ ταύτην κυφοειδῆ διὰ τὴν ὁμοιότητα.

malum in propriis actionibus debilitatur, tunc aegrum hepaticum appellant. Videamus igitur primum ea, quae ſcripſerunt ij, qui ante nos de medicamentis optime et ſtudioſiſſime tradere ſatagerunt, initio ab iis quae Andromachus prodidit facto. Hic enim vir in libro internarum affectionum curationes continente multas hepaticas confectiones conſcripſit, quarum omnium faciam mentionem hoc loco, ipſius verbis in medium adductis, et primum ſane antidotos adſcribam.

Cap. VII. [*Medicamenta ab Andromacho conſcripta ad hepaticos.*] *Andromachi antidotus cyphoides ad hepaticos et omnia thoracis vitia.* ℞ Uvae paſſae carnis ℥ xxv, alii ℥ c, croci ℥ j, alii obol. iij, calami ℥ ij ß, bdellii ℥ ij ß, caſſiae ſeſquidrachmam, cinnamomi obolos tres, ſpicae nardi ℥ tres, floris junci odorati drach. duas et dimidiam, myrrhae drach. quatuor, terebinthinae drach. iv, alii drach. xvj, ramentorum aſpalathi ℥ ij, mellis drach. xvj, vini quod ſatis eſt. Haec quidem eſt antidoti deſcriptio. Appellavit au-

Ed. Chart. XIII. [585. 586.] Ed. Baf. II. (286.)

καὶ γὰρ ὀσμῇ καὶ γεύσει παραπλήσιός ἐστι τῷ κύφει καλουμένῳ πρὸς Αἰγυπτίων, οἵπερ δὴ καὶ πρῶτοι συνέθεσάν τε τὸ φάρμακον τοῦτο καὶ χρῶνται θυμιῶντες ἑκάστοτε τοῖς θεοῖς. [586] τὰ πλεῖστα δ' ἐστὶ τῶν ἐν ἐκείνῳ τῷ θυμιάματι γεγραμμένων τὰ αὐτὰ τοῖς ἐν τῷδε τῷ φαρμάκῳ, καὶ μέντοι καὶ θυμιᾶσθαι τοῦτ' αὐτὸ δύναται παραπλησίως τῷ κύφει. σύγκειται δὲ ἔκ τε τῶν μετρίως στυφόντων καὶ ξηραινόντων τε καὶ διαφορούντων ἰχῶρας μοχθηροὺς καὶ ἐπανορθουμένων τὴν κακοχυμίαν, ἔτι τε ἐκ τῶν ἐναντιουμένων ταῖς σηπεδόσιν, ὧν τὰ πλεῖστα τῆς τῶν ἀρωμάτων ἐστὶν ὕλης. ἔχει γοῦν τὸ φάρμακον τοῦτο κινναμωμον, πάσας ἐπανορθοῦν τὰς σηπεδονώδεις τε καὶ δηλητηρίους δυνάμεις, οὐ μόνον ἰχώρων τε καὶ χυμῶν, ἀλλὰ καὶ θανασίμων φαρμάκων, ὥσπερ γε καὶ τοῖς ἰοβόλοις ὀνομαζομένοις θηρίοις ὑπαρχόντων ἰῶν. ἐφεξῆς δὲ τοῦ κινναμώμου καὶ ἡ κασσία τὴν αὐτὴν ἔχει δύναμιν, ἡ ἀρίστη τε καὶ συγγενὴς αὐτῷ καὶ μετὰ ταύτην τῶν ἀρωμάτων ἅπαν γένος, ὥσπερ ἐνταῦθα νάρδος

tem ipſam cyphoide ob ſimilitudinem, nam et odore et guſtu ſimilis eſt cyphi ab Aegyptiis appellato, qui ſane primi hoc medicamentum compoſuerunt et utuntur eo quotidie ad vaporem edendum accenſo in deorum honorem. Plurima autem eorum, quae in illo thymiamate et ſuffumigio ſcripta ſunt, eadem ſunt cum iis, quae in hoc medicamento habentur, quin et ſuffumigari hoc ipſum ſimiliter ut cyphi poteſt. Compoſitum eſt autem ex moderate aſtringentibus et reſiccantibus ac diſcutientibus vitioſos ſeroſos humores et corrigentibus humorum malitiam et contrariam vim habentibus adverſum putrefactiones, quorum plurima ex aromatum ſylva exiſtunt. Habet itaque medicamentum hoc cinnamomum, omnes putredinoſas et venenoſas facultates corrigens, non ſolum ſeroſorum et aliorum humorum, ſed etiam lethalium medicamentorum quemadmodum et feris virus ejaculantibus contrarium exiſtit. Conſequenter autem poſt cinnamomum caſſia eandem vim habet, optima videlicet et cognata ipſi cinnamomo. Et poſt hanc omne aromatum genus velut hic eſt nardus et juncus odoratus, cala-

Ed. Chart. XIII. [586.] Ed. Baſ. II. (286.)

τε καὶ σχοῖνος καὶ κάλαμος καὶ σμύρνα. ταῦτα γὰρ ἐμβέβληται τῷ προκειμένῳ φαρμάκῳ κατὰ τὸν εἰρημένον ἄρτι λογισμὸν καὶ τρόπον, ὥσπερ γε καὶ τῶν παρ' ἡμῖν γενομένων ὅ τε ἀσπάλαθος καὶ ὁ κρόκος, στυπτικόν τε καὶ πεπτικὸν ὑπάρχον φάρμακον, ἐπανορθούμενόν τε σηπεδόνας. ἡ δὲ σταφὶς εὐκαταφρόνητος μὲν εἶναι δόξει διὰ τὸ σύνηθες, αὐτὸ δὲ τοῦτο αὐτὴν ἐργάζεται χρησιμωτέραν, ὅτι συνήθης ἡμῖν οὖσα στυπτικὸν ἐπὶ τοσοῦτόν ἐστιν, ὅσου δεῖται τὸ πεπονθὸς σπλάγχνον. ἔχει δὲ καί τι πεπτικὸν τῶν ἀπέπτων χυμῶν, ἐπικρατητικόν τε τῶν κακοήθων, αὐτή τε δύσσηπτός ἐστι καὶ προσέτι καθ' ὅλην τὴν οὐσίαν οἰκεία τῷ σπλάγχνῳ. μεμαθήκαμεν γὰρ ὡς αἱ τροφαὶ τοῖς τρεφομένοις τὴν οἰκειότητα καθ' ὅλην τὴν ἑαυτῶν οὐσίαν κέκτηνται, ὅπερ ἐστὶ μέγιστον ἐν ταῖς τῶν τοιούτων παθῶν θεραπείαις, ὅσα κατὰ δυσκρασίαν γέγηται. κάλλιστα γὰρ ἐπ' αὐτῶν ἐνεργεῖ τὰ πρὸς τῷ τὴν δυσκρασίαν ἰᾶσθαι τρέφειν δυνάμενα, καὶ διὰ τοῦτο καὶ ὁ οἶνος ἐπιτηδειότατός ἐστι τοῖς ἄνευ φλε-

musque et myrrha, haec enim ad propoſitum medicamentum injecta ſunt juxta jam dictam ratiocinationem et modum, quemadmodum etiam ex iis, quae apud nos gignuntur, aſpalathus et crocus, aſtringens et concoctorium medicamentum et quod corrigit putrefactiones. Caeterum uva paſſa contemptibilis videri poſſit ob familiarem ejus uſum, at vero hoc ipſum eam facit utiliorem, nam quum familiaris nobis ſit, in tantum aſtringens eſt, quantum opus habet viſcus affectum. Habet autem et vim concoctoriam crudorum humorum et vim coercendi maligna, ſitque ipſa haud facile putredini obnoxia et ultra haec ſecundum totam ſubſtantiam viſceri ipſi familiaris eſt et propria. Didicimus enim quod alimenta ſecundum totam ſuam ſubſtantiam proprietatem ac familiaritatem habent ad ea, quae aluntur, quod maximum eſt in hujusmodi affectionibus curandis, quae juxta intemperiem ſiunt, optime enim in ipſis faciunt, quae una cum hoc, quod intemperiem curant, etiam alere poſſunt. Et ob id etiam vinum convenientiſſimum eſt citra

Ed. Chart. XIII. [586.] Ed. Baf. II. (286.)

γμονῆς ἢ ἐρυσιπέλατος ἢ ἀποστήματος ἢ θερμῆς δυσκρασίας κάμνουσιν. καὶ γαρ τρέφει καὶ πέττει καὶ τονοῖ καὶ σηπεδόσιν ἀνθίσταται, κἂν δυσκρασία τύχῃ γεγοννῖα καθ' ὑγρότητα καὶ ψύξιν, ἀλύπως τε καὶ ἀσφαλῶς αὐτὴν ἰᾶται. τὰ δ' αὐτὰ καὶ τῷ μέλιτι πρόσεστι, πλὴν τοῦ μὴ συνάγειν τὴν οὐσίαν τῶν σωμάτων οἷς ἂν ὁμιλῇ, ἀλλ' ἀντὶ τούτου διαῤῥύπτειν τε καὶ ἀναστομοῦν καὶ καθαρὰς ἐργάζεσθαι τὰς διεξόδους, ἐπ' οὖρά τε προτρέπειν οὐ μικρὰ βοηθήματα κέκτηται. μέμικται δὲ ὑπὸ τοῦ συνθέντος τὸ φάρμακον καὶ βδέλλιον, ἱκανῶς μαλάττον τε καὶ πέττον, ὡς ἐμάθομεν, ἔτι τε μετρίως διαφοροῦν. ὁμοίως δέ πως αὐτῷ καὶ ἡ τερμινθίνη ῥητίνη δύναμιν ἔχει πρὸς τὸ διαῤῥύπτειν τε καὶ διακαθαίρειν τὰς στενὰς διεξόδους, ὧν καὶ αὐτῶν δεῖται τὸ θεραπευόμενον σπλάγχνον, ὅπως αἱ συναναστομώσεις τῶν κατὰ αὐτὸ φλεβῶν ἀναπεπταμέναι τε καὶ ἔκφρακτοι διαμένωσιν. μεμαθήκαμεν γὰρ ὅπως ἡ ἔμφραξις ἐργάζεται τὰς σηπεδόνας. ἔνιοι μέντοι τῶν συνθέντων τὰς τοιαύτας δυνάμεις, καθάπερ καὶ πρόσθεν ἐπὶ τῶν στομαχικῶν ἐδείκνυτο, μίξαντες

inflammationem aut eryſipelas aut abſceſſum aut caliḋam intemperiem aegrotantibus, nam et nutrit et concoquit et roborat et putrefactioni reſiſtit, et ſi intemperies ex humiditate facta ſit et frigiditate, eam citra omnem moleſtiam ac ſecure perſanat. Eadem eſt et mellis facultas, praeterquam quod non condenſat ſubſtantiam corporum quae contingit, ſed pro hoc vim extergendi et aperiendi ac puros reddendi meatus et urinam ciendi non parva ſane auxilia poſſidet. Porro admixtum eſt a compoſitore medicamenti bdellium, ſufficienter emolliens et concoquens velut didicimus, ampliusque moderate diſcutiens. Conſimilem ferme vim terebinthina reſina habet ſupra hoc, quod anguſtos meatus extergit et expurgat, quibus auxiliis viſcus curandum opus habet, quo oſculorum venarum in ipſo commiſſurae laxae et ab obturatione liberae permaneant, didicimus namque quomodo obturatio efficiat putrefactiones. Aliqui tamen hujusmodi confectionum compoſitores, quemadmodum etiam prius in ſtomachicis dictum eſt, opium aut

Ed. Chart. XIII. [586. 587.] Ed. Baſ. II. (286.)

ὅπιον ἢ ὑοσκύαμον ἤ τι τῶν ἄλλων ὅσα ψύχει, πρὸς τὰς θερμὰς δυσκρασίας χρήσιμον εἰργάσαντο φάρμακον καὶ διὰ τοῦτο καὶ ἡ Φίλωνος ἐνίοτε θαυμαστῶς ὅπως ἅπαξ δοθεῖσα δυσκρασίαν ἡπατικὴν ἰάσατο, καὶ τοῦτο αὐτῇ καὶ ὁ συνθεὶς αὐτὴν ἐμαρτύρησεν. ἀλλὰ τῶν γε ὑπ᾽ Ἀνδρομάχου γεγραμμένων φαρμάκων ἡπατικῶν οὐδέν ἐστι τοιοῦτον, καὶ μέντοι καὶ σφοδρῶς ψυκτικὸν οὐδὲν εἶναι προσήκει, ἀλλ᾽ ὁποῖα γέγραπταί τισιν ἄλλοις τε καὶ τῷ Ἀσκληπιάδῃ. [587] νῦν οὖν ὅσας ἐφεξῆς ἔγραψεν ὁ Ἀνδρόμαχος ἡπατικὰς ἀντιδότους ὑπογράψω, μεμνημένων ἡμῶν οὐδεμίαν αὐτῶν ἁρμόττειν θερμαῖς δυσκρασίαις, ἀλλ᾽ ἢ ταῖς ὑγραῖς ἢ ταῖς ψυχραῖς ἢ ταῖς ἐξ ἀμφοτέρων συνθέτοις, ἢ εἴπερ ἄρα ταῖς μὲν ὑγραῖς ἰσχυρῶς, μετρίως δὲ θερμαῖς. γεγράφονται δὲ πᾶσαι κατὰ τὴν αὐτοῦ Ἀνδρομάχου λέξιν.

[Ἄλλη κυφοειδὴς πρὸς ἡπατικοὺς ἐκ τῶν Γάλλου καὶ βῆχας καὶ ἀναγωγάς.] ℞ Κρόκου, κινναμώμου ἀνὰ ⊰ α΄. σμύρνης ⊰ α΄. βδελλίου ⊰ δ΄. ἀσπαλάθου τετρώβολον, σχοίνου ⊰ γ΄. καλάμου ⊰ β. κασσίας ⊰ α΄. νάρδου Ἰνδικῆς ⊰ α΄.

hyoſcyamum aut quippiam aliud ex refrigerantibus miſcendo ad calidas intemperies utile medicamentum effecerunt. Et ob id etiam Philonis antidotus mirifice ſemel tantum exhibita hepaticam intemperiem ſanavit, id quod et compoſitor ejus teſtatum reliquit. Verum ex medicamentis hepaticis ab Andromacho conſcriptis nullum eſt hujusmodi. Et ſane vehementer refrigerans nullum eſſe debet, ſed qualia tum ab aliis tum ab Aſclepiade ſunt ſcripta. Nunc igitur hepaticas antidotos conſequenter ab Andromacho proditas ſubſcribam, modo memoria nos teneamus, nullam ipſarum calidis intemperiebus convenire, ſed aut humidis aut frigidis aut ex utrisque compoſitis, aut certe humidis quidem fortiter, calidis vero moderate. Conſcribentur autem omnes juxta ipſius Andromachi dictionem.

[*Alia cyphoides ad hepaticos, ex libris Galli ad tuſſes item et rejectiones.*] ℞ Croci ʒ j, cinnamomi drach. j, myrrhae drach. j, bdellii ʒ iv, aſpalathi obol. iv, junci odorati drach. ij, calami ʒ ij, caſſiae ʒ j, nardi Indicae ʒ j,

Ed. Chart. XIII. [587.] Ed. Baſ. II. (286. 287.)

τερμινθίνης ≺ στ'. σταφίδος σαρκὸς ≺ ρξ'. μέλιτος κοτύλης S''. οἴνου Χίου εἰς τὸ βρέξαι τὴν σταφίδα καὶ τὸ βδέλλιον καὶ τὴν σμύρναν, τὴν δὲ ῥητίνην τήξας τῷ μέλιτι, εἶτα πάντα συμμίξας καὶ λεάνας ἀπόθου. πρὸς ἡπατικοὺς καὶ ἰκτερικούς. ℞ καρύων πικρῶν ≺ β'. ἀνίσου ≺ α'. ἀψινθίου, κυμίνου, σελίνου σπέρματος ἀνὰ ≺ α'. (287) κέρατος ἐλαφείου τριώβολον, λεάνας σὺν ὕδατι τροχίσκους ποίει τριωβολιαίους, δίδου ἕνα πρωῒ καὶ δείλης σὺν οἰνομέλιτι. πρὸς ἡπατικοὺς καὶ ἰκτερικοὺς ἡ Νεκτάρειος. ℞ ἐλενίου λίτραν α' S''. κροκομάγματος λίτρας β'. ἀριστολοχίας γο α'. πετροσελίνου γο α'. πεπέρεως μέλανος γο S''. σμύρνης γο α'. μέλι τὸ ἱκανόν.

[Ἡπατικὴ ἀθανασία καλουμένη. ποιεῖ καὶ πρὸς νεφριτικοὺς καὶ ἰκτερικούς, κινεῖ δὲ ἱδρῶτα πολύν.] ℞ Κρόκου ≺ β'. κινναμώμου ≺ α'. νάρδου ≺ β'. κασσίας, σμύρνης, σχοίνου ἀνὰ ≺ α'. μέλιτι Ἀττικῷ ἀναλάμβανε. ἡ δόσις κυάμου Ἑλληνικοῦ τὸ μέγεθος, πυρέσσουσι μεθ' ὑδρομέλιτος.

terebinthinae ʒ vj, carnis paſſarum uvarum ʒ clx, mellis heminam dimidiam, vini Chii quod ſatis eſt ad macerandam uvam paſſam, bdelliumque ac myrrham, reſinam vero melle liquefacito et deinde omnia mixta ac trita reponito. *Alia ad hepaticos et ictericos.* ℞ Amygdalarum amararum ʒ ij, aniſi ʒ j, abſinthii, cumini, ſeminis apii, ſingulorum ʒ j, cornu cervi obol. iij, trita cum aqua in paſtillos triobolares redigito, ex eisque unum mane ac veſperi cum vino mulſo dato. *Nectarea antidotus ad hepaticos et ictericos.* ℞ Helenii ſeſquilibram, crocomagmatis lib. ij, ariſtolochiae ℈ j, petroſelini ℈ j, piperis nigri ℈ ß, myrrhae ℈ j, mel quod ſatis eſt.

[*Antidotus hepatica, athanaſia appellata. Facit et ad nephriticos et ictericos, multum movet ſudorem.*] ℞ Croci ʒ ij, cinnamomi drach. unam, nardi drach. duas, caſſiae, myrrhae, junci odorati, ſingulorum ʒ j, melle Attico excipe. Datur fabae Graecae magnitudine, febricitantibus ex aqua mulſa.

Ed. Chart. XIII. [587.] Ed. Baſ. II. (287.)

[Ἡπατικὴ θαυμαστὴ, ἣν Φαρνάκης ὁ ῥιζοτόμος παθὼν ἐχρήσατο.] ℞ Κρόκου ≺ β'. μήου, ἀσάρου, φοῦ Ποντικοῦ, δαύκου, πετροσελίνου, σμύρνης ἀνὰ ≺ δ'. νάρδου Ἰνδικῆς καὶ Κελτικῆς ἀνὰ ≺ στ'. κόστου, κασσίας, σχοίνου ἀνὰ τριώβολον, βαλσάμου καρποῦ ≺ γ' S''. ἐρυθροδάνου ≺ η'. γλυκείας χυλοῦ ≺ γ'. ἡμιονίτιδος βοτάνης ≺ γ'. πολίου ≺ γ'. ὀποῦ βαλσάμου ≺ στ'. μάγματος ἡδυχρόου ≺ ε'. μέλιτος τὸ ἱκανὸν χρῶ. πρὸς πάντα τὰ πάθη ἐνεργεῖ, καρύου Ποντικοῦ τὸ μέγεθος μετ' οἰνομέλιτος.

[Ἡπατικὴ παρὰ Νεάρχου ἐπαινουμένη.] ℞ Πάνακος ῥίζης, ἐρυθροδάνου, ἠρυγγίου ῥίζης, εὐπατορίου, ἑλενίου ῥίζης, πολίου, κόστου, ἀριστολοχίας, πεπέρεως, σκολοπένδρου βοτάνης, σικύου σπέρματος, χαμαιπίτυος, γεντιανῆς ῥίζης, Σινώπιδος μίλτου, χολῆς ἀρκείου, ναρδοστάχυος, ἀρκευθίδων, κράμβης σπέρματος, εὐζώμου σπέρματος, ἑκάστου ἴσον μέλιτι Ἀττικῷ ἑφθῷ ἀναλαβὼν χρῶ. ἡπατικὴ ἡ τοῦ Διοσκόρου. ℞ κινναμώμου, κασσίας ἀνὰ ≺ δ'. κρόκου, νάρδου, κόστου, βαλσάμου καρποῦ, ὑπερικοῦ, γλυκυῤῥίζης ἀνὰ ≺ η'.

[*Hepatica admiranda, qua Pharnaces herbarius aegrotus uſus eſt.*] ℞ Croci ʒ ij, mei, aſari, phu Pontici, dauci, petroſelini, myrrhae, ſingulorum ʒ iv, nardi Indicae et Celticae, utriusque drach. vj, coſti, caſſiae, junci odorati, ſingulorum obol. iij, carpobalſami ʒ iij ß, rubiae drach. octo, ſucci radicis dulcis drach. iij, hemionitidis herbae ʒ iij, polii drach. iij, ſucci balſami ʒ vj, confectionis hedychroi ʒ v, mellis quod ſatis eſt, utere. Ad omnia vitia efficax eſt, nucis Ponticae magnitudine cum vino mulſo.

[*Antidotus hepatica a Nearcho laudata.*] ℞ Radicis panacis, rubiae, radicis eryngii, eupatorii, helenii radicis, polii, coſti, ariſtolochiae, piperis, ſcolopendrii herbae, ſeminis cucumeris, chamaepityos, radicis gentianae, rubricae ſinopidis, fellis urſini, ſpicae nardi, baccarum juniperi, ſeminis braſſicae, ſeminis erucae, ſingulorum par pondus, melle Attico cocto excipe ac utere. *Antidotus hepatica Dioſcori.* ℞ Cinnamomi, caſſiae, utriusque ʒ iv, croci, nardi, coſti, ſeminis balſami, hyperici, glycyrrhizae, ſingulorum

Ed. Chart. XIII. [587. 588.] Ed. Baſ. II. (287.)

μέλιτι Ἀττικῷ δίδου καρύου Ποντικοῦ τὸ μέγεθος. ἄλλη πρὸς ἡπατικοὺς καὶ τὰ λοιπὰ τὰ ἐντὸς, ὡς Ἀριστοκλῆς. ℔ πεπέρεως κόκκους μ'. σμύρνης ≺ ἡ'. κρόκου, κόστου, μήου, ἀκόρου, νάρδου, δαύκου σπέρματος, πετροσελίνου, σκορδίου ἀτὰ ≺ δ'. κινναμώμου ≺ ιβ'. κασσίας ≺ ιβ'. μέλιτος τὸ ἀρκοῦν, ἡ δόσις καρύου Ποντικοῦ τὸ μέγεθος. [588] πότιμα πρὸς ἡπατικοὺς, σπληνικοὺς, νεφριτικοὺς, ὑδρωπικοὺς, ὠφελεῖ καὶ στομαχικοὺς καὶ τὰς ἐκ τόκων ἐνοχλουμένας, καὶ πρὸς σπασμοὺς καὶ πρὸς τοὺς ἀπ' ἀῤῥωστίας ἀναλαμβάνοντας καὶ κακοχύμους καὶ ἰκτερικοὺς καὶ βῆχας καὶ πλευριτικοὺς, ἀντίδοτος καὶ πρὸς τὰ θανάσιμα φάρμακα καὶ τὰς τῶν θηρίων πληγάς. ℔ νάρδου Ἰνδικῆς ≺ β'. κόστου ≺ β'. κασσίας ≺ α'. κρόκου ≺ α'. πεπέρεως λευκοῦ ὀβολοὺς ε'. ἐν ἄλλῳ ≺ β'. σελίνου σπέρματος ≺ α'. τετρώβολον, ἴρεως Ἰλλυρικῆς ἴσον, ἀκόρου ≺ α'. ὀβολὸν α'. ὀποβαλσάμου ≺ α'. ἄρου ἀρσενικοῦ ὀποῦ ≺ γ'. σταφίδος ἀγιγάρτου ≺ στ'. λεάνας σὺν τῷ γλυκεῖ ἢ μέλιτι ἀναλάμβανε καὶ δίδου ≺ α'. μετ' οἴνου γλυκέος κεκραμένου ἢ ὑδρομέλιτος

℥ viij, excipe melle Attico ac exhibe nucis Ponticae magnitudine. *Alia ad hepaticos et reliquos internos affectus, ut Ariſtocles.* ℔ Piperis grana xl, myrrhae ℥ viij, croci, coſti, mei, acori, nardi, dauci ſeminis, petroſelini, ſcordii, ſingulorum ℥ iv, cinnamomi ℥ xij, caſſiae ℥ xij, mellis quod ſufficit. Datur nucis Ponticae magnitudine. *Potio ad hepaticos, ſplenīticos, nephriticos, hydropicos. Auxiliatur et ſtomachicis et moleſtiis ex partu et convulſis. Prodeſt convaleſcentibus et ſe reſcientibus ex infirmitate. Facit ad vitioſos humores, ictericos et tuſſes ac pleuriticos. Eſt etiam antidotus ad lethalia medicamenta et ad ferarum plagas.* ℔ Nardi Indicae drach. duas, coſti drach. duas, caſſiae drach. unam, croci drach. unam, piperis albi obolos v, alii drach. duas, ſeminis apii drach. j, obol. iv, iridis Illyricae tantundem, acori drach. unam, obol. j, opobalſami drach. unam, ſucci ari maſculi drach. tres, uvae paſſae exacinatae drach. vj, terito cum paſſo aut melle excipito, et drach. j cum vino diluto dato aut cum aquae mulſae cya-

Ed. Chart. XIII. [588.] Ed. Baſ. II. (287.)

κυάθων τεσσάρων ἢ ὡς ἂν ἁρμόττῃ. αὗται μέν εἰσιν αἱ ὑπὸ Ἀνδρομάχου γραφεῖσαι δυνάμεις ἡπατικαὶ, μεταβήσομαι δὲ ἤδη πρὸς τὰς ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένας ἐν τῷ τρίτῳ τῶν ἐντὸς, ἃς Μνάσωνος ἐπιγράφει.

Κεφ. η΄. [*Αἱ ὑπ᾽ Ἀσκληπιάδου γραφεῖσαι δυνάμεις ἡπατικαί.*] Πρώτην μὲν ἔγραψεν, ἣν Ἀντωνίου Μούσα φησὶν εἶναι, συγκειμένην οὕτω. κιχωρίου χυλίσματος κύαθον α΄. δίδου μεθ᾽ ὕδατος θερμοῦ κυάθων γ΄. ἐπιβαλὼν μέλιτος Ἀττικοῦ κοχλιάριον· ἢ πτέρεως καὶ ἀνήθου χυλοῦ κύαθον α΄. μετὰ μελικράτου κυ. γ΄. ἢ ἴριος ἁπαλῆς ἢ σέριος ἁπαλῆς τοῦ χυλοῦ κύαθον α΄. μετὰ μελικράτου θερμοῦ κυάθων τριῶν. αὕτη ἡ πρώτη γραφὴ κατὰ τὸ τοῦ Ἀσκληπιάδου βιβλίον ἐστὶ φαρμάκων τριῶν. τὰ μὲν οὖν κιχώρια καὶ ἡ σέρις ἐκ τῶν ἐδωδίμων εἰσὶν, παρ᾽ ἡμῖν γοῦν οἱ κατὰ τοὺς ἀγροὺς ἐσθίουσιν ἄμφω ταῦτα καὶ ὠμὰ καὶ ἑφθά. χρῆται δὲ αὐτοῖς καὶ ὁ Ἐρασίστρατος ἱκανῶς, ἐν οἷς θεραπεύει τὰ κατὰ τὴν κοιλίαν παθη, δύναμις δὲ τῶν λαχάνων τούτων ἐστὶν ὑπόψυχρός τε καὶ ὑπόπικρος καὶ μετρίως στύφουσα, καὶ διὰ

this quatuor aut ut conveniens fuerit. Hae quidem ſunt hepaticae confectiones ab Andromacho proditae. Tranſibo autem jam inde ad eas, quas Aſclepiades tradidit in tertio internorum, quae Mnaſoni inſcribit.

Cap. VIII. [*Confectiones hepaticae ab Aſclepiade conſcriptae.*] Primam equidem confectionem Aſclepiades Antonii Muſae eſſe dicit, hoc modo compoſitam. Succi cichorii cyathum unum cum aquae calidae cyathis tribus dato, mellis Attici cochleari addito, aut filicis vel anethi ſucci cyathum unum cum aquae mulſae cyathis iij dato. Aut iridis recentis aut ſeridis recentis ſucci cyathum unum cum aquae mulſae calidae cyathis iij. Haec prima eſt deſcriptio trium medicamentorum in Aſclepiadis libro. Cichoria itaque et ſeris cibarii generis exiſtunt; apud nos namque et rurales ambo haec edunt et cruda et cocta, utitur eis etiam Eraſiſtratus abunde in affectionum circa alvum cura. Facultas horum olerum ſubfrigida eſt et ſubamara ac moderate

Ed. Chart. XIII. [588.] Ed. Baſ. II. (287.)

ταύτας γε τὰς ποιότητας ἄριστα φάρμακα ταῖς θερμαῖς δυσκρασίαις ἐστὶ τοῦ ἥπατος. πρὸς γὰρ τῷ ψύχειν μετρίως ἔτι καὶ τόνον ἐντίθησι τῷ σπλάγχνῳ διὰ τῆς στύψεως, ἔτι τε ἀναῤῥύπτει τὰς συναναστομώσεις τῶν ἐν τοῖς σιμοῖς τοῦ σπλάγχνου φλεβῶν πρὸς τὰς ἐν τοῖς κυρτοῖς, οὐ μὴν οὐδὲ τὰς ψυχρὰς δυσκρασίας βλάπτει μεγάλως, ὥσπερ ὅσα ψυχρὰν ὑγρότητα κέκτηται χωρὶς στύψεως ἢ πικρότητος. ὠφελεῖν δὲ δύναται τὸ σπλάγχνον ἡ τῶν τοιούτων λαχάνων οὐσία, κἂν ἄνευ χυμῶν ἢ ἰχώρων μοχθηρῶν γίνηται ἡ δυσκρασία καθ' αὑτὸ καὶ μεθ' ὑγρότητος ἡστινοσοῦν. ἐν γὰρ τῇ μίξει τοῦ μέλιτος ἐπ' οὖρα προάγει τὴν ὑγρότητα, διὸ κἂν ξηρανθέντα κόψας ἐπιπάσῃ τις τῷ ποτῷ, καὶ οὕτως ὀνίνησι, καὶ μέντοι καὶ ἀφεψημένων τὸ ἀφέψημα πινόμενον ὠφέλιμον ἱκανῶς ἐστιν. εἰ δὲ μὴ θερμή τις ἐνοχλοίη δυσκρασία ἢ κἂν μόνον ἔμφραξίς τις εἴη κατὰ τὸ σπλάγχνον, ὠφελεῖ μεγάλως δι' οἴνου λευκοῦ λεπτοῦ πινόμενα μετὰ τῶν οὖρα κινούντων. χρήσιμος δὲ οὐ μόνον ὁ χυλὸς αὐτῶν ἐστι

aſtringens et propter has qualitates optima medicamenta calidis intemperaturis ipſius hepatis exiſtunt; ultra hoc enim quod moderate refrigerant, amplius et robur viſceri addunt per aſtrictoriam facultatem. Inſuperque commiſſuras oſculorum venarum in ſima viſceris parte ad eas quae in gibba ſunt extergent. Neque vero frigidas intemperies magnopere laedunt, quemadmodum quae frigidam humiditatem absque aſtrictione aut amarore poſſident facere ſolent. Juvare etiam viſcus talium olerum ſubſtantia poteſt, etiam ſi citra ſeroſorum aut aliorum humorum vitiationem intemperies ſiat per ſe et cum humiditatis cujuscunque complexu, ex mixtura enim mellis humiditatem per urinam educunt, quapropter etiam ſi ſiccata tuſa quis potioni inſpergat itidem juvant, quin et decoctorum decoctum potatum multum commodi affert. Si vero non calida aliqua intemperies infeſtet aut ſi obturatio quaedam ſit circa viſcus, magnopere auxiliantur ex vino albo tenui potata cum iis, quae urinam cient. Utilis autem non ſolum ſuccus ipſorum eſt tum re-

Ed. Chart. XIII. [588. 589.] Ed. Baſ. II. (287.)

πρόσφατός τε καὶ ἐξηραμμένος, ἀλλὰ κἂν ξηραινόμενα κόψας καὶ λειώσας ἐπιμελῶς ἐπιπάττοι τις τῷ ποτῷ, κἂν ἀφεψήσας πίνοι. πρὸς δὲ τὸ διακαθᾶραι τὸ σπλάγχνον, ἀναστομῶσαί τε τὰς διεξόδους αὐτοῦ χωρὶς τοῦ θερμῆναι σαφῶς ἢ ψῦξαι, κάλλιστον φάρμακον ἡ πτέρις ἐστὶν, ἐπικρατοῦσαν ἔχουσα τὴν πικρὰν ποιότητα. τὸ δ' ἄνηθον οὐδὲν ἰσχυρὸν ἔχει πρὸς τὰς τοιαύτας διαθέσεις, ἀλλ' ἔστιν ἐψυγμένου μετρίως καὶ πεπυκνωμένου τοῦ σπλάγχνου θεραπευτικόν. [589] καὶ τὸ διὰ τῆς χαμαιπίτυος δὲ καταπότιον, οὗ καὶ αὐτοῦ μέμνηται, τῆς αὐτῆς ἐστι δυνάμεως τοῖς εἰρημένοις. πικρὸν γὰρ καὶ τοῦτό ἐστι τὸ φάρμακον, οὐδὲν οὖν θαυμαστόν ἐστιν αὐτήν τε καθ' ἑαυτὴν πινομένην τὴν χαμαιπίτυν ὠφελεῖν τὰς ἡπατικὰς δυσκρασίας καὶ μετὰ κιχωρίου, καθάπερ ὁ Ἀσκληπιάδης ἔγραψεν ὧδί πως αὐτοῖς ὀνόμασιν.

[*Καταπότιον ἡπατικοῖς.*] ℞ Χαμαιπίτυος ῥίζης ⊰ η'. κιχωρίου ῥίζης ⊰ δ'. κόπτε καὶ ἀναλάμβανε μέλιτι ἑφθῷ, δίδου καρύου Ποντικοῦ τὸ μέγεθος καὶ ὕδατος θερμοῦ ἐπιπίνειν κυάθους γ'. ταῦτα μὲν ὁ Ἀσκληπιάδης ἔγραψεν,

cens tum exiccatus, ſed et ipſa olera exiccata tuſaque ac trita potui inſperſa et eorum decoctum in potu acceptum auxiliantur. Caeterum ad viſceris expurgationem et meatuum apertionem, citra manifeſtam caleſactionem aut refrigerationem, optimum medicamentum filix eſt, praedominantem habens amaram qualitatem. Anethum vero nihil forte habet ad hujusmodi affectiones, ſed modice refrigerati ac condenſati viſceris curativum exiſtit. At vero catapotium ex chamaepity, cujus itidem meminit, ejusdem cum praedictis facultatis eſt, amarum enim et hoc medicamentum eſt, nihil igitur mirum eſt, ipſam chamaepityn, tum per ſe tum cum cichorio potatam, hepaticas intemperies juvare, quemadmodum Aſclepiades ſcripſit in haec verba.

[*Catapotium hepaticis.*] ℞ Radicis chamaepityos drach. octo, radicis cichorii drach. quatuor, contunde et excipe melle cocto ac praebe nucis Ponticae magnitudinem et aquae calidae cyathos tres inſuper bibendos. Haec Aſclepiades ſcri-

Ed. Chart. XIII. [589.] Ed. Baſ. II. (287. 288.)

ὠφελοῦσι δὲ αἱ εἰρημέναι βοτάναι τοὺς ἡπατικοὺς, οὐ μόνον ἐὰν τῶν ῥιζῶν τις αὐτῶν προσφέρηται, σκευάσας ὡς ὁ Ἀσκληπιάδης ἔγραψεν, ἀλλὰ κἂν τὸν χυλὸν ἢ τὸ ἀφέψημα ἢ ξηρὰν τὴν κόμην μετὰ τοῦ καρποῦ κόψας καὶ λειώσας προσφέρῃ. καὶ ἡ τῆς σφενδάμνου δὲ ῥίζα, κοπεῖσα καὶ λειωθεῖσα, καὶ γὰρ καὶ ταύτης μέμνηται, τῆς αὐτῆς ἐστι τοῖς εἰρημένοις δυνάμεως. δίδωσι δὲ ταύτης ≺ α'. μεθ' ὕδατος κεκραμένου κυάθων γ'. καὶ τὸ διὰ τῆς νάρδου δὲ τῆς Κελτικῆς φάρμακον, οὗ καὶ αὐτοῦ μέμνηται, τούτοις ἐστὶ παραπλήσιον. ἔγραψε δ' οὕτως αὐτό. ℔ νάρδου Κελτικῆς μέρη γ'. ἀψινθίου μέρος ἓν, κόψας καὶ σήσας ἀναλάμβανε μέλιτι ἑφθῷ καὶ δίδου ἐκλείχειν μύστρον. καὶ τὸ τούτῳ γεγραμμένον ἑφεξῆς παραπλή(288)σιον ὑπάρχον αὐτῷ κατὰ τὰ ἄλλα πλέον ἔχει τὸ δι' οὔρων μᾶλλον ἐκκαθαίρειν τὸ σπλάγχνον. ἔγραψε δ' οὕτως ὁ Ἀσκληπιάδης περὶ αὐτοῦ. τροχίσκος ἡπατικὸς ὁ πικρός. ℔ ἀνίσου, σπέρματος σελίνου, ἀσάρου, ἀμυγδάλων πικρῶν κεκαθαρμένων, ἀψινθίου, ἑκάστου ἀνὰ ≺ δ'. σκεύαζε δι' ὕδατος καὶ ἀνάπλασσε τροχίσκους καὶ δίδου ≺ α'.

pſit. Juvant autem praedictae herbae hepaticos, non ſolum radicibus ipſarum acceptis et praeparatis, velut Aſclepiades prodidit, ſed et ſucco et decocto et arida coma una cum ſemine tuſa ac trita aſſumptis. Quin et aceris radix tuſa et trita, nam et hujus meminit, ejusdem eſt cum praedictis facultatis. Exhibet autem ex ea drach. unam cum vini mulſi diluti cyathis tribus. Inſuper et ex nardo Celtica medicamentum, cujus item meminit, his conſimile eſt, ſcripſit autem ipſum ſic. ℔ Nardi Celticae partes tres, abſinthii partem unam, tuſa et cribrata melle cocto excipito et myſtrum delingendum dato. Et quod poſt hoc ſcriptum eſt, conſimile ipſi exiſtens in reliquis, plus habet de vi expurgandi ipſum viſcus per urinas. Scripſit autem ſic Aſclepiades de ipſo. *Paſtillus hepaticus amarus.* ℔ Aniſi, ſeminis apii, aſari, amygdalarum amararum mundatarum, abſinthii, ſingulorum drach. quatuor, praepara cum aqua et reduc in paſtillos, ac febre carentibus exhibe drach. unam cum vini

Ed. Chart. XIII. [589.] Ed. Baſ. II. (288.)

ἀπυρέτοις μετ' οἴνου κεκραμένου κυάθων γ'. πυρέττουσι μεθ' ὑδρομέλιτος. τοῦτο τὸ φάρμακον ἠρέμα πώς ἐστι θερμὸν διὰ τὴν τῶν οὐρητικῶν μίξιν. τὰ δ' ἄλλα πάντα τὰ πρόσθεν ἢ ἐπικρατοῦσαν ἔχει τὴν ψύξιν ἢ πάντως οὔτε ταύτην οὔτε τὴν θερμότητα. τὸ μέντοι διαῤῥύπτειν τε καὶ τὰς ὁδοὺς τῆς ἀναδόσεως ἐκφράττειν ἔχει πάντα. καὶ ἄλλα δέ τινα φάρμακα γέγραπται τῷ Ἀσκληπιάδῃ τὸ μὲν διαῤῥύπτειν καὶ ἐκφράττειν καὶ τέμνειν ἔχοντα, βραχεῖ δέ τινι τῶν μέσων ἕτερα θερμότερα. μέσα δὲ λέγω τὰ μήτε θερμαίνοντα μήτε ψύχοντα σαφῶς. ἓν δὲ ἐν αὐτοῖς τι τῶν θερμαινόντων ἐστὶν, ἔνθα φησὶ, κόστου λείου κοχλιάριον δίδου μετὰ μελικράτου θερμοῦ κυάθων γ'. τὰ δ' ἄλλα ὅσα πλησίον τῆς μέσης κράσεως ὄντα πρὸς τὸ θερμότερον ῥέπει, ταῦτά ἐστιν. ℞ ἐλενίου ⊰ ιβ'. κροκομάγματος ⊰ η'. ἀναλάμβανε κιχωρίου χυλῷ καὶ ποίει καταπότια καὶ δίδου πρὸς δύναμιν. ἡ τελεία δόσις ὁλκὴ καὶ οἰνομέλιτος κεκραμένου θερμοῦ κύαθοι γ'. τοῦτο τὸ φάρμακον ἠδύνατο καὶ χωρὶς ἑλενίου ταῖς θερμαῖς δυσ-

diluti cyathis tribus, febrientibus cum aqua mulſa. Hoc medicamentum leniter quodammodo eſt calidum propter urinam cientium mixturam, reliqua vero omnia ſuperiora aut praedominantem habent frigiditatem aut omnino neque hanc neque caliditatem, verum vim extergendi et vias digeſtionis ab obſtructione vindicandi omnia habent. Alia inſuper medicamenta ab Aſclepiade ſcripta ſunt partim extergendi ac aperiendi et ſecandi vim habentia, partim vero calidiora paululum quam ſunt media, media autem dico, quae neque calefaciunt neque refrigerant manifeſte. Unum vero inter ipſa calefactorium eſt, ubi ait: Coſti triti cochleare praebe cum aquae mulſae calidae cyathis iij. Reliqua vero, quae prope ad medium temperamentum accedentia ad caliditatem vergunt, haec ſunt. ℞ Helenii drach. xij, crocomagmatis drach. xiij, excipe cichorii ſucco et fac catapotia, eaque pro viribus exhibe, datur ad ſummum drachma ex vini mulſi diluti calidi cyathis tribus. Hoc medicamentum poterat et absque helenio calidis intemperiebus convenire.

Ed. Chart. XIII. [589. 590.] Ed. Baſ. II. (288.)

κρασίαις ἁρμόττειν. ἐπεὶ δὲ τὸ ἑλένιον ἐμίχθη τοῖς ῥυπτικοῖς, ἐπὶ τὸ θερμότερον ἐῤῥέψε, πλὴν εἰ μὴ παντελῶς ὀλίγον ἐπιμίσγοιτο πλείονι τῷ ψυχρῷ. καὶ μέντοι καὶ τὸ διὰ τοῦ μαράθρου τῶν θερμαινόντων ἐστὶν, ἔχον οὕτω. ℞ μαράθρου ≺ α'. πετροσελίνου ≺ β'. ἀνίσου, ἀμυγδάλων πικρῶν, ἀψινθίου ἀνὰ ≺ α'. κρόκου, σμύρνης ἀνὰ τριώβολον, ὕδατι ἀναλάμβανε καὶ ἀνάπλασσε τροχίσκους καὶ δίδου ≺ α'. καθὼς ἀνώτερον προείρηται. καὶ γὰρ ἐνταῦθα τὸ μὲν μάραθρον καὶ τὸ πετροσέλινον ἱκανῶς θερμαίνει, τὰ ἄλλα μετρίως. [590] τὰ δ' ἀμύγδαλα τῆς λεπτυντικῆς ἐστι δυνάμεως, καὶ μᾶλλον ὅταν ᾖ πικρά. μέσον δέ πως τῶν θερμαινόντων τε καὶ ψυχόντων καὶ τοῦτό ἐστι τὸ φάρμακον, ὅπερ ὁ Ἀσκληπιάδης ἔγραψεν ὧδί πως. ἐκλεικτὸν ἡπατικὸν Παυλίνου, ὠφελεῖ παραχρῆμα. ℞ χαμαιπίτυος ξηρᾶς λίτραν α'. σμύρνης γο α'. γλυκέος προτρόπου ξε. γ'. ἕψε χαμαιπίτυν καὶ γλυκὺν, καὶ ὅταν τὸ γ'. ὑπολειφθῇ, ἐκθλιβε τὸ ὑγρὸν καὶ τούτῳ ἐπιβαλὼν μέλιτος Ἀττικοῦ λίτρας S''. πάλιν ἕψε. μετὰ δὲ ταῦτα ἐπίβαλλε τὸ σμύρνιον κινῶν συνεχῶς, καὶ

Quoniam autem helenium extergentibus admixtum eſt, ad caliditatem vergit, niſi quis omnino modicum de eo cum multa frigida permiſceat. Quod et id, quod ex foeniculo conſtat, caleſactorium eſt, ſic habens. ℞ Foeniculi drach. j, petroſelini ʒ ij, aniſi, amygdalarum amararum, abſinthii, ſingulorum drach. j, croci, myrrhae, utriusque obol. iij, excipe aqua ac redige in paſtillos, et dato drach. unam, ut ſupra dictum eſt. Etenim hoc loco foeniculum quidem et petroſelinum multum caleſaciunt, reliqua vero moderate. Amygdalae vero attenuatoriae ſunt facultatis et praeſertim ſi fuerint amarae. Medium autem quodammodo inter caleſacientia et refrigerantia eſt hoc medicamentum, quod Aſclepiades ſcripſit hoc modo. *Eclegma hepaticum Paulini, auxiliatur confeſtim.* ℞ Chamaepityos ſiccae libram unam, myrrhae unciam unam, paſſi protropi ſextar. iij, chamaepityn et vinum dulce coquito, et ubi ſuperfuerit tertia pars, liquorem exprimito, eique mellis Attici libram dimidiam adjicito ac rurſus coquito, poſtea vero myrrham ad-

Ed. Chart. XIII. [590.] Ed. Baſ. II. (288.)

ὅταν διαλυθῇ, ἄρας ἀπὸ τοῦ πυρὸς, ἀπόθου καὶ δίδου πρὸ τροφῆς μύστρον. ἔγραψε δὲ καὶ διὰ κοχλιῶν ὁ Ἀσκληπιάδης φάρμακον ἡπατικὸν τοιοῦτον. κοχλιῶν χερσαίων εὖ μάλα τὴν σάρκα λεάνας καὶ οἴνου μέλανος ἐπιβαλὼν κυάθους τρεῖς καὶ θερμήνας δίδου πίνειν. ἔοικε δὲ τὰ τοιαῦτα καθ' ὅλην τὴν οὐσίαν ἐνεργεῖν, οὐ κατὰ μίαν ἢ δευτέραν ποιότητα, ὁποῖόν ἐστι καὶ τὸ λύκειον ἧπαρ, οὗ πεῖραν ἱκανὴν ἔχομεν. ἡ χρῆσις δὲ αὐτοῦ παραπλησία τοῖς κοχλίοις ἐστὶ, λειοῦται γὰρ ἀκριβῶς τὸ λύκειον ἧπαρ καὶ δίδοται ≺ α'. μετ' οἴνου τῶν γλυκέων τινὸς, οἷοί πέρ εἰσιν Θηραῖος ὁ Κρητικὸς καὶ ὁ Σκυβελίτης, ὅ τε γλυκὺς πρότροπος. εὐμενεῖς γάρ εἰσιν οὗτοι τῷ σπλάγχνῳ, τρέφειν αὐτὸ δυνάμενοι καὶ μέσοι τῇ κατὰ τὸ ψυχρόν τε καὶ θερμὸν ἀντιθέσει, καὶ διὰ τοῦτο τὰ τοιαῦτα φάρμακα πάσαις ἁρμόττειν φαίνεται ταῖς δυσκρασίαις, ὡς ἂν τῇ τε τῆς οὐσίας ἰδιότητι τὴν ὠφέλειαν παρεχόμενα καὶ τῷ μήτε τὰς θερμὰς μήτε τὰς ψυχρὰς δυσκρασίας βλάπτειν. ἐπὶ μέντοι τῶν πυρεττόντων σαφῆ πυρετὸν ἢ οὐκ ἀμυδρῶς, ὥσπερ εἴωθεν

dito aſſidue agitando, atque ubi diſſoluta fuerit, ab igne ablata reponito, et ante cibum myſtrum exhibeto. Scripſit et ex cochleis medicamentum hepaticum Aſclepiades hujusmodi. Cochlearum terreſtrium carnem valde probe terito et affuſis vini nigri cyathis tribus calefacito ac bibendum dato. Videntur autem haec juxta totam ſubſtantiam efficacia eſſe, non ſecundum unam aut alteram qualitatem. Quale eſt et lupinum hepar, cujus abunde experimentum habemus. Uſus autem ipſius conſimilis cochleis eſt, teritur enim exacte hepar lupinum et datur drachma una, cum vino aliquo dulci, qualia ſunt theraeum, Creticum, Scybelite ac dulce protropum. Benigna enim haec ſunt viſceri, ipſum nutrire potentia et media juxta calidi et frigidi oppoſitionem, et ob id talia medicamenta omnibus intemperaturis convenire videntur, ut quae ex ſubſtantiae proprietate commoditatem de ſe exhibent et neque calidas, neque frigidas intemperies laedant. Atqui in febricitantibus manifeſta febri aut non obſcure, velut ſolet aliquibus hepati-

Ed. Chart. XIII. [590.] Ed. Baſ. II. (288.)

ἐνίοις τῶν ἡπατικῶν συμπίπτειν, ἄμεινόν ἐστι δι' ὕδατος θερμοῦ διδόναι τὸ φάρμακον ἢ διά τινος τῶν εἰρημένων ἔμπροσθεν χυλῶν, ὁποῖός ἐστιν ὁ τῆς σέρεως. πρὸς τὰς τοῦ ἥπατος σκιῤῥώδεις διαθέσεις. καὶ πρὸς ταῦτα ἔγραψεν ὁ Ἀσκληπιάδης τέσσαρα φάρμακα τῇ λέξει τῇδε.

[*Οὐρητική, ποιεῖ πρὸς πὰς σκιῤῥώδεις τοῦ ἥπατος διαθέσεις καὶ σπληνικοῖς καὶ τοῖς δυσαναλήπτοις καὶ ὑδρωπικοῖς καὶ καθόλου εὐχροιαν ἐμποιεῖ.*] ℞ Κρόκου, νάρδου, κασσίας ἀνὰ ≺ β'. κόστου, σχοίνου ἄνθους, κινναμώμου, σμύρνης στακτῆς ἀνὰ ≺ α'. μέλιτος ἑφθοῦ ≺ κε'. ἡ δόσις κυάμου Αἰγυπτίου τὸ μέγεθος, μετ' οἰνομέλιτος κυάθων γ'.

[*Ἄλλη ἣ ἐχρήσατο Πασικράτης, ἄγει οὖρα πολλά.*] ℞ Λαύκου σπέρματος ≺ α' S''. ῥήου Ποντικοῦ τῆς ῥίζης, σχοίνου ἄνθους, βαλσάμου καρποῦ, κιδρίδων, ἀνίσου, νάρδου Ἰνδικῆς, κρόκου, κινναμώμου, κασσίας, φοῦ, ἀσάρου, πετροσελίνου, χαμαιπίτυος ἀνὰ ≺ α' S''. ἡδυόσμου ξηροῦ τριώβολον, πυρήνων στροβίλων κεκαθαρμένων ἀριθμῷ ν'. ἀνα-

cis accidere, melius eſt ex aqua calida medicamentum praebere aut ex aliquo praedictorum ſuccorum, velut eſt feridis ſuccus. Ad induratas hepatis affectiones. Et ad has Aſclepiades quatuor medicamenta his verbis ſcripſit.

[*Confectio ciens urinam, facit ad induratas hepatis affectiones, ad ſplenicos et aegre ſe a morbo recolligentes, ad hydropicos et in univerſum bonum colorem inducit.*] ℞ Croci, nardi, caſſiae, ſingulorum ʒ ij, coſti, floris junci odorati, cinnamomi, myrrhae ſtactae, ſingulorum ʒ j, mellis cocti ʒ xxv. Datur fabae Aegyptiae magnitudine cum vini mulſi cyath. iv.

[*Alia, qua uſus eſt Paſicrates, urinam multam ducit.*] ℞ Seminis dauci ſeſquidrachmam, radicis rheu Pontici, floris junci odorati, ſeminis balſami, cedridum, aniſi, nardi Indicae, croci, cinnamomi, caſſiae, phu, aſari, petroſelini, chamaepityos, ſingulorum ʒ j ß, menthae ſiccae obolos tres, nucleorum pinearum nucum repurgatorum numero quin-

Ed. Chart. XIII. [590. 591.] Ed. Baſ. II. (288.)

λάμβανε μέλιτι ἐφθῷ καὶ δίδου καρύου Ποντικοῦ τὸ μέγεθος μετ' οἰνομέλιτος κεκραμένου κυάθων τριῶν.

[Ἀντίδοτος ἡ διὰ τῆς ἀρκείου χολῆς, φάρμακον ἐπιτετευγμένον πρὸς τὰς σκιῤῥώδεις τοῦ ἥπατος διαθέσεις.] ℞ Χαμαιπίτυος, πρασίου, πετροσελίνου σπέρματος, γεντιανῆς, ἄγνου σπέρματος, ἄρκτου χολῆς, νάπυος, σικύου σπέρματος, σκολοπενδρίου, πάνακος, μίλτου Λημνίας, ἐρυθροδάνου, κράμβης σπέρματος, ἀριστολοχίας, πεπέρεως, νάρδου Ἰνδικῆς, κόστου, σελίνου σπέρματος, εὐζώμου σπέρματος, ἠρυγγίου, πολίου, ἐχίου, εὐπατορίου, ἀρκευθίδων ἀνὰ ≺ α'. κόψας, σήσας, ἀναλάμβανε μέλιτι, ἡ δόσις καρύου Ποντικοῦ τὸ μέγεθος ἐν οἰνομέλιτι κυάθοις β'.

[591] [Ἄλλη ἐπιτετευγμένη. ποιεῖ καὶ πρὸς τὰς ἄλλας τῶν ἐντὸς διαθέσεις χωρὶς βηχός.] ℞ Γεντιανῆς ῥίζης, χαμαιπίτυος, πρασίου, πετροσελίνου σπέρματος, ἄρκτου χολῆς, νάπυος, σικύου σπέρματος, σκολοπενδρίου, πάνακος ῥίζης, μίλτου Σινωπίδος, ἐρυθροδάνου, κράμβης σπέρματος, ἀριστολοχίας μακρᾶς, πεπέρεως λευκοῦ, ναρδοστάχυος, κόστου, εὐζώμου σπέρματος, ἠρυγγίου, ἀρκευθίδων, μελίας καρποῦ,

quaginta, excipe melle cocto et dato nucis Ponticae magnitudinem cum vini mulſi diluti cyathis iij.

[*Antidotus ex felle urſino, medicamentum accommodatum ad induratas hepatis affectiones.*] ℞ Chamaepityos, marrubii, ſeminis petroſelini, gentianae, ſeminis viticis, fellis urſi, ſinapi, ſeminis cucumeris, ſcolopendrii, panacis, rubricae Lemniae, rubiae, ſeminis braſſicae, ariſtolochiae, piperis, nardi Indicae, coſti, ſeminis apii, ſeminis erucae, eryngii, polii, echii, eupatorii, baccarum juniperi, ſingulorum ʒ j, tuſa et cribrata melle excipe. Datur nucis avellanae magnitudo in vini mulſi cyathis duobus.

[*Alia accommodata. Facit et ad alias internas affectiones citra tuſſim.*] ℞ Radicis gentianae, chamaepityos, marrubii, ſeminis petroſeleni, fellis urſi, ſinapi, ſeminis cucumeris, ſcolopendrii, radicis panacis, rubricae Sinopicae, rubiae, ſeminis braſſicae, ariſtolochiae longae, piperis albi, ſpicae nardi, coſti, ſeminis erucae, eryngii, baccarum juni-

Ed. Chart. XIII. [590.] Ed. Baſ. II. (288.)

χαμαίδρυος, δικτάμνου Κρητικοῦ, κέστρου σπέρματος, δαύκου σπέρματος ἀνὰ γο α'. μέλιτος Ἀττικοῦ τὸ αὐταρκες, ἡ δόσις καρύου Ποντικοῦ τὸ μέγεθος. τὸ δ' ὑγρὸν γλυκέος Κρητικοῦ κύαθοι β'. τὸ φάρμακον δεδοκίμασται. ἐν ἄλλῳ ἀντιγράφῳ ἔχει καὶ πελεκίνου τὸ ἴσον. περὶ τῶν προγεγραμμένων τεσσάρων φαρμάκων καλῶς ἐποίησεν ὁ Ἀσκληπιάδης, οὐχ ἁπλῶς προσγράψας, ὥσπερ ἐπὶ τῶν ἄλλων, ὅτι πρὸς ἡπατικοὺς αὐτοῖς χρηστέον, ἀλλὰ προσθεὶς τὸ πρὸς τὰς σκιῤῥώδεις διαθέσεις. αἱ γὰρ καθ' ὑγρότητα τοῦ σπλάγχνου διαθέσεις ἔκλυτον αὐτὸ καὶ ἄτονον πεφύκασι ποιεῖν, ὡς τὰ κεχαλασμένα τῶν ἄρθρων, ἐάν τε μετὰ ψύξεως, ἐάν τε μετὰ θερμότητος, ἐάν τε χωρὶς τούτων ἡ χάλασις αὐτοῖς μόνη συστῇ. πάντως μὲν γὰρ δέονται τῶν στυφόντων φαρμάκων, ἤτοι δὲ μετὰ τῆς τῶν θερμαινόντων μίξεως, ἐὰν ἐπικρατῇ ψυχρὰ ποιότης, ἢ μετὰ τῆς τῶν ψυχόντων, ἐὰν ἡ θερμή. τὰ δὲ σκιῤῥούμενα διὰ ψυχροὺς χυμοὺς καὶ παχεῖς καὶ γλίσχρους ἀναπεμπομένους ἐν τοῖς στερεοῖς σώμασι ψυχρὰν ἐξ ἀνάγκης ἴσχει τὴν διάθεσιν, ὥστε καὶ τῶν θερμαινόντων τε

peri, fructus fraxini, chamaedryos, dictamni Cretici, ſeminis ceſtri, ſeminis dauci, ſingulorum unciam unam, mellis Attici quod ſatis eſt. Datur nucis Ponticae magnitudo. Liquor ſit paſſi Cretici cyathi duo. Hoc medicamentum uſu et experimento approbatum eſt. In alio exemplari etiam pelecini tantundem habetur. Circa praedicta quatuor medicamenta recte fecit Aſclepiades, quod non ſimpliciter aſcripſit, velut in aliis, quod ad hepaticos ipſis ſit utendum, ſed cum appoſitione, ad induratas videlicet affectiones. Humidae etenim viſceris affectiones exolutum et imbecille ipſum facere ſolent, veluti ſunt articuli laxati, ſive autem cum frigiditate ſive cum caliditate ſive ſine his laxitas ipſius ſola conſtiterit, penitus aſtringentibus medicamentis opus habent, verum hoc aut cum caleſacientium mixtura, ſi frigida qualitas praedominetur, aut cum refrigerantium, ſi calida. Quae vero ob frigidos et craſſos ac viſcoſos humores in ſolidis corporibus imbibitos indurantur, ex neceſſitate frigidam habent affectionem, quare et caleſacientibus

Ed. Chart. XIII. [591.] Ed. Baſ. II. (288. 289.)

ἅμα καὶ λεπτομερῶν δεῖται φαρμάκων. ταῦτα γὰρ ἱκανὰ καὶ τὴν τῶν ἐμπεπλασμένων τοῖς σκιῤῥώδεσι μορίοις χυμῶν γλισχρότητα (289) διαῤῥῦψαι καὶ τὸ πάχος τεμεῖν καὶ διαφορῆσαι τοὺς οὕτω λεπτυνθέντας. ἀλλ' ἐν τῷ πέμπτῳ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, ἔνθα περὶ τῶν τοιούτων διαθέσεων ὁ λόγος ἐγίνετό μοι, τὴν μίξιν τῶν μαλακτικῶν ὀνομαζομένων φαρμάκων ἐπῄνουν, ὡς προπαρασκευάζουσαν τὰ σκιῤῥούμενα σώματα τοῖς εἰρημένοις φαρμάκοις ἐπιτήδεια. χωρὶς δὲ τοῦ προμαλαχθῆναι διαχεόμενά πως ταῦτα τὸ μὲν παραχρῆμα σαφῆ τὴν μείωσιν ἔχει, εἰς ἀθεράπευτον δὲ τελευτᾷ λείψανον ὑπερξηρανθέντα. τὰ δὲ αὐτὰ ταῦτα κἂν τῷ ιδ'. τῆς θεραπευτικῆς μεθόδου λέλεκται. καὶ κατὰ τὸ ἧπαρ οὖν δεῖ ἐστοχάσθαι τῆς μίξεως τῶν μαλαττόντων. τῷ δ' οἷον ὑγροπαγὲς εἶναι τὸ τοῦ ἥπατος σῶμα πάνυ μετρίων δεῖται τῶν μαλαττόντων. ἐπικρατεῖ δ' ἐν αὐτῷ παρὰ τὰ ἄλλα μόρια τὰ σκιῤῥούμενα τῶν θερμαινόντων τε καὶ λεπτυνόντων ἡ μίξις. εἰκότως οὖν ἐπαινεῖ μάλιστα τῶν γεγραμμένων

ſimulque tennium partium medicamentis opus habent, haec enim ſufficientia ſunt et ad lentorem humorum induratis partibus infartorum extergendum et ad incidendam craſſitudinem et diſcutiendos ita extenuatos. Verum in quinto de ſimplicium medicamentorum facultate, ubi de ejusmodi affectionibus ſermo mihi habitus eſt, emollientium medicamentorum mixturam laudavi, nimirum ut praeparantem indurata corpora et praedictis medicamentis idonea facientem, citra vero praeemollitionem diffunduntur quodammodo ea ipſa corpora et e veſtigio manifeſtam imminutionem habent, ſed in immedicabiles reliquias terminatur res, ubi fuerint ſuperreſiccata. Haec eadem et in decimoquarto methodi medendi nobis ſunt dicta. Igitur et circa hepar conjectare oportet emollientium mixturam, nam quum compagis humectae ſit hepatis corpus, valde moderatis opus habet emollientibus. Praedominatur itaque in ipſo, praeter aliarum partium induratarum morem, caleſacientium et attenuantium mixtura. Merito itaque ex praeſcriptis quatuor

Ed. Chart. XIII. [591. 592.] Ed. Baſ. II. (289.)

φαρμάκων τεσσάρων ὁ Ἀσκληπιάδης τὸ ἔσχατον, ὡς πεῖραν ἱκανὴν παρεσχηκώς. ἐξ ἀρωμάτων τε γὰρ σύγκειται, λεπτύνειν καὶ διαφορεῖν δυναμένων, ἑτερά τε προσείληφε φάρμακα δριμέα τε καὶ τμητικὰ καὶ διαφορητικά, πραϋντικὰ δὲ αὐτοῖς μέμικται, τό τε τοῦ σικύου σπέρμα καὶ ἀρκευθίδος, εἶτα μέλι καὶ τὸ ἠρύγγιον, ὥσπερ γε καὶ οὐρητικά τινα παρείη τούτοις, ἀποῤῥυπτομένης τῆς τοῦ σπλάγχνου διαθέσεως, ἐπὶ τὰ οὖρα τὴν ποδήγησιν ποιεῖσθαι.

Κεφ. Θ'. [Τὰ ὑπ' Ἀρχιγένους γεγραμμένα πρὸς ἡπατικοὺς ἐν τῷ δευτέρῳ τῶν κατὰ γένος φαρμάκων.] Ἐπὶ δὲ τῶν ἡπατικῶν προηγουμένης τῆς ἁρμοζούσης ἀγωγῆς ἔν τε τροφαῖς καὶ ἀλείμμασι καὶ τοῖς κοινοῖς καταπλάσμα-[592]σι, φλεβοτομίᾳ, σικύαις, σιναπισμοῖς, δρώπαξι καὶ τοῖς ὁμοίοις διαιτήμασι πρὸς τοῖς ἀναγραφησομένοις συνθέτοις ποτήμασί τε καὶ μαλάγμασι, τοῖς γε ἄριστα συμφωνοῦσι χρῶ ποτήμασι μὲν τοῖσδε· ἠριγέροντος ἀφέψημα, ὡς μάλιστα ὠφέλιμον δίδου, φύεται δὲ τούτου ὁ καυλὸς ἐπὶ τοῖς κεράμοις. ἢ νάρδου μύρου κοχλιάρια δ'. πίνειν δίδου καθ'

medicamentis Aſclepiades poſtremum maxime laudat, ut quod multam de ſe experientiam praebuit, ex aromatis enim componitur, attenuare ac diſcutere valentibus, aliaque medicamenta aſſumpſit, acria incidentiaque ac diſcuſſoria, mitigatoria autem his admixta ſunt, cucumeris ſemen ac juniperi baccae, deinde vero mel et eryngium velut urinam cientia his addita ſunt, quo exterſae viſceris affectionis per urinas deductio fiat.

Cap. IX. [*Quae Archigenes ad hepaticos in ſecundo medicamentorum ſecundum genus ſcripſit.*] In hepaticis conveniente praegreſſo ductu per alimenta, unctiones, communia cataplasmata, venae ſectionem, cucurbitas, ſinapismos, dropaces et conſimilem diaetam amplius conſcribendis compoſitis potionibus et malagmatis optime ipſis convenientibus utaris. Et potionibus quidem his. Senecionis decoctum, ut valde commodum exhibeto, naſcitur autem hujus caulis maxime in tegulis. Aut unguenti nardini cochlea-

Ed. Chart. XIII. [592.] Ed. Baſ. II. (289.)

ἡμέραν, καὶ μάλιστα ἐπὶ τῶν σκιῤῥουμένων. ἢ ἀριστολοχίας ὀβολοὺς γ'. πότιζε πυρέσσοντας μεθ' ὕδατος, ἀπυρέτους μετ' οἴνου, λίαν καλῶς ποιεῖ. ἢ τρίφυλλον τὴν ὀξύζουσαν ἐν ὕδατι ἕψε, μέχρι τὸ τρίτον λειφθῇ καὶ δίδου ἡμέρας γ'. ἀνὰ κύαθον α'. ἢ χολὰς ἀρκείας πραέως ἐν ἀγγείῳ ζέσας ξήρανον ἐν ἡλίῳ καὶ δίδου ἐκ τούτου τοῖς ἡπατικοῖς κοχλιάριον ἕν. ἢ βάτου τῆς ῥίζης φλοιοῦ μνᾶν μίαν, σὺν ὕδατι χοῒ ἑνὶ ἑψήσας ἐν καινῷ ἀγγείῳ μέχρι λειφθῇ τὸ δ'. αἰθριασθέντι πρόσμιξον μέλιτος τῷ χυλῷ κυάθους στ'. καὶ πινέτω νῆστις ἐφ' ἡμέρας γ'. ἢ ψευδοβουνίου ὀβολὸν ἕνα δίδου μετὰ μέλιτος νήστει. ἢ δαύκου καὶ μαράθρου ῥίζης τὸ ἥμισυ σὺν ὀξυμέλιτι μέχρι τὸ τρίτον λειφθῇ, ἑψήσας δίδου νήστει κύαθον α'. ἢ γλυκυῤῥίζης χυλοῦ ὀβολὸν α'. ἢ β'. δίδου νήστει, καὶ γὰρ κοιλίαν ὑπάγει καὶ οὖρα κινεῖ. ἐπὶ δὲ μεγάλης σκληρίας ἀβροτόνου χυλὸν ὡς ὅτι παχύτατον πότιζε. ἢ ἀκόρου ὀβολὸν α'. πάνακος ἴσον μεθ' ὕδατος πότιζε. ἢ ναρδοστάχυος ἀφέψημα διηνεκῶς δίδου.

ria quatuor quotidie bibenda dato et maxime in induratis. Aut ariſtolochiae obolos iij propinato febrientibus ex aqua, febre carentibus ex vino, valde benefacit. Aut triſolium acidum in aqua coquito ad tertias et per triduum bibendum dato pro vice cyathum unum. Aut fel urſinum in vaſe leniter ferveſacito et in ſole reſiccato, atque ex eo hepaticis cochleare unum dato. Aut radicis rubi corticis minam j cum aquae congio uno in novo vaſculo ad reſiduum quartae partis coquito, et ad ſuccum per noctem ſub dio expoſitum mellis cyathos vj admiſceto, et jejunis ad triduum bibendum dato. Aut pſeudobunii obol. j dato cum melle jejunis. Aut dauci et foeniculi radicis dimidium cum aceto mulſo ad tertias coquito, et jejunis cyathum unum exhibeto. Aut glycyrrhizae ſucci obolum unum aut duos jejunis dato, et alvum ſubducit et urinam movet. In magna duritia abrotoni ſuccum quam craſſiſſimum praebe bibendum. Aut acori obolum unum, panacis tantundum cum aqua propinato. Aut ſpicae nardi decoctum aſſidue exhibeto.

Ed. Chart. XIII. [592.] Ed. Baſ. II. (289.)

[*Περὶ καταπλασμάτων.*] *Κατάπλασμα δὲ ἡπατικὸν, μήλοις κυδωνίοις μετὰ ἀλεύρου κριθίνου καὶ τήλεως ἑψημένοις, ἢ λινοσπέρματι λείῳ μετὰ ἀλφίτων ἐν οἴνῳ ἑψημένων, ἢ λινοσπέρματι ἑψημένῳ ἐν γλυκεῖ οἴνῳ, ἢ λινοσπέρματι λείῳ μετὰ μέλιτος πεφυραμένῳ, ἢ καππάρεως ῥίζης ἐν ὀξυμέλιτι ἑψημένης, ἢ κριθίνῳ ἀλεύρῳ μετὰ συκῆς, ἢ ἐλαίας ῥίζης ἐν οἴνῳ ἑψημένης, ἢ μυρεψικῆς βαλάνου κεκομμένης μετ᾽ οἴνου, ἢ τὴν διὰ φοινικοβαλάνων κηρωτήν. ἄκρως γὰρ ποιεῖ πρὸς φλεγμονὰς ἥπατος, μάλιστα δὲ ἐφ᾽ ὧν καὶ στόμαχος πέπονθε καὶ πλευραὶ διατεταμέναι εἰσίν. ἢ φοίνικα δίχα τῆς ἐντεριώνης κόψας ἐπιμελῶς, ἴσῃ κηρωτῇ ῥοδίνῃ ἐν ὅλμῳ γνησίως ἔνωσον, μικρὸν παραστάζων ῥόδινον καὶ ἐπιτίθει. ἢ Ἀμιναίῳ οἴνῳ ἐμβρέξας, σμύρναν μίξον τοῖς φοίνιξιν καὶ εἰς ῥάκος ἐμπλάσας ἐπιτίθει.*

[*Περὶ μαλαγμάτων φλεγμονῆς ἥπατος.*] *Οἷς ἄν τις χρήσαιτο μαλάγμασιν, ἐπὶ φλεγμονῇ ἥπατος ἄνευ φανερᾶς αἰτίας μετὰ τὰς ἐπιβροχὰς καὶ καταπλάσματα, γέγραπται ἤδη πρόσθεν ἐν τῷ περὶ τῆς τοῦ στόματος τῆς κοιλίας φλε-*

[*De cataplasmatis.*] Cataplasma porro hepaticum fit, malis cotoneis cum farina hordeacea et foenograeco coctis. Aut femine lini trito cum polenta in vino cocta, aut ipſo lini femine in paſſo cocto. Aut femine lini trito cum melle ſubacto. Aut capparis radice in aceto mulſo cocta. Aut farina hordeacea cum ficubus. Aut oleae radice in vino cocta. Aut myrobalano tuſa cum vino. Aut cerato ex phoenicobalanis facto, ſumme enim ad hepatis inflammationes facit, maxime in quibus etiam ſtomachus affectus eſt et coſtae diſtentae ſunt. Aut palmulam rejecto interno nucleo diligenter tundito et cum aequali parte cerati roſacei in mortario probe unito, roſaceum adſtillando, atque ita imponito. Aut myrrham Aminaeo vino macerato et palmulis admiſceto et linteolo infarto imponito.

[*De malagmatis in phlegmone hepatis.*] Caeterum malagmata, quibus quis uti poſſit in inflammatione hepatis citra manifeſtam cauſam poſt irrigationes et cataplasmata, jam ante ſcripta ſunt in ſermone de oris ventris phlegmone,

Ed. Chart. XIII. [592. 593.] Ed. Baf. II. (289.)

γμονῆς λόγῳ, τὰ κοινὰ ἐκείνου καὶ ἥπατος, ἐν οἷς ἐστι καὶ τὰ διὰ μελιλώτου σκευαζόμενα καὶ τὸ Πολυάρχιον, ἀλλὰ καὶ νῦν τινα προστεθήσεται ἐκ τῶν Ἀνδρομάχου.

[Ἀνδρομάχου μάλαγμα πρὸς ἡπατικούς.] ℞ Ἀμμωνιακοῦ θυμιάματος ≺ ρμδ'. οἱ δὲ ≺ ρ'. βδελλίου ≺ κδ'. οἱ δὲ ≺ ρ'. ὄξους κοτύλης δ'. κυπρίνου κοτύλην α'. ἐγὼ δὲ K^{o}_{χ} S''.

[Τὸ Ἀπολλοφάνους.] ℞ Κηροῦ ≺π'. βδελλίου ≺π'. ἀμμωνιακοῦ θυμιάματος ≺ π'. ῥητίνης τερμινθίνης ≺ μ'. μάννης λιβάνου ≺ μ'. ἰρίνῳ σύγκοπτε.

[593] Κεφ. ι'. [Τὰ ὑπὸ Δαμοκράτους μαλάγματα γεγραμμένα πρὸς ἧπαρ καὶ ὑποχόνδριον. τινὰ δὲ αὐτῶν καὶ πρὸς ὅλην τὴν γαστέρα καὶ τὸν σπλῆνα.]

Ὑποχονδρίοις δὲ τοῖς πεπονθόσιν θέλων,
Διὰ στομάχου κάκωσιν ἢ τῆς κοιλίας,
Τῶν ἐντέρων τε καὶ κώλου τοῦ θ' ἥπατος,
Ἄλλου θ' ὁμοίως κυρίου σπλάγχνου τινὸς,
Μάλαγμ' ἐπιρίπτειν τοῦτο πρῶτον σκευάσας

nimirum communia illi et hepati exiſtentia, in quibus ſunt etiam, quae ex meliloto praeparantur et Polyarchium. Verum etiam nunc apponentur quaedam ex ipſo Andromacho.

[*Malagma Andromachi ad hepaticos.*] ℞ Ammoniaci thymiamatis ʒ cxliv, alii ʒ c habent, bdellii ʒ xxiv, alii centum, aceti heminae quartam partem, cyprini heminam unam, ego vero heminae dimidium.

[*Malagma Apollophanis.*] ℞ Cerae drach. lxxx, bdellii drach. lxxx, ammoniaci thymiamatis drach. lxxx, terebinthinae drach. xl, mannae thuris drach. xl, cum irinocontundito.

Cap. X. [*Malagmata a Damocrate conſcripta ad hepar et praecordia. Quaedam ex eis etiam ad totum ventrem et ſplenem.*]

Affecta ſi quis per ſtomachum praecordia,
Et per jecur, inteſtina per, dein per colum,
Per ventriculum aut viſcus aliud ſic proprie
Dictum, volet inquam laeſa quis praecordia
Malagmate integere bono et percommodo,

Ed. Chart. XIII. [593.] Ed. Baſ. II. (289.)

Ἐμπροσθεν αὐτό. προσφάτως γὰρ γενόμενον
Ἐλαττον ἔσται τοῖς νοσοῦσι χρήσιμον.
Ἐστι δὲ κηροῦ Ποντικοῦ λίτραι δύο,
Ἀμμωνιακοῦ θυμιάματος λίτρα μία,
Τερμινθίνης τε τῆς πεφρυγμένης λίτρα,
Καὶ τῆς πιτυΐνης τῆς κεκαυμένης λίτρα.
Λίτρας δὲ τὸ τρίτον καρδαμώμου σπέρματος,
Ξηρᾶς κυπέρου ταὐτὸν, σμύρνης τὸ ἴσον,
Ἴσον τε ἐνὶ τούτων ἴρεως λευκῆς σταθμῷ,
Κεκαθαρμένης Κελτικῆς οὐγγίαι δύο.
Κρόκου δὲ γο α′ S″.
Ἓξ δὲ μελιλώτου πρὸς αὖ γε ταῖς δύο.
Τὸ δ' Ἀττικὸν μελίλωτον αἱρετώτερον,
Κυπρίνου δ' ἐλαίου προσφάτου λίτραι δύο.
Κυπρίνου μὲν οὖν καὶ τἄλλα τηκτὰ μίγματα,
Ἕψον φλογὶ τῇ κούφῃ, εἶθ' οὕτω ξύσον.
Τὰ δ' λοιπὰ κόψας σῆσον, εἶτ' οἴνῳ καλῷ
Φύρασον, εἶτα νύκτα καὶ ἡμέραν μίαν

Primum paratum habebit hoc longe antea.
Recens enim eſt aegris minus firmum ac valens.
Cerae capit quod Ponticae libras duas,
Ammoniaci thymiamatis ſolam libram,
Terebinthinae frictae pariter ſolam libram,
Uſtaeque reſinae piceae ſimul libram,
Et poſt trientem cardamomi ſeminis,
Aridae cyperi tantundem, item myrrhae bonae,
Pondusque par uni horum, iridis mox candidae,
Sextantem et inde Celticae ſpicae integrae,
His unciam unam et dimidiam croci boni,
Ex ſex melitoti, item duas, beſſem puto.
Verum melilotum praeſtiterit hic Atticum,
Recentis et cyprini libras olei duas.
Oleum cyprinum tu cum reliquis liquoribus
Et decoque lenta flammula et deradito.
Dein tuſa, cribrata et reliqua vino bono
Rigata per noctem integram et totam diem

Ed. Chart. XIII. [593.] Ed. Baſ. II. (289. 290.)

Ἄφες τὸν οἶνον ἀναπιεῖν τὰ μίγματα.
Χεῖρας δ' ἀλείψας τῷ κυπρίνῳ. τὰ φάρμακα
Ἅπαντα μίξας ἐν θυείᾳ πλατυτέρᾳ,
Οὕτως ἀποτίθου, δέρμασι μαλακοῖς σκέπε.

(290) Ἄλλο μάλαγμα τοῦ αὐτοῦ.

Πρὸς ταῦτα ποιοῦν ἕτερον. ἂν χρόνον λάβῃ
Τὰ πάθη φόβους ἔχοντα τοὺς καχεξίας.
Τοῦτ' ὠφελεῖται μᾶλλον, ὅσα μὴ πνεύμασιν
Τὰ σπλάγχνα βλάπτει φλεγμοναῖς μακροτέραις.
Πυκνῶς γὰρ ὀξύνοντα μετὰ πόνων σφοδρῶν,
Σκληρῶν τε καὶ σκίῤῥων γε δυσλύτους φόβους.
Λύει δὲ αὐτῶν τὰς κατασκευὰς ταχύ,
Σκεύαζε δ' οὕτω. τῆς καλῆς τερμινθίνης
Λίτρας ἥμισυ, Ποντικοῦ κηροῦ τὸ ἴσον,
Κεκαθαρμένης δὲ τήλεως λίτραν μίαν.
Νίτρου τε αὐτὸ καὶ πάνακος λίτραν μίαν,
Πάλιν ἀνίσου σπέρματος λίτραν μίαν,
Μόσχου τε λίπους κεκαθαρμένου λίτραν,

Vinum omne donec combibant ſeponito.
Unctisque poſt cyprino manibus haec pharmaca
Mortario amplo vini et ſimul committito,
Mollique pelle tecta ſimul reponito.

Aliud malagma ejusdem.

Aliud valens, aetas itidem ſi acceſſerit.
Verum hoc mage affectus vitiantes mox habitum.
Quicunque non cum flatibus ferventibus,
Et phlegmonis laedunt diutioribus,
Et viſcera irritant gravibus doloribus,
Juvat. Solubiles male et jam duritias
Solvit, ſoluta mole earum celeriter.
Paratur hoc modo, ut bonae terebinthinae
Libram mediam, tantumque cerae Ponticae
Foenique Graeci unam capias puri libram.
Et de nitro et de panace unicam libram.
Rurſus aniſi ſeminis unicam libram,
Pinguedinis purae vituli ſimul libram,

Ed. Chart. XIII. [593.] Ed. Baſ. II. (290.)

Καὶ ταὐτὸ λευκῆς ἴρεως κεκομμένης.
Ὄξους δὲ κυάθους δύο ἥμισυ βραχύ.
Μέλιτος δὲ λίτρας δύο Ἀττικοῦ τοῦ προσφάτου,
Ἀμμωνιακοῦ θυμιάματος λίτραν μίαν
Τινὲς κατέμιξαν, ἄλλοι δὲ λίτρας δύο.
Τὰ ξηρὰ σήσας πάντα λεπτῷ κοσκίνῳ,
Ἔψησον ὡς κατάπλασμα προσβαλὼν μέλι,
Ὄξος τε μὴ πᾶν καὶ ποιήσας εὐαφὲς
Πρόσβαλε τῷ θερμῷ, παραχέων ὄξος βραχύ,
Τετηγμένῳ κηρῷ τε καὶ λιπάσματι,
Τερμινθίνῃ τε καὶ καλῶς ἑψημένα,
Ταῖς χερσί τε ἅμα πάνθ' ἑνώσας ἐπιμελῶς,
Ἐν μείζονι ἀγγείῳ χρήσαι μὴ παραυτίκα.
Ἀδρανέστερον γάρ ἐστιν, ἄρτι γενόμενον.

Ἄλλο Δαμοκράτους μάλαγμα.

Καὶ τοῦτο εὐῶδές τε καὶ τὰς ἥπατος
Αἴρον διαθέσεις τὰς νεφρῶν τε καὶ κώλου,
Τὰς τοῦ στομάχου τε χρονίας τῆς θ' ὑστέρας.

Pondusque par contuſae et albidae iridis.
Parum de aceto, tres cyathos ſine dimidio,
Mellis duas libras recentis Attici.
Ammoniaci thymiamatis ſolam libram
Quidam addidere, verum alii libras duas.
Sic tuſa, cribro excuſſaque tenuiſſimo,
Cataplasmatis modo, ſed et mel addito,
Nec omne acetum coquito, ubi molle fuerit,
Addas calenti exiguam aceti ſtillulam,
Cerae liquatae infuſor et pinguedini
Terebinthinaeque, coctaque egregie ſimul
Omnia manibus exactius committito,
Et vaſculo majore deraſa excipito,
Uſurus haud mox, invalidum eſt factum recens.

Aliud Damocratis malagma.

Odorum et hoc, tollensque mox vitia hepatis,
Affectiones renibus, colo et graves,
Stomacho ſimul et vulvae diutiusculas.

Ed. Chart. XIII. [593. 594.] Ed. Baſ. II. (290.)

Ἐπίβαλλε δ' αὐτὸ καὶ καχέκταις διὰ νόσους
[594] Μακρᾶς γεγονόσιν ὠχροτέροις, ὑδερώδεσιν,
Καὶ τὸ βραχὺ μὴ πέττουσιν, ἀνορεκτοῦσί τε.
Ἔστιν δ' ἀμώμου Σκυθικοῦ, ξυλοβαλσάμου,
Βδέλλης διαυγοῦς, καρδαμώμου σπέρματος,
Ξηρᾶς κυπέρου καὶ λιβάνου, πάντων ἴσα.
Τούτων ἀνὰ λίτραν καὶ κασσίας δαφνίτιδος,
Σμύρνης τε χρηστῆς καὶ κρόκου. τούτων πάλιν
Λίτρας ἑκάστου τὸ τρίτον ἢ μικρῷ πλέον.
Στάχυος δὲ νάρδου Συριακῆς δυ' οὐγγίας,
Τερμινθίνης τε τῆς καθαρᾶς λίτρας δύο,
Κηροῦ τε λευκοῦ τοῦ καθαροῦ λίτραν μίαν,
Κυπρίνου τε μύρου προσφάτου λίτραν μίαν,
Οἴνου Φαλερίνου τοῦ καλοῦ ξέστην ἕνα.
Τὰ μὲν ἄλλα κόψας σῆθε λεπτῷ κοσκίνῳ,
Λίβανον δὲ καὶ βδέλλιον εἰς ὅλμον βαλὼν,
Σμύρναν τε χρηστὴν καὶ κρόκον λελεασμένον
Θραύων παράχεε κύπρινον δι' οἴνου βραχύ,

Idemque jam corrupto habitu ſuperdatur,
Morboque longo pallidis, hydropicis,
Et qui minus coquunt cibum et faſtidiunt.
Habet hoc amomi Scythici, xylobalſami
Et cardamomi, bdellique lucidi,
Aridae cyperi, thuris boni, omnium parem
Modum libram, poſt caſſiae daphnitidis,
Myrrhae bonae, pariter croci de ſingulis
Librae trientem aut amplius quid paululum.
Nardi bonae poſt Syriacae uncias duas,
Terebinthinae purae bonae libras duas,
Albaeque cerae perpolitae unam libram,
Recentis unguenti cyprini libram unicam,
Vini Falerni hinc optimi ſextarium.
Contuſa alia cribro tenui concernito,
Thus, bdellium in mortarium conjicito.
Myrrham bonam ſimul crocumque his addito,
Fractisque pauco cyprinum vino indito.

Ed. Chart. XIII. [594.] Ed. Baſ. II. (290.)

Εἶτα ὁλμοκόπει, ὡς μέλιτος ἔχειν πάχος,
Προσεμβαλών τε τἄλλα λεῖ' ἀρώματα,
Οἴνου τε τὸ λοιπὸν παραχέας, ἕνου καλῶς,
Ἄφες τε συμπιεῖν ἡμέραν καὶ νύχθ' ὅλην,
Τερμινθίνην τε καὶ κύπρινον κηρόν θ' ἅμα
Τήξας ἐπὶ πυρὸς κουφοτάτου, ἔασον.
Καὶ πάντα μίξας χερσὶ τῶν μύρων τινὶ
Ἀλειπασμέναις, ἔασον οὕτως, ἀποτίθου.
Μετὰ χρόνον αὐτῷ μὴ παραχρῆμα χρώμενος.
Τὰ πολλὰ μιγνὺς ξυσθὲν ἐκ μέρους τινὸς,
Κηρωτάριον γιγνόμενον εὐαφέστερον.
Σπανίως δὲ χρήσαι καὶ μόνῳ τῷ φαρμάκῳ.

Ἄλλο Δαμοκράτους μάλαγμα.

Πρὸς τὰς διαθέσεις τὰς ἄγαν κεχρονισμένας.

Ἕτερον μάλαγμα πρὸς ἃ προεῖπον, εὔτονον,
Τοῖς σπληνικοῖς, πάντων δὲ μᾶλλον ἁρμόσει,
Κᾆν ὦσιν ὠχροὶ καὶ πυρέσσωσιν σφοδρῶς,
Ὕδωρ τ' ἔχωσιν ἐν ὑποχονδρίῳ βραχύ.

Dein tundito, mellisque craſſitudinem
Formato et his aromata mox trita addito.
Et quod ſupereſt vinum addito, committito.
Totam diem, noctem ſimul quo combibant.
Terebinthinam vero, cyprinum, ceram et ſimul
Igni liquida lentulo his affundito.
Unctisque poſt manibus per unguen quodpiam,
Subacta ſic committito et reponito.
Nec mox parato uti velis tu pharmaco,
Sed tempore interjecto. Et ut cerotulum
Sit mollius, quandoque deraſum diu
Miſceto, ſolo rarius ſed utitor.

Aliud Damocratis malagma.

Aliud malagma ad jam relatas commodum
Affectiones, ſi fuerint diutinae.
Confert lienoſis, vel omnium optime,
Si palleant, febri laborent ac graviter,
Aquamque habeant praecordia his ſi pauculam,

Ed. Chart. XIII. [594.] Ed. Baf. II. (290.)

Πολὺ γὰρ θεραπεύειν ἀδύνατον μαλάγμασι.
Σύκων λιπαρῶν, ξηρῶν μὲν, ἔτι δὲ προσφάτων,
Τὸ σπέρμ' ἀπάρας τὸ πολὺ καὶ τὸν ὀμφαλὸν,
Στῆσον δραχμὰς γ'. πέντε καὶ ἑτέρας δέκα,
Κηροῦ τε λευκοῦ Ποντικοῦ. ταύταις ἴσως
Μυροβαλάνου τε τῆς λιπαρᾶς λίτραν,
Νίτρου θαλασσίου δὲ λίτρας S''.
Στυπτηρίας τε σχιστῆς δραχμὰς δώδεκα,
Μιᾶς τε δραχμῆς ἥμισυ τριώβολον,
Βδέλλης, ὄνυχός τε τὰς ἴσας, στυπτηρίας,
Ἶσον τε νίτρου τ' ἄνθος Ἀσίου λίθου,
Ἀμμωνιακοῦ τε ταὐτὸ θυμιάματος.
Καὶ τήλεως δὲ σπέρματος καὶ καρδάμου
Καὶ καρδαμώμου καὶ καλῆς ὀριγάνου
Ξέστου τέταρτον ἐξ ἑκάστου μίγματος,
Ἐρεγμοῦ τε τὸ μέτριον, ἰρίνου μύρου.
Τὸ μάλαγμα δὲ σκεύαζε τοῦτον τὸν τρόπον,

Multam nequeunt curare enim malagmata.
Ficus cape pingues ficciores, ſed novas,
Et ſemine ejecto, ſimul umbiliculo,
Appende drachmas quinquies tres ac decem,
Albaeque cerae Ponticae parem modum,
Myrobalani pinguis libram poſt integram,
Nitri marini, ſed libram modo dimidiam,
Aluminis ſciſſi duas ſupra et decem
Drachmas, ſuperque dimidiam triobolon.
Et mox onychis, quod ſic vocatur, bdellii
Addes parem tu aluminis dictum modum,
Nitro parem florem lapidis ſed Aſii,
Ammoniaci tantumque thymiamatis,
Et ſeminis poſt ſiliculae et naſturtii,
Et cardamomi, quam optimique origani,
De ſingulis ſextarii quartam modo.
Vinique poſt, irini unguinis, quod ſufficit.
Paratur at tandem malagma in hunc modum,

Ed. Chart. XIII. [594.] Ed. Baf. II. (290.)

Βδέλλιον οἴνῳ διάβροχον ποιῶν γλυκεῖ,
Μάλασσ' ἐν ὅλμῳ γενομένῳ λείῳ δ' ἄγαν,
Πρόσβαλλε σῦκα καὶ πάλιν κόπτε ἅμα,
Οἶνον παραχέων, λεῖα ποίησον καλῶς.
Προσεμπάσας δὲ ἄλλα πάντα μίγματα,
Ἐν ὕδατι θερμῷ κηρὸν ἐμβρέξας καλῶς,
Μάλασσε χερσὶ καὶ πλατύνας πρόσβαλε
Τοῖς ὁλμοκοπουμένοις, ὑπέρῳ τε χρώμενος
Ξυλίνῳ, λιπαίνων ταῦτα συνεχῶς τῷ μύρῳ.
Καιρὸς δὲ πάντων χρήσεως μαλαγμάτων,
Ὅσα κοιλίᾳ, στομάχῳ, κἂν καὶ τοῖς ἐντέροις
Ἐπιβάλλεται, κάλλιστος ὁ μέχρι τῆς τροφῆς
Ἧς ἔλαβον ἐν τῇ γαστρὶ μὴ παρακειμένης.

Vino rigatum ſuave olenti bdellium
Mortario emollito et hinc adjicito
Ficus, ſimul rurſusque rite tundito,
Quo trita vini ſtillulis fiant probe.
Mixtura mox addatur inde inſperſilis.
At poſt rigatam fervida ceram ex aqua,
Mollem manibus, factamque latam adjicito.
Et tuſa mox ligni radio compingito,
Guttis et unguinis frequens madefacito.
Uſus malagmatum omnium, quae ventriculo
Induntur et ſtomacho, ſimul interaneis,
Eſt tempus, in quo, qui cibus congeſtus eſt,
Non amplius reſidet, ſed alvum jam ſubit.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΤΟΠΟΥΣ ΒΙΒΛΙΟΝ Ι.

Ed. Chart. XIII. [595.] Ed. Baf. II. (291.)

Κεφ. α'. Γίνονται μὲν ἰκτερικοὶ καὶ λόγῳ κρίσεως ἀγαθῆς ἐν πυρετοῖς, ἐπισκήψαντος τοῦ χυμοῦ τοῦ χολώδους πρὸς τὸ δέρμα καὶ ῥᾷστα παύονται λουτροῖς ὑδάτων ποτίμων, ἐλαίου τε διαφορητικοῦ τρίψει καὶ πάντων τῶν ἀραιούντων, ὁποῖόν ἐστι τὸ ἀνήθινον ἔλαιον καὶ τὸ χαμαιμήλινον καὶ τὸ κίκινον. ἐφεξῆς δὲ τούτων χρίσματα, γλεύκινόν τε καὶ κομμαγηνὸν, εἶτα τὸ ἴρινον καὶ τὸ ἀμαράκινον.

GALENI DE COMPOSITIONE MEDICAMENTORVM SECVNDVM LOCOS LIBER IX.

Cap. I. Fiunt quidem icterici ratione bonae judicationis in febribus, proruente nimirum ad cutem bilioſo humore. Et facile ſane hi curantur balneis aquarum potabilium et olei diſcuſſorii affrictu, omniumque rarefacientium cutem, quale eſt anethinum oleum et chamaemelinum ac cicinum, poſt haec etiam unguenta faciunt, gleucinum, commaginum, deinde irinum et amaracinum. Verum alias

Ed. Chart. XIII. [595.] Ed. Baſ. II. (291.)

τὰς αλλας δὲ τὰς ὀνομαζομένας ἐξαιρέτως ἰκτερικὰς δυνάμεις οἱ γράψαντες οὐ πρὸς τοιούτους ἰκτερικοὺς ἁρμόττειν ἔφασαν, ἀλλὰ μάλιστα μὲν πρὸς τοὺς δι' ἔμφραξιν τῶν κατὰ τὸ ἧπαρ ἀγγείων, ἤδη δὲ καὶ πρὸς τοὺς διὰ φλεγμονάς. οἱ μὲν οὖν δι' ἔμφραξιν ἰκτεριῶντες ἀπύρετοι διαμένουσι, πάντως δὲ οἱ ἐπὶ φλεγμονῇ πυρέττουσιν. ὅσοι μὲν οὖν οἷς ἔγραψαν ἰκτερικοῖς φαρμάκοις προσέθεσαν ἐπὶ τίνων ἁρμόττειν ταῦτά φασιν, ὀρθῶς ἐποίησαν· ὅσοι δὲ ἀδιορίστως καὶ ἁπλῶς ἔγραψαν, ἥμαρτον οὐ σμικρά. τὰ γὰρ ἱκανῶς φαρμακώδη, καθάπερ γε καὶ τὰ θερμὰ ταῖς δυνάμεσι, βλάπτει μεγάλως τοὺς πυρέττοντας. ἔστι δὲ τοιαῦτα γεντιανὴ καὶ στρούθιον, ἑλένιόν τε καὶ κόστος, ἀριστολοχία τε καὶ πόλιον καὶ κενταύριον. ἁρμόττει δὲ τοῖς ἐπὶ φλεγμονῇ τοῦ ἥπατος ἰκτεριῶσιν, ὅσα φλεγμονὰς ἴαται. καθάπερ γε καὶ τοῖς ἐπ' ἐμφράξει πάνθ' ὅσα ῥύπτει γενναίως, εἰ καὶ φαρμακώδη τύχοι ταῖς οὐσίαις ὄντα καὶ θερμὰ ταῖς δυνάμεσιν. ἐὰν δ' εἰς ταὐτὸ συνέλθωσιν ἔμφραξίς τε καὶ φλεγμονή,

[604] [*Τὰ ὑπ' Ἀρχιγένους ἐν τῷ πρώτῳ τῶν κατὰ γένος φαρμάκων γεγραμμένων σπληνικοῖς.*] *Ἐπὶ δὲ τῶν σπληνικῶν προηγουμένης ὁμοίως τῆς ὅλης διαίτης, ἐκ τῶν ἀναγραφησομένων συνθέσεων τοῖσδε χρῶ. πόμα μὲν ὕδωρ, σιδήρου διαπύρου πολλάκις ἐναποσβεσθέντος αὐτῷ, ἀπυρέτοις μὲν μετ' οἴνου, πυρέσσουσι δὲ ὕδωρ πιεῖν. ἢ ἀναγαλλίδος τῆς τὸ κύανον ἄνθος ἐχούσης ὀβολὸν ἕνα μετ' ὀξυμέλιτος, ἢ ἔρπυλλον μετ' ὄξους, ἢ πάνακος ῥίζαν χλωρὰν πότιζε μετὰ μελικράτου, ἢ τὸν καρπὸν ὁμοίως, προεξαιθρίαζε δὲ τὸ μελίκρατον, ἢ περικλυμένου ῥίζης φλοιοῦ καὶ τοῦ καρποῦ ὅσον τοῖς τρισὶ δακτύλοις, ἐν ἀκράτῳ οἴνῳ θερμῷ*

myrobalani, ammoniaci thymiamatis, ſingulorum drach. xxiv, corticis radicis capparis drach. octo, ſeminis raphani drach. x aut ſucci cyathum unum, aceti accerrimi quod ſatis eſt, viſci quercini drach. xl, ammoniacum ſambuci ſucco aut myricae aut trifolii diſſolve, arida vero tunde et anguſtiſſimo cribro excute ac aceto ſubige, indeque admixto viſco omnia ſimul contunde et utere.

[*Medicamenta ad ſplenicos ab Archigene in primo medicamentorum ſecundum genus conſcripta.*] In ſplenicis porro praecedente ſimiliter tota diaeta, ex deſcribendis compoſitionibus his utitor. Potus quidem ſit aqua, in qua ignitum ferrum ſaepe ſit extinctum, non febrientibus cum vino, febricitantibus vero aqua ſola. Aut anagallidis coeruleum florem habentis obol. j exhibeto cum aceto mulſo. Aut ſerpillum cum aceto. Aut panacis radicem viridem cum aqua mulſa. Aut ſemen ſimiliter, aquam mulſam vero per noctem ſub dio exponito. Aut corticis radicis periclymeni et ſeminis ejus quantum tribus digitis apprehendi poteſt, in

Ed. Chart. XIII. [604.] Ed. Baſ. II. (295.)

λευκῷ δίδου πίνειν νήστει ἐπὶ ἡμέρας μ΄. ἢ ἀλώπεκος ξηρὸν ἧπαρ μετ᾽ ὀξυμέλιτος δίδου πίνειν, ἢ κύμινον Αἰθιοπικὸν, ὁμοίως τῷ ἥπατι πινόμενον ἐν ὀξυμέλιτι, ἢ ἄρου ῥίζης φλοιοῦ ≺ S″. μετ᾽ ὀξυμέλιτος κυάθων γ΄. ἢ πόλιον ὁμοίως μετ᾽ ὀξυμέλιτος, ἢ κισσοῦ λευκοῦ κόκκους γ΄ μετ᾽ ὀξυμέλιτος κυάθων γ΄. ἢ καππάρεως λεῖα ξηρὰ φύλλα μετ᾽ ἀκράτου πότιζε. κατάπλασσε δὲ τοὺς σπληνικοὺς τοῖσδε πρὸς τοὺς ἡπατικούς· καὶ ἔτι τέφρα ἐκ χαλκείου μετ᾽ ὄξους, ἢ καππάρει βεβρεγμένῃ ἐν ὄξει λείᾳ ἀνειλημμένῃ κηρωτῇ κυπρίνῃ, ἢ τῷ διὰ καρδάμου καὶ τήλεως καὶ ἀσβέστου καὶ νίτρου καὶ μέλιτος μαλάσσων ἐπιτίθει, ἢ τήλεως καὶ ἀσβέστου καὶ νίτρου καὶ μέλιτος μαλάσσων ἐπιτίθει, ἢ κατάπλασσε λεπιδίου φύλλοις. ὅταν δὲ ἤδη δάκνωνται, εἰσαγαγὼν εἰς τὸ βαλανεῖον, ἄρας τὸ φάρμακον εἰς ζεστὸν ἐμβίβαζε καὶ κάτεχε. δυσανασχετοῦσι γὰρ ὑπερδακνόμενοι, ὑγιεῖς δὲ ἐξίασι. τὸ αὐτὸ δὲ καὶ ἐπὶ ἰσχιαδικῶν ποιεῖ. ἢ μυροβαλάνου τὸ πίεσμα ὄξει βρέξας, ῥοδίνῃ κηρωτῇ μίσγε καὶ ἐπιτίθει, ἢ

vino albo meraco calido jejunis bibendum ad dies xl exhibeto. Aut vulpis hepar ſiccum, cum aceto mulſo exhibe bibendum. Aut cuminum Aethiopicum ſimiliter, ut hepar ex aceto mulſo. Aut radicis ari corticis ʒ ß cum aceti mulſi cyathis iij. Aut polium ſimiliter cum aceto mulſo. Aut hederae albae grana tria cum aceti mulſi cyathis iij. Aut arida trita capparis folia propinato. Cataplasmata autem eadem impones ſplenicis, quae hepaticis. Ampliusque cinerem ex ferraria officina cum aceto. Aut capparim maceratam aceto, ac tritam cerato cyprino exceptam. Aut naſturtium et foenumgraecum ac calcem vivam et nitrum, cum melle mollita imponito. Aut foenumgraecum et calcem ac nitrum item cum melle imponito. Aut lepidii folia imponito, quum vero jam morſum perceperint, in balneum inducito, et ablato medicamento in fervidae ſolium demittito ac detineto, aegre enim ferunt nimiam mordacitatem, verum ſani exeunt. Idem etiam in iſchiadicis facit. Aut myrobalani expreſſae retrimentum aceto maceratum, roſaceo cerata excipe ac impone. Aut foenigraeci et naſturtii

Ed. Chart. XIII. [604.] Ed. Baſ. II. (295.)

τήλεως καὶ καρδάμου τὸ ἴσον, μάννης τὸ διπλοῦν, ἀσβέστου βραχὺ σὺν μέλιτι, ὡς ἐμπλάστρῳ σπλήνια ποιήσας ἐπιτίθει, ἢ τρύγα ὄξους δριμέος ἐπιτίθει. καππάρεως ῥίζαν μετ' ὄξους, ἢ σπόγγον ἐξ ὄξους δριμυτάτου. ἄκρως ποιεῖ μυροβαλάνου λεπύχανα καὶ νίτρου τὸ τρίτον, λεῖα ὄξει φυρασας. ῥητίνην καὶ κηρὸν κατ' ὀλίγον ἐλαίου τήξας ἐπίχει καὶ μαλάξας χρῶ. ἐπιμένοντος δὲ σικύας πρόσβαλλε παραμύσσων. περίαπτα δὲ καὶ ἀντιπαθῆ πρός τε ἧπαρ καὶ σπλῆνα τάδε δοκεῖ πεπιστεῦσθαι. τὴν ὑπὲρ τὸ ἀριστερὸν οὖς φλέβα λύσας, ἀνάτριβε τῷ αἵματι τὸν πεπονθότα σπλῆνα.

Κεφ. γ'. [*Περὶ ὕδρωπος.*] Ὑδρωπικῶν φάρμακα καὶ ἄλλα κοινὰ πρὸς τοὺς σπληνικοὺς αὐτοὺς καὶ ἄλλα τινὰ πολύχρηστα πρός τε τὰ προειρημένα πάθη καὶ σκληρίας καὶ ὅπου τι διαφορῆσαι χρὴ, κἂν ἤδη πυώδης ᾖ σύστασις. ἄρξομαι δὲ καὶ ἐπὶ τούτων ἀπὸ τῶν ὑπ' Ἀσκληπιάδου γεγραμμένων.

[*Τὰ ὑπ' Ἀσκληπιάδου γεγραμμένα φάρμακα πρὸς τὰ*

par pondus, mannae duplum, calcis vivae parum, cum melle ſplenia velut emplaſtra facito ac imponito. Aut faecem acris aceti imponito. Aut capparis radicem cum aceto. Aut ſpongiam acerrimo aceto imbutam. Egregie faciunt myrobalani cortices et nitri tertia ipſorum pars, trita aceto ſubigito, et reſinam ac ceram cum modico oleo liquefacta affundito et mollitis utitor. Perſeverante malo, cucurbitas cum ſcarificatione affigito. Amuleta autem et per contrarietatem quandam naturalem ad hepar et ſplenem facere credita haec ſunt, venam retro ſiniſtram aurem ſecato et detracto ſanguine affectum ſplenem conſricato.

Cap. III. [*De hydrope.*] Hydropicorum medicamenta et alia communia ad ſplenicos ipſos, itemque quaedam multiplicis uſus ad varias affectiones, tum jam praedictas tum duritias, et ubi quid diſcutere oportet, etiam ſi jam purulenta ſit conſiſtentia, dicere aggrediar initio ab iis quae Aſclepiades tradidit ſumpto.

[*Medicamenta ab Aſclepiade conſcripta ad praedictas*

Ed. Chart. XIII. [604. 605.] Ed. Baſ. II. (295)

εἰρημένα πάθη κατὰ τὸ δ'. τῶν ἐντὸς, ἃ Μαρκέλλας ἐπιγράφει.] Ἐπίθεμα ὑδρωπικοῖς σφόδρα καλὸν καὶ τὸ παρακείμενον ὑγρὸν ἀναπίνει. ℔ φάῤῥους, ὃ καλοῦσι ζέαν, ἀληλεσμένου ξε. β'. λίθου Ἀσίου τοῦ ἄνθους ξε. α'. μάννης λίτραν α'. λειάνας ἐπιμελῶς ἀναλάμβανε στέατι ὑείῳ παλαιῷ κατειργασμένῳ, ἐν οἴνῳ βεβρεγμένῳ νυκτὶ ὅλῃ, τὸ δὲ πλῆθος ἔστω τοῦ ὑείου ὅσον δύναται ἐπιβληθὲν εὐαφὲς ποιῆσαι τὸ φάρμακον. ἄλλο. Βήσασα, [605] σπέρμα δέ ἐστιν ἐν Συρίᾳ γεννώμενον τοῦ ἀγρίου πηγάνου, ὃ δὴ οἱ ἐντόπιοι ἅρμαλα καλοῦσιν. ℔ τούτου κεκομμένου ξε. α'. μάννης ξε. S'. στέατος ὑείου παλαιοῦ ὅσον ἐξαρκεῖ, σκεύαζε καθὰ προείρηται. ἄλλο. ℔ σύκων λιπαρωτάτων λίτρας γ'. ἀφρονίτρου λίτραν α'. ὀριγάνου λίτραν α'. τινὲς κυμίνου λίτραν α'. θείου ἀπύρου γο γ'. κοχλιῶν Ἀφρικανῶν λίτραν α'. τὰ ξηρὰ κόπτε καὶ σῆθε καὶ ἀναλάμβανε σύκοις κεκομμένοις σὺν ταῖς σαρξὶ τῶν κοχλιῶν, ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει, μέλιτος ἑφθοῦ ἐπίβαλλε ὅσον ἐξαρκεῖ.

[Ἄλλο ἐκ τῶν Κρίτωνος.] ℔ Τήλεως ἀληλεσμένης

affectiones in quarto externorum, quae Marcellae inſcribit.] *Epithema hydropicis valde commodum, quod adjacentem humorem abſorbet.* ℔ Farris, quod zeam vocant, moliti ſextar. ij, floris lapidis Aſii ſextar. j, mannae lib. j, probe trita adipe ſuillo veteri probe ſubacto et vino per integram noctem macerato excipito, ſit autem tanta adipis copia, quanta ad mollefaciendum medicamentum ſatis eſt. *Aliud.* Beſaſa, eſt autem ſemen rutae ſilveſtris, quod in Syria nascitur et vernacula lingua harmala ab illis appellatur, ℔ hujus tuſi ſextarium j, mannae ſextarium dimidium, adipis ſuilli veteris quantum ſufficit, praeparato, ut dictum eſt. *Aliud.* ℔ ficuum pinguiſſimarum lib. iij, aphronitri lib. j, origani lib. j, quidam cumini lib. j, ſulfuris vini quadrantem, cochlearum Africanarum lib. j, arida tundito et cribrato et tuſis ficubus una cum carne cochlearum excepta ac in linteolum infarcta imponito, melle cocto ſufficienti addito.

[*Aliud ex Critone.*] ℔ Foenigraeci moliti ac cri-

Ed. Chart. XIII. [605.] Ed. Baſ. II. (295.)

καὶ σεσησμένης ξε. β'. θείου ἀπύρου λίτρας β' S''. ἐν ἄλλοις Χ' β'. νίτρου λίτρας β'. ἀψινθίου ξηροῦ λείου καὶ σεσησμένου ξε. β' S''. τὰ ξηρὰ λειότατα ποιήσας ἀναλάμβανε μέλιτι ἐφθῷ, εἶτα ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει εἰς νύκτα. περὶ δὲ τὴν ἡμέραν χρῶ καὶ αἰώρα καὶ τῇ ὑπογεγραμμένῃ σκευασίᾳ. ℔ κηροῦ λίτραν α'. πίσσης ξηρᾶς λίτραν α'. λίθου Ἀσίου λίτραν α'. ἐλαίου παλαιοῦ λίτραν α'. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν.

[*Μάλαγμα τὸ ποτήριον ἐπιγραφόμενον, ἀναπίνει τὰς ἐν βάθει ὑγρασίας καὶ σκίῤῥους διαλύει.*] ℔ Κηροῦ, πίσσης ξηρᾶς ἀνὰ λίτρας β'. στυπτηρίας ὑγρᾶς, θείου ἀπύρου, μάννης, νίτρου ἐρυθροῦ ἀνὰ λίτραν α'. ῥητίνης φρυκτῆς λίτρας τέσσαρας, ἐλαίου παλαιοῦ κοτύλην α'. ὄξους ὥστε τὰ ξηρὰ διαλῦσαι ὅσον ἐξαρκεῖ, καὶ χρῶ σκευάσας ὡς δοκίμῳ. ἄλλο γενναῖον ἢ ποτήριον φάρμακον ἐπιτετευγμένον. ποιεῖ ὑδρωπικοῖς, σπληνικοῖς καὶ πρὸς τὰς κεχρονισμένας διαθέσεις. ℔ ῥητίνης φρυκτῆς λίτρας δ'. κηροῦ λίτρας β'. θείου ἀπύρου λίτραν α'. μάννης λίτραν α'. πίσσης ὑγρᾶς λίτρας β'.

brati ſextarios ij, ſulfuris vivi lib. ij et dimidiam, in aliis lib. ij, nitri lib. ij, abſinthii ſicci contuſi ac cribrati ſextar. duos et dimidium, arida tenuiſſime trita melle cocto excipito, indeque linteolo inſarcta per noctem imponito. In die utere et geſtatione et confectione ſubſcripta. ℔ Cerae libram unam, picis aridae libram unam, lapidis Aſii libram unam, olei veteris libram unam, arida cum liquidis miſceto.

[*Malagma poterium inſcriptum, abſorbet humiditates ex alto et duritias diſſolvit.*] ℔ Cerae, picis aridae, utriusque lib. ij, aluminis liquidi, ſulfuris vivi, mannae, nitri rubri, ſingulorum lib. j, reſinae frictae lib. quatuor, olei veteris heminam unam, aceti quantum ſatis eſt arida diſſolvenda, praepara ac utere ut probato. *Aliud praeolarum poterium medicamentum accommodatum. Facit hydropicis, ſplenicis et ad inveteratos affectus.* ℔ Reſinae frictae lib. iv, cerae lib. ij, ſulfuris vivi lib. j, mannae lib. j, picis liquidae lib. ij, aluminis liquidi lib. j, nitri rubri lib

Ed. Chart. XIII. [605.] Ed. Baſ. II. (295. 296.)

στυπτηρίας ὑγρᾶς λίτραν α'. νίτρου ἐρυθροῦ λίτραν α'. ἀριστολοχίας γο γ'. βδελλίου γο γ'. ἀμώμου βότρυος γο γ'. σικύου ἀγρίου ῥίζης γο γ'. ἀλόης γο στ'. πυρέθρου γο γ'. ἀμμωνιακοῦ θυμιάματος γο γ'. ἰξοῦ δρυΐνου γο γ'. ὀποῦ συκομόρων γο γ'. ὄξους ξε. α' S''. ἢ οἴνου Ἰταλικοῦ ἀντὶ τοῦ ὄξους βάλλομεν, ἐλαίου κοτύλας γ'. σκεύαζε κατὰ τρόπον.

[*Μάλαγμα διὰ δαφνίδων, σπληνικοῖς, ὑδρωπικοῖς· διαλύει πᾶσαν σκληρίαν, ἀναπίνει τὰς ἐν βάθει ἀποστάσεις.*] ℔ Κηροῦ λίτραν α'. πιτυΐνης λίτραν α'. πίσσης Βρυτίας λίτραν α'. δαφνίδων ξηρῶν λίτραν α'. νίτρου ἐρυθροῦ λίτραν α'. ἀμμωνιακοῦ θυμιάματος λίτραν α'. στέατος μοσχείου κατειργασμένου λίτραν α'. τὰ ξηρὰ κόπτε καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ. τὰ δὲ τηκτὰ τήκεται καὶ ψύχεται καὶ τοῖς ξηροῖς ἐπιβάλλεται, καὶ ἀνακόψαντες ἀνελόμενοι χρώμεθα. ἄλλο. ℔ δαφνίδων λίτραν α'. πίττης λίτραν α'. μάννης λίτραν α'. στέατος ταυρείου λίτραν α'. ἀμμωνιακοῦ θυμιάματος λίτραν α'. κηροῦ λίτραν α'. σκεύαζε καθὰ προείρηται. (296) ἡ τοῦ κουρέως λεγομένη σπληνικὴ, ὑδρω-

j, ariſtolochiae quadrantem, bdellii quadrantem, ammoniaci racemi quadrantem, radicis cucumeris ſilveſtris quadrantem, aloës ſemiſſem, pyrethri quadrantem, ammoniaci thymiamatis quadrantem, viſci quercini quadrantem, ſucci ſycomororum quadrantem, aceti ſeſquiſextarium, aut pro aceto vini Italici tantundem, olei heminas iij, praeparato pro more.

[*Malagma ex baccis lauri, ad ſplenicos, hydropicos. Diſſolvit omnem duritiem, abſorbet abſceſſus in profundo.*] ℔ Cerae lib. j, reſinae pinus lib. j, picis Brutiae lib. j, baccarum lauri ſiccarum lib. j, nitri rubri lib. j, ammoniaci thymiamatis lib. j, adipis vitulini ſubacti lib. j, arida tundito et cribrato per anguſtiſſimum cribrum, liquabilia liquantur et frigefacta aridis adjiciuntur, atque ita contuſis ſimul ac repoſitis utimur. *Aliud.* ℔ Baccarum lauri lib. j, picis lib. j, mannae lib. j, adipis taurini lib. j, ammoniaci thymiamatis lib. j, cerae lib. j, praeparato, ut praedictum eſt. *Emplaſtrum tonſoris*

Ed. Chart. XIII. [605. 606.] Ed. Baſ. II. (296.)

πικὴ. ταύτῃ κουρεὺς ἀπὸ Βιθυνίας ἀνὴρ χρώμενος, ἰσχιαδικοὺς ἀπήλλαττε παντελῶς. ℞ πίσσης ξηρᾶς λίτρας δ'. κηροῦ λίτρας β'. πιτυΐνης λίτρας β'. ἀμμωνιακοῦ θυμιάματος λίτρας β'. νίτρου ἐρυθροῦ λίτρας β'. δαφνίδων ξηρῶν λίτρας β'. στέατος ταυρείου λίτραν α'. ἐν ἄλλῳ καὶ ἴριος λίτρας β'. κάγχρυος γο ιη'. ἀλεύρου τηλίνου ξε. α'. γύρεως ξε. α'. χαμαιλέοντος μέλανος ῥίζης κεκομμένης λειοτάτης ξέστην α'. κυμίνου λειοτάτου ξε. α' S''. γλυκέος ξε. α'. ἐν ἄλλῳ ἀνίσου λειοτάτου ξε. S'. τὴν δὲ γύριν οὐκ ἔχει.

[606] [''Αλλη Βιθυνὴ λεγομένη φάρμακον ἐπιτετευγμένον, πρὸς τὰς προειρημένας διαθέσεις.] ℞ Πίσσης Βρυτίας λίτρας δ'. ῥητίνης πιτυΐνης, κηροῦ, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ λίτρας β'. μυελοῦ ἐλαφείου λίτραν α'. στέατος ταυρείου κατειργασμένου λίτραν α'. ὀποῦ συκομόρου λίτραν α'. λίθου 'Ασίου τοῦ ἄνθους γο στ'. χαμαιλέοντος μέλανος τῆς ῥίζης κεκομμένης γο στ'. δαφνίδων ξηρῶν λίτρας S''. ἀλεύρου ἰρίνου λίτρας S''. δαύκου Κρητικοῦ σπέρματος κεκομμένου γο δ'.

appellatione, ad ſplenicos et hydropicos. Hoc tonſor quidam vir Bithynienſis uſus iſchiadicos a coxendicum morbo penitus liberavit. ℞ Picis aridae lib. iv, cerae lib. ij, reſinae pinus lib. ij, ammoniaci thymiamatis lib. ij, nitri rubri lib. ij, baccarum lauri aridarum lib. ij, adipis taurini lib. j. In alio exemplari etiam iridis lib. ij habentur, canchryos unciae xviij, farinae foenigraeci ſextarius j, pollinis ſextar. j, radicis chamaeleonis nigrae tenuiſſimae tuſae ſextar. j, cumini tenuiſſime triti ſeſquiſextarius, paſſi ſextar. j. In alio exemplari aniſi triti ſextarius dimidius habetur et pollen deeſt.

[*Aliud Bithynum appellatum, medicamentum accommodatum ad praedictos affectus.*] ℞ Picis Brutiae lib. iv, reſinae pinus, cerae, ammoniaci thymiamatis, ſingolorum libras duas, medullae cervinae lib. j, adipis taurini ſubacti lib. j, ſucci ſycomororum libram unam, floris lapidis Aſii ſemiſſem, radicis chamaeleonis contuſae ſemiſſem, baccarum lauri ſiccarum libram dimidiam, farinae loliaceae libram dimidiam, ſeminis dauci Cretici contuſi trientem, petroſelini

Ed. Chart. XIII. [606.] Ed. Baſ. II. (296.)

πετροσελίνου γο δ'. κυμίνου Αἰθιοπικοῦ γο δ'. ἀνίσου γο δ'. ἁλῶν Σπανῶν γο στ'. ἀφρονίτρου γο στ'. κυπρίνου γο στ'. οἴνου Φαλερίνου ὅσον ἐξαρκεῖ, τὰ ξηρὰ φυράσας σκεύαζε κατὰ τρόπον.

[*Μάλαγμα τὸ διὰ τῶν σπερμάτων φάρμακον ἐπιτετευγμένον πρὸς τὰς προειρημένας διαθέσεις. τούτῳ ἐχρήσατο Ὀλύμπιος.*] ℞ Κηροῦ ⊲ ρ'. τερμινθίνης ⊲ ρ'. ἀμμωνιακοῦ θυμιάματος ⊲ ρ'. στέατος ταυρείου ⊲ ρ'. ἀνίσου ⊲ ρ'. τήλεως ⊲ ρ'. πετροσελίνου ⊲ ρ'. ἄμμεως, ἴρεως Ἰλλυρικῆς ἀνὰ ⊲ ν'. πάνακος ⊲ ρ'. νίτρου ⊲ ν'. γλυκυρρίζης ⊲ ν'. κυπέρου ⊲ κέ'. βράθυος ⊲ κέ'. σαμψύχου ⊲ κέ'. μελιλώτου ⊲ κέ'. καρδαμώμου ⊲ ιβ' S''. κασσίας σύριγγος ⊲ ιβ' S''. νάρδου Κελτικῆς, δαύκου Κρητικοῦ τῆς ῥίζης ἀνὰ ⊲ ιβ' S''. μέλιτος κοτύλης S''. οἴνου εὐώδους ὅσον ἐξαρκεῖ, σκεύαζε κατὰ τρόπον. ἄλλο. ℞ κηροῦ μνᾶν α'. ἀμμωνιακοῦ θυμιάματος μνᾶν α'. τερμινθίνης μνᾶν α'. σαμψύχου, δαφνίδων, κυπέρου ἀνὰ μνᾶς S''. ἴρεως Ἰλλυρικῆς μνᾶς τέταρτον, ὅ ἐστι ⊲ λ'. λινοσπέρμου πεφωγμένου μνᾶς δ'. τήλεως, πάνα-

trientem, cumini Aethiopici trientem, aniſi trientem, ſalis Hiſpani ſexuncem, aphronitri ſexuncem, cyprini ſexuncem, vini Falerni quod ſatis eſt, arida cum liquidis pro more apparato.

[*Aliud malagma ex ſeminibus, medicamentum accommodatum ad praedictos affectus, hoc uſus eſt Olympius.*] ℞ Cerae ʒ c, terebinthinae ʒ c, ammoniaci thymiamatis ʒ c, adipis taurini ʒ c, aniſi ʒ c, foenigraeci ʒ c, petroſelini ʒ c, ammii, iridis Illyricae, utriusque ʒ l, panacis ʒ c, nitri ʒ l, glycyrrhizae ʒ l, cyperi ʒ xxv, ſabinae ʒ xxv, ſampſuchi ʒ xxv, meliloti ʒ xxv, cardamomi ʒ xij ʃ, caſſiae fiſtulae ʒ xij ʃ, nardi Celticae, radicis dauci Cretici, utriusque ʒ xij ʃ mellis heminam et dimidiam, vini odorati quod ſufficit, praepara pro conſueto more. *Aliud.* ℞ Cerae minam unam, ammoniaci thymiamatis minam unam, terebinthinae minam j, ſampſuchi, baccarum lauri, cyperi, ſingulorum minam dimidiam, iridis Illyricae minae quartam partem, hoc eſt ʒ xxx, ſeminis lini toſti, minae quartam par-

Ed. Chart. XIII. [606.] Ed. Baſ. II. (296.)

κος ἀνὰ μνᾶς δ'. στέατος ταυρείου μνᾶς δ'. σικύου ἀγρίου ῥίζης ξηρᾶς, ἀνίσου, σελίνου σπέρματος, ἄμμεως, κυμίνου, μαράθρου, νίτρου ἀνὰ μνᾶς δ'. πεπέρεως ⊀ ιβ' S''. μέλιτος κοτύλην, οἴνου κοτύλην α' S''. κυπρίνου κοτύλην α' S''. ὄξους κοτύλην α' S''. συντίθει καὶ χρῶ.

[Ἐκ τῶν Ἀνδρομάχου πρὸς ὑδρωπικοὺς καὶ ἐμπνευματώσεις.] ℔ Πίσσης ὑγρᾶς λίτρας β'. κηροῦ λίτραν α'. νίτρου γο στ'. θείου ἀπύρου γο στ'. στυπτηρίας γο στ'. πρὸς ὑδρωπικοὺς Κλεοφάντου. ℔ κηροῦ, ῥητίνης, ἀφρονίτρου ἀνὰ ⊀ ρ'. χαλβάνης ⊀ ιβ' S''. προπόλεως ⊀ ιβ' S''. ἀμμωνιακοῦ θυμιάματος ⊀ ιβ' S''. κυπρίνου κυάθους β'. ὄξους κυάθους δύο.

[Ἀρχιγένους ἐκ τοῦ δευτέρου τῶν κατὰ γένος φαρμάκων.] Ὑδρωπικοῖς δίαιτα, ὡς προσῆκε. κατάπλαττε μὲν βολβίτῳ ἀγελαίας βοὸς, ξήραινε δὲ αὐτὸ ἐπιμελῶς, καὶ λεάνας ἔψε ἐν ὀξυκράτῳ ὠμῆς λύσεως τρόπον, προσεμπάσας θείου ἀπύρου τὸ τέταρτον μέρος, ὅλῳ δὲ τῷ κύτει ἐπίβαλλε.

tem, foenugraeci, panacis, utriusque minae quartam partem, adipis taurini minae quartam partem, radicis ſiccae cucumeris ſilveſtris, aniſi, ſeminis apii, ammii, cumini, foeniculi, nitri ſingulorum minae quartam partem, piperis ʒ xij ß, mellis heminam, vini ſeſquiheminam, cyprini ſeſquiheminam, aceti ſeſquiheminam, componito ac utitor.

[*Ex Andromacho ad hydropicos et inflationes.*] ℔ Picis liquidae lib. ij, cerae lib. j, nitri ʒ vj, fulſuris vivi ſexuncem, aluminis ſexuncem. *Ad hydropicos Cleophanti.* ℔ Cerae, reſinae, ſpumae nitri, ſingulorum ʒ c, galbani ʒ xij ß, propolis ʒ xij ß, ammoniaci thymiamatis ʒ xij ß, cyprini cyathos duos, aceti cyathos duos.

[*Ex Archigenis ſecundo libro medicamentorum ſecundum genus.*] Hydropicis diaetam convenientem conſtitue. Pro cataplasmate quidem ſtercus bovis armentariae impone. Reſicca autem ipſum ſtercus diligenter et tritum in poſca velut crudam hordeaceam ſarinam coque inſperſa fulſuris vivi quarta parte, cataplasma vero per omnem ventris amplitudi-

Ed. Chart. XIII. [606. 607.] Ed. Baſ. II. (296.)

ὡς Μούσας κατέπλαττεν αὐτούς, ἐλατηρίῳ, σταφίδι ἀγρίᾳ, ὑσσώπῳ, χολῇ ταυρείᾳ, ἴσοις σύκοις κεκομμένοις ἀναληφθεῖσιν. ἢ σικύου ἀγρίου τῆς ῥίζης μνᾶ μία, ἐψημένης ἐν οἴνῳ. σύκων ὁμοίως ἐψημένων μνᾶς S''. ταῦτα ὁμοῦ λέαινε παραχέων τοῦ ἀφεψήματος αὐτοῖς, μέχρι μαλαγματῶδες ποιήσῃς, εἶτα μίξας αὐτῆς ἀλθαίας λείας ῥίζης τὸ ἴσον καὶ συνέψων συλλέαινε καὶ οὕτω κατάπλαττε. ἢ σπυράθους αἰγείους ἕψων ἐν οὔρῳ παιδίου ἀφθόρου ἢ αὐτῆς αἰγὸς τῷ οὔρῳ, γλοιοῦ ποιῶν πάχος κατάπλασσε, ἄκρως αὐτοὺς διὰ κοιλίας καθαίρει. ἄλλο. ἐλλέβορον μέλανα, χολὴν ταυρείαν, νίτρον, πέπερι, ἴσα σὺν μέλιτι καταπλάσσων τὴν κοιλίαν ἐπὶ ἡμιώριον. [607] παρ' ὅλην δὲ τὴν ἀγωγὴν ποτίζειν τινὶ τούτων. ℞ κοτυληδόνος ⊀ α'. σκίλλης καθαρᾶς ξηρᾶς ⊀ α'. ἐν οἰνομέλιτι κεκραμένῳ δίδου καθ' ἡμέραν. ἢ ἄρου ῥίζης φλοιοῦ ⊀ α'. καὶ κνεώριον, ἣν ἔνιοι χαμελαίαν καλοῦσι, χυλίσας καλάμων τοὺς πρὸς ταῖς ῥίζαις ἁπαλοὺς ὄχθους λάβε κυάθους γ'. μίξας τε τὰ προειρημένα δίδου καθ' ἡμέραν πίνειν. κάλλιστα

nem impone. Muſa vero cataplasma ad ipſos praeparavit ex elaterio, ſtaphide ſilveſtri, hyſſopo, felle tauri, aequalibus partibus ipſorum ficubus contuſis exceptis. Aut radicis cucumeris ſilveſtris minam j, in vino coquito et ficuum minae ʃ, ſimiliter coquito, atque haec ſimul terito, affuſo eorum decocto, donec malagmatis forma evadat, indeque althaeae radicis tritae tantundem admiſceto, ſimulque coquito ac terito, atque ita imponito. Aut caprinum ſtercus in urina pueri impubis veneris expertis, vel ipſius caprae urina coctum, ad ſtrigmentitiam ſpiſſitudinem redigito ac imponito, egregie ipſum per alvum purgat. Aut veratrum nigrum, fel taurinum, nitrum, piper, aequis partibus cum melle, alvo per dimidiae horae ſpatium imponito. Porro per omne curationis tempus unam aliquam ex his potionibus ipſis propinato. ℞ Cotyledonis ʒ j, ſcillae aridae mundae ʒ j, in vino mulſo diluto quotidie exhibe. Aut ℞ corticis radicis ari ʒ j. Aut cneori, quam aliqui chamelaean appellant, teneras eminentias ad calamorum radices naſcentes exuccato, ac ſucci cyath. iij, praedictis admixtis quotidie exhibeto. Optime facit et hoc,

Ed. Chart. XIII. [607.] Ed. Baſ. II. (296.)

δὲ ποιεῖ τοῦτο, ♃ καρκίνου ποταμίου ξηροῦ χωρὶς τῶν ποδῶν καὶ χηλῶν λελειωμένου ≺ α'. ἀσάρου ≺ α'. μίξας ὕδατι ἐξ αὐτοῦ τοῦ ποταμοῦ, ὅθεν οἱ καρκίνοι, δίδου πίνειν. ἐνίοτε δὲ ἀντὶ τοῦ ἀσάρου ὀποβαλσάμου προσβάλλεται ἴσον. ἢ ♃ κοραλλίου ≺ α'. στυπτηρίας σχιστῆς ≺ α'. ὀβολοὺς β'. λεάνας μετὰ καλαμίνθης ἀποβρέγματος, ἀνάπλαττε διοβολιαίους τροχίσκους καὶ δίδου πίνειν ἐν τῷ τῆς καλαμίνθης ὕδατι ὀβολὸν, ἄκρως ποιεῖ καὶ πρὸς νεφριτικούς. ἢ τὴν ῥίζαν τῆς καλαμίνθης καθεψήσας πότιζε. ἢ τὸ σίον λεγόμενον πότιζε· τοῦτο δὲ καὶ ἐσθίειν δίδου. ἢ τριβόλου τὰ φύλλα. ἢ τὴν ῥίζαν μετ' οἴνου δίδου. ἢ ἐν βαλανείῳ ἁλὶ καὶ ἐλαίῳ ἐπιμελῶς, ἄχρις ἂν ἱδρώσωσιν, ἀλείψας ἔξαγε καὶ μόνους τοὺς διδύμους ἀποκλύσας ἀφιδροῦντας, πρῶτον ὀθονίοις, εἶτα τοῖς λοιποῖς περιβολαίοις συσκεπάσας, κόμιζε καὶ δίδου φουρνίτου ἄρτου μετὰ ἰσχάδων ἱκανῶν φαγεῖν, πότιζε δὲ οἴνῳ μέλανι Ἰταλικῷ ἢ σπικάτῳ προσφάτῳ, ἐνεψημένων αὐτῷ σύκων γο δ'. εἰς τοὺς ξε. στ'. μέχρι τὸ γ'. λειφθῇ, καθαίρει δι' οὔρων. ἢ αἰγὸς οὔρου κοχλιάριον α'. μετὰ νάρ-

♃ cancri fluvialis ſicci triti, pedibus ac eminentiis omnibus amputatis ʒ j, aſari ʒ j, miſceto aqua ex ipſo flumine, unde cancri extracti ſunt, accepta et propinato. Aliquando vero pro aſaro opobalſami par pondus additur, aut corallii ʒ j, aluminis ſciſſi ʒ j, obol. ij, cum calaminthae cremore terito et in paſtillos duorum obolorum ponderis redigito et obolum inde ex calaminthae aqua bibendum dato. Summe facit et ad nephriticos. Aut radicem calaminthae coctam propina. Aut laver dictum itidem coctum propina, idemque etiam edendum exhibe. Aut tribuli folia ſive radicem cum vino dato. Aut in balneo cum ſale et oleo diligenter, usque quo exudent, illitos educito, et ſolis teſtibus exudantibus ablutis, primum linteis, deinde etiam reliquis amiculis contectos curato, ac panem furnaceum cum ſufficientibus caricis edendum dato, vinum vero nigrum Italicum aut ſpicatum recens, in quo ficuum triens in vini ſextariis vj incoctus eſt, donec tertia pars ſuperfuit, bibendum exhibeto, purgat per urinam. Aut urinae caprae cochleare unum cum nardi ʒ j, ca-

Ed. Chart. XIII. [607.] Ed. Baſ. II. (296.)

δου ≺ α'. θερμάνας δίδου πίνειν. ἢ σίκυον ἄγριον οἴνῳ ναρδίνῳ ἢ Ἀμιναίῳ ἐναποβρέξας τρὶς, ἐκ τοῦ ἀποβρέγματος δίδου κύαθον α'. καὶ προστίθει κατὰ βραχὺ, ἕως κυάθων τριῶν. ἢ σεσέλεως δίδου πίνειν ἢ ἐσθίειν. ἢ δαφνοειδοῦς λείου ἡλίκον θέρμον ἐπιπάσσων, δίδου πιεῖν, ἄγει οὖρα πολλά. ἢ ἄρου ῥίζης φλοιὸν ἐν οἴνῳ. ἢ λεπίδος χαλκοῦ ≺ α'. ἄρτου τὸ ἐντὸς ἀναλαβὼν καταπότια ποίει καὶ δίδου· ὕδωρ ἄγει εὐτόνως. ἢ ℥ χαλκοῦ κεκαυμένου ≺ α'. πηγάνου κλωνία τρία, περιστερᾶς κόπρου ≺ α'. ἁλὸς κοινοῦ ὀλίγον μετ' οἴνου Ἐφεσίου καὶ ὕδατος τὸ πᾶν κρᾶμα κοτύλης S''. δίδου. ἄκρως ποιοῦσιν αἵ τε θηριακαὶ διουρητικαὶ πᾶσαι, ἔτι τε τὰ ἑκάστῳ διὰ πείρας ἀκίνδυνα ὑδραγωγὰ πότιμα ἢ καταπότια, διάχριε δὲ τοὺς ὑδρωπικοὺς ἐπὶ πολὺ ἐν ἡλίῳ, σκέπων τὴν κεφαλὴν, μιγνὺς τῷ ἐλαίῳ ἅλας πολλοὺς, καταιόνα τε ἅλμῃ πολλῇ καὶ θερμῇ, τοὺς ἐμπεφυσημένους μάλιστα τόπους. κύστεις εὐμεγέθεις ἐμφυσήσας ἐπιμελῶς κατάκρουε καθ' ἡμέραν συνεχῶς, πιλοῦνται γὰρ καὶ προστέλλονται.

lefactum bibendum dato. Aut cucumim ſilveſtrem, vino nardino vel Aminaeo macerato et ex cremore ter cyathum unum bibendum praebeto et paulatim usque ad cyathos iij progreditur. Aut ſeſeli in potu vel cibo exhibe aut daphnoides tritum lupini magnitudine inſpergens bibendum dato, ducit urinam multam. Aut corticem radicis ari ex vino. Aut ſquamae aeris ʒ j, panis medulla excipito et catapotia facito ac exhibeto, fortiter aquam ducunt. Aut ℥ aeris uſti ʒ j, rutae ramulos tres, ſtercoris columbae ʒ j, ſalis communis parum, cum vino Epheſio et aqua, ita ut tota mixtura heminae dimidiae ſit, praebeto. Summe faciunt et theriacae omnes urinam cientes. Inſuperque potiones aquam ducentes, quae unicuique per experientiam cognitae ſunt, minime periculoſae. Similiter et catapotia. Caeterum hydropicos diutius ad ſolem, contecto capite, inungito ex oleo multo ſale admixto et multa ſalſugine calida perfundito. Inflatos vero maxime locos veſicis magnis probe inflatis quotidie continenter pulſato, inde enim arctantur ac contrahuntur. Scariſicatis item ipſorum talis et vulnuſculis impactis, ipſos

Ed. Chart. XIII. [607. 608.] Ed. Baſ. II. (296. 297.)

διελὼν δὲ τὰ σφυρὰ αὐτῶν ἢ καὶ σχάσας ἐν φορείῳ αἰώρει, πολὺ γὰρ διαῤῥεῖν ὑγρὸν εἴωθεν αὐτοῖς.

[*Πρὸς τὰς αὐτὰς διαθέσεις ἡ τοῦ Βιεννίου.*] ℔ Κρόκου, ὀπίου, ὀποπάνακος, σμύρνης, ἴρεως, ἀκόρου, μανδραγόρου, ἀσάρου, κόστου, νάρδου Ἰνδικῆς, δαύκου Κρητικοῦ, μήου ἀνὰ ≺ η'. πεπέρεως λευκοῦ καὶ μακροῦ, γεντιανῆς, στοιχάδος, κασσίας, φοῦ Ποντικοῦ ἀνὰ ≺ η'. μέλιτι ἀναλάμβανε.

(297) Κεφ. δ'. [*Περὶ τῶν ἀνωδύνων τε καὶ κωλικῶν ὀνομαζομένων φαρμάκων.*] Τοῖς τοιούτοις φαρμάκοις ἕνεκα μεγάλης ὀδύνης ἢ ἀγρυπνίας ἢ τοῦ μὴ σπαράττεσθαι χάριν διὰ βῆχα [608] βιαίαν, ὡς ἐφ' αἵματος ἀναγωγῆς ἐνίοτε γίνεται καὶ κατάῤῥων χαλεπῶν, εἰώθαμεν χρῆσθαι. κατὰ μέντοι τὰ μετριώτερα τῶν εἰρημένων αἱ διὰ τῶν σπερμάτων ἰδίᾳ ὀνομαζόμεναι βηχικαὶ δυνάμεις αὐτάρκεις, ἔχουσαι μὲν πάντως τι καὶ αὗται τῶν καρωτικῶν φαρμάκων, ἀλλ' ὀλίγον ἐν πολλοῖς τοῖς σπέρμασιν, ἅπερ εὐώδη τέ ἐστι καὶ λεπτομερῆ καὶ διουρητικά. προσαγορεύουσι δὲ πολλάκις αὐτὰ

in ferculo aut lectica geſtato ac circumvehito, multus enim humor hoc modo ipſis profluere ſolet.

[*Ad eosdem affectus confectio Biennii.*] ℔ Croci, opii, opopanacis, myrrhae, iridis, acori, mandragorae, aſari, coſti, nardi Indicae, dauci Cretici, mei, ſingulorum drachmas octo, piperis albi et longi, gentianae, ſtoechadis, caſſiae, phu Pontici, ſingulorum drachmas octo, excipe melle.

Cap. IV. [*De medicamentis anodynis et colicis appellatis.*] Hujusmodi medicamentis magni doloris aut vigiliarum gratia aut ne per violentam tuſſim lancinemur, velut in ſanguinis rejectione et gravibus diſtillationibus aliquando contingit, uti ſolemus. In moderatioribus tamen praedictis affectionibus confectiones ex ſeminibus, privatim tuſſiculares appellatae, ſufficiunt, quae et ipſae omnino aliquid ex ſoporiferis ſeminibus habent, verum modicum inter multa adeo ſemina, quae odorata et tenuium partium ac urinam cientia exiſtunt. Appellant autem haec medici ſaepe citra appellatio-

Ed. Chart. XIII. [608.] Ed. Baſ. II. (297.)

οἱ ἰατροὶ καὶ χωρὶς τοῦ προσθεῖναι τὸ τοῦ σπέρματος ὄνομα, κύμινον λέγοντες καὶ δαῦκον καὶ σέσελι, σέλινόν τε καὶ ἄνισον. αἳ μὲν οὖν τῶν τοιούτων φαρμάκων συνθέσεις ἐν ταῖς βηχικαῖς ὀνομαζομέναις δυνάμεσιν εἴρηνται. τὰς δὲ τῶν ἀνωδύνων τε καὶ κωλικῶν, αἵπερ εἰσὶν ὁμογενεῖς μὲν ἐκείναις, σφοδρότεραι δὲ πολὺ ταῖς δυνάμεσιν, ἐν τῷδε τῷ λόγῳ δηλώσω. πρώτη μὲν οὖν αὐτῶν, ὡς ἔοικεν, ἐν τοῖς πάλαι χρόνοις, ἡ τοῦ Φίλωνος ἔνδοξος ἐγένετο, περὶ ἧς αὐτὸς ἐποίησε τάδε τὰ ἐλεγεῖα.

Ἡ Φίλωνος ἀντίδοτος.

Ταρσέος ἰητροῖο μέγα θνητοῖσι Φίλωνος
Εὕρεμα, πρὸς πολλὰς εἰμι παθῶν ὀδύνας.
Εἴτε κόλον πάσχει τις ἅπαξ δοθὲν, εἴτε τις ἦπαρ,
Εἴτε δυσουρίῃ ἴσχεται, εἴτε λίθῳ.
Ἰῶμαι καὶ σπλῆνα καὶ ὀρθόπνοιαν ἀνηρὴν,
Καὶ φθίσιν ἰῶμαι, σπασμὸν ἐνιστάμενον,
Καὶ σφαλερὴν πλευρῖτιν. ἀποπτύων δέ τις αἷμα
Ἢ ἐμέων, ἔξει μ' ἀντίπαλον θανάτου.

nis ſeminis appoſitionem, cuminum dicentes et daucum et ſeſeli, apiumque et aniſum. Ejusmodi igitur medicamentorum compoſitiones inter tuſſiculares appellatas confectiones ſunt relatae, verum dolerem ſedantes, anodynaeque et colicae dictae, quae ejusdem quidem generis cum illis ſunt, multum autem facultatibus illas exuperant, in hoc ſermone oſtenduntur. Prima itaque ex ipſis priſcis temporibus, ut apparet, celebris fuit, quam Philo prodidit et de qua ipſe hanc elegiam fecit.

Philonis antidotus.

En me Tarſenſis medici praegrande Philonis
Inventum, mala quod multa dolore levo.
Sive colum doleas, ſeu tu jecur, auxiliabor,
Seu lapis infeſtet, difficile aut lotium.
Et medeor ſpleni hinc, orthopnoeaeque moleſtae,
Convulſa atque tabem protinus exupero.
Pleuritimque malam et ſputum vomitumque cruoris
Evinco, mortis terror et hoſtis ego.

Ed. Chart. XIII. [608.] Ed. Baſ. II. (297.)

Πάντα δ' ὅσα σπλάγχνοισιν ἐνίσταται ἄλγεα παύω,
Βῆχά τε καὶ πνιγμὸν, λύγγα τε καὶ κατάρουν.
Γέγραμμαι δὲ σοφοῖσι, μαθὼν δέ τις οὐ βραχύ μ' ἔξει
Λῶρον, ἐς ἀξυνέτους δ' οὐκ ἐπόθησα περᾶν.
Ξανθὴν μὲν τρίχα βάλλε μυρίπνοον ἰσοθέοιο,
Οὗ λύθρος Ἑρμείας λάμπεται ἐν βοτάναις.
Κρόκου δὲ σταθμὸν φρένας ἀνέρος, οὐ γὰρ ἄδηλον,
Βάλλε δὲ καὶ δραχμὴν Ναυπλίου Εὐβοέως.
Καὶ τρίτου ἐν Τρώεσσι, Μενοιτιάδαο φονῆος,
Δραχμὴν τὴν μήλων γαστέρι σωζομένην.
Ὀλκὰς δ' ἀργεννοῖο πυρώδεος εἴκοσι βάλλε,
Εἴκοσι καὶ κυάμου θηρὸς ἀπ' Ἀρκαδίης.
Δραχμὴν καὶ ῥίζης ψευδωνύμου, ἣν ἀνέθρεψε
Χῶρος, ὃ τὸν Πίσσῃ Ζῆνα λοχευσάμενος.
Πῖον δὲ γράψας, ἄρθρον βάλε πρῶτον ἐπ' αὐτῷ,
Ἄρρεν ἑνὶ δραχμὰς πέντε δὶς ἑλκόμενον.

Viſcera tentantes omnes ego ſedo dolores,
Interna et quicquid membra dolore quatit.
Tuſſim, ſingultum, deſtillantesque fluores
Siſto, etiam ſi quid ſtrangulet, excipio.
Me dedit ille auctor ſapienti munera magna
Diſcipulo, ſtupidos nil ego curo viros.
Fragrantem fulvumque pilum pueri cape, cujus
Fulget adhuc campis Mercurii ille cruor,
Pondus ad humanos ſenſus perpendito prudens,
Dein drachmae pondo Nauplion Euboicum.
Inde Menoetiadae occiſoris ponito drachmam,
Qui pecoris denſis ventribus excipitur.
Viginti et drachmas candentis conjice flammae,
Et totidem fabae poſt ſuis Arcadicae.
Et drachmam dictae falſo radicis, ab ipſa
Terra, Piſſaeo quae Iove clara manet.
Cumque pion ſcribes, voci caput amplius addes,
Maſculum Achivorum nominis articulum.
Indeque poſt drachmas expenſae ſumito lancis
Quinque bis. Atque iſtaec providus excipito.

Ed. Chart. XIII. [608. 609.] Ed. Baſ. II. (297.)

Νᾶμα δὲ θυγατέρων ταύρων καὶ Κεκροπίδαισι
Συγγενὲς, οἳ Τρίκκης, ὡς ἐνέπουσιν ἐμοί.

[*Γαληνοῦ ἐξάπλωσις τῆς Φίλωνος ἀντιδότου.*] *Ἐν τούτοις τοῖς ἔπεσιν ὁ Φίλων κελεύει κρόκου μὲν ≺ ε'. ἐμβάλλεσθαι, πυρέθρου δὲ μίαν, εὐφορβίου μίαν, στάχυος νάρδου μίαν, πεπέρεως δὲ λευκοῦ καὶ ὑοσκυάμου τὸ ἴσον, ἑκατέρου ≺ κ'. ὀπίου δὲ ≺ ι'. οἱ μὲν οὖν πρῶτοι δύο στίχοι τὸν κρόκον δηλοῦσιν, ξανθὸν μὲν τῇ χρόᾳ ὄντα, τριχοειδῆ δὲ τῇ λεπτότητι. λύθρον δὲ τοῦ κρόκου φησὶν ἐν ταῖς Ἑρμείαις, τουτέστι ταῖς τοῦ Ἑρμοῦ λάμπεσθαι βοτάναις. ἐπειδὴ μειράκιον καλούμενον Κρόκος, ἅμα τῷ Ἑρμῇ δισκεύων, εἶθ' ἑστὼς ἀμελέστερος, ἐμπεσόντος αὐτῷ δίσκου τῇ κεφαλῇ, συνέβη μὲν ἀποθανεῖν αὐτίκα, τοῦ δ' αἵματος εἰς τὴν γῆν ἀναχθέντος, ἐξ αὐτοῦ φῦναι τὸν κρόκον. λάμπεσθαι δὲ εἶπε τὸν λύθρον, τουτέστι τὸ ἀπὸ τοῦ σφαγέντος αἷμα,* [609] *διὰ τὸ στιλπνὸν τῆς χρόας τοῦ κρόκου. γράφεται δὲ οὐ μόνον βοτάναις, ἀλλὰ καὶ πεδίοις ὧδί πως ὁ στίχος, Ἑρμείοις λάμπεται ἐν πεδίοις. σταθμὸν δὲ ἀξιοῖ τοῦ κρόκου πέντε δραχμὰς εἶναι, φρένας ἀνέρος εἰπὼν τὰς αἰσθήσεις, οὔσας*

Natarum tauri textura Cecropidarum.
Sic mecum Triccae progeniesque facit.

[*Galeni explicatio antidoti Philonis.*] In his verſibus Philo jubet croci drachmas quinque conjici, pyrethri unam, euphorbii unam, ſpicae nardi unam, piperis autem albi et hyoſcyami par pondus, utriusque drach. viginti, opii vero drach. decem. Primi quidem igitur duo verſus crocum indicant, ut qui fulvus colore ſit et tenuis ad formam pilorum. Cruorem autem croci fulgere adhuc in campis Mercurii dicit. Adoleſcens enim Crocus appellatus cum Mercurio diſco ludens et incurioſius conſiſtens, illapſo in caput ipſius diſco, ſtatim mortuus eſt, ex ſanguine autem ipſius in terram acto crocus natus eſt. Fulgere vero cruorem dixit, hoc eſt ſanguinem jam occiſi, propter coloris croci ſplendorem. Scribitur autem non ſolum campis, ſed et herbis in verſu, hoc modo, Fulget adhuc herbis Mercurii ille cruor. Caeterum pondus croci 3 v eſſe vult, quum humanos ſenſus perpendere juſſit, qui

Ed. Chart. XIII. [609.] Ed. Baſ. II. (297.)

πέντε. Ὅτι δὲ δραχμὰς πέντε βούλεται εἶναι καὶ οὔτε ὀβολοὺς οὔτε λίτρας οὔτε ἄλλο τι τοιοῦτον, ἐνδείκνυται διὰ τῶν ἑξῆς, πρῶτον μὲν εἰπὼν, μίσγε δὲ καὶ δραχμὴν Ναυπλίου Εὐβοέως, εἶθ' ἑξῆς καὶ τοῖς ἄλλοις προστιθεὶς ταὐτὸν ὄνομα τὸ τῆς δραχμῆς. Ναύπλιον μὲν οὖν Εὐβοέα τὸ πύρεθρον λέγει, διότι Ναύπλιος πυρὰς μεγάλας καύσας, ὥς φασι, κατὰ τὸν τῆς Εὐβοίας λιμένα, πολλοὺς τῶν Ἑλλήνων ἐξηπάτησεν, ὡς ἐπὶ χώραν εὐλίμενον καταίροντας ἀπολέσθαι. ἐργάσασθαι δέ φασιν αὐτὸν τοῦτο διὰ τὸν τοῦ Παλαμήδους θάνατον. καὶ μὴν καὶ τὸ εὐφόρβιον, αἰνιγματωδῶς ὁμοίως τούτοις κέκληκεν εἰπὼν καὶ τρίτου ἐν Τρῳάσσι, Μενοιτιάδαο φονῆος, ἐπειδὴ ὁ ποιητὴς ἐποίησε λέγοντα τὸν Πάτροκλον,

Ἀλλά με Μοῖρ' ὀλοὴ καὶ Λητοῦς ἔκτανεν υἱὸς,
Ἀνδρῶν δ' Εὔφορβος.

μήλων δὲ, τουτέστι προβάτων, ἐν τῇ γαστρὶ διασώζεσθαί φησι τὸ εὐφόρβιον, ὅτι μόνην ταύτην οὐ διαβιβρώσκει, καὶ διὰ τοῦτο δυνατόν ἐστιν ἀποτίθεσθαι κατ' αὐτὴν τὸ φάρ-

quinque numero exiſtunt. Quod vero drachmas quinque eſſe velit et neque obolos, neque libras, neque aliud quicquam tale, per ſequentia commonſtrat, primum quidem quum ait, dein drach. pondo Nauplion Euboicum. Deinde vero et conſequenter cum aliis, idem drach. nomen apponit. Nauplion itaque Euboicum pyrethrum vocat, propterea quod Nauplius magnis pyris incenſis, ut aiunt, circa Euboeae portum, multos Graecorum decepit, ut perirent, tanquam ad regionem portus bonos habentem applicantes. Id ipſum vero ob Palamedis necem ipſum feciſſe tradunt. At vero et euphorbium ſimiliter his aenigmatice vocavit, quum ait, inde Menoetiadae occiſoris ponito drachmam. Quandoquidem poëta Patroclum ſic loquentem facit:

Sed me Parca ferox Latonae et filius aufert,
Atque vir Euphorbus.

Pecoris autem, hoc eſt ovium ventribus excipi et aſſervari euphorbium ait, propterea quod hos ſolos non corrumpit et ob hoc in his reponi medicamentum poteſt. Eſt

Ed. Chart. XIII. [609.] Ed. Baſ. II. (297.)

μακον. ὀπὸς δέ ἐστι φυτοῦ τινος ἀκανθώδους ἐν τῇ τῶν Μαυρουσίων γῇ φυομένου, θερμότατος τῇ δυνάμει, καὶ γέγραπται περὶ αὐτοῦ βιβλίδιόν τι σμικρὸν Ἰόβᾳ τῷ βασιλεύσαντι τῶν Μαυρουσίων. ἐφεξῆς δὲ ὁ Φίλων φησὶν, δραχμὰς δ' ἀργεννοῖο πυρώδεος εἴκοσι βάλλε, ὡς λευκὸν πέπερι σημαίνων. ἔστι δὲ εὐστομαχώτερον καὶ δριμύτερον τοῦ μέλανος. εἴκοσι δ' ἀξιοῖ δραχμὰς ἐμβάλλεσθαι σπέρματος ὑοσκυάμου, γράψας καὶ τοῦτο αἰνιγματωδῶς, εἴκοσι καὶ κυάμου θηρὸς ἀπ' Ἀρκαδίης, ἐπειδὴ τὸν Ἐρυμάνθιον κάπρον ὁ Ἡρακλῆς ἀποκτεῖναι λέγεται, κατὰ τὴν τῶν Ἀρκάδων γῆν αὐξηθέντα. νάρδου δὲ καὶ αὐτῆς ≺ α'. ἀξιοῖ βάλλειν, ἣν ψευδώνυμον εἴρηκε ῥίζαν, ἐπειδὴ στάχυς ὀνομάζεται νάρδου. βούλεται δ' αὐτὴν εἶναι Κρητικὴν, ἔνθα φησὶν, ἣν ἀνέθρεψε χῶρος ὁ τὸν Πίσσῃ Ζῆνα λοχευσάμενος, ἐπειδὴ τὸν Δία φασὶν οἱ μυθολόγοι κατὰ τὸ Δικταῖον ὄρος ἐν Κρήτῃ τραφῆναι, κρυπτόμενον ὑπὸ τῆς μητρὸς Ῥέας, ὅπως μὴ καὶ αὐτὸς ὑπὸ τοῦ πατρὸς τοῦ Κρόνου καταποθῇ. προσέθηκε δὲ τῷ Διὶ τὴν Πίσσαν, ὡς εἰώθασι πολλοὶ καὶ χωρὶς ποι-

porro euphorbium plantae cujusdam ſpinoſae in Mauruſiorum terra naſcentis ſuccus, facultate calidiſſimus, et de ipſo libellus parvus ſcriptus eſt Iubae regi Mauruſiorum. Conſequenter vero Philo ait, *viginti et drachmas candentis coniice flammae,* piper album per hoc ſignificans. Eſt autem ſtomacho commodius et acrius quam nigrum. Viginti inſuper drachmas ſeminis hyoſcyami injicere jubet, quod aenigmatice fabam ſuis Arcadicae appellat, quandoquidem aprum Erymanthium Hercules occidiſſe fertur, qui in Arcadum terra fuit connutritus. Quin et nardi ipſius drach. j conjiciendam cenſet, quam radicem falſo dictam appellat, quandoquidem ſpica nardi vere nominatur. Vult autem eam Creticam eſſe, quum ait, ab ipſa terra, Piſſaeo, quae Jove clare manet, quandoquidem fabularum ſcriptores Jovem in Dictaeo Cretae monte educatum ajunt, occultatum ibidem a matre Rhea, ne et ipſe a patre Saturno devoraretur. Appoſuit autem Jovi epitheton Piſſaei, quemadmodum multi

Ed. Chart. XIII. [609. 610.] Ed. Baſ. II. (297.)

ητικῆς ἐν τῷ βίῳ λέγειν, μὰ τὸν ἐν Περγάμῳ Ἀσκληπιὸν, μὰ τὴν ἐν Ἐφέσῳ Ἄρτεμιν, μὰ τὸν ἐν Δελφοῖς Ἀπόλλωνα, μὰ τὸ ἐν Ἐλευσῖνι πῦρ. ἔνιοι δὲ οὐ τὴν Κρητικὴν χώραν, ἀλλὰ τὴν Ἰνδικὴν εἰρῆσθαί φασιν, ἐξ ἧς ὁ ἐλέφας φέρεται. ἐκ τούτου γὰρ τὸ ἐν Πίσσῃ τοῦ Διὸς ἄγαλμα λελοχεῦσθαι, τουτέστι γεγενῆσθαι τούτοις ἅπασι μίγνυσθαι κελεύει τὸν τοῦ μήκωνος ὀπὸν, εἰθισμένον ὑπὸ τῶν ἰατρῶν ὄπιον ἰδίως ὀνομάζεσθαι, μηδενὸς τῶν ἄλλων ὀπῶν, καίτοι παμπόλλων ὄντων κατὰ τὸ καλούμενον οὐδέτερον γένος ὀνομαζομένων. ἐπεὶ τοίνυν τὸ ὄνομα ἐκ τῆς ο φωνῆς καὶ τῆς πίον σύγκειται, διὰ τοῦτο ἔφη

Πῖον δὲ γράψας ἄρθρον βάλε πρῶτον ἐπ' αὐτῷ
Ἄρρεν ἑνὶ δραχμαῖς πέντε δὶς ἑλκόμενον,

ὅπερ ἐστὶν ἔμβαλλε καὶ τοῦ ὀπίου ≺ ι'. ὑπόλοιπον δέ ἐστιν ᾧ πάντα ταῦτα ἀναλαμβάνεται λειωθέντα, τὸ μέλι κεκλημένον ὑπ' αὐτοῦ συμβολικῶς, νᾶμα ταύρου θυγατέρων, ἐπειδὴ σηπομένων [610] τῶν ταύρων γεννᾶσθαί φασι τὰς

etiam extra poëticam in communi ſermone dicere ſolent, per Aeſculapium Pergamaeum, per Dianam Epheſiam, per Delphicum Apollinem, per Veſtam Eleuſiniam. Quidam vero non Creticam terram, ſed Indicam indicatam eſſe ajunt, ex qua ebur affertur, ex hoc enim ſtatuam Jovis in Piſſa factam ac formatam eſſe. His omnibus et papaveris ſuccum admiſceri jubet, qui recepto a medicis more privatim opium appellatur, quum nullus aliorum ſuccorum quantumvis multi ſint, in neutro genere, opium videlicet, nominetur. Quando igitur ipſum nomen opion, ex voce o et pion componitur, ob id ſane inquit:

Cumque pion ſcribes, voci caput amplius addes
Maſculum Achivorum nominis articulum.
Indeque poſt drachmas expenſae ſumito lancis
Quinque bis etc.

Hoc eſt injice et opii drach. x. Supereſt poſtremum, quo omnia haec trita excipiuntur, ipſum mel, itidem conjecturaliter ab ipſo appellatum. Natarum tauri textura, quandoquidem ex putreſcentibus tauris apes generari tradunt. Quod

Ed. Chart. XIII. [610.] Ed. Baſ. II. (297. 298.)

μελίσσας. Ἀττικὸν δὲ αὐτὸ βουλόμενος εἶναι, συγγενὲς ἔφη τοῖς Κεκροπίδαις, τουτέστι τοῖς Ἀθηναίοις. διὰ δὲ τοῦ τελευταίου τῶν ἐπῶν (298) δηλοῖ καὶ τοὺς Ἀσκληπιάδας οὕτως ὀνομάζειν. ἐκ Τρίκκης γὰρ τὸ γένος αὐτῶν ἐστιν, ὡς καὶ ὁ ποιητής ἐστιν· αὕτη σχεδὸν ἡ πρώτη τῶν ἀνωδύνων ὀνομαζομένων ἀντιδότων ἔνδοξος ἐγένετο. κατ' αὐτὴν δὲ τὰ μὲν προσθέντες αὐτῇ, τὰ δὲ ἀφαιροῦντες ἢ ταῖς συμμετρίαις ὑπαλλάττοντες, ἐποίησαν κυρίων ἀνωδύνων ἀντιδότων ἀριθμὸν, ἃς καὶ κωλικὰς προσαγορεύουσιν, παρονομάζοντες ἀπὸ τοῦ μεγίστας ὀδύνας ἔχοντος πάθους. ἐγὼ δὲ πρώτους μὲν ἐρῶ τοὺς γενικοὺς τρόπους τῆς συνθέσεως αὐτῶν, εἶτα, ὡς εἴωθα, τὴν εὐπορίαν τῶν κατὰ μέρος ὑλῶν ὑπογράψω. τὸ μὲν οὖν ὄπιον ἰσχυρότατόν ἐστι τῶν ναρκούντων τὴν αἴσθησιν, ὕπνον τε καρώδη φερόντων. ἐργάζεται δὲ ταῦτα καὶ μόνον ἐψήματι δευθὲν, εἶτα ἀναληφθὲν διὰ κροκύδος καὶ εἰς ἔδραν ἐντιθέμενον, ἐπιχριόμενόν τε τῷ μετώπῳ καὶ τοῖς μυκτῆρσιν ἐγχριόμενον. ἐὰν δὲ μετὰ ἑτέρου τινὸς τῶν πραϋνόντων τὴν δύναμιν αὐτοῦ μιχθῇ, μετριώτε-

autem Atticum ipſum mel eſſe velit, ea gratia addidit, Cecropidarum, hoc eſt Athenienſium. Caeterum per extremum verſum oſtendit, etiam Aſclepiadas hoc medicamentum ſic praeparare. Ex Tricca enim generis ſui originem ducunt, ex quorum ordine et poëta eſt. Haec ferme prima antidotorum dolores ſedantium celebris facta eſt. Juxta hanc autem aliis partim ad ipſam appoſitis, partim detractis, aut appenderationibus permutatis, poſteri magnum antidotorum dolores ſedantium numerum fecerunt, quas etiam colicas vocant, denominatione ab affectione, quae maximos dolores habet, deducta. Ego vero primum quidem generales componendi ipſas modos referam, deinde, velut conſuevi, etiam particularium materierum ſeriem, quantum latiſſime ſe expandit, ſubſcribam. Opium itaque fortiſſimum eſt ex iis, quae ſenſum ſtupefaciunt ac ſomnum ſoporiferum inducunt. Operatur autem haec etiam ſolum ſapa dilutum, deinde tomento exceptum, ac ſedi inditum, itemque fronti ac naribus illitum, ſi vero cum alio quopiam vim ipſius moderante mi-

Ed. Chart. XIII. [610.] Ed. Baſ. II. (298.)

ρον ἐργάζεται ταῦτα. χρὴ δὲ εἶναι τὰ μιγνύμενα τῶν ἤτοι πέττειν ἢ πραΰνειν δυναμένων ὀδυνηρὰν διάθεσιν ἢ τοὺς ἐργαζομένους αὐτὴν χυμοὺς διαφορεῖν ἢ τέμνειν τε καὶ λεπτύνειν ἢ κατὰ τὴν ὅλην οὐσίαν ἀλλοιοῦν. οὐ μὴν οὐδὲ ἀγνοεῖν ὑμᾶς οἶμαι τὸν ἄριστον εἶναι σκοπὸν τῆς συνθέσεως, ὅταν τριῶν τις στοχάζηται, τοῦ τε ναρκῶσαι τὴν αἴσθησιν καὶ τοῦ μηδὲν ἐφ' ὕστερον ἐκ τούτου διαμεῖναι παρὰ τῷ μορίῳ βλάβος, ἔτι τε τοῦ μέγιστον ὠφεληθῆναι τὴν διάθεσιν. εἰς ταῦτα οὖν ἀποβλέπων μοι δοκεῖ καὶ ὁ Φίλων συνθεῖναι τὸ προκείμενον ἐν τῷ λόγῳ φάρμακον, ἐκ μὲν τῆς τοῦ ὑοσκυάμου καὶ τῆς τοῦ ὀπίου μίξεως, ὕπνον τε καρώδη καὶ τὴν νάρκην τῆς αἰσθητικῆς δυνάμεως ἐργάσασθαι βουλόμενος· ὅπως δὲ ἀναδοθείη τε θᾶττον καὶ διεξέλθοι τὸ βάθος ὅλων τῶν πασχόντων σωμάτων τὰ θερμαίνοντα, πύρεθρόν τε καὶ εὐφόρβιον καὶ πέπερι μίξας διαφορεῖν δυνάμενα τοὺς βλάπτοντας χυμοὺς καὶ διαῤῥύπτειν τοὺς γλίσχρους καὶ τέμνειν τοὺς παχεῖς καὶ τὰ φυσώδη πνεύματα λεπτύνειν καὶ κενοῦν. ἔστι δ' οὐκ ὀλίγον πασῶν τῶν ψυ-

ſceatur, moderatius haec facit. Verum quae admiſcentur ipſi, aut concoquere aut mitigare doloroſam affectionem oportet, aut humores affectionem efficientes diſcutere aut incidere aut attenuare aut juxta totam ſubſtantiam alterare. At vero neque ignorare vos puto, optimum eſſe compoſitionis ſcopum, qui trium conjectationi ſit intentus, nimirum ut et ſenſus ſtupeſlat et nullum in poſterum inde circa particulam detrimentum permaneat, ampliusque ut affectio ipſa maxime inde juvetur. Ad haec igitur reſpiciens Philo mihi videtur hoc medicamentum, de quo jam proposuimus dicere, compoſuiſſe, ex opii quidem et hyoſcyami mixtura ſomnum ſoporiferum et ſenſitivae facultatis ſtuporem inducere volens. Quo vero citius diſtribuerentur et totorum affectorum corporum profundum penetrarent, calefacientia admiſcuit, pyrethrum et euphorbium et piper, quae nocentes humores diſcutere poſſunt et extergere viſcoſos, ac ſecare craſſos et ventoſos flatus attenuare ac evacuare. Eſt autem non modica

Ed. Chart. XIII. [610.] Ed. Baſ. II. (298.)

χρῶν διαθέσεων ἐν τῇ νάρδῳ πεπτικόν. οὐ μὴν τήν γε Κρητικὴν νάρδον ἐμβάλλειν χρὴ, οὐδ' ὅλως τὴν παρ' ἡμῖν γεννωμένην, ἣν ὀρείαν τε καὶ ναρδίτην βοτάνην ὀνομάζουσι μᾶλλον ἢ νάρδον. ἔστι μὲν οὖν ἡ Κελτικὴ νάρδος ἀγαθὸν φάρμακον εἰς ὅσα περ ἂν καὶ ἡ Ἰνδικὴ, λείπεται δὲ αὐτῆς πάμπολυ, καθάπερ γε καὶ ταύτης ἡ ὀρειος. ὥσπερ καὶ τῶν ἀρωματικῶν ὀνομαζομένων φάρμακων τὴν νάρδον μόνην ἐνέβαλεν ὁ Φίλων, οὕτως οἱ κατ' αὐτὸν ἄλλος ἄλλο προσέθεσαν, ἔνιοι δὲ καὶ πλείω. καὶ προστιθέμενα δέ ἐστι σχοίνου ἄνθος καὶ κασσία, κιννάμωμόν τε καὶ ἄμωμον καὶ κοστος. ὥσπερ δὲ αὖ πάλιν τὸν κρόκον ἐνέβαλε πεπτικὸν χυμῶν ἀπέπτων καὶ διαθέσεων φαρμακωδῶν, οὕτως ἄλλοι σμύρναν τε καὶ καστόριον ἔμιξαν. οἱ πλεῖστοι δὲ αὐτῶν καλῶς ποιοῦντες καὶ ταυτὶ τὰ συνήθη σπέρματα, περὶ ὧν εἴρηται καὶ πρόσθεν ἐν τοῖς διὰ τῶν σπερμάτων, ὡς παραμυθήσασθαι τὴν ἀηδίαν τῶν πικρῶν φαρμάκων, εἰς ἀνάδοσίν τε καὶ οὔρησιν προτρέψαι τὸ σύμπαν φάρμακον. εἰ δέ

concoctoria vis omnium frigidarum affectionum in nardo ſita, verum Creticam nardum injicere non oportet, neque omnino eam, quae apud nos naſcitur, quam montanam et herbam narditen magis quam nardum appellant. Eſt igitur Celtica nardus optimum medicamentum efficiens quaecunque etiam Indica nardus ſolet, verum ab ipſa viribus deficit, velut etiam a Celtica montana. Quemadmodum autem ex aromaticis appellatis medicamentis Philo ſolam nardum injecit, ſic poſterorum alius aliud appoſuit, aliqui etiam plura; quae vero apponuntur, ſunt flos junci odorati et caſſia, cinnamomum, amomum et coſtus. Quemadmodum autem rurſus crocum addidit, crudorum humorum concoctorium, itemque affectionum medicatarum, ſic alii myrrham et caſtorium admiſcuerunt. Plurimi autem ex ipſis, neque male in hoc facientes, et haec familiaria ſemina, de quibus etiam antea in confectionibus ex ſeminibus conſtantibus dictum eſt, addiderunt, quo videlicet amarorum medicamentorum injucunditatem mitigarent et totum medicamentum ad diſtributionem et urinae propulſionem inſtigarent. Si vero et humo-

Ed. Chart. XIII. [610. 611.] Ed. Baſ. II. (298)

τι καὶ λεπτῦναι δέοι πάχος χυμῶν, καὶ τοῦτο ἐργαζόμενα, λέγω δὲ καὶ σελίνου σπέρμα καὶ κυμίνου καὶ ἀνίσου καὶ δαύκου καὶ πετροσελίνου καὶ ὅσα τοιαῦτα. προσθήσω τοιγαροῦν ἤδη καὶ τὸ πλῆθος τῶν κατὰ μέρος ὑλῶν τοῖς πρὸ ἐμοῦ πεπειραμένων.

[611] [*Περὶ τῶν ὑπ' Ἀνδρομάχου γεγραμμένων κωλικῶν.*] *Πρώτη μὲν αὐτῶν γέγραπται κατὰ λέξιν οὕτως, κωλικὴ Κασσίου.* ℞ *ἀνίσου* ≺ *στ'. σελίνου σπέρματος* ≺ *ιβ'. νάρδου* ≺ *δ'. οἱ δὲ* ≺ *στ'. καστορίου* ≺ *γ'. πετροσελίνου* ≺ *δ'. οἱ δὲ* ≺ *γ'. πεπέρεως λευκοῦ* ≺ *ε'. καὶ μακροῦ* ≺ *ε'. σμύρνης* ≺ *στ'. σχοίνου* ≺ *γ'. ὀποῦ μήκωνος* ≺ *στ'. κρόκου* ≺ *γ'. ἀναλάμβανε μέλιτι ἑφθῷ, τινὲς καὶ κινναμώμου* ≺ *α'. ἢ κασσίας* ≺ *β'. ἡ τελεία δόσις, καρύου βασιλικοῦ μικροῦ σὺν ὕδατος θερμοῦ κυάθοις τρισὶ, τὸ δὲ ἐλάχιστον, Ποντικοῦ μικροῦ. κωλικὴ δευτέρα τῶν ὑπ' Ἀνδρομάχου γεγραμμένων ἐστὶν ἥδε, ἄλλως. ἡ Κασσίου ὡς Κρίσπος. ποιεῖ δὲ καὶ ἐπιτιθεμένη ἔξωθεν.* ℞ *ἀνίσου* ≺ *ιβ'. σελίνου σπέρματος* ≺ *κδ'. νάρδου Ἰνδικῆς ἴσον, καστορίου* ≺ *στ'. πετροσελίνου*

rum craſſitudo attenuari expetat, etiam hoc ipſum faciunt, dico autem apii ſemen, cumini, dauci, petroſelini, aniſi et quaecunque ejusmodi exiſtunt. Apponam igitur jam et copiam ac ſeriem particularium materierum, a prioribus medicis uſu ac experientia cognitarum.

[*De colicis ab Andromacho conſcriptis.*] Prima itaque ipſarum in haec verba ſcripta eſt. *Colica Caſſii.* ℞ Aniſi ʒ vj, ſeminis apii ʒ xij, nardi ʒ iiij, alii ʒ vi, caſtorii ʒ iij, petroſelini ʒ iiij, alii ʒ iij, piperis albi ʒ v et longi ʒ v, myrrhae ʒ vj, junci odorati ʒ iij, ſucci papaveris ʒ vj, croci ʒ iij, excipe melle cocto. Quidam etiam cinnamomi ʒ j aut caſſiae ʒ ij. Datur ad ſummum nucis regiae parvae magnitudo ex aquae calidae cyathis tribus, minimum nucis Ponticae magnitudo. Colica ſecunda ab Andromacho ſcripta haec eſt. *Colica Caſſii ut Criſpus. Facit et foris impoſita.* ℞ Aniſi ʒ xij, ſeminis apii ʒ xxiiij, nardi Indicae tantundem, caſtorii ʒ vj, ſeminis petroſelini ʒ xvj, myrrhae ʒ xij, pi-

Ed. Chart. XIII. [611.] Ed. Baſ. II. (298.)

σπέρματος ⊲ ιστ'. σμύρνης ⊲ ιβ'. πεπέρεως λευκοῦ ⊲ ιβ'. καὶ μακροῦ ⊲ ι'. σχοίνου ⊲ στ'. ὀπίου, κρόκου, κασσίας ἀνὰ ⊲ ιβ'. κόστου, ἀκόρου ἀνὰ ⊲ στ'. μέλιτι ἑφθῷ ἀναλάμβανε, δίδου καρύου Ποντικοῦ τὸ μέγεθος μεθ' ὕδατος κυάθων τριῶν. αὗται μὲν οὖν αἱ προγεγραμμέναι δύο διὰ φαρμάκων συνετέθησαν, ὑπὲρ ὧν ὀλίγον ἔμπροσθεν εἶπον. ἡ δ' ἐφεξῆς ἣ κεχρῆσθαί φησιν αὐτὸς, ἔχει τινὰ καὶ ἄλλα παρὰ τὰ πρόσθεν, ὁμογενῆ μὲν τῷ τε ὀπίῳ καὶ τῷ τοῦ ὑοσκυάμου σπέρματι, τόν τε τοῦ μανδραγόρου χυλὸν τῶν μήλων, ἤτοι τὸν τῆς ῥίζης αὐτοῦ καὶ τῶν τοῦ κωνείου. οὕτω δὲ καὶ τὸ Ποντικὸν φοῦ, τὸ μέν τι παραπλήσιον ἔχον τῇ νάρδῳ, τὸ δέ τι τῷ πετροσελίνῳ καὶ τοῖς οὐρητικοῖς σπέρμασι, τὸ δὲ τῆς ἀγρίας κράμβης σπέρμα τῶν λεπτυντικωτάτων τε καὶ ξηραίνειν καὶ διαφορεῖν ἱκανῶς δυναμένων. ἐκ δὲ τῶν οὐρητικῶν ἐστι καὶ τὸ μῆον καὶ τὸ ἄσαρον. ἡ δὲ Ἰλλυρὶς, ἣν οὐδὲ ὠνόμασεν Ἰλλυρικὴν ἶριν, πεπτικόν ἐστι καὶ λεπτυντικὸν φάρμακον. ἡ δὲ στοιχὰς ἄσηπτόν τε καὶ λεπτυντικὸν, αὐτὸ δὲ τὸ φάρμακον οὕτως ὑπὸ τοῦ Ἀνδρο-

peris albi ʒ xij et longi ʒ x, junci odorati ʒ vj, opii, croci, caſſiae, ſingulorum, ʒ xij, coſti, acori, utriusque ʒ vj, excipe melle cocto. Praebe nucis Ponticae magnitudine ex aquae calidae cyathis iij. Hae igitur praeſcriptae duae confectiones ex medicamentis, de quibus paulo ante dixi, compoſitae ſunt. Quae vero deinceps ſequitur, qua ſe uſum eſſe ipſe ait, habet etiam alia quaedam praeter priora, ejusdem generis cum opio et hyoſcyami ſemine exiſtentia, velut malorum mandragorae ſuccum, aut qui ex radice ipſius expreſſus eſt, et ſuccum cicutae. Habet item phu Ponticum, quod partim cardo Celticae, partim petroſelino et urinam cientibus ſeminibus ſimile exiſtit. At vero ſilveſtris braſſicae ſemen ex maxime attenuatoriis eſt et quae multum ſiccare ac diſcutere poſſunt, ex urinam cientibus eſt et meon et aſarum. Illyris vero, quam neque nominavit iridem Illyricam, concoctorium eſt et attenuatorium medicamentum. Stoechas autem a putrefactione vindicat et attenuat. Ipſum medicamen-

Ed. Chart. XIII. [611.] Ed. Baſ. II. (298.)

μάχου γέγραπται. κωλικὴ Τουλλίου ἧ χρῶμαι. ℞ μανδραγόρας χυλοῦ τῶν μήλων ≺ η'. ἢ τῆς ῥίζης τοῦ χυλοῦ ≺ ι'. φοῦ Ποντικοῦ ≺ η'. κράμβης ἀγρίας σπέρματος ≺ η'. κωνείου χυλοῦ ≺ ιστ'. κόστου, πεπέρεως λευκοῦ ἢ μακροῦ, σμύρνης, ὀπίου ἀνὰ ≺ η'. ὀποπάνακος ≺ στ'. στοιχάδος, δαύκου σπέρματος, μήου, ἀσάρου ἀνὰ ≺ ιβ'. κινναμώμου, Ἰλλυρίδος, ἀκόρου ἀνὰ ≺ η'. ἐφεξῆς τῶν προγεγραμμένων κωλικὴ παρὰ Ἀβασκάντου, ἣν εὗρον παρ' ἐμοὶ σύμφωνον. ℞ ἀνίσου ≺ ι'. σεσέλεως σπέρματος ≺ κ'. πετροσελίνου, νάρδου Ἰνδικῆς, πεπέρεως λευκοῦ καὶ μακροῦ ἀνὰ ≺ γ'. καὶ τετρόβολον, ὀπίου ≺ ι'. σμύρνης ≺ ι'. κυμίνου Αἰθιοπικοῦ, καστορίου ἀνὰ ≺ ε'. σχοίνου, κρόκου ἀνὰ ≺ ε'. μέλιτι ἑφθῷ σκεύαζε.

[*Κωλικὴ θαυμαστὴ ἧ χρῶμαι καὶ πρὸς τοὺς εἰλεώδεις καὶ οἷς κόπρος ἀνεμεῖται ἐν ταῖς μεγίσταις ἀλγηδόσιν, διδομένη ἡλίκον κύαμος ἐν κυάθοις τρισὶν ἢ τέσσαρσιν ὕδατος ψυχροῦ.*] ℞ *Πεπέρεως λευκοῦ, ὑοσκυάμου σπέρματος ἀνὰ* ≺ μ'. ὀπίου ≺ στ'. κρόκου ≺ ι'. ναρδοστάχυος, εὐφορβίου,

tum autem ſic deſcribitur. *Colica Tullii qua utor.* ℞ Succi, malorum mandragorae ʒ viij aut ſucci radicis ejusdem ʒ x, phu Pontici ʒ viij, ſeminis braſſicae ſilveſtris ʒ viij, ſucci cicutae ʒ xvj, coſti, piperis albi et longi, myrrhae, opii ſingulorum ʒ viij, opopanacis ʒ vi, ſtoechadis, ſeminis dauci, mei, aſari, ſingulorum ʒ xij, cinnamomi, Illyridis, acori, ſingulorum ʒ viij. *Sequitur poſt praeſcriptas colica Abaſcanti, quam apud me conſonam reperi.* ℞ Aniſi ʒ x, ſeminis ſeſeleos ʒ xx, petroſelini, nardi Indicae, piperis albi et longi, ſingulorum ʒ iij et obolos quatuor, opii ʒ x, myrrhae ʒ x, cumini Aethiopici, caſtorii, utriusque ʒ v, excipe ac praepara cum melle cocto.

[*Colica admirabilis, qua utor et ad volvuloſos et qui ſtercus ſurſum evomunt in magnis doloribus. Datur magnitudine fabae in aquae frigidae cyathis iij aut iiij.*] ℞ Piberis albi, ſeminis hyoſcyami, utriusque ʒ xl, opii ʒ vi, croci ʒ x, ſpicae nardi, euphorbii, pyrethri, ſingulo-

Ed. Chart. XIII. [611. 612.] Ed. Baſ. II. (298. 299.)

κνάθους δύο. ἄλλο. ♃ ἀμμωνιακοῦ θυμιάματος, πεπέρεως, ἀφρονίτρου ἀνὰ ⊰ α'. [629] βαλσάμου καρποῦ ⊰ β'. σμύρνης ⊰ δ'. ἀναλάμβανε προτρόπῳ καὶ ποίει καταπότια ἐρεβίνθου τὸ μέγεθος καὶ δίδου τρία καὶ οἴνου γλυκέος ἐπιῤῥοφείτω τεταρτημόριον, δίδου δὲ ἐπὶ ἡμέρας μή'. προλούων. (307) τροχίσκος διουρητικὸς, κατάγει λίθους καὶ παρώδεις ὑποστάσεις. ♃ ἀσάρου, πετροσελίνου, φοῦ, μήου ἀνὰ ⊰ δ'. ἀκόρου, ἀνίσου σπέρματος, δαύκου σπέρματος, ὀρεοσελίνου, καρποῦ βαλσάμου, τραγακάνθης ἀνὰ ⊰ β'. τὴν τραγάκανθαν γλυκεῖ διαλύσας, ἐπίβαλλε τοῖς ξηροῖς καὶ ἀνάπλαττε τροχίσκους καὶ δίδου τριώβολον μετὰ γλυκέος κεκραμένου κνάθων β'. ἄλλο Χαρικλέους, κατάγει ψαμμώδεις ὑποστάσεις, ποιεῖ πρὸς τὰς μεθ' ἕλκώσεως διαθέσεις. ♃ σελίνου σπέρματος, πετροσελίνου σπέρματος, ἀνίσου ἀνὰ ⊰ ισ'. σχοίνου ἄνθους, κρόκου, τραγακάνθης ἀνὰ ⊰ στ'. δαύκου Κρητικοῦ σπέρματος, πεπέρεως λευκοῦ ἀνὰ ⊰ δ'. σκεύαζε καθὰ προείρηται καὶ δίδου ⊰ α'. μετὰ προτρόπου κεκραμένου κνάθων γ'. Ἀντίδοτος ἡ διὰ τῶν λίθων, ὡς Μιθρι-

♃ Ammoniaci thymiamatis, piperis, ſpumae nitri, ſingulorum drach. j, carpobalſami ʒ ij, myrrhae ʒ iiij, excipe protropo et forma catapotia ciceris magnitudine, ac tria devoranda dato, ita ut vini dulcis quadrantem inſuper propines. Hoc ad dies xlviij, aegro praeloto facies. *Paſtillus ciens urinam, detrahit lapillos et tophoſas concretiones.* ♃ Aſari, petroſelini, phu, mei, ſingulorum ʒ iiij, acori, ſeminis aniſi, ſeminis dauci, apii montani, carpobalſami, tragacanthae, ſingulorum ʒ ij, tragacantham paſſo diſſolutam aridis adjicito et paſtillos formato, indeque obolos tres cum paſſi diluti cyathis duobus exhibeto. *Alius paſtillus Chariclis, educit arenoſas ſubſidentias, facit et ad affectiones ulceratas.* ♃ Seminis apii, ſeminis petroſelini, aniſi, ſingulorum ʒ xvj, floris junci odorati, croci, tragacanthae, ſingulorum ʒ vj, ſeminis dauci Cretici, piperis albi, utriusque ʒ iiij, praepara ut dictum eſt, et da ʒ j, cum protropi diluti cyathis tribus. *Antidotus ex lapidibus ut Mithridates,*

Ed. Chart. XIII. [629.] Ed. Baſ. II. (307.)

δάτης, ποιεῖ νεφριτικοῖς καὶ πρὸς τὰς περὶ κύστιν διαθέσεις θρύπτει λίθους καὶ πώρους διαλύει. ℞ σμυρνίου σπέρματος, κυπέρου, ναρδοστάχυος, μήκωνος λευκῆς σπέρματος, κινναμώμου, κασσίας σύριγγος, πεπέρεως λευκοῦ σταφυλίνου σπέρματος ἀνὰ γο α'. λιβάνου ἀτμήτου, σελίνου σπέρματος, κρόκου, στύρακος, ἴρεως, ἀμυγδάλων πικρῶν, ἀκόρου, ἑκάστου γο α' S''. λίθου Συριακοῦ θήλεος ἢ ἄρρενος γο S''. σμύρνης μιννάϊας γο β'. μέλιτι φύρα. ἡ δόσις καρύου Ποντικοῦ τὸ μέγεθος. ἄλλη ἡ τοῦ Βιεννίτου, φάρμακον ἐπιτετευγμένον, ἀνώδυνον, χρήσιμον καὶ νεφριτικοῖς καὶ πρὸς τὰς περὶ κύστιν ἑλκώσεις καὶ λίθους θρύπτει καὶ πηλὸν ἀπουρεῖν ποιεῖ. ℞ ἴρεως ≺ δ'. μήου, σεσέλεως, χαμαίδρυος, ὑπερικοῦ, κνεώρου, κάγχρυος, ἑκάστου τοσόνδε, ἀμώμου ≺ η'. κινναμώμου ≺ ιβ'. λιβανωτίδος ὀρεινῆς, νάρδου Ἰνδικῆς, κρόκου Κιλικίου, πετροσελίνου, πολίου, πηγάνου ἀγρίου σπέρματος, δικτάμνου Κρητικοῦ, ἑκάστου τὸ ἴσον, γλυκυῤῥίζης, λίθου Συριακοῦ ἄῤῥενος ἀνὰ ≺ ιστ'. θλάσπεως ≺ κδ'. ἄγνου καρποῦ, σμύρνης, σφονδύλου, ἑκάστου τοσόνδε, καρδαμώμου

facit nephriticis et ad veſicae affectus, atterit calculos et tophos diſſolvit. ℞ Seminis ſmyrnii, cyperi, ſpicae nardi, ſeminis papaveris albi, cinnamomi, caſſiae ſiſtulae, piperis albi, ſeminis paſtinacae, ſingulorum ʒ j, thuris non ſecti, ſeminis apii, croci, ſtyracis, iridis, amygdalarum amararum, acori, ſingulorum ʒ j ß, lapidis Syriaci foeminae aut maſculi, utriusque ʒ ß, myrrhae minaeae ſextantem, excipe melle. Datur nucis Ponticae magnitudine. *Alia antidotus Biennitae medicamentum accommodatum, ſedans dolorem. Utile et nephriticis affectibus et ad veſicae ulcerationes. Frangit lapides et lutum per urinam expellit.* ℞ Iridis ʒ iiij, mei, ſeſelis, chamaedryos, hyperici, cneori, canchryos, ſingulorum tantundem, amomi ʒ viij, cinnamomi ʒ xij, rosmarini montani, nardi Indicae, croci Cilicii, petroſelini, polii, ſeminis rutae ſilveſtris, dictamni Cretici, ſingulorum tantundem, glycyrrhizae, lapidis Syriaci maſculi, utriusque ʒ xvj, thlaſpeos ʒ xxiiij, ſeminis viticis, myrrhae, ſpondylii, ſingulorum tantundem, cardamomi ʒ xlviij, excipe

Ed. Chart. XIII. [629.] Ed. Baſ. II. (307.)

≺ μή. ἀναλάμβανε μέλιτι ἑφθῷ καὶ δίδου καρύου Ποντικοῦ τὸ μέγεθος καὶ οἰνομέλιτος κεκραμένου κυάθους δ'.

[Τὰ ὑπ' Ἀρχιγένους γεγραμμένα πρὸς τοὺς νεφριτικούς, ἐν τῷ δευτέρῳ τῶν κατὰ γένος φαρμάκων.] Τοὺς δὲ νεφριτικοὺς διαιτῶ προσηκόντως, ἐπιθεὶς μὲν κηρωτὴν ῥοδίνην μετὰ στύρακος, μαλαγματῶδες ποιήσας. σφόδρα ἔφη ἀξιολόγως ὁ παρὰ τῷ Φρίκῃ Λινοφόβῳ ἀντιπαθῶς βοηθεῖν εἰς ἀνασκευὴν, πρωτοτόμου καυλοῦ ἀφεψήματος κυ. β'. νήστει διδομένους ἐπὶ ἡμέρας θ'. ἐπίπασσε δὲ ἅλας ὀλίγους καὶ μᾶλλον ὀνίνησιν. ἄλλο. πότιζε ῥόδων φύλλων, ἀμυγδάλων λελεπισμένων, λιβάνου ἴσα, μήκωνος κωδυῶν τὸ διπλοῦν, προτρόπῳ ἀναλάμβανε καὶ εἰς κεραμεοῦν ἀγγεῖον ἀπόθου μὴ ἐν νοτίδι, δίδου δύο ὀβολοὺς μετὰ προτρόπου. ἔνιοι ἀντὶ τῶν ἀμυγδάλων ἄμυλον βάλλουσι, καὶ ἀντὶ προτρόπου ὕδατι μὲν ἀναλαμβάνουσι, ποτίζουσι δὲ μετὰ προτρόπου.

Κεφ. β'. [Περὶ ἰσχιάδος καὶ ποδάγρας καὶ ἀρθρίτιδος.] Ἐκ τοῦ γένους τῆς ἀρθρίτιδος ἥ τε ἰσχιὰς ἐστι καὶ ποδάγρα.

melle cocto et praebe nucis Ponticae magnitudinem cum vini mulſi diluti cyathis quatuor.

[*Quae Archigenes ad renum affectiones ſcripſit in ſecundo medicamentorum ſecundum genus.*] Nephriticos convenienti diaeta adſervo. Et ceratum quidem roſaceum cum ſtyrace ad malagmatis formam redactum impone. Caeterum Antiochus apud Phricen Linophobum, valde juxta naturalem contrarietatem auxilio fuiſſe ait ad mali everſionem prototomi caulis decocti cyathos duos jejuno ad dies novem exhibitos. Inſpergito autem ſalem modicum et magis proficies. *Alia potio.* ℞ Foliorum roſarum, amygdalarum decorticatarum, thuris, aequales partes, capitum papaveris duplum, excipe protropo et in vas fictile repone in loco non humido et obolos duos cum protropo exhibe. Quidam pro amygdalis amylum conjiciunt et pro protropo aqua excipiunt, verum cum protropo bibendum exhibent.

Cap. II. [*De iſchiade, podagra et arthritide.*] Ex genere arthritidis eſt tum iſchias tum podagra; quod enim

Ed. Chart. XIII. [629. 630.] Ed. Baſ. II. (307.)

ὅπερ γὰρ ἐν ἅπασι τοῖς ἄρθροις ἡ ἀρθρῖτις [630] ἐστὶ, τοῦτ' ἐφ' ἑνὸς μὲν τοῦ κατ' ἰσχίον ἰσχιάδα καλοῦσιν, ἐπὶ ποδὸς δὲ ποδάγραν. ἄρχεται μὲν οὖν ὡς τὰ πολλὰ καὶ ἡ τῆς ποδάγρας γένεσις ἐξ ἑνὸς ἄρθρου, προέρχεται δὲ ἐπὶ πάντα χρονίζουσα. κοινὸν δὲ τῶν τριῶν παθῶν ἐστι πλεονεξία χυμοῦ, καταλαμβάνουσα τὴν πάσχουσαν διάρθρωσιν, ἧς πληρωθείσης εἰς πάντα συμβαίνει τείνεσθαι τοῖς περικειμένοις νευρώδεσι μορίοις, κἀκ τούτων γίγνεσθαι τὴν ὀδύνην. ἐνίοτε μὲν οὖν ὁ κατασκήπτων χυμὸς αἱματικός ἐστιν, ὡς τὸ πολὺ δὲ φλεγματώδης ἢ μικτὸς ἐκ φλεγματώδους τε καὶ χολώδους ἢ καὶ σὺν αὐτοῖς αἵματος. ἀκριβέστερον δέ τις ἑρμηνεύων οὐ φλεγματώδη χυμὸν, ἀλλὰ τὸν ἰδίως ὀνομαζόμενον ὠμὸν, ἐπικρατεῖν ὡς τὸ πολὺ φαίη κατὰ τὰς ἀρθρίτιδας. ἔστι δὲ παχὺς οὗτος, ὁμοίως τῷ πύῳ τῷ παχεῖ. χρονίζων δὲ ἐν τοῖς ἄρθροις οὐ μόνον παχύτερος, ἀλλὰ καὶ γλισχρότερος γίνεται. τῶν τε οὖν ὀνομαζομένων πώρων ἡ γένεσις ἐκ τούτων, κἀπειδὰν γένωνται, μηκέτι ἐλπίσῃς εἰς τὴν ἀρχαίαν κατάστασιν

in omnibus articulis arthritis eſt, hoc in uno juxta coxendicem quidem iſchiada appellant, juxta pedem autem podagram. Incipit igitur plerumque podagrae generatio ex uno articulo et progreditur in omnes temporis diuturnitate accedente. Communem habent hi tres affectus humoris redundantiam, quae affectam occupat coarticulationem, qua expleta in omnem partem circumſitae nervoſae partis tenduntur et ex his dolor oritur. Aliquando quidem igitur irruens humor ſanguineus eſt, ut plurimum vero pituitoſus aut ex pituitoſo et bilioſo mixtus aut etiam ſanguine cum ipſis permixto. Quod ſi quis exactius interpretari rem velit, non pituitoſum humorem, ſed qui proprie crudus appellatur, ut plurimum in arthritide praedominari dixerit. Eſt autem hic craſſus ad ſimilitudinem puris craſſioris, ubi vero in ipſis articulis diutius moram traxerit, non ſolum craſſior, ſed et viſcoſior redditur. Eorum igitur qui tophi appellantur generatio ex his eſt, et poſtquam fuerint producti, ne ſperaveris ad priſtinam conſtitutionem exacte redire articulum

Ed. Chart. XIII. [630.] Ed. Baf. II. (307.)

ἀκριβῶς ἐπανελθεῖν δύνασθαι τὸ ἄρθρον. εὐφώρατοι δὲ αἱ διαφοραὶ τῶν λυπούντων χυμῶν εἰσι, ταῖς χροιαῖς καὶ τοῖς συμπτωμασι καὶ τῇ πείρᾳ τῶν προσφερομένων φαρμάκων. ἡ μὲν οὖν ἀπὸ τῆς χρόας διάθεσίς τε καὶ διάγνωσις αὐτῶν ἅπασι γνώριμος, ἡ δὲ ἀπὸ τῶν συμπτωμάτων εἰ καὶ μὴ πᾶσι μηδ' ἐκ προχείρου σαφὴς, ἀλλ' οὐδὲ χαλεπὴ γνωσθῆναι. τὸ γὰρ χολῶδες αἷμα θερμασίας πολλῆς αἴσθησιν ἐργάζεται τῷ κάμνοντι παροξύνεταί τε τῶν θερμαινόντων ἐπιτιθεμένων, ὥσπερ αὖ πάλιν ὑπὸ ψυχόντων ἀνίεται. πρὸς δὲ τὴν διάγνωσιν τοῦ λυποῦντος χυμοῦ συντελέσει σοι καὶ ἡ προγεγενημένη δίαιτα, διὰ γυμνασίων ἢ ἀργίας γεγονυῖα καὶ λουτρῶν ἐπὶ τροφαῖς ἢ πρὸ τροφῶν, ὥσπερ γε καὶ τούτων τῶν γυμνασίων καὶ ἐδεσμάτων ἥ τε ποσότης καὶ ἡ ποιότης, ἥ θ' ὥρα τοῦ ἔτους καὶ ἡ κατάστασις τοῦ χωρίου, ὥσπερ γε καὶ ἡ ἡλικία καὶ ἡ ἕξις τοῦ σώματος, ὧν ἁπάντων ἐν πολλοῖς πολλάκις τὰς δυνάμεις διῆλθον. ἀρχὴ δὲ ἔστω σοι τῆς θεραπείας ἡ τοῦ λυπεῖν εὐρεθέντος χυμοῦ κένωσις. εἰ μὲν πληθωρικὸν εἴη τὸ σῶμα, φλεβοτομίας πρῶτον ἁπάντων

poſſe. Caeterum differentiae affligentium humorum facile deprehendi poſſunt tum coloribus tum ſymptomatis coincidentibus, itemque per experientiam medicamentorum, quae adhibentur. Cognitio igitur ipſorum ex colore omnibus expoſita eſt, ex ſymptomatis vero coincidentibus, tametſi non omnibus neque ex procinctu manifeſta ſit, tamen non adeo difficilis cognitu exiſtit. Bilioſus enim ſanguis multae caliditatis ſenſum aegroto exhibet et calefacientibus impoſitis exacerbatur, quemadmodum rurſus a frigidis relaxatur. Verum ad humoris noxii cognitionem conferet tibi etiam praegreſſa diaeta, ſive per exercitia ſive per otium transmiſſa, et per balnea poſt aut ante acceptum cibum. Quemadmodum conferet etiam horum gymnaſiorum et eduliorum tum quantitas tum qualitas, item anni hora et regionis ac aëris conſtitutio, inſuperque et aetas et habitus corporis, quorum omnium facultates ſaepe in plerisque locis enarravi. Porro principium curationis ſit tibi evacuatio humoris quem affligere compereris, ac ſi plethoricum fuerit corpus, venae

Ed. Chart. XIII. [630.] Ed. Baſ. II. (307.)

παραλαμβανομένης, εἶτα καθάρσεως ἐφ' ᾗ ἡ τῶν ῥηθησομένων φαρμάκων ἐν καιρῷ καὶ τάξει προσήκουσα χρῆσις, ἐπὶ μὲν τῶν χειρῶν καὶ ποδῶν ἀποκρουστικοῖς τοῦ ῥεύματος χρωμένων ἡμῶν φαρμάκοις, ἐπὶ δὲ τῆς κατ' ἰσχίον διαρθρώσεως φυλαττομένων τοῦτο δρᾶν. ἐν βάθει γὰρ οὔσης αὐτῆς, συλλαμβάνεται τὸ ἐκ τῶν περιεχόντων ἀγγείων αἷμα καὶ μυῶν πρὸς ἐκείνην. παρηγορικῶν οὖν ἐν ἀρχῇ φαρμάκων χρεία, ἐπὶ τῆς κατ' ἰσχίον ὀδύνης οὔτε ψυχόντων ἱκανῶς οὔτε θερμαινόντων ἰσχυρῶς, ὁποίων ὕστερον δεῖται. παροξύνεται γὰρ ἐπ' αὐτῶν τὰ ῥεύματα, τῆς θερμασίας ἑλκούσης αὐτὰ μᾶλλον ἢ κωλυούσης. ἐπεὶ δὲ οὐ πρόκειται κατὰ τὴν ἐνεστῶσαν ἡμῖν πραγματείαν οὔτε περὶ καταπλασμάτων οὔτε περὶ ἐπιβροχῶν τι λέγειν, ἀλλὰ περὶ τῆς μεθόδου τῶν συνθέτων φαρμάκων, ἐπὶ ταύτην ἀφίξομαι μόνην, ἀπὸ τῆς ἰσχιάδος ἀρξάμενος, ὀλιγάκις ὑπὸ πλήθους αἵματος γινομένης καὶ θεραπευομένης γε τάχιστα τῶν κατὰ τὴν ἰγνύαν ἢ κατὰ τὰ σφυρὰ φλεβῶν τεμνομένων. ὥσπερ δὲ πολλάκις μόνη

ſection primum omnium aſſumpta, deinde purgatione, quibus accedat medicamentorum dicendorum conveniens et tempore et ordine uſus, ita ut in manibus et pedibus medicamentis fluxionem repellentibus utamur, circa coxendicum vero articulationem id facere vitemus, quum enim in profundo ea ſita ſit, ſanguis ex vicinis et ambientibus vaſis ac muſculis ad illam compellitur. Mitigatoriis igitur in principio medicamentis opus eſt in dolore circa coxendicem haerente, quae neque refrigerent multum neque vehementer calefaciant, qualibus ſane poſtea opus habet, exacerbantur enim per ipſas fluxiones, caliditate nimirum plus attrahente ipſas, quam impediente. Quandoquidem vero praeſentis operis inſtitutum eſt neque de cataplasmatis neque de irrigationibus quicquam dicere, ſed de methodo compoſitorum medicamentorum ad hanc ſolam progrediar initio ab iſchiade ſumpto. Raro equidem ſit iſchias ex ſanguinis multitudine, et citiſſime curatur, venis circa popliten aut talos ſectis. Quemadmodum autem ſaepe ſola ſan-

Ed. Chart. XIII. [630. 631.] Ed. Baſ. II. (307. 308)

ἡ ἐκ τοῦ αἵματος κένωσις αὐτάρκης γίνεται βοήθεια, κατὰ τοὐναντίον ἐπὶ πάσης ἰσχιάδος, ἐξαιρέτως δὲ ἐπὶ τῆς διὰ πλῆθος, ἄν τις πρὸ τοῦ κενωθῆναι τὸ πᾶν σῶμα δριμέσι φαρμάκοις χρήσεται κατὰ τοῦ πεπονθότος μορίου, δυσιατοτάτην ἐργάσεται τὴν διάθεσιν, [631] σφηνουμένου τοῦ πλήθους αὐτόθι δυσλύτως. πρὸς γὰρ τοῖς ἄλλοις καὶ παχύνεται καὶ γλίσχρον γίγνεται (308) τῇ θερμότητι καὶ ξηρότητι τῶν δριμέων φαρμάκων, ὀπτήσει τι παραπλήσιον πάσχον. ὡς οὖν μεγίστην δύναμιν ἐς θεραπείαν ἐχούσης ἐπὶ τοῦ πάθους τῆς τοῦ παντὸς σώματος κενώσεως, ἀπ' αὐτῆς ἀρκτέον, οὐ μόνον ἀπὸ τῶν σκελῶν, ἀλλὰ καὶ ἀπ' ἀγκῶνος ἀφαίρεσιν ποιουμένοις. ὠφελοῦσι δὲ καὶ οἱ ἔμετοι τοὺς ἰσχιαδικοὺς μᾶλλον τῶν διὰ τῆς κάτω γαστρὸς κενώσεων, ἀντισπῶντες τὸν κάτω ῥέποντα χυμόν. ποιητέον δὲ αὐτοὺς ἐν ἀρχῇ μὲν μετὰ τροφῆς, ὕστερον δὲ καὶ διὰ φαρμάκων ἐμετικῶν, ἀρχομένους ἐπὶ τούτων ἀπὸ τῶν μετριωτέρων. ἐφ' ὧν δὲ σφηνωσις ἐγένετο σφοδρὰ καὶ δύσλυτος ὑπὸ τῶν ἀκαίρως χρησαμένων ἰατρῶν φαρμάκοις δριμέοιν, ἡ σικύα βοήθεια μεγίστη καὶ ἡ

guinis evacuatio ſufficiens auxilium exiſtit, ſic contra in omni iſchiade et praeſertim ea, quae ex humorum copia exorta eſt, ſi quis ante evacuationem totius corporis acribus medicamentis circa partem affectam utatur, aegre curabilem reddet affectionem, copia nimirum indiſſolubiliter ibidem condenſata, praeter alia enim et craſſa et viſcoſa fit ob calorem et ſiccitatem acrium medicamentorum, non diſſimile quippiam aſſationi perpetiens. Tanquam igitur maximam vim ad affectionis curationem habeat totius corporis evacuatio, ab ipſa incipiendum eſt, non ſolum a cruribus, ſed a cubito primum ſanguinis detractatione facta. Auxiliantur etiam vomitus ipſis iſchiadicis magis utique quam evacuationes infernae per ventrem, ut qui revellant repentem deorſum humorem. Faciendi itaque ſunt vomitus in principio ab accepto cibo, poſtea vero etiam per vomitoria medicamenta, initio a mediocribus facto. In quibus autem vehemens humorum denſatio, quae aegre diſſolvi poteſt, a medicis intempeſtive acribus medicamentis utentibus facta

Ed. Chart. XIII. [631.] Ed. Baſ. II. (308.)

διὰ τῶν καθαρτικῶν γίγνεται κλυσμάτων, ὁποῖός ἐστι καὶ ὁ διὰ τῆς κολοκυνθίδος. ἔχοντες οὖν πρὸ ὀφθαλμῶν ταῦτα τὰ νῦν εἰρημένα, τοῖς γεγραμμένοις φαρμάκοις ὑπὸ τῶν ἐμπροσθεν ἕξετε χρῆσθαι κατὰ μέθοδον· ἄρξομαι δ' ἐν αὐτοῖς ὑπὸ τῶν ὑπ' Ἀνδρομάχου γεγραμμένων ἐν ἐκείνῳ τῷ μέρει τῆς τῶν ἐκτὸς φαρμάκων βίβλου, καθὰ προγράψας μαλάγματα πρὸς τοῖς κυρίοις ὀνομαζομένοις, οὕτω καὶ τὰ ἄλλα γράφει πάντα τὰ καθ' ὁντινοῦν τρόπον ὠφελοῦντα τὰς χρονιζούσας διαθέσεις, ἐν αἷς ἐστι καὶ ἡ τῶν ἰσχιαδικῶν ὀνομαζομένων.

[*Αἱ ὑπ' Ἀνδρομάχου γεγραμμέναι δυνάμεις αὐτοῖς ὀνόμασιν, ἐν τοῖς τῶν ἐκτὸς πρὸς ἰσχιαδικούς.*] ♃ *Πηγάνου ἀγρίου σπέρματος* ⊰δ'. *σιλφίου, δαφνίδων ἀνὰ* ⊰δ'. *ἀφρονίτρου, ἀβροτόνου, κολοκυνθίδος, καρδαμώμου, ἄμμεως ἀνὰ* ⊰δ'. *πηγάνου χλωροῦ μνᾶς ὄγδοον, τινὲς τούτων ἀνὰ* ⊰κ'. *πίσσης τερμινθίνης, ῥητίνης, κηροῦ τὸ ἴσον καὶ στέατος ταυρείου ἴσον, χαλκάνης* ⊰στ'. *ἀμμωνιακοῦ θυμιάματος* ⊰στ'.

eſt, his cucurbita affixa maxime auxiliatur et purgatio per eſficaciora infuſa, quale eſt et quod ex colocynthide conſtat. Si igitur ea, quae nunc dicta ſunt prae oculis habueritis, medicamentis ſane a prioribus medicis traditis juxta methodum utemini. Verum in ipſis recenſendis auſpicabor ab iis, quae ab Andromacho ſcripta ſunt in illa parte libri de externis medicamentis conſcripti, in qua praeſcriptis malagmatis proprie appellatis, inde etiam alia omnia prodit, juxta quemcunque tandem modum inveteratos affectus juvantia, in quibus eſt etiam iſchiadicorum appellatorum cura.

[*Compoſitiones ab Andromacho conſcriptae ad iſchiadicos ipſis verbis, in libris externorum.*] ♃ Seminis rutae ſilveſtris ℥ iiij, ſilphii, baccarum lauri, ſingul. ℥ iiij, ſpumae nitri, abrotoni, colocynthidis, cardamomi, ammeos, ſingul. ℥ iiij, rutae viridis minae octavam partem. Quidam horum ſingulorum ℥ xx accipiunt, et picis terebinthinae, reſinae, cerae, ſingulorum tantundem, adipis taurini tantundem, galbani ℥ vj, ammoniaci thymiamatis ℥ vj, opopanacis ℥ iiij.

Ed. Chart. XIII. [631.] Ed. Baſ. II. (308.)

ὀποπάνακος ⊰ δ'. θείου ἀπύρου ⊰ δ'. ὅτι τοῦτο φάρμακον ἰσχυρῶς ἐστι θερμαντικὸν, εἴ τι μεμνήμεθα τῶν ἔμπροσθεν γεγραμμένων πολλάκις ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, οὐδὲν ἔτι δεησώμεθα λόγου καινοτέρου. σφοδρότατον γὰρ καὶ θερμαντικώτατόν ἐστι τὸ φάρμακον ἀγρίου πηγάνου σπέρμα, σὺν τούτῳ δὲ σίλφιον καὶ δαφνίδες, εἶτα τὸ ἀφρόνιτρον, μετὰ ταῦτα καὶ ἀβρότονον, ἐφ' οἷς ἡ κολοκυνθὶς καὶ τὸ καρδάμωμον καὶ τὸ καλούμενον ἄμμι καὶ τὸ χλωρὸν δὲ πήγανον, ἧττον μὲν τούτων, οὐ μὴν εὐκαταφρόνητον ἔχει τὴν θερμασίαν, ὥσπερ οὐδὲ τὸ θεῖον ἄπυρον. ἐκ βάθους οὖν ἕλκειν πάντα ταῦτα δύναται, τοὺς λυποῦντας τὸ κατ' ἰσχίον ἄρθρον χυμούς. ὅπως δὲ ἔμπλαστρος ἐξ αὐτῶν γένηται, πίττης τε τερμινθίνης καὶ ῥητίνης καὶ κηροῦ καὶ στέατος ἔμιξε, συνθεὶς τὸ φάρμακον. ἀμμωνιακὸν δὲ θυμίαμα καὶ χαλβάνη πρὸς τῷ συντελεῖν εἰς ἐμπλάστρου σύνθεσιν, ἔτι καὶ μαλακτικὸν ἔχει τι καὶ παρηγορικόν. ὁ δὲ ὀποπάναξ ἐκ ταὐτοῦ μὲν αὐτοῖς ἐστι γένους, ἰσχυροτέραν δὲ δύναμιν ἔχει. ἑτέραν δὲ δύναμιν πρὸς αὐτὸ τὸ πάθος

ſulfuris vivi ʒ iiij. Quod hoc medicamentum valde calefactorium ſit, ſi memoria tenuerimus ea, quae in libris de ſimplicium medicamentorum facultate ſcripta ſunt, nihil opus recentiore aſſertione. Eſt enim vehementiſſimum et calidiſſimum medicamentum ſilveſtris rutae ſemen et cum eo ſilphium et baccae lauri, deinde ſpuma nitri. Poſt haec abrotonum, indeque colocynthis et cardamomum et ammi. Ruta etiam viridis minus quidem his, non tamen contemnendam habet caliditatem, quemadmodum neque ſulfur vivum. Ex profundo itaque attrahere omnia haec poſſunt humores articulum coxendicis vexantes. Quo vero emplaſtrum ex ipſis fieret, picem et terebinthinam, reſinam et ceram ac adipem admiſcuit is, qui medicamentum compoſuit. Verum ammoniacum thymiama et galbanum, ultra hoc quod conferunt ad emplaſtri compoſitionem, etiam emolliendi ac mitigandi vim quandam habent. Opopanax vero ejusdem cum ipſis eſt generis, ſed vehementiori facultate praeditus. Alteram porro compoſitionem ad eandem affectionem An-

Ed. Chart. XIII. (631. 632.) Ed. Baſ. II. (308.)

ὁ Ἀνδρόμαχος οὕτως ἔγραψεν. ἄλλο μάλαγμα πρὸς ἰσχιαδικοὺς καὶ ἄλλα πολλά. ℞ κηροῦ ≺ οβ'. τερμινθίνης ≺ μή'. ἀμμωνιακοῦ θυμιάματος ≺ λγ'. προπόλεως ≺ μγ'. χαλβάνης ≺ λστ'. βδελλίου ≺ κε'. κρόκου ≺ ε'. ὀποπάνακος ≺ ιβ'. νίτρου ἀφροῦ ≺ λ'. μύρῳ ἰρίνῳ κόπτων παράπτου. ἄλλο Πρωτᾶ Πηλουσιώτου πρὸς ἰσχιαδικοὺς καὶ κεφαλαλγικοὺς καὶ πρὸς πάντα τὰ χρόνια ἀλγήματα δυνάμενον ἁρμόττειν τόδε. [632] ℞ κηροῦ ≺ κδ'. ἀμμωνιακοῦ θυμιάματος ≺ ζ'. τερμινθίνης ≺ ζ'. θαψίας χυλοῦ ≺ η'. ἐλαίου κύαθον ἕνα. καὶ ἄλλην δὲ δύναμιν ἐν τοῖς μαλάγμασιν ὁ Ἀνδρόμαχος ἔγραψεν ὧδί πως. πρὸς ἰσχιαδικοὺς παρὰ Ἥρα Καππάδοκος. ℞ πίσσης ὑγρᾶς κο. γ' ἢ β' S''. κηροῦ λίτραν α'. πιτυΐνης λίτραν α'. θείου ἀπύρου λίτραν α'. νίτρου λίτραν μίαν S''. σταφίδος ἀγρίας ξε. α'. πυρέθρου λίτρας S''. οἴνου τρυγὸς κεκαυμένης λίτρας β'. καρδαμώμου ξε. α'. χαλβάνης λίτρας S''. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. τοῦτο τὸ φάρμακον καὶ αὐτὸς ὁ Ἥρας ἐν τῷ ἰδίῳ βιβλίῳ τῆς τελευτῆς πλησίον ἔγραψεν. οὐ πρόσκειται δὲ ἐν αὐτῷ ἐπὶ τῆς πίσσης τὸ β'.

dromachus ſic ſcripſit. *Aliud malagma ad iſchiadicos et alia multa.* ℞ Cerae ʒ lxxij, terebinthinae ʒ xlviij, ammoniaci thymiamatis ʒ xxxiij, propoleos ʒ xliij, galbani ʒ xxxvj, bdellii ʒ xxv, croci ʒ v, opopanacis ʒ xij, ſpumae nitri ʒ xxx, unguento irino admoto tundito. *Aliud Protae Peluſiotae ad coxendicum et capitis dolorem et ad omnes diuturnos dolores.* ℞ Cerae ʒ xxiiij, ammoniaci thymiamatis ʒ vij, terebinthinae drachmas ſeptem, ſucci thapſiae ʒ viij, olei cyathum unum. Quin et aliam compoſitionem inter malagmata Andromachus retulit hoc modo. *Ad iſchiadicos ab Hera Cappadoce* ℞ Picis liquidae heminas tres aut duas et dimidiam, cerae libram unam, reſinae pini lib. unam, ſulfuris vivi libram unam, nitri ſeſquilibram, ſtaphidis ſilveſtris ſextarium unum, pyrethri libram dimidiam, faecis vini uſtae libras duas, cardamomi ſextarium unum, galbani libram dimidiam, arida cum liquidis committito. Hoc medicamentum etiam ipſe Heras in proprio libro prope finem ſcripſit, ſed non appoſitum eſt ad picem aut duas et

Ed. Chart. XIII. [632.] Ed. Baſ. II. (308.)

ἢ S″. ἀλλ' ἁπλῶς γέγραπται κο. γ'. προέγραψε δὲ αὐτῆς κατὰ λέξιν οὕτως. κηρωτὴ πρὸς ἰσχιαδικοὺς, ἀνασκευάζουσα καὶ τὰς λίαν κεχρονισμένας διαθέσεις, ταύτῃ ἐχρησάμην πρὸς ἀνασκευὴν ἐπὶ Φροντίνου. ℔ πίσσης ὑγρᾶς κοτύλας γ'. κηροῦ λίτραν α'. πιτυΐνης λίτραν α'. θείου ἀπύρου λίτραν α'. νίτρου λίτραν α'. σταφίδος ἀγρίας ξε. α'. πυρέθρου λίτρας S″. οἴνου τρυγὸς κεκαυμένης λίτρας β'. καρδαμώμου ξε. α'. χαλβάνης λίτρας S″. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. ἔγραψε δὲ καὶ ἄλλας ἰσχιαδικὰς ὁ Ἥρας δύο δυνάμεις, ὧν ἡ μὲν ἑτέρα τόνδε τὸν τρόπον ἔχει. πρὸς ἰσχιαδικοὺς παρηγορικὴ λίαν. ℔ πίσσης μέρη δύο, θείου ἀπύρου μέρος ἕν, λεῖα ἀμφότερα μίξας, σύμπλασσε τὸν ἀλγοῦντα τόπον, προλούσας δὲ τὸν πάσχοντα χρῶ ἵνα κολληθῇ τὸ φάρμακον, καὶ ἄνωθεν ἐπίῤῥιπτε χάρτην καὶ ἔα μέχρις ἀφ' ἑαυτοῦ ἀποστῇ, ἐνδέχεται δὲ λούεσθαι ἔχοντα τὴν χάρτην. ἔν τισι τῶν ἀντιγράφων πίσσης μέρος ἕν, καὶ δυνατόν ἐστι καὶ οὕτως αὐτὸ σκευασθῆναι, γιγνωσκόντων ἡμῶν ὅτι πρακτικώτερόν ἐστι τὸ ἴσα μιγνύναι ἀμφότερα, τὴν πίσσαν καὶ τὸ θεῖον ἄπυρον. ἀσθε-

dimidiam, ſed ſimpliciter ſcriptum eſt heminas tres. Praeſcripſit autem haec verba. Ceratum ad iſchiadicos, quod eruit etiam valde inveteratos affectus; hoc uſus ſum in Frontino. ℔ Picis liquidae heminas tres, cerae libram unam, reſinae pineae libram unam, ſulfuris vivi libram unam, nitri libram unam, ſtaphidis ſilveſtris ſextarium unum, pyrethri libram dimidiam, faecis vini uſtae libras duas, cardamomi ſextarium unum, galbani libram dimidiam, liquida cum ſiccis miſce. Scripſit autem et alias duas iſchiadicas compoſitiones Heras, quarum altera hoc modo habet. *Ad iſchiadicos valde mitigatoria.* ℔ Picis partes duas, ſulfuris vivi partem unam, utraque trita mixta dolenti loco impono. Verum praelavare aegrum oportet, ut medicamentum agglutinetur et ſuperne chartam ſuperponere, ac ſinere donec ſua ſponte dilabatur, licet etiam lavare charta ſuprapoſita adhuc incumbente. In quibusdam exemplaribus, picis pars una habetur, et licet etiam ſic praeparare, modo ſciamus nos efficacius eſſe ambo pari menſura miſceri. Debilius

Ed. Chart. XIII. [632.] Ed. Baſ. II. (308.)

νέστερον δὲ ἐφ᾽ οὗ ἡ πίσσα διπλασία τοῦ θείου βάλλεται. ἡ δὲ λοιπὴ, καὶ ταύτῃ τῶν ἰσχιαδικῶν δυνάμεων, οὕτως ὑπὸ τοῦ Ἥρα γέγραπται.

[Ἄλλη ἰσχιαδική. ταύτῃ ἐχρησάμην ἐπὶ Φροντίνου, εὐθὺς ἐπὶ τῶν παροξυσμῶν.] ℞ Κηροῦ ≺ ρ΄. ἰξοῦ δρυΐνου ≺ ιστ΄. σμύρνης ≺ στ΄. τερμινθίνης ≺ κ΄. χαλβάνης ≺ στ΄. ἴρεως Ἰλλυρικῆς ≺ στ΄. κεδρίας κοτύλης τὸ ἥμισυ, κυπρίνου, κοτύλης S″. τὸν κηρὸν καὶ τὴν κεδρίαν μετὰ τοῦ κυπρίνου τῆξον, εἶτα τὴν ῥητίνην καὶ τὴν χαλβάνην. ὅταν δὲ μέλλῃς αἴρειν, ἐπίπασσε τὴν ἶριν καὶ τὸν ἰξόν. ἠρμένης δὲ τῆς λοπάδος, ἔστω λελειωμένη ἡ σμύρνα, εἶτα τὰ τηκτὰ κατάχει καὶ μίξας χρῶ. ἔνιοι καὶ νίτρου προσέβαλλον ≺ ε΄.

[Τὰ ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένα ἐν τῷ τετάρτῳ τῶν ἐκτὸς, ἃ Μαρκέλλας ἐπιγράφει.] Ὀνομάζει μὲν καὶ οὗτος ἅπαντα τὰ τοιαῦτα μαλάγματα. προστίθησι δὲ τοῖς μὲν ὅτι πρὸς ἰσχιάδα, τοῖς δὲ ὅτι πρὸς σπλῆνα, τοῖς δὲ πρὸς πλευρὰν ἢ ἄλλο τι μέρος. ἔνια δὲ καὶ πολύχρηστά φησιν εἶναι,

vero medicamentum, in quo duplum picis ad ſulfur conjicitur. Porro quae reſtat adhuc tertia compoſitionum iſchiadicarum, hoc modo ab Hera prodita eſt.

[*Alia iſchiadica. Hac uſus ſum in Frontino, ſtatim in exacerbationibus.*] ℞ Cerae ʒ c, viſci quercini ʒ xvj, myrrhae ʒ vj, terebinthinae ʒ xxv, galbani ʒ vj, iridis Illyricae ʒ vj, cedriae heminam dimidiam, cyprini heminam dimidiam, ceram et cedriam cum cyprino liquefacito, deinde reſinam et galbanum, atque ubi jam ab igne auferre voles, iridem inſpergito, itemque viſcum indito. Ablata autem jam olla in promptu ſit tibi myrrha trita, ad quam liquefacta diffundes et mixtis ſimul omnibus uteris. Quidam ſupra haec omnia etiam nitri ʒ v addiderunt.

[*Quae medicamenta Aſclepiades in quarto externorum prodidit, quae Marcellae inſcribit.*] Nominat equidem et hic omnia hujusmodi malagmata, apponit autem aliis, quod ad iſchiada, aliis quod ad ſplenem, aliis ad latus aut aliam aliquam partem conducant, quaedam etiam varii uſus

Ed. Chart. XIII. [632. 633.] Ed. Baſ. II. (308. 309)

καθάπερ καὶ τόδε γεγραμμένον ὑπ' αὐτοῦ κατὰ λέξιν οὕτως. μάλαγμα Ἀντιοχίδος, σπληνικοῖς, ὑδρωπικοῖς, ἰσχιαδικοῖς, ἀρθριτικοῖς, ἐσκευάσθη Φαβίλλῃ Λιβυκῇ. ♃ κηροῦ λίτρας τρεῖς, δρυΐνου ἴξοῦ λίτρας γ'. ῥητίνης τερμινθίνης λίτρας γ'. μυροβαλάνου πιέσματος [633] λίτραν α'. νίτρου ἀφροῦ λίτραν α'. λίθου Ἀσίου τοῦ ἄνθους λίτραν α'. ἀμμωνιακοῦ θυμιάματος λίτραν α'. ἐλαίου κυπρίνου λίτρας τρεῖς, ὄξους ὡς τὸ ἀμμωνιακὸν διαλῦσαι. (309) μετὰ τοῦτο γράφει ἐφεξῆς πάλιν οὕτως. ἄλλο Φαβίλλῃ συντεθὲν, σφόδρα γενναῖον πρὸς τὰς αὐτὰς διαθέσεις. ♃ σμύρνης στακτῆς λίτρας β'. βδέλλης ὄνυχος λίτρας β'. μυελοῦ ἐλαφείου λίτρας β'. ἀμμωνιακοῦ θυμιάματος λίτρας β'. ἴρεως ξηρᾶς λίτρας δύο, ὀποπάνακος λίτραν μίαν, χαλβάνης, στύρακος ἀνὰ λίτραν α'. μαστίχης λίτραν α'. λίθου Ἀσίου τοῦ ἄνθους λίτραν α'. ὑποῦ συκομόρων λίτραν α'. κάγχρυος λίτραν α'. πεπέρεως λευκοῦ λίτραν α'. κηροῦ, τερμινθίνης ἀνὰ λίτρας ε'. κοπτέον ἐστὶ τὸ φάρμακον καὶ δεῖ κόπτοντα παράπτεσθαι ἰρίνου μύρου τῇ ὑποστάθμῃ, ἕως ἂν εὐαφέστερον γένηται τὸ φάρμακον. ἕτερον ἐφεξῆς ἔγραψεν ὁ Ἀσκληπιάδης οὕτως. μά-

eſſe ait, quemadmodum etiam hoc ſcriptum ab ipſo in haec verba. *Malagma Antiochidis, ſplenicis, hydropicis, iſchiadicis, arthriticis. Praeparatum eſt Fabullae Libycae.* ♃ Cerae libras tres, viſci quercini lib. tres, reſinae terebinthinae lib. tres, magmatis myrobalani lib. ℔ j, ſpumae nitri lib. j, floris lapidis Aſii lib. j, ammoniaci thymiamatis ℔ j, olei cyprini lib. iij, acetum ad ammoniacum diſſolvendum. Poſt hoc ſcribit rurſus aliud ſic. *Aliud Fabullae compoſitum valde praeclarum ad eosdem affectus.* ♃ Myrrhae ſtactae lib. ij, bdellii onychis lib. ij, medullae cervinae lib. ij, ammoniaci thymiamatis lib. ij, iridis ſiccae lib. ij, opopanacis lib. j, galbani, ſtyracis, utriusque lib. j, maſtiches lib. j, floris lapidis Aſii lib. unam, ſucci ſycomororum lib. j, canchryos lib. unam, piperis albi lib. unam, cerae, terebinthinae, utriusque lib. v, tundendum eſt medicamentum, ita ut qui tundit faecem unguenti irini adhibeat, quo mollius medicamentum fiat. Aliud deinceps Aſclepiades ſcri-

Ed. Chart. XIII. [633.] Ed. Baſ. II. (309.)

λαγμα ὃ καὶ χρυσίζουσαν καλοῦμεν. ℞ ἀρσενικοῦ χρυσίζοντος, ἀσβέστου ἀνὰ γο β′. στυπτηρίας ὑγρᾶς γο β′. στυπτηρίας σχιστῆς γο β′. τὰ ξηρὰ κόπτομεν καὶ σήθομεν καὶ εἰς θυείαν βάλλοντες, τούτοις ἐπιβάλλομεν ὄξους κυάθους η′. καὶ λεάναντες ἐπιμελῶς ἀναλαμβάνομεν τοῖς τηκτοῖς. ἔστι δὲ ταῦτα. ℞ κηροῦ, ῥητίνης φρυκτῆς καὶ πιτυΐνης ἀνὰ λίτρας β′. ἐλαίου κοινοῦ κυάθους η′. ταῦτα τήξαντες ἐῶμεν ψυγῆναι καὶ ἀναξύσαντες ἐπιβάλλομεν τοῖς λεανθεῖσιν. ἡμεῖς προστεθείκαμεν τῇ τοῦ φαρμάκου σκευασίᾳ σμύρνης γο β′. καὶ ἕτεροι δὲ προστιθέασι καὶ σανδαράχης γο β′. ὑφαιροῦντες τὰς δύο γο τῆς ὑγρᾶς στυπτηρίας. ἡμεῖς δὲ ἐμβάλλοντες πάντα τὰ ὑπογεγραμμένα σκευάζομεν, καὶ γίνεται δραστικώτερον. μετὰ τὸ προγεγραμμένον ἕτερον ἐγραψεν οὕτως. τούτῳ ἐχρήσατο Ἀνδρόμαχος, ποιεῖ σπληνικοῖς, ὑδρωπικοῖς καὶ πρὸς τὰς τῶν ὑποχονδρίων διατάσεις, ποιεῖ ἰσχιαδικοῖς, ἀρθριτικοῖς καὶ πρὸς τὰς κεχρονισμένας διαθέσεις. ℞ κηροῦ, πίσσης Βρυτίας ἀνὰ λίτραν α′. ἀντὶ τῆς πίσσης ῥητίνην φρυκτὴν βάλλομεν, ῥητίνης πιτυΐνης λίτραν α′. ἐλαίου κυ-

pſit hoc modo. *Malagma quod et aurei coloris appellamus.* ℞ Auripigmenti auricoloris, calcis vivae, utriusque ſextantem, aluminis liquidi ℥ ij, aluminis ſciſſi ℥ ij, arida tundimus et cribramus et in pilam conjectis aceti cyathos octo affundimus et probe trita liquefactis excipimus. Sunt autem haec. ℞ Cerae, reſinae frictae et pinus, ſingulorum lib. ij, olei communis cyath. viij, haec liquefacta frigefieri ſinimus et eraſa tritis admiſcemus. Nos ad medicamenti praeparationem etiam myrrhae ſextantem addimus. Alii etiam ſandarachae ſextantem apponunt, aluminis liquidi ſextante ſublato. Nos autem conjectis omnibus praeſcriptis conficimus et fit efficacius. Poſt praeſcriptum aliud ſubdidit hoc modo. *Hoc uſus eſt Andromachus. Facit ſplenicis, hydropicis et ad praecordia diſtenta. Facit iſchiadicis, arthriticis et ad inveteratos affectus.* ℞ Cerae, picis Brutiae, utriusque lib. j, nos pro pice reſinam frictam indimus, reſinae pinus lib. j, olei cyath. viij, auripigmenti

Ed. Chart. XIII. [633.] Ed. Baſ. II. (309.)

ἄθους ἡ. ἀρσενικοῦ χρυσίζοντος, στυπτηρίας σχιστῆς, ἀσβέστου ἀνὰ γο β'. σκεύαζε καθὰ προείρηται, ἡμεῖς προσεθήκαμεν τῷ φαρμάκῳ σμύρνης γο β'. ἴξοῦ δρυΐνου γο δ'. μετὰ τὰ προειρημένα διελθὼν ἕτερά τινα πρὸς ὑδρωπικοὺς καὶ σπληνικούς· αὖθις ἔγραψε πολύχρηστον δύναμιν, ἣν καὶ τοῖς ἰσχιαδικοῖς ἁρμόττειν φησὶν ὡδί πως. Ἀνδρέου μάλαγμα. δύναμις θαυμαστὴ πρὸς ἃ βούλει κατατρῆσαι, διαλῦσαι, ἐξισῶσαι ἀνάγει ὀστᾶ ἐφθορότα, σκόλοπας, ἀκίδας. ἀναγέγραπται δὲ καὶ Σεραπίωνι τῷ ἐμπειρικῷ. ποιεῖ καὶ πρὸς ἰσχιαδικούς, χρήσιμόν ἐστι καὶ τοῖς ἐμπυϊκοῖς. ποιεῖ καὶ πρὸς τὰς σκιῤῥώδεις τῶν σπλάγχνων διαθέσεις. ἔστι δὲ καὶ ἄκοπος ἀγαθη παρειμένοις χρονίοις, διεστραμμένοις μέρος τι τοῦ σώματος. ποιεῖ καὶ πρὸς τὰ λιπανθέντα, ὥστε ἀνάγειν τὰ ἀλλότρια καὶ τὸ ἕλκος εἰς οὐλὴν ἄγειν. ℔ κόκκου κνιδίου κεκαθαρμένου, νίτρου ἐρυθροῦ, ἁλὸς ἀμμωνιακοῦ, ἀριστολοχίας Κρητικῆς, σικύου ἀγρίου ῥίζης, τερμινθίνης ἀνὰ ≺ κ'. πεπέρεως στρογγύλου καὶ μακροῦ, ἀμμωνιακοῦ θυμιάματος, τινὲς καὶ τοῦ ἀμώμου καὶ τοῦ ξυλοβαλσάμου ἀνὰ ≺ ι'.

auricoloris, aluminis ſciſſi, calcis vivae, ſingulorum ʒ ij, praepara ut dictum eſt. Nos appoſuimus ad medicamentum myrrhae ſextantem, viſci quercini trientem. Poſt relata alia quaedam ad hydropicos et ſplenicos recenſet et inde rurſus multi uſus compoſitionem tradit, quam etiam iſchiadicis convenire ait, hoc modo. *Andreae malagma. Compoſitio admiranda ad ea quae velis perforare, diſſolvere, adaequare. Educit oſſa corrupta, aculeos et inſixa. Deſcriptum eſt etiam a Serapione empirico. Facit et ad iſchiadicos, commodum eſt ſuppuratis, facit et ad induratos viſcerum affectus. Eſt et acopon bonum diutinis reſolutionibus et diſtortis corporis partibus. Facit etiam ad ea, quae pingui mucore obſeſſa ſunt, educit enim aliena et ulcus ad cicatricem perducit.* ℔ Grani cnidii purgati, nitri rubri, ſalis ammoniaci, ariſtolochiae Creticae, radicis cucumeris ſilveſtris, terebinthinae, ſingulorum drach. viginti, piperis rotundi et longi, ammoniaci thymiamatis et, ut quidam volunt, amomi et xylobalſami, ſingulorum drach. x, thuris

Ed. Chart. XIII. [633. 634.] Ed. Baſ. II. (309.)

λιβάνου ἄῤῥενος, σμύρνης, ῥητίνης ξηρᾶς, ἰξοῦ εἰργασμένου ἀνὰ ⊰ ι'. συκαμίνου ὀποῦ ⊰ ι'. κηροῦ ⊰ λ'. στέατος αἰγείου ⊰ ιε'. ἰρίνου μύρου ὑποστάθμης εἰς ἀνάληψιν ὅσον ἐξαρκεῖ. τὰ ξηρὰ κόπτεται καὶ σήθεται λεπτοτάτῳ κοσκίνῳ καὶ τὰ τηκτὰ κόπτεται καθ' ἕκαστον φιλοπόνως, εἶθ' ὁμοῦ πάντα μίγνυται καὶ πάλιν κόπτεται καὶ σήθεται λεπτοτάτῳ κοσκίνῳ παραπτομένου ἰρίνου ὑποστάθμη. εἶθ' ὅταν καλῶς ἑνωθῇ, μαλάξαντες ἀποτιθέμεθα, ὁπότε δὲ βούλει καὶ ἀκόπῳ χρῆσθαι, λάμβανε τοῦ φαρμάκου γο γ'. [634] στέατος χηνείου γο γ'. ἐλαίου κυπρίνου γο γ'. μίξας χρῶ. καὶ τούτου δ' ἐφεξῆς οὕτως ἔγραψεν. ἄλλο πρὸς τὰς αὐτὰς διαθέσεις. ℞ πυρέθρου ⊰ κ'. κόκκου κνιδίου καὶ ἀφρονίτρου ἀνὰ ⊰ κ'. ἁλὸς ἀμμωνιακοῦ, ἀριστολοχίας Κρητικῆς λεπτῆς τοῦ φλοιοῦ, σικύου ἀγρίου ῥίζης, τερμινθίνης ἀνὰ ⊰ κ'. πεπέρεως στρογγύλου καὶ μακροῦ, ἀμμωνιακοῦ θυμιάματος, βδελλίου, ξυλοβαλσάμου, λιβάνου, σμύρνης, καρδαμώμου, ἀμώμου, στέατος αἰγείου, ῥητίνης ξηρᾶς ἀνὰ ⊰ ι'. κηροῦ ⊰ λ'. ἰξοῦ εἰργασμένου ⊰ η'. συκαμίνου ὀποῦ ⊰ η'. ἰρίνου μύρου τῆς ὑπο-

maſculi, myrrhae, reſinae ſiccae, viſci ſubacti, ſingulorum drach. decem, ſucci mororum drach. x, cerae drach. xxx, adipis caprini drach. xv, faecis unguenti irini quantum ſatis excipiendis erit, arida tunduntur et anguſtiſſimo cribro excernuntur, liquabilia vero ſingulatim diligenter tunduntur, deinde omnia ſimul miſcentur ac rurſus tunduntur admota irini faece, deinde ubi probe fuerint unita, emollita reponimus. Quod ſi velis acopo uti, accipe medicamenti quadrantem, adipis anſerini quadrantem, olei cyprini quadrantem ac mixtis utitor. Poſtea vero conſequenter ſic ſcripſit. *Aliud ad eosdem affectus.* ℞ Pyrethri ʒ xx, grani cnidii, ſpumae nitri, utriusque ʒ xx, ſalis ammoniaci, ariſtolochiae Creticae tenuis corticis, radicis cucumeris ſilveſtris, terebinthinae, ſingulorum ʒ xx, piperis rotundi et longi, ammoniaci, thymiamatis, bdellii, xylobalſami, thuris, myrrhae, cardamomi, amomi, adipis caprini, reſinae ſiccae, ſingulorum ʒ x, cerae ʒ xxx, viſci probe ſubacti ʒ viij, ſucci mororum ʒ viij, faecis unguenti irini quod ſufficit his exci-

Ed. Chart. XIII. [634.] Ed. Baſ. II. (309.)

στάθμης εἰς ἀνάληψιν, οἴνου Ἰταλικοῦ ὅσον ἐξαρκεῖ, διαβρέξας ὅσα χρὴ διαλύειν, σκεύαζε κατὰ τρόπον. ἐν ἄλλῳ οὔτε τὸ ξυλοβάλσαμον οὔτε τὸ καρδάμωμον εὗρον οὔτε ἄμωμον. μετὰ τὰ γεγραμμένα γράψας ἕτερα φάρμακα, πάλιν ἐμνημόνευσε τῶν ἰσχιαδικῶν οὕτω γράψας. ἄλλο τοῦ αὐτοῦ ἐπίθεμα ἰσχιαδικοῖς, ἀρθριτικοῖς παραχρῆμα ὠφελεῖ. τῆλιν βαλὰν εἰς ἄγγος κεραμοῦν καὶ ταύτῃ ἐπιβαλὼν ὀξυκράτου ὅσον ἐξαρκεῖ, ἕψε θεὶς ἐπ' ἀνθράκων μέχρι διαλύσεως. ὅταν δὲ διαλυθῇ, ἐπίβαλλε μέλιτος ὅσον ἐξαρκεῖ καὶ πάλιν ἕψε, εἶτα ἐξελὼν τρῖβε φιλοπόνως καὶ εἰς ὀθόνιον ἐπιπλάσας ἐπιτίθει κατὰ τῶν πονούντων τόπων καὶ ταινιδίῳ περιειλήσαντες ἐῶμεν καὶ τοῦτο πράττομεν ἐπὶ δύο καὶ τρεῖς ἡμέρας. ἐν δὲ τῷ τρίβεσθαι, ὅταν σκληρανθῇ τὸ φάρμακον, ἐπιβάλλομεν τοῦ ὑγροῦ ὅσον ἐξαρκεῖ. τὸ δὲ ἐπιβαλλόμενον τοσοῦτον ἔστω ὥστε τὸ κατάπλασμα γενέσθαι ἀλκιμώτερον. ἄλλο τοῦ αὐτοῦ. τῶν προγεγραμμένων συνεχὲς ἔγραψε φάρμακον οὕτω. συμφύτου λίτραν α΄ S''. ξύσας καὶ εἰς λεπτὰ τεμὼν καὶ βαλὼν εἰς θυίαν ὀστρακίνην, φιλοπόνως τρῖβε, καὶ ὅταν λειωθῇ,

piendis, vini Italici quod ſatis eſt, maceratis his, quae diſſolvere oportet, pro more apparato. In alio exemplari neque xylobalſamum neque cardamomum neque amomum reperi. Poſt haec alia medicamenta prodidit et deinde rurſus iſchiadicorum meminit, ſic ſcribens. *Aliud ejusdem epithema, iſchiadicis et arthriticis auxiliatur confeſtim.* Foenugraecum in vas fictile conjicito et ad ipſum poſcam ſufficientem affundito et prunis impoſitum donec diſſolvatur coquito, ad diſſolutum vero mellis quod ſatis eſt injice ac rurſus coque, deinde exempta diligenter tere et in linteolum inſarta locis affectis impone, faſciaque obligatos fine. Hoc autem ad biduum et triduum facimus. Caeterum ſi dum teritur medicamentum induretur, liquoris quantum ſufficit addimus, liquor autem tantus ſit, ut tractile cataplasma reddatur. *Aliud quod continenter ad praedicta ſequitur hoc modo.* Symphyti ſeſquilibram raſam et minutim conciſam ac in mortarium teſtaceum conjectam diligenter tere, et

Ed. Chart. XIII. [634.] Ed. Baſ. II. (309.)

ἐπίβαλλε μάννης γο γ'. καὶ ὠῶν τριῶν προσφάτων ὠμῶν τὸ λευκὸν σὺν ταῖς λεκίθοις καὶ πάλιν τρῖβε, καὶ ὅταν ἑνωθῇ, ἐπίβαλλε τούτοις στέατος ὑείου παλαιοῦ λίτραν μίαν, καὶ ἀνακύψας ἐπιμελῶς ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει, παρηγορεῖ παραχρῆμα. μετὰ τὸ γεγραμμένον ἐφεξῆς ἕτερον ἔγραψεν οὕτως. ἄλλο τοῦ αὐτοῦ. μάλαγμα ἰσχιαδικοῖς ἐπὶ τῶν παροξυσμῶν εὐθὺς ἐπιτιθέμενον, διδυμαία λεγόμενον. ποιεῖ καὶ πρὸς τὰ συντρίμματα καὶ πρὸς πᾶσαν νευριτικὴν συμπάθειαν. ἔστι δὲ καὶ διαλυτικὸν πάσης σκληρίας. ποιεῖ καὶ πρὸς τὰς ἄλλας φλεγμονὰς, καθαίρει καὶ τὰς οὐλὰς τὰς πονηρὰς, ποιεῖ πρὸς τὰ στρέμματα καὶ λυγίσματα, ποιεῖ καὶ πρὸς τὰς τῶν μασθῶν διαθέσεις κακοήθεις. ℥ κηροῦ, ἰξοῦ δρυΐνου, τερμινθίνης, ἴριδος ξηρᾶς, σμύρνης, χαλβάνης ἀνὰ ≺ μή'. ἐλαίου κυπρίνου ἢ μύρου Αἰγυπτίου ὅσον ἐξαρκεῖ, τὴν χαλβάνην βαλόντες εἰς τὸ κύπρινον ἢ εἰς τὸ μύρον τὸ Αἰγύπτιον καὶ θέντες ἐπὶ τὸ πῦρ διαλύομεν καὶ τὸν κηρὸν μαλάσσομεν καὶ τοῖς λοιποῖς μίξαντες κόπτομεν φιλοπόνως καὶ τούτοις ἐμβαλόντες τακεῖσαν τὴν χαλβάνην μετὰ τοῦ

ad tritam mannae quadrantem addito, atque ovorum crudorum recentium trium numero candidum una cum luteo et rurſus terito, et ubi unita fuerint, his adipis ſuilli veteris libram unam adjicito et conquaſſata diligenter atque in linteolum infarta imponito, mitigat confeſtim. Poſt praeſcriptum aliud deinceps ſcripſit hoc modo. *Aliud ejusdem malagma, iſchiadicis ſtatim in exacerbationibus imponitur. Appellatur didymaea. Facit ad attrita et omnem nervorum per conſenſum affectum, diſſolvit omnem duritiem, facit etiam ad alias inflammationes, delet malignas cicatrices, facit ad luxata et colliſa, facit et ad mammillarum affectus malignos.* ℥ Cerae, viſci quercini, terebinthinae, iridis ſiccae, myrrhae, galbani, ſingulorum drach. xlviij, olei cyprini aut unguenti Aegyptiaci quod ſatis eſt. Galbanum in oleum cyprinum aut unguentum Aegyptium conjectum ad ignem diſſolvimus, et ceram mollimus ac reliquis mixtam probe tundimus, atque his galbanum lique

Ed. Chart. XIII. [634. 635.] Ed. Baſ. II. (309. 310.)

κυπρίνου πάλιν κόπτομεν, καὶ ποιήσαντες ἀφέστατον μάλαγμα ἀνελόμενοι χρώμεθα. ἐφεξῆς τῶν προγεγραμμένων καὶ τοῦτο ἔγραψεν ὁ Ἀσκληπιάδης. ἄλλο τοῦ αὐτοῦ ἐκ τοῦ Ἀρείου. ποιεῖ κωλικοῖς ἀφάτως, ἐν αὐτοῖς παροξυσμοῖς ἐπιτιθέμενον καὶ ψώρας θεραπεύσει χωρὶς ἑλκώσεως. ℞ κηροῦ, πίσσης ὑγρᾶς ἀνὰ λίτραν α'. πίσσης ξηρᾶς λίτραν α'. θείου ἀπύρου, στυπτηρίας σχιστῆς, νίτρου ἐρυθροῦ ἀνὰ λίτρας S''. τὰ τηκτὰ τῆκε, τὰ δὲ ξηρὰ κόπτε καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ, καὶ ὅταν τὰ τηκτὰ συστρέφηται, ἐπίβαλλε τὰ ξηρὰ κατ' (310) ὀλίγον ἐπιπάσσων καὶ κινῶν συνεχῶς καὶ εἰς θυίαν κατεράσας καὶ ἀνακόψας ἀνελόμενος χρῶ. μετὰ τὸ προγεγραμμένον ἕτερον ἔγραψεν ὧδί πως.

[635] [Ἄλλο τοῦ αὐτοῦ μάλαγμα, τὸ διὰ τοῦ σιλφίου ἰσχιαδικοῖς σφόδρα γενναῖον.] ℞ Ἀμμεως ≺ ιβ'. σιλφίου, πηγάνου ἀγρίου σπέρματος, δαφνίδων κεκαθαρμένων ἀνὰ ≺ ιδ'. κολοκυνθίδος τοῦ ἐντὸς ≺ β'. νίτρου δραχμὰς δ'. ἀβροτόνου Θηβαϊκοῦ ≺ δ'. καρδαμώμου ≺ δ'. κηροῦ Ποντικοῦ μνᾶς ὄγδοον, πίσσης, ῥητίνης, στέατος χηνείου, ἀμμω-

factum cum cyprino injicimus ac rurſus tundimus malagma leniſſimum tactui reddendo, quo utimur. Conſequenter etiam hoc Aſclepiades ſubdidit. *Aliud ejusdem ex Areo. Facit ad colicos ſupra quam dici poteſt, in ipſis vexationibus impoſitum, et pſoras curat citra exulcerationem.* ℞ Cerae, picis liquidae, utriusque libram j, picis aridae libram j, ſulfuris vivi, aluminis ſciſſi, nitri rubri, ſingulorum libram dimidiam, liquabilia liquefacito, arida vero tundito et per anguſtiſſimum cribrum concernito et ad liquefacta adjicito, paulatim ea inſpergendo ac aſſidue movendo, indeque in pilam translata ac tuſa reponito et utitor. Deinceps rurſum aliud prodidit hoc modo.

[*Aliud ejusdem malagma ex ſilphio, iſchiadicis valde commodum.*] ℞ Ammii drach. xij, ſilphii, ſeminis rutae ſilveſtris, baccarum lauri purgatarum, ſingulorum drach. xiv, medullae colocynthidis drach. duas, nitri drach. quatuor, abrotoni Thebaici drach. quatuor, cardamomi drach. quatuor, cerae Ponticae minae octavam partem, picis, reſinae,

Ed. Chart. XIII. [635.] Ed. Baſ. II. (310.)

νιακοῦ θυμιάματος ἀνὰ μνᾶς ὄγδοον, τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. ἐφεξῆς τῷ προγεγραμμένῳ καὶ τόδε γέγραπται ὑπὸ Ἀσκληπιάδου κατὰ λέξιν οὕτως.

[Ἄλλο τοῦ αὐτοῦ ᾧ ἐχρήσατο Ἀντίπατρος.] ℞ Σιλφίου, πηγάνου ἀγρίου ξηροῦ, δαφνίδων ξηρῶν, ἀφρονίτρου, κολοκυνθίδος τοῦ ἐντὸς, ἀβροτονου Θηβαϊκοῦ, ἄμμεως, καρδαμώμου, ἑκάστου ≺ δ'. πηγάνου ἡμέρου χλωροῦ, πίσσης ξηρᾶς, ῥητίνης τερμινθίνης, ἀμμωνιακοῦ θυμιάματος, στέατος μυσχείου, ἑκάστου μνᾶς ὄγδοον, χαλβάνου ≺ ιστ'. ὀποπάνακος ≺ δ'. θείου ἀπύρου ≺ δ'. ἐλαίου κυπρίνου κοτύλας δ'. ἐν δὲ τῇ χρήσει πρότερον χρὴ κοριαννον ξηρὸν καύσαντα ἀναλαμβάνειν κυπρίνῳ καὶ οὕτως ἐπιχρίειν τὸ ἰσχίον καὶ μετὰ τὴν τούτου χρῆσιν ἐπιθεῖναι τὸ μάλαγμα. μετὰ τοῦτο δὲ πάλιν ἕτερον ἔγραψεν ὧδί πως.

[Ἄλλο τοῦ αὐτοῦ μάλαγμα ἰσχιαδικὸν, μετασυγκριτικὸν, ἀπαλλάσσει τῆς ὅλης διαθέσεως. ποιεῖ καὶ παρέτοις καὶ τρομώδεσι καὶ ταῖς κεχρονισμέναις διαθέσεσιν.] ℞ Πίσσης ὑγρᾶς Βρυτίας λίτρας γ'. τρυγὸς ξηρᾶς κεκαυμένης λίτρας β'.

adipis anſerini, ammoniaci thymiamatis, ſingulorum minae octavam partem, liquida cum aridis committito. Conſequenter et hoc ab Aſclepiade ſcriptum eſt ita.

[*Aliud ejusdem, quo uſus eſt Antipater.*] ℞ Silphii, rutae ſilveſtris ſiccae, baccarum lauri ſiccarum, ſpumae nitri, medullae colocynthidis, abrotoni Thebaici, ammii, cardamomi, ſingulorum drach. quatuor, rutae ſativae viridis, picis ſiccae, reſinae terebinthinae, ammoniaci thymiamatis, adipis vitulini, ſingulorum minae octavam partem, galbani drach. ſedecim, opopanacis drach. quatuor, ſulfuris vivi drach. quatuor, olei cyprini heminas iv. Uſus tempore oportet prius coriandrum aridum uſtum cyprino excipere et ex eo coxendicem illinere, atque poſt hujus uſum malagma ipſum imponere. Poſt hoc rurſus aliud ſcripſit hoc modo.

[*Aliud ejusdem malagma, in iſchiadicis humores ex alto evocat ac transfert, liberatque a tota affectione. Facit et diſſolutis et trementibus et affectibus inveteratis.*] ℞ Picis liquidae Brutiae lib. iij, ſaecis aridae uſtae lib. ij.

Ed. Chart. XIII. [635.] Ed. Baſ. II. (310.)

νίτρου ἐρυθροῦ λίτραν α′ S″. ῥητίνης πιτυΐνης λίτραν α′. κηροῦ λίτραν α′. σταφίδος ἀγρίας λίτραν α′. θείου ἀπύρου λίτραν α′. πυρέθρου λίτρας S″. καρδαμώμου ξε. α′. ἔψε πίσσαν, κηρὸν, ῥητίνην, τὰ δὲ ξηρὰ κόπτε καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ καὶ τοῖς τηκτοῖς ἀναλαβὼν χρῶ. μετὰ τὸ προγεγραμμένον ἕτερον φάρμακον ἔγραψεν ὧδί πως.

[Ἄλλο τοῦ αὐτοῦ ᾧ ἐχρήσατο Φιλόκαλος.] ℞ Νάπυος, τήλεως ἀληλεσμένης ἑκάστου ξε. S″. πυρέθρου, σταφίδος ἀγρίας, νίτρου ἐρυθροῦ ἀνὰ ≺ δ′. ὀποπάνακος ≺ β′. χαλβάνης ≺ β′. ῥητίνης τερμινθίνης λίτραν α′. κηροῦ λίτραν μίαν, ἐλαίου κυπρίνου λίτραν α′. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν.

[Ἡ ὑπὸ Δαμοκράτους γεγραμμένη θεραπεία τῶν ἰσχιαδικῶν διὰ τῆς Ἰβηρίδος.] ℞ Ἐπιγράφεται βιβλίον Δαμοκράτους κλίνικος, ἐν ᾧ διὰ μέτρων ἰαμβικῶν, ὡς εἴωθε, περὶ τῶν τριῶν διαλέγεται φαρμάκων, πρώτου μὲν τοῦ διὰ τῆς βοτάνης, ἣν καὶ αὐτὸς Ἰβηρίδα καλεῖ, τοῦ δευτέρου δὲ τοῦ διὰ σπέρματος ἀνωδύνου, τρίτου δὲ τοῦ καθαρτικοῦ καλου-

nitri rubri ſeſquilibram, reſinae pini lib. j, cerae lib. j, ſtaphidis ſilveſtris lib. j, ſulfuris vivi lib. j, pyrethri lib. dimidiam, cardamomi ſextarium unum, picem, ceram, reſinam coquito, arida tundito et cribrato anguſtiſſimo cribro ac cum liquefactis committito, et utitor. Poſt praeſcriptum adhuc aliud medicamentum ſubdidit ita habens.

[*Aliud ejusdem quo uſus eſt Philocalus.*] ℞ Sinapi, foenigraeci moliti, utriusque ſextarium dimidium, pyrethri, ſtaphidis ſilveſtris, nitri rubri, ſingulorum drach. quatuor, opopanacis drach. ij, galbani drach. ij, reſinae terebinthinae lib. j, cerae lib. j, olei cyprini lib. j, arida cum liquidis committito et utitor.

[*Iſchiadicorum cura a Damocrate conſcripta ex Iberide.*] Damocratis extat libellus Clinicus inſcriptus, in quo verſibus iambicis, quemadmodum ſolet, de tribus differit medicamentis, ac primo quidem eo, quod ex herba, quam ipſe Iberidem appellat, conſtat, ſecundo ex ſemine dolores ſedante compoſitio, tertio vero purgatorio et ab ipſo hiera

Ed. Chart. XIII. [635. 636.] Ed. Baſ. II. (310.)

μένου ὑπ' αὐτοῦ ἱερᾶς. περὶ πρώτης οὖν τῆς τῶν ἰσχιαδικῶν θεραπείας ἔγραψεν ἐν τῷ βιβλιδίῳ ταῦτα. ἐν Ἰβηρίδι, φησὶν, ἰατρόν τινα φίλον ἑαυτοῦ θεραπευθῆναι διὰ τῆς βοτάνης, ἣν, ὡς ἔφην, αὐτὸς ὁ Δαμοκράτης Ἰβηρίδα καλεῖ, μαθὼν μὲν αὐτοπτικῶς τὴν βοτάνην, ὄνομα δὲ οὐδὲν ἀκούσας αὐτῆς, ὅτι μηδ' ὁ διδάσκων ἠπίστατο. δι' ὧν δὲ γράφει γνωρισμάτων, ἔοικε τὴν ὑπὸ τῶν Ἑλλήνων ὀνομαζομένην λεπίδιον Ἰβηρίδα καλεῖν, ἀπὸ τῆς χώρας ἐν ᾗ θεραπευθεὶς ἔτυχεν ὁ φίλος αὐτοῦ. γράφει δὲ αὐτοῦ τὰ γνωρίσματα διὰ τῶν ἰάμβων.

[636] *Φύεται δὲ πολλὴ πανταχοῦ, μάλιστα δὲ*
Παρὰ τοῖς παλαιοῖς μνήμασι, τοίχοισίν τε καὶ
Παρὰ ταῖς ὁδοῖσι ταῖς πάλαι τετριμμέναις,
Παρ' αἷς γεωργὸς τὰ λήϊ' οὔ ποτ' ἤροσεν.
Ἀεὶ δὲ θάλλει, φύλλ' ἔχουσα καρδάμου.
Ἔαρος μὲν εὐθαλῆ τε καὶ μείζω·
Καυλῷ δὲ αὐτῆς ὄντι μῆκος πήχεως,
Μικρῷ τ' ἔλαττον καὶ πάλιν μικρῷ πλέον,

appellato. De primo igitur in iſchiadicorum curatione in eo libello haec ſcripſit. In Iberide, inquit, medicum quendam amicum ſuum per hanc herbam curatum eſſe, quam herbam, ut dixi, ipſe Damocrates Iberidem appellat, ut qui ipſe viſu herbam cognorit, nomen autem ejus nullum audierit, quum etiam id ipſum ignorarit is, qui eum uſum ejus docuit. Verum ex ſignis, quae ſcribit, videtur Iberidem appellare, quae a Graecis lepidium nominatur, a regione, in qua amicus ejus curatus eſt, appellatione ducta. Deſcribit autem ipſius ſigna per hos iambos.

Herba haec ubique multaque frequens naſcitur
Monumenta juxta antiqua, muros et veteres,
Tritasque quondam publice pedibus vias,
Quas juxta aratrum duxit haud quis agricola.
Semper vireſcens, foliis naſturtii
Florentibus, vere attamen majoribus.
Caulem cubitalis longitudinis gerit,
Paulo minorem aut rurſus ampliorem. Ad hoc

Ed. Chart. XIII. [636.] Ed. Baſ. II. (310.)

Θέρους περίκειται λεπτὰ φύλλα, μέχρι περ ἂν
Κρύους γενομένου, φρυγανώδη τἄλλα μὲν
Τὰ φύλλα ἀποβάλλει τε καὶ μαραίνεται,
Πρὸς τῇ δὲ ῥίζῃ προσπεφύκασίν τινα.
Φέρει δ' ὁ καυλὸς ἐν θέρει λεπτὸν πάνυ
Πολύχροον ἄνθος, τῇ χροᾷ γαλάκτινον,
Εἶτ' ἐπακολουθεῖ παντελῶς τούτῳ βραχὺ
Σπέρματος, ἀκριβῶς αὐτὸ μηδ' ὁρᾶν τινα.
Ἡ ῥίζα δὲ καὶ ὀσμὴν δριμυτάτην ἔχει,
Μάλιστα πάντων καρδάμῳ προσεμφερῆ.

Διὰ τούτων μὲν ἐδήλωσε τὴν ἰδέαν τῆς βοτάνης, ἐφεξῆς δὲ τὴν χρῆσιν αὐτῆς διὰ τῶνδε.

Ταύτην ὀρύξας καὶ λαβὼν πλῆθος πολὺ,
Θέρους μάλιστα δ' ἐστὶ πρακτικωτάτη
Καὶ πρόσφατος. ξηρὰ γὰρ ἀδρανὴς τυγχάνει,
Κόψας δ' ἐπιμελῶς, ἔστι γὰρ καὶ δύσκοπος,
Ἀξουγγίῳ λίπανον ὀλίγῳ παντελῶς,
Εἶτα ἐπιθεὶς κοτύλῃ τε καὶ παντὶ σκέλει,

Aeſtate pendent folia, donec multa hiems
Sarmentitiam deducat haec ad imaginem et
Dejecta et exiccata depereant gelu,
Adnata radici tamen cernes alia.
Aeſtate florem fert colore lacteo
Multum tenuem, variumque valde cauliculus.
Ad quem ſequitur ſemen penitus ſic exiguum,
Viſum fere ut fallens, oculos quoque effugiat.
Odorem habet radix at inde acerrimum,
Vero ſimilem quam maxime naſturtio.

Per hos quidem verſus figuram herbae indicavit. Conſequenter autem uſum ipſius per hujusmodi.

Hanc erutam larga ſatis cape copia
Aeſtate, nam tunc optima et fortiſſima eſt
Adhuc recens, ſiccata fit ſed debilior.
Tuſam hinc probe, nam difficulter tunditur,
Pauca ſubaciamque excipies axungia,
Crurique toti et maxime coxendici

Ed. Chart. XIII. [636.] Ed. Baſ. II. (310.)

Δήσας τ' ἄφες ὥρας μὴ μένειν ἐλάττονας,
Γυναιξὶ μὲν δύ', ἀνδράσιν δὲ τέτταρας.
Εἶτ' εἰς βαλανεῖον ἐσάγων αὐτοὺς, μηθενὶ
Μήτε προαλείψας μήτε χρίσας σμήγματι.
Σμικρᾶς δὲ νοτίδος γενομένης, εἰς τὴν μακρὰν
Καθεὶς, κράτησον, ἐπιφέρει γὰρ πολλάκις
Δηγμὸν φέροντ' αἴσθησιν ἔνθερμόν τινα.
Μικρὸν δ' ἀποβρέξας ἔξαγ' αὐτοὺς ἔξωθεν,
Κἂν ὦσι πολλῶν χερσὶν εἰσκεκομισμένοι,
Ἰδίοις ἕκαστος ἐξελεύσεται ποσί.
Μίξας δ' ἐλαίῳ δαψιλεῖ βραχὺν πάνυ
Οἶνον ἀνάκοπτε καὶ συνάλειφ' αὐτοὺς ὅλους.
Ἄρας τ' ὀθονίοις, ἱκμάδα καὶ ἅπαν λίπος,
Σκέπασον τὸ κῶλον κουφοτάτοις ἐριδίοις.
Τἄλλα τε κέλευε πάντα πράττειν ὅσα θέλοις
Ἐν τοῖς συνήθεσιν ὄντα καὶ τοῖς ἡδέσι.
Τὸ γὰρ βοήθημ' αὐτοτελὲς ὂν τυγχάνει,
Οὐ χρῆζον ἄλλου συμβάλλεσθ' αὐτῷ τινος,

Adhibebis et ligabis et ſines duas
Horas mulieribus, viris ſed quatuor.
Hinc balneo inductos nec ullo ex unguine,
Nec ſmegmate ullo pinguiore collines,
Sudore ſed modico exiliente in ſolium
Merges, manere coge, ſiquidem ſaepius
Morſum caloris quempiam ac ſenſum afferat.
Verum hinc rigatos leniter producito.
Illati enim quamvis manibus ſint plurium,
Exibit attamen ſuis pedibus valens.
Ad multum oleum miſcebis hinc vinum modicum
Et concuties et illines totos eo.
Ac mox madore terſo et pinguitudine
Totum teges crus mollibus tu velleribus,
Jubens obire aſſueta vitae munia,
Quaecunque vult et non gravatim ſuſcipit.
Hoc auxilium certum atque conſtans integre eſt,
Et nullo alio adjiciendo ei ſimul indigum.

Ed. Chart. XIII. [636.] Ed. Baf. II. (310. 311.)

Κἂν μὲν δίχα πόνου διαμένωσιν, ὃ γίνεται
Τὰ πολλὰ, χαίρων προσκύνει τὸ ῥιζίον.
Ἂν δὲ καταλειφθῇ τοῦ πάθους ἴχνος ἔτι,
Ἅπαν ἐπαλείψεις αὐτὸ χρίσει δευτέρᾳ,
Μέσας διαλιπὼν ἡμέρας ὡς εἴκοσι.

Τούτῳ τῷ τρόπῳ τῆς χρήσεως καὶ κεφαλαλγίας χρονίας καὶ ἄλλα πάντα καθ' ὅ τι ἂν ᾖ μέρος ἀλγήματα χρόνια καὶ δυσλύτους διαθέσεις καὶ παραλύσεις τεθεραπευκέναι φησί. καὶ ὅλως ἐφ' ὧν οἱ ἄλλοι χρῶνται τῷ καλουμένῳ σιναπισμῷ καὶ τῷ διὰ θαψίας βοηθήματι, διὰ τῆς βοτάνης ταύτης ἐξιᾶσθαί φησί. περὶ τῆς Ἰβηρίδος ταύτης καὶ ὁ Ἀρχιγένης λέγει, ὀνομάζων αὐτὴν λεπίδιον ἐν τῷ β'. τῶν κατὰ γένος φαρμάκων, ἁρμόζειν δὲ αὐτὴν σπληνικοῖς (311) καὶ ἰσχιαδικοῖς λέγει. πρὸς ἰσχιάδας καὶ ψυγμοὺς Ὑγιεινοῦ Ἱππάρχου· βοτάνην Ἰβηρίδα, ἣν τινες καλοῦσι λεπίδιον ἢ ἀγριοκάρδαμον, ἀνελόμενος τὴν ῥίζαν αὐτῆς κόψον καὶ στέατι χοιρείῳ συμμαλάξας εἰς τρόπον ἐμπλάσματος ἐπιτίθει κατὰ τοῦ ἀλγοῦντος τόπου ἐπὶ ὥρας τρεῖς, εἶτα πέμπε εἰς βαλα-

Expers doloris et ubi manseris, fere
Quod accidit, radiculam laetus cole.
Quod si tamen inde affectionis vestigium
Quoddam supersit, post repetes hoc praesidium,
Diebus ut multum decem bis praeteritis.

Hoc sane utendi modo et inveteratos capitis dolores et alias omnes quacunque corporis parte inveteratas et aegre solubiles affectiones ac resolutiones se curasse ait. Et omnino vitia, in quibus alii sinapismo appellato et auxilio ex thapsia conflato utuntur, se per hanc herbam persanasse dicit. Porro de hac Iberide etiam Archigenes scribit in secundo medicamentorum secundum genus, lepidium ipsam appellans. Dicit autem splenicis et ischiadicis ipsam convenire. *Ad ischiadas et perfrigerationes Hygiaeni Hipparchi.* Herbam Iberidem, quam aliqui lepidium vocant, aut nasturtium silvestre colligito, et radicem ejus tusam ac adipe porcino commollitam, emplastri vice imponito ad dolentem locum ad horas tres, indeque in balneum mittito. Idem

Ed. Chart. XIII. [636. 637.] Ed. Baſ. II. (311.)

νεῖον. τὸ αὐτὸ ἀπαλλάττει καὶ παλαιὰς κεφαλαλγίας ἐν ὁμοίᾳ χρήσει, ἣν Δαμοκράτης ὁ ἰατρὸς διὰ στίχων ἔγραψεν.

[637] Κεφ. γ'. [*Περὶ τῶν ποδαγρικῶν καὶ ἀρθριτικῶν παθῶν.*] Εἴρηται πρόσθεν ἐν τῷ περὶ τῆς ἰσχιάδος λόγῳ, ῥευμάτων ἔκγονα τὰ τοιαῦτα ὑπάρχειν πάθη, κατασκηπτόντων εἰς τὰς χώρας τῶν διαρθρώσεων, ὥστε καὶ τὴν θεραπείαν αὐτῶν ἑνὸς ἔχεσθαι τρόπου, τοῦ κενῶσαι τὸ κατασκῆψαν. ἔτι μὲν οὖν ἐπιῤῥέοντος αὐτοῦ, τῷ κοινῷ τῶν ἐπιῤῥεόντων χυμῶν λόγῳ τὸν σκοπὸν τῶν βοηθημάτων ὑποβάλλειν χρὴ ἀποκρουομένους καὶ ἀναστέλλοντας. ἐπειδὰν δὲ μηκέτι ἐπιῤῥέῃ, διαφοροῦντας τὸ κατασκῆψαν. ἡ δὲ ὕλη τῶν φαρμάκων δι' ὧν ταῦτα γίνεται πολυειδής ἐστιν, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων παθῶν, νοησάντων μὲν ἐξ ἀρχῆς τῶν συνετωτέρων κατά τινα τεχνικὸν στοχασμὸν, ἄλλοτ' ἄλλου τῇ πείρᾳ καὶ τῶν ἀρίστων κεκριμένων. διὸ κἀγὼ καθάπερ ἐπὶ τῶν ἄλλων παθῶν, οὕτω κἀπὶ τούτων τῶν πεπειραμένων τοῖς πρὸ ἐμοῦ γράψω τὰ κάλλιστα.

praeſidium et veteres capitis dolores depellit, in conſimili uſu adhibitum, quem Damocrates medicus per verſus prodidit.

Cap. III. [*De podagricis et arthriticis affectionibus.*] Dictum antea eſt in ſermone de iſchiade, ex fluxionibus generari ejusmodi affectiones irruentibus in locis articulationum, quare etiam curatio ipſarum juxta eundem fit modum, nimirum ut irruentes fluxiones evacuentur. Influentibus igitur adhuc ipſis, ſcopum afferendorum auxiliorum communi rationi influentium humorum ſubjicere oportet, ita ut repellamus ac reſtringamus. Ubi vero amplius non influant, ut diſcutiamus jam illapſos. Caeterum materia medicamentorum, per quae haec fiunt, multiformis eſt, quemadmodum etiam in aliis affectionibus, excogitantibus videlicet a principio prudentioribus viris juxta quandam artificialem conjecturam modo hoc modo aliud eorum, quae optima per experientiam ſunt judicata. Quapropter et ego velut in aliis affectionibus, ſic etiam in his optima ex eis, quae priores medici experientia cognoverunt, adſcribam.

Ed. Chart. XIII. [637.] Ed. Baſ. II. (311.)

[*Τὰ ὑπ' Ἀσκληπιάδου γεγραμμένα πρὸς τὰ εἰρημένα πάθη ἐν τῷ τετάρτῳ τῶν ἐκτὸς, ἃ Μαρκέλλας ἐπιγράφει.*] *Ἐπίθεμα ποδαγρικοῖς, ἀρθριτικοῖς ἀνώδυνον, ἡ χρῆσις ἐν αὐτοῖς τοῖς παροξυσμοῖς.* ℞ *ὀποῦ μήκωνος* ≺ *δ'. κρόκου* ≺ *α'. λεάνας μετὰ γάλακτος βοείου ἢ αἰγείου καὶ ἄρτου τὸ ἐντὸς ἐπιβαλὼν τρῖβε φιλοπόνως, ὥστε εὐαφὲς εἶναι κατάπλασμα καὶ μαλάξας παράπτου ῥοδίνῳ καὶ χρῷ καταπλάσματι προσηνεῖ, ἔξωθεν ἐπιβαλὼν φυλακῆς χάριν φύλλα σεύτλου ἢ θρίδακος. ἔστι δ' ὅτε τὸ ὄπιον καὶ τὸν κρόκον μετὰ γάλακτος λεάναντες, ἀναλαμβάνομεν κηρωτῇ σκευασθείσῃ διὰ ῥοδίνου, ἔπειτα ἐμπλάσαντες εἰς ὀθόνιον ἐπιτιθέμεθα. ἄλλο.* ℞ *στυρακος* ≺ *β'. ὀπίου* ≺ *α'. σκεύαζε καὶ χρῶ καθὰ προείρηται. ἄλλο. παραχρῆμα τὸν πόνον ἀπαλλάττει. δεῖ δὲ πρὸ τῆς ἐπιθέσεως τοῦ φαρμάκου τὸν πάσχοντα λούειν καὶ τότε περισμήξαντα τοὺς τόπους ἐπιτιθέναι.* ℞ *ἀψινθίου Ποντικοῦ χυλοῦ, κρόκου, ὀπίου ἀνὰ* ≺ *α'. κηροῦ Ποντικοῦ* ≺ *δ'. ἰρίνου μύρου* ≺ *στ'. γλυκέος Κρητικοῦ ὅσον ἐξαρκεῖ, διάλυε ὄπιον, ἀψίνθιον, κρόκον, καὶ ὅταν διαλυθῇ, ἀναλάμβανε*

[*Medicamenta ab Aſclepiade ad praedictas affectiones in quarto externorum prodita, quae Marcellae inſcribit.*] *Epithema podagricis, arthriticis ſedans dolorem. Uſus eſt in ipſis acceſſionibus.* ℞ Succi papaveris drach. quatuor, croci drach. unam, cum lacte bubulo aut caprino terito, et adjecta medulla panis diligenter laevigato ut molle cataplasma fiat et roſaceo admoto mollito, ac utitor leni cataplasmate, forinſecus betae aut lactucae foliis cuſtodiendi ejus gratia impoſitis. Quandoque opium et crocum cum lacte trita cerato roſaceo excipimus et linteolo inſarta imponimus. *Aliud.* ℞ Styracis drach. duas, opii drach. unam, confice ac utere ut dictum eſt. *Aliud, confeſtim a dolore liberat, verum ante medicamenti impoſitionem aegrum lavare oportet et tunc deterſis locis imponere.* ℞ Succi abſinthii Pontici, croci, opii, ſingulorum drach. unam, cerae Ponticae drach. quatuor, unguenti irini drach. ſex, paſſi Cretici quantum ſufficit, opium, abſinthium, crocum laevi-

Ed. Chart. XIII. [637.] Ed. Baſ. II. (311.)

τοῖς τηκτοῖς καὶ εἰς ὀθόνιον ἐλκύσας ἐπιτίθει. ἄλλο. ℞ κωνείου σπέρματος ἐκλελεπισμένου ⊰ στ'. κρόκου ⊰ α'. ὀπίου ⊰ α'. γλυκέος Κρητικοῦ ὅσον ἐξαρκεῖ, καὶ λεάνας ἀναλάμβανε κηρωτῇ σκευασθείσῃ διὰ ῥοδίνου.

[Ἐπίθεμα ποδαγρικῶν, ἀρθριτικῶν, ποιεῖ πρὸς τὰς μείστας διαθέσεις, ᾧ ἐχρήσατο Ἐρασίστρατος ὁ Σικυώνιος.] Καππάρεως ῥίζης κεκομμένης καὶ σεσησμένης χοῖνιξ εἷς, ὑοσκυάμου σπέρματος χοίνικος S''. χαμαιλέοντος μέλανος ῥίζης χοίνικος τέταρτον, κωνείου σπέρματος χοίνικος δ'. μανδραγόρου ῥίζης χοῖνιξ α'. στρύχνου, οἱ δὲ δορυκνίου ῥίζης χοίνικος τέταρτον. ἅπαντα μίξας κεκομμένα καὶ σεσησμένα ἀπόθου εἰς ἄγγος κεραμεοῦν καὶ φιμώσας ἐπιμελῶς φύλαττε. ἐν δὲ τῇ χρήσει λαβὼν χοίνικος τέταρτον καὶ γλυκεῖ λεάνας καὶ βαλὼν εἰς ἄγγος κεραμεοῦν ἀκονίατον, ἐπίβαλλε τρυγὸς ξηρᾶς κοτύλης τέταρτον καὶ θεὶς ἐπ' ἄνθρακας, ἕψε κινῶν ἐπιμελῶς, ἕως δὶς ἢ τρὶς ἀναζέσῃ, εἶτα ἆρας ἀπὸ τοῦ πυρὸς κατάπλαττε θερμότατον ἢ ὡς δύναται φέρειν. δεῖ δὲ πρὸ τοῦ

gato et laevigata liquidis excipe et linteolo infarta impone. *Aliud.* ℞ Seminis cicutae dempto cortice expoliti drach. ſex, croci drach. unam, opii drach. unam, paſſi Cretici quod ſatis eſt, trita excipe roſaceo cerato.

[*Epithema podagricorum, arthriticorum, facit ad maximos affectus. Uſus eſt eo Eraſiſtratus Sicyonius.*] ℞ Radicis capparis tuſae et cribratae choenicem unum, ſeminis hyoſcyami, choenicem dimidium, radicis chamaeleonis nigri choenicis quartam partem, ſeminis cicutae choenicis quartam partem, radicis mandragorae choenicem j, radicis ſolani aut ut alii dorychnii, choenicis quartam partem, omnia tuſa et cribrata mixta in vaſculum ſigulinum repone et probe obturata ſervato. Uſus vero tempore choenicis quartam partem inde accipito et paſſo tritam in vas fictile non picatum conjicito, et addita faecis vini aridae quarta heminae parte ad prunas poſita diligenter movendo coquito, donec bis aut ter effervеant, deinde ab igne ablata, quam calidiſſima imponito aut quomodo perferre aegri pos-

Ed. Chart. XIII. [637. 638.] Ed. Baſ. II. (511.)

καταπλάσματος τοὺς πόδας καταιονῆσαι [638] πολλῷ ὕδατι ψυχρῷ καὶ περισπογγίσαντας χρῆσθαι τῷ φαρμάκῳ. ἔπειτα δὲ τὸ κατάπλασμα δι' ὀθονίων λεπτοτάτων εἰς ὄξος ἐμβάπτοντας ἐπιτιθέναι, καὶ ταινιδίῳ ἐπικαταλαβόντας, ἐᾷν ἐπικείμενον τὸ φάρμακον ἐπὶ ὥρας δύο, καὶ μετὰ ταῦτα αἴροντας τὸ ἐπικείμενον, τὰς ἐπαναστάσας φλυκτίδας βελόναις δεῖ κεντεῖν. ἀπὸ τούτων γὰρ ὑγρὸν ἀποῤῥεῖ μυξῶδες καὶ πολὺ καὶ κολλῶδες. μετὰ δὲ τὴν τῶν τοιούτων ὑγρῶν ἔκκρισιν χρὴ πολλῷ ὕδατι ψυχρῷ τοὺς πόδας καταντλεῖν καὶ πάλιν χρῆσθαι τῇ ἐπιθέσει τοῦ φαρμάκου, καθὰ προείρηται, ἀντὶ τοῦ ὄξους χρωμένους ὕδατι ποτίμῳ καὶ τὸ ἐπιτιθέμενον ὀθόνιον ὕδατι ψυχρῷ βρέξαντας.

[Ἄλλο τοῦ αὐτοῦ. τούτῳ ἀντὶ σικύων καὶ βδελλῶν χρώμεθα, ὥστε ἐκμυζῆσαι ἰχῶρας αἱματώδεις, ποιεῖ καὶ πρὸς πώρους καὶ πρὸς σκίῤῥους, ὥστε διαλῦσαι.] ℞ Τήλεως ἀληλεσμένης ξε. α'. λίθου Ἀσίου τοῦ ἄνθους ξε. α'. ἀλεύρου ἐρεγμίνου τοῦ μέλανος συναληλεσμένου, ἀλεύρου θερμίνου ἀνὰ ξέστην ἕνα, πάντα μίξας καὶ ὕδατι θερμῷ φυράσας

sunt. Verum ante hujus cataplasmatis usum, pedes multa aqua frigida perfundere oportet et spongiis detergere, atque ita medicamentum imponere. Supra vero cataplasma linteola tenuissima aceto imbuta imponantur et fascia circumdata ad horas duas medicamentum incumbere sinatur. Postea vero eo ablato excitatas bullas acubus perforare oportet, ab iis enim humor mucosus multus ac glutinosus profluet, post cujus excretionem multa aqua frigida pedes proluantur et rursus medicamentum, ut dictum est imponatur ita tamen, ut pro aceto aqua potabili utamur et ex ea rigatum linteolum medicamento superindemus.

[*Aliud ejusdem. Hoc pro cucurbitis et hirudinibus utimur, nam ferosos sanguinis humores exugit, facit et ad tophos ac duritias, ut inde dissolvantur.*] ℞ Farinae foenigraeci sextarium unum, floris lapidis Asii sextarium unum, lomenti, fabae nigrae molitae, farinae lupinorum, utriusque sextarium unum, omnia mixta et aqua calida subacta

Ed. Chart. XIII. [638.] Ed. Baſ. II. (311.)

ἐπιτίθει θερμῷ καὶ ταινιδίῳ καταλάμβανε δεῖ δὲ πρότερον καταντλῆσαι τοὺς πάσχοντας τόπους ἢ καὶ τούτους λούοντας ἐμβιβάζειν. ἤδη δὲ τῶν ἐπικειμένων ἐπιδέσμων ἡμαγμένων καὶ διαβρόχων γιγνομένων, αἴρομεν τὸ φάρμακον, καὶ τοὺς τόπους ἀποπυριάσαντες χρώμεθα τῷ διὰ πικρῶν ἀμυγδάλων καὶ μαλάγματι ἔχοντι κρόκον καὶ ἶριν καὶ ἀριστολοχίαν. τοῦτο δ' ἀναγέγραπται ἐν τοῖς ἀναγεγραμμένοις πρὸς ποδάγραν μαλάγμασιν.

[*Τροχίσκος ποδαγρικοῖς, ἀρθριτικοῖς. ἡ χρῆσις ἐν αὐτοῖς τοῖς παροξυσμοῖς.*] ℞ Ἀλόης λίτραν α'. κενταυρείου χυλοῦ γο στ'. λιβάνου ἀτόμου γο δ'. σμύρνης γο δ'. λίθου Ἀσίου τοῦ ἄνθους γο β'. ὀπίου γο β'. μανδραγόρου χυλοῦ γο β'. στυπτηρίας σχιστῆς γο β'. ἀναλάμβανε γλυκεῖ καὶ ποίει τροχίσκους. ἐν δὲ τῇ χρήσει ἐν γάλακτι διαλύων ἐπίχριε πτεροῖς καὶ κατὰ τοῦ χρίσματος ἐπίβαλλε ὀθόνιον γλυκεῖ δεδευμένον. ἄλλος, ὁ Ζεὺς ἐπικαλούμενος. ℞ ἀλόης ≺ ιβ'. ὀπίου ≺ η'. μηκωνείου χυλοῦ ≺ στ'. ὑοσκυάμου χυλοῦ ≺ στ'. ἀκονίτου ≺ δ'. ὑποκυστίδος ≺ στ'. γλαύκου ≺ η'.

calida imponito et faſcia conſtringito. Oportet autem prius affectos locos perfundere aut etiam in ſolio lavare. Quum vero faſciae circumdatae madidae ac cruentae factae fuerint, medicamentum tollimus, et fotis locis paſtillo ex amygdalis amaris utimur et malagmate, quod crocum, iridem et ariſtolochiam habet, hoc ipſum vero inter malagmata ad podagram deſcripta habetur.

[*Paſtillus podagricis, arthriticis. Uſus ejus eſt in ipſis acceſſionibus.*] ℞ Aloës libram unam, ſucci centaurii ſexuncem, thuris non ſecti trientem, myrrhae trientem, floris lapidis Aſii ſextantem, opii ſextantem, ſucci mandragorae ſextantem, aluminis ſciſſi ſextantem, excipe paſſo et fac paſtillos. Uſu expetente, lacte diſſolutos cum pennis illine et ſupra illitionem linteolum paſſo imbutum impone. *Alius Paſtillus, Juppiter appellatus.* ℞ Aloës drach. xij, opii drach. octo, ſucci papaveris drach. ſex, ſucci hyoſcyami drach. ſex, aconiti drach. quatuor, hypocyſtidis drach.

Ed. Chart. XIII. [638.] Ed. Baſ. II. (311. 312.)

κρόκου ≺ ιβ'. κόμμεως ≺ κδ'. μήλων μανδραγόρου ≺ κ'. ὄξους κοτύλας δύο. ἕψε μῆλα μετ' ὄξους, καὶ ὅταν ἐκθλίψῃς, ἐπίβαλλε τοῖς προειρημένοις, καὶ διϋλίσας καὶ λεάνας ἐπιμελῶς, ἀνάπλαττε τροχίσκους καὶ ξήραινε ἐν σκιᾷ. ἡ χρῆσις δεδήλωται.

[*Μάλαγμα ἀρθριτικοῖς, ποδαγρικοῖς, τὸ διὰ κωνείου καὶ ἀγαρικοῦ, φάρμακον ἐπιτετευγμένον.*] ℞ Κωνείου σπέρματος ξέστην α'. ἀγαρικοῦ ξέστην α'. τήλεως ξέστην α'. νίτρου γο α'. κηροῦ λίτραν μίαν, ῥητίνης φρυκτῆς λίτραν α'. ἐλαίου παλαιοῦ λίτραν α'. μυελοῦ ἐλαφείου γο δ'. Ἰλλυρικῆς γο τέτταρας. τὰ ξηρὰ κόπτε καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ, τὰ δὲ τηκτὰ τῆκε, εἶτα ἐάσας ψυγῆναι καὶ ἀναξύσας ἐπίβαλλε τοῖς ξηροῖς καὶ ἀνακό(312)ψας ἀνελόμενος χρῶ. τοῦ αὐτοῦ ἄλλο. ℞ κηροῦ λίτραν α'. ἐλαίου παλαιοῦ ἢ Σαβίνου ξέστην α'. τήλεως ξέστην α'. κωνείου ξε. S''. ῥητίνης φρυκτῆς λίτραν α'. νίτρου ἐρυθροῦ γο. ἐννέα, λίθου Ἀσίου ἄνθους γο στ'. μυελοῦ ἐλαφείου γο β'. Ἰλλυρικῆς γο δ'. σκεύαζε καθὰ προείρηται.

vj, glaucii ʒ viij, croci ʒ xij, gummi ʒ xxiv, malorum mandragorae ʒ xx, aceti heminas duas, mala cum aceto coquito et expreſſa praedictis admiſceto, et ex dilutis accurate probe laevigatis paſtillos formato, eosque in umbra ſiccato. Uſus oſtenſus eſt.

[*Malagma arthriticis, podagricis, ex cicuta et agarico, accommodatum.*] ℞ Seminis cicutae ſextarium j, agarici ſextarium j, foenigraeci ſextarium j, nitri ʒ j, cerae lib. j, reſinae frictae libram unam, olei veteris libram j, medullae cervinae trientem, Illyricae trientem, arida tuſa per anguſtiſſimum cribrum concernito, liquabilia vero eliquato et frigeſieri ſinito et ſic eraſa aridis committito, et contuſis ac repoſitis utitor. *Aliud ejusdem.* ℞ Cerae lib. j, olei veteris aut Sabini ſextarium j, foenigraeci ſextarium j, cicutae ſextarium dimidium, reſinae frictae lib. j, nitri rubri dodrantem floris lapidis Aſii ſemiſſem, medullae cervinae trientem, Illyricae trientem, praepara ut dictum eſt.

Ed. Chart. XIII. [639.] Ed. Baſ. II. (312.)

[639] [*Τοῦ αὐτοῦ ἄλλο μάλαγμα τὸ διὰ τῶν δᾳδίων, Τίτου Καίσαρος, ποδαγρικοῖς, ἀρθριτικοῖς, καὶ πᾶσαν σκληρίαν μαλάττει.*] ℞ Ἰξοῦ δρυΐνου λίτραν α΄ S″. λιβάνου λίτραν α΄. κηροῦ λίτραν α΄. δᾳδίων λιπαρῶν λίτραν α΄. πιτυΐνης λίτραν α΄. ἕψε τὰ τηκτὰ κινῶν δᾳδίοις λιπαροῖς· καὶ ὅταν ἀποῤῥεύσῃ πᾶν τούτων τὸ λίπασμα, καθελὼν ἀπὸ τοῦ πυρὸς, ὕλιζε τὸ ὑγρὸν καὶ τούτῳ βάλλε τὸν λίβανον λειότατον, κινῶν συνεχῶς ἕως ἀμολύντου, καὶ εἰς θυείαν ἐξεράσας ἀνελόμενος χρῶ. ἄλλο. ℞ δᾳδίων λιπαρωτάτων λίτραν α΄. λιβάνου ἄῤῥενος λίτραν α΄. ῥητίνης πιτυΐνης λίτραν α΄. ἰξοῦ δρυΐνου λίτρας S″. σκεύαζε καθὰ προείρηται.

[*Μάλαγμα τὸ διὰ τοῦ Ἀσίου, ποδαγρικοῖς, ἀρθριτικοῖς σφόδρα γενναῖον, ἀπαλλάττει τῆς ὅλης διαθέσεως, ἡ χρῆσις ἐν διαλείμματι.*] ℞ Ἰξοῦ δρυΐνου, τερμινθίνης ἀνὰ λίτραν α΄. ἀφρονίτρου, λίθου Ἀσίου τοῦ ἄνθους, λιβάνου ἀνὰ λίτρας S″. ἐλαίου κυπρίνου λίτραν α΄. στέατος ὅσον ἐξαρκεῖ. τὰ ξηρὰ κόπτεται καὶ σήθεται καὶ μετὰ τοῦ ὕδατος τρίβε-

[*Aliud malagma ejusdem ex taedis, Titi Caeſaris. Facit podagricis et arthriticis. Emollit omnem duritiem.*] ℞ Viſci quercini lib. j ß, thuris lib. j, cerae lib. j, taedarum pinguium lib. j, reſinae pinus lib. j, liquabilia coquito ac pinguibus taedis moveto, poſtquam vero omnis pinguedo ab ipſis efflluxerit, ab igne ablatum liquorem excolato, atque huic thus tenuiſſime tritum inſpergito, aſſidueque moveto donec ad conſiſtentiam manus non inquinantem redigatur, et in mortarium translata reponito ac utitor. *Aliud.* ℞ Taedarum pinguiſſimarum lib. j, thuris maſculi lib. j, reſinae pinus lib. j, viſci quercini lib. ß, praepara ut praedictum eſt.

[*Malagma ex lapide Aſio, podagricis, arthriticis valde commodum. Liberat a toto affectu. Uſus eſt in intermiſſione.*] ℞ Viſci quercini, terebinthinae, utriusque lib. j, ſpumae nitri, floris lapidis Aſii, thuris, ſingulorum libram dimidiam, olei cyprini lib. j, adipis quantum ſatis eſt, arida tunduntur et cribrantur ac cum aqua teruntur

Ed. Chart. XIII. [639.] Ed. Baf. II. (312.)

ται, ὥστε κηρωτῆς ὑγρᾶς ἔχειν τὸ πάχος. τὰ δὲ τηκτὰ τήκεται καὶ τοῖς λεανθεῖσιν ἐπιβάλλεται καὶ ἀνακόψαντες ἀνελόμενοι χρώμεθα. ἄλλο. ℞ ἰξοῦ λίτραν μίαν, τερμινθίνης λίτραν μίαν, λίθου Ἀσίου, νίτρου ἀνὰ γο δ'. μάννης γο γ'. κυπρίνου γο β'. ὕδατος πηλοποιητικοῦ τὸ αὐτάρκες.

[Ἄλλο τὸ ἀρθριτικὸν σφόδρα γενναῖον, παραχρῆμα ὠφελεῖ ἀναπίνων καὶ τὰς ἐν βάθει ὑγρασίας.] ℞ Ἰξοῦ λίτραν α'. τερμινθίνης λίτραν α'. στέατος ταυρείου, λίθου Ἀσίου τοῦ ἄνθους ἀνὰ γο γ'. ἀσβέστου γο γ'. μάννης γο γ'. κυπρίνου λίτραν α'. σκεύαζε καθὰ προείρηται. ἄλλο Διοδώρου. ℞ ἀσβέστου ≺ α'. λιβάνου, τερμινθίνης, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ ≺ δ'. στέατος ταυρείου ≺ η'. ἀφρονίτρου ≺ δ'. λίθου Ἀσίου τοῦ ἄνθους ≺ β'. ἐν ἄλλῳ ≺ δ'. ἐλαίου κυάθους β'. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. τὸ φάρμακον σφόδρα καλόν ἐστιν, ἀναπίνει καὶ τὰς περὶ πάντα τὰ ἄρθρα συνισταμένας συλλογὰς καὶ ἀπαλλάττει τῶν πόνων.

ad cerati liquidi ſpiſſitudinem, liquabilia vero eliquantur et tritis adjiciuntur, quibus ſimul conquaſſatis ac repoſitis utimur. *Aliud.* ℞ Viſci lib. j, terebinthinae lib. j, lapidis Aſii, nitri, utriusque trientem mannae quadrantem, cyprini ſextantem, aquae lixivii figulini quod ſatis eſt.

Aliud ad arthriticos valde praeclarum, auxiliatur confeſtim, humores in alto abſorbens.] ℞ Viſci lib. j, terebinthinae lib. j, adipis taurini, floris lapidis Aſii, utriusque quadrantem, calcis vivae quadrantem, mannae quadrantem, cyprini lib. j, praepara ut dictum eſt. *Aliud Diodori.* ℞ Calcis vivae ʒ j, thuris, terebinthinae, ammoniaci thymiamatis, ana. ʒ iv, adipis taurini ʒ viij, ſpumae nitri ʒ iv, floris lapidis Aſii ʒ ij, in alio exemplari ʒ iv, olei cyath. ij, arida cum liquidis committito. Hoc medicamentum valde commodum eſt. Abſorbet etiam collectiones circa articulos conſiſtentes et a doloribus liberat.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΓΕΝΗ ΒΙΒΛΙΟΝ Α.

Ed. Chart. XIII. [640.] Ed. Baſ. II. (312.)

Κεφ. α'. Ἤδη μοι καὶ πρόσθεν ἐγέγραπτο πραγματεία, δυοῖν μὲν ἐξ αὐτῆς τῶν πρώτων βιβλίων ἐκδοθέντων, ἐγκαταλειφθέντων δὲ ἐν τῇ κατὰ τὴν ἱερὰν ὁδὸν ἀποθήκῃ μετὰ τῶν ἄλλων, ἡνίκα τὸ τῆς Εἰρήνης τέμενος ὅλον ἐκάη, καὶ κατὰ τὸ παλάτιον αἱ μεγάλαι βιβλιοθῆκαι. τηνικαῦτα γὰρ ἑτέρων τε πολλῶν ἀπώλοντο βιβλία καὶ τῶν ἐμῶν ὅσα κατὰ τὴν ἀποθήκην ἐκείνην ἔκειτο, μηδενὸς τῶν ἐν Ῥώμῃ

GALENI DE COMPOSITIONE MEDICAMENTORVM PER GENERA LIBER I.

Cap. I. Jam a me et prius ſcriptum eſt opus, cujus priores duo libri in publicum ſane prodierant, ſed cum aliis in apotheca, quae ad viam ſacram eſt, relicti intercidere, quando Pacis delubrum totum et ingentes Palatii bibliothecae incendio conflagrarunt. Tunc enim et aliorum multorum et mei libri, qui in apotheca illa erant ſepoſiti, interierunt, idque quum amicorum nullus, qui Romae de-

Ed. Chart. XIII. [640. 641.] Ed. Baſ. II. (312)

φίλων ἔχειν ὁμολογοῦντος ἀντίγραφα τῶν πρώτων δυοῖν. ἐγκειμένων οὖν τῶν ἑταίρων αὖθίς με γράψαι τὴν αὐτὴν πραγματείαν, ἀναγκαῖον ἔδοξέ μοι δηλῶσαι περὶ τῶν προεκδοθέντων, ὅπως μή τις προεντυχὼν αὐτοῖς ποτε ζητοίη τὴν αἰτίαν τοῦ δίς με περὶ τῶν αὐτῶν πραγματεύσασθαι. κατ' ἐκεῖνα μὲν οὖν ἐποιησάμην τὸν λόγον ἀπὸ τῆς ἀρχῆς τοῦ πρώτου βιβλίου πρὸς τοὺς σοφιστικῶς ἀναιροῦντας, ὡς οἷόν [641] τε τὴν ἐπαγγελίαν τῶν συνθέτων φαρμάκων, ἐνίοις δὲ καὶ τῶν ἁπλῶν ἐπηρεάζοντας, ἅμα τοῦ σκώπτειν τοὺς γεγραφότας ὑπὲρ αὐτῶν, ὡς τὰ μὲν ἧπαρ ὠφελεῖ, τὰ δὲ σπλῆνα, τὰ δὲ νεφροὺς ἢ κύστιν ἢ κεφαλὴν ἢ πνεύμονα. πότερα γὰρ, φασὶν, ἐφεστηκώς τις αὐτοῖς προστάττει, καθάπερ ἐν τῇ τραγῳδίᾳ,

Σὺ μὲν βάδιζε τὰς ἐπ' Ἰνάχου ῥοάς,
Σὺ δ' ἀμφὶ Θήβας στεῖχε τὰς Καδμηΐας.

οὕτως ἐνταῦθα σὺ μὲν βάδιζε τὰς ἐφ' ἥπατι πύλας, σὺ δ' ἐπί τε κύστιν ἢ καὶ νεφροὺς δύο ἢ τὸ καταποθὲν εἰς τὴν κοιλίαν ἀναδίδοται μὲν εἰς ἧπαρ, ἐντεῦθεν δὲ φέρεται πάντῃ

gebant, priorum duorum exemplaria habere ſe fateretur. Eſflagitantibus itaque familiaribus ut idem opus denuo ſcriberem, operae pretium mihi viſum eſt prius editorum mentionem facere, ne, ſi quis antea in illos inciderit, cauſam quaeritet, cur bis de eisdem rebus tractaverim. In illis igitur a primi libri exordio diſputationem in eos direximus, qui ſophiſtarum modo compoſitorum medicamentorum pollicita, ſeu profeſſionem quantum licuit abrogare nonnullaque ſimplicium calumniis deprimere conabantur, dicteriis eos pariter inceſſentes, qui ſcriptum de illis reliquerunt, alia jecur, alia lienem, alia renes vel veſicam vel caput vel pulmones juvare. Utrum enim, ajunt, praeſes quidam eis imperat? quemadmodum in tragoedia,

Abi quidem tu flumina ipſa ad Inachi,
Thebas at age tu pergito Cadmeias.

Sic hic tu quidem ad hepatis portas, tu vero ad veſicam vel renes duos proficiſcere. An quod in ventriculum ingeſtum eſt, in jecur quidem diſtribuitur, inde vero per uni-

Ed. Chart. XIII. [641.] Ed. Baſ. II. (312.)

τοῦ σώματος; ἀλλὰ τοῦτό γε τὸ σκῶμμα δηλοῖ τοὺς ταῦτα λέγοντας εἰς τοσοῦτον ἀπείρους εἶναι φαρμάκων δυνάμεως, ὡς ἀγνοεῖν ὑπὸ μὲν τοῦ θαλαττίου λαγωοῦ μόνον τῶν πάντων ἐν τῷ σώματι μορίων ἑλκόμενον πνεύμονα, κύστιν δ' αὖ μόνην ὑπὸ τῶν κανθαρίδων. ὑπ' ἄλλων δὲ τοὺς ἐν νεφροῖς λίθους θρυπτομένους, ὑφ' ἑτέρων δὲ τὰς ἐκ πνεύμονός τε καὶ θώρακος ἀναπτύσεις εὐπετεῖς γινομένας, ὥσπερ ὑπ' ἄλλων ἄλλα καθ' ἕν τι μόριον ἐξαιρέτως ἐπιτελούμενα. πολυειδῶς δὲ τοῦτον τὸν λόγον ἐν τῷ πρώτῳ τῶν γεγραμμένων ἤδη μοι πρόσθεν, ὡς ἔφην, ὑπομνημάτων ἐξειργασάμην, ὥσπερ αὖ κατὰ δεύτερον ἄλλον, οἰομένων τινῶν ἐν τῇ συνθέσει διαφθείρεσθαι παντάπασι τὰς ἐναντίας ἀλλήλαις δυνάμεις τῶν ἁπλῶν φαρμάκων. εἰ γὰρ ὕδωρ, φασὶ, τὸ ζεστότατον τῷ ψυχροτάτῳ μίξεις, οὐδέτερον μενεῖ τῶν μιχθέντων ὁποῖον ἦν ἔμπροσθεν, ἀλλ' ἕν τι γενήσεται τρίτον, ἕτερον ἀμφοῖν. ἐδείχθησαν δὲ κἀνταῦθα ληροῦντες μάταια διὰ τὸ μὴ γινώσκειν ἔνια μὲν τῶν προσφερομένων τῷ σώματι κατὰ τὰς ἐμφύτους δυνάμεις, ἔνια δὲ κατὰ τὰς ἐπικτήτους

verſas corporis partes defertur? At hoc ſcomma eos, qui haec cavillantur, tam eſſe medicamentorum facultatis imperitos arguit, ut a marino lepore pulmonem exulcerari ſolum ex omnibus corporis partibus ignorent, veſicam ſolam a cantharidibus, ab aliis rerum lapides conteri, ab aliis rurſus ex pulmone atque thorace faciles fieri excreationes, quemadmodum ab aliis alia in una quadam parte peculiariter perfici. Atqui varie hunc ſermonem in primo commentariorum jam antea nobis, ut dixi, conſcriptorum libro, ſicut rurſus in ſecundo alterum ſumus exequuti, quod alii quidam putarent in compoſitione ſimplicium medicamentorum contrarias inter ſe facultates omnino corrumpi. Etenim ſi aquam, inquiunt, ferventiſſimam cum frigidiſſima temperaveris, neutra illarum, qualis prius extitit, permanet, ſed tertia quaedam ab utraque diverſa generabitur. At hic quoque vanam ipſorum nugacitatem oſtendimus, qui ignorent ex iis, quae corpori admoventur, nonnulla pro innatis facultatibus, alia pro acquiſitis qualitatibus ſun-

Ed. Chart. XIII. [641.] Ed. Baf. II. (312.)

ποιότητας ἐνεργεῖν. τίς γὰρ οὐκ οἶδε κώνειον ἢ μηκώνειον ψύχοντα; καὶ μὴν εἰ θερμήνας αὐτὰ σφοδρῶς, προσφέροις ζώου σώματι, καυτηρίῳ παραπλησίως ἕλκος ἐργάσῃ. καθάπερ γε πάλιν εἰ νᾶπυ τρίψας ἐν ἀέρι ψυχρῷ, μεθ' ὕδατος ψυχροτάτου χειμῶνος ὥρᾳ, προσενέγκῃς ἐξαίφνης ἀραιῷ τε καὶ ἀσθενεῖ σώματι, φρίξει οὐδὲν ἧττον ἢ εἰ χιὼν ἢ κρύσταλλος ἔψαυσεν αὐτοῦ. ἀλλ' ἐὰν ὁμιλήσῃ σώματι ζώου χρόνῳ πλέονι, πρῶτα μὲν αἴσθησιν ἐργάσεται θερμασίας ὀλίγης, εἶτα πλείονος, εἶθ' οὕτω πολλῆς, ὡς ὑπὸ πυρὸς καίεσθαι δοκεῖν. ἔμπαλιν δὲ κώνειόν τε καὶ μηκώνειον θερμὰ προσαχθέντα, ἐὰν ὁμιλήσῃ τῷ σώματι χρόνῳ πλέονι, τοσαύτην ἐργάσεται τὴν ψύξιν, ὡς ἀναίσθητα γενέσθαι τὰ σώματα, κἂν πρότερον αἰσθητικώτατα ὑπάρχῃ. διωρισμένων οὖν ἡμῖν τῶν τοιούτων ἁπάντων ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ὑπομνήμασιν, ἑνδεκα τὸν ἀριθμὸν οὖσιν, ἐπ' αὐτὴν ἤδη τρέψομαι τὴν χρήσιμον διδασκαλίαν, ἐν ᾗ γυμνασάμενός τις, ἐὰν καὶ μηδ' ὅλως ἐπιφέρηται τὰς γραφὰς τῶν πολυφαρμάκων δυνάμεων, οὐκ ἀπορήσει τῶν ἐπιτηδείων πρὸς ἕκα-

ctionem obire. Quis enim cicutam aut papaver refrigerandi vim habere dubitat? quin tu ſi recalefacta ea vehementer animalis corpori offeras, non ſecus ac cauterium ulcus concitabunt. Quemadmodum rurſus, ubi ſinapi in frigido aëre cum aqua tritum, frigidiſſima hiemis tempeſtate, repente corpori raro ac imbecilli applices, horrebit nihilominus, quam ſi nix aut glacies ipſum contigiſſet. Sed ſi longiori tempore corpori animalis admotum fuerit, principio ſane exigui caloris ſenſum praebebit, dein majoris, poſtea tam copioſi, ut igne uri videatur. E contrario vero et cicuta et papaver, calida adhibita, ſi corpori diuturno tempore admoveris, tantam parient refrigerationem, ut ſtuporem corporibus quamlibet acuto ſenſu antea praeditis inferant. Quum igitur id genus omnia in commentariis, qui undecim numero ſunt, de ſimplicium medicamentorum facultate deſiniverimus, jam ad ipſam diſciplinam utilem deſcendemus, in qua quivis exercitatus, etiam ſi facultatum multorum medicamentorum ſcriptiones minus attulerit, non indigebit idoneis ad quem-

Ed. Chart. XIII. [641. 642.] Ed. Baſ. II. (312. 313)

στον πάθος, ἐὰν οὗτος, (313) ὡς ἔφην, ἔμπειρος ᾖ τῆς ὕλης τῶν ἁπλῶν φαρμάκων. ἐν παρέργῳ δὲ ὁ λόγος οὗτος ἐπιδείκνυσι καὶ τὴν τῶν ἐμπειρικῶν ἰατρῶν φιλονεικίαν εἰς ὀνείρατά τε καὶ τύχην καὶ περίπτωσιν ἀναγόντων τὰ σύνθετα φάρμακα σχεδὸν ἅπαντα, πλὴν ὀλιγίστων τινῶν, ἃ κατὰ τὸν κοινὸν ἁπάντων ἀνθρώπων λόγον, ὃν ἐπιλογισμὸν αὐτοὶ καλοῦσιν, εὑρηκέναι φασί. ὥσπερ ὅταν ἀλλήλοις μίξωμιν φάρμακα τὴν αὐτὴν ἐπιδεδειγμένα διὰ τῆς πείρας ἐνέργειαν, ἄλλο δ' ἐπ' [642] ἄλλου σώματος ἄμεινον ἢ χεῖρον ἐνηργηκός, εὔλογον μὲν ἡμῖν ἔδοξε, φασὶν ἔνιοι τῶν ἐμπειρικῶν, οὐ γὰρ δὴ πάντες γε, συνθεῖναι πλείω τοιαῦτα χάριν τοῦ κἂν ἓν ἐξ αὐτῶν εὑρεθῆναι τῇ φύσει τοῦ θεραπευομένου σώματος οἰκεῖον. ὅπερ ἐπὶ τούτου δὴ τοῦ καινοτάτου φαρμάκου τοῦ καλουμένου κεφαλικοῦ γεγονέναι φασὶ, μιχθέντων ἐν αὐτῷ πάντων τῶν καὶ κατὰ μόνας ἐγνωσμένων ἕλκη σαρκοῦν. ἀλλὰ κατά τίνα γε λόγον ὡς μιχθεὶς ἁπλῇ κηρωτῇ σαρκωτικὸν ἐργάζεται φάρμακον, οὐδετέρου τῶν μιχθέντων σαρκοῦντος, οὐκέτι λέγουσιν. ὁ μὲν γὰρ ὡς ἀναβιβρώσκει τὴν

que affectum, modo ſimplicium medicamentorum, uti diximus, materiae non ſit imperitus. Caeterum hic liber obiter oſtendit et empiricorum medicorum contentionem, qui ad inſomnia, fortunam et caſum medicamenta compoſita prope univerſa referunt, pauciſſimis quibusdam exceptis, quae communi omnium hominum ratione, quam epilogismum ipſi vocant, inveniſſe ſe dicunt. Quemadmodum ubi ejusdem facultatis medicamenta invicem miſcuerimus, quae alia in alio corpore melius aut pejus functionem ſuam objiſſe uſu ac experimentis didicimus, rationi conſonum certe nobis eſſe videtur, empiricorum aliqui dicunt, non enim omnes, componere plura hujusmodi, ut vel unum ex eis corporis curandi naturae idoneum inveniatur. Quod in hoc utique recentiſſimo medicamento vocato cephalico accidiſſe ferunt, mixtis in eo omnibus iis, quae vel per ſe ulcera carne implere cognoſcuntur. Sed qua ratione aerugo cerato ſimplici mixta medicamentum ſarcoticum faciat, quum neutrum ex illis carnis procreandae vim habeat, non item exponunt,

Ed. Chart. XIII. [642.] Ed. Baf. II. (313.)

ἡλκωμένην σάρκα, θερμὸν καὶ δριμὺ φάρμακον ὑπάρχον. ὁ κηρωτὴ δὲ πρᾶον μέν ἐστι καὶ ἄδηκτον, ἀντὶ δὲ σαρκὸς νέας ῥύπον ἐπιτρέφει τοῖς ἕλκεσιν. ἐμοὶ δὲ καὶ τοῦθ' ὅπως ἀλλήλοις ἐπιμίγνυται καὶ τἆλλα, ὅσα κατὰ τὸν αὐτὸν τρόπον ἐκ τῶν ἐναντίων σύγκειται, λέλεκται μὲν ἤδη καὶ κατὰ τὸ τρίτον γράμμα τῆς θεραπευτικῆς πραγματείας, εἰρήσεται δὲ καὶ νῦν ἡ κατὰ μέρος γυμνασία μετὰ παραδείγματος ἐφ' ἑκάστου πάθους.

Κεφ. β'. [*Τίνα προσεπίστασθαι χρὴ τὸν μέλλοντα καλῶς συντιθέναι τὰ φάρμακα.*] Περὶ μὲν τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως εἴρηται δι' ἑτέρας πραγματείας ὅτι χρὴ γινώσκειν ἑκάστου τὴν δύναμιν, οὐ κατὰ γένος μόνον, ὡς ἔγραψάν τινες, ἤτοι θερμαίνειν ἢ ψυχειν ἢ ξηραίνειν η ὑγραίνειν εἰπόντες, ἀλλὰ διωρισμένως τε καὶ διηρθρωμένως, ἐκ τίνος ἐστὶ τάξεως, ὡς ἡμεῖς ἐδηλώσαμεν. ἔνια μὲν γὰρ φάρμακα παντάπασιν ἀμυδρῶς ἐργάζεται τῶν εἰρημένων ἕκαστον, ἔνια δὲ σαφῶς, ἔνια δὲ ἰσχυρῶς, ὥσπερ ἄλλα τέλεως. οὔκουν αὐταρκὲς ἐπίστασθαι θερμαίνειν ἢ ψύχειν τόδε τὸ

ſiquidem aerugo ulceratam carnem erodit, quum acre et calidum medicamentum ſit, ceratum vero mite quidem eſt nec mordax, verum novae carnis loco ſordes parit ulceribus. Nos vero diximus in tertio methodi medendi libro, quomodo tum hoc tum alia, quae ex contrariis eodem pacto conſtant, invicem commiſceantur, dicetur nunc quoque particularis exercitatio, morbi cujusque appoſito exemplo.

Cap. II. [*Quae praeſcire oporteat eum, qui medicamenta probe compoſiturus ſit.*] Altero de ſimplicium medicamentorum facultatibus opere dictum eſt, ſingulorum facultates eſſe noſcendas non in genere ſolum, ut quidam ſcripſerunt, dicentes ea vel calefacere vel refrigerare vel ſiccare vel humectare, verum definite articulatimque, ex quo ſint ordine, uti nos declaravimus. Nam nonnulla quidem medicamenta obſcure prorſus unumquodque praedictorum efficiunt, quaedam manifeſto, aliqua valide, ſicut alia abſolute. Non ſatis eſt ergo noviſſe medicamentum hoc ca-

Ed. Chart. XIII. [642.] Ed. Baſ. II. (313.)

φάρμακον, ἀλλὰ καὶ μέχρι πόσου θερμαίνει καὶ ψύχει προσδιορίσασθαι χρή. θερμαίνουσι γὰρ αἱ ῥητίναι πᾶσαι καὶ τοῦτο κοινὸν αὐταῖς, ἀλλὰ τὸ μᾶλλον καὶ ἧττον οὐκ ὀλίγον ἐν τῇ θερμότητι κέκτηνται. θερμαίνουσι δὲ καὶ ὀποὶ πολλοὶ, διαφέροντες ἀλλήλων οὐ σμικρὰν διαφορὰν ἐν τῷ μᾶλλόν τε καὶ ἧττον. εἰ γὰρ παραβάλλοις ὀπὸν πάνακος τῷ Κυρηναίῳ καὶ Μηδικῷ, δόξει σοι τοῦτο μηδὲν ὡς πρὸς ἐκείνους εἶναι καὶ τί δεῖ πόῤῥω τὸν λόγον ἀπάγειν, αὐτῶν οἷς ὁσημέραι προσφερόμεθα τῆς διαφορᾶς ἀναμνῆσαι δυναμένους; ἄνηθον γοῦν καὶ πήγανον καὶ κρόμμυον θερμαίνοντα πάντα πολὺ διενήνοχεν ἀλλήλων, ὥστε καὶ κατὰ τὰς θεραπείας τῷ μὲν ἱκανῶς ἐψυγμένῳ μορίῳ τὸ θερμαῖνον ἱκανῶς προσοίσομεν φάρμακον, τῷ δὲ βραχὺ τοῦ κατὰ φύσιν ἐξηλλαγμένῳ τὸ μετρίως θερμαῖνον, ὥσπερ γε καὶ τῷ πάνυ κατεψυγμένῳ τὸ σφοδρότατα θερμαῖνον. εἰκότως οὖν ἡμεῖς ἐποιησάμεθα τέσσαρας τάξεις ἐν τοῖς θερμαίνουσι, διορισάμενοι τῶν ἐπ' ὀλίγον θερμαινόντων τά τε σαφῶς τοῦτο δρῶντα καὶ τὰ πάνυ θερμαίνοντα καὶ τὰ σφόδρα μετὰ τοῦ

lefacere aut refrigerare, ſed quousque calefaciat vel refrigeret, definire oportet. Calefaciunt enim reſinae omnes, idque ipſis commune, attamen majoris minorisque rationem non exiguam in calore ſortitae ſunt. Item ſucci plures non mediocriter ratione ad majus minusque facta differentes calefaciunt. Nam ſi panacis ſuccum Cyrenaeo et Medico conferas, videbitur tibi hic nihil ceu ad illos eſſe. At quorſum attinet ſermonem ipſorum divertere longius, quum eorum differentiae, quibus in cibo utimur quotidie, poſſimus meminiſſe? Anethum igitur et ruta cepaque, omnia calefacientia, magno inter ſe variant diſcrimine. Quapropter in curationibus quoque parti admodum refrigeratae medicamentum quod impenſe calefaciat admovebimus, illi vero, quod paululum a naturali habitu receſſit, modico calore praeditum, ſicut et inſigniter refrigeratae vehementiſſime calefaciens adhibebitur. Merito igitur quatuor nos excalefacientium ordines ſtatuimus, ſeparantes a modice calefacientibus ea, quae manifeſte id agunt, tum quae valide, tum

Ed. Chart. XIII. [642. 643.] Ed. Baſ. II. (313.)

καίειν. ἐν ἑκάστῃ δὲ τῶν τεσσάρων διαφορῶν ἔνια μὲν οἷον ἀρχομένης τε διαφορᾶς, ἔνια δὲ τελευτώσης τε καὶ πλησιαζούσης τῇ μετὰ ταύτην, ἔνια δὲ ἐν τῷ μεταξύ. τῶν γοὺν ἑλκούντων διὰ θερμότητα, καθάπερ καὶ τῶν σηπτῶν ὀνομαζομένων, ἔνια μὲν ἅμα τῷ προσαχθῆναι τῷ σώματι τὴν ἑαυτῶν ἐπιδείκνυνται δύναμιν, ἔνια δὲ δυοῖν ἢ τριῶν ἢ τεττάρων ὡρῶν δεῖται· τινὰ δ' ὅλης ἡμέρας ἢ καὶ τῆς μετ' αὐτὴν νυκτὸς ἢ καὶ πλειόνων ἐφεξῆς. ταῦτ' οὖν, ὥσπερ ἐπὶ τῶν θερμαινόντων, [643] οὕτω καὶ ἐπὶ τῶν ψυχόντων ἐπίστασθαι χρὴ, τὸν μέλλοντα συντίθεσθαί τι φάρμακον. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ὑγραινόντων καὶ ξηραινόντων. αἱ δὲ ὕλαι τῶν φαρμάκων, αἱ μὲν ἀπὸ φυτῶν εἰσιν, αἱ δὲ ἀπὸ μετάλλων, αἱ δ' ἀπὸ ζώων. καὶ πάσας αὐτὰς διωρισμένας ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ μεμαθήκατε. πρὸς γὰρ τοὺς ἑταίρους ὁ λόγος οὗτός ἐστί μοι μάλιστα, τοὺς ἀξιώσαντάς με δεύτερον νῦν ἐπὶ τοῖς ἀπολωλόσι γράφειν ταῦτα· καθάπερ δὲ τῶν ἁπλῶν φαρμάκων τὰς δυνά-

quae vehementer adeo, ut urant. In ſingulis autem illis quatuor ordinibus diverſis quaedam eſſe velut incipientis differentiae, nonnulla definentis et ei, quae poſt hanc exiſtit, propinquae, alia in medio conſtituta. Itaque ſunt ex iis, quae propter caloris vim exulcerant, quemadmodum etiam ex illis, quae ſeptica putrefacientia nominantur, alia ſimulatque corpora contigerint facultatem ſuam oſtendunt, quaedam duabus tribusve aut iv horis opus habent, nonnulla diem totum, vel etiam poſt eum noctem vel majus dein ſpatium requirunt. Haec jam ut in caleſacientibus, ita quoque in refrigerantibus intelligere eum oportet, qui medicamentum aliquod confecturus eſt, pari modo et in iis quae humectant exiccantque. At materiae medicamentorum quaedam a plantis, quaedam a metallis, nonnulla ab animantibus proveniunt, quas omnes in tractatu de ſimplicibus medicamentis definite expreſſas didiciſtis. Nam cum familiaribus hic ſermo potiſſimum eſt, qui precibus me adegerunt haec nunc propter librorum interitum denuo per-

Ed. Chart. XIII. [643.] Ed. Baſ. II. (513.)

μεις ἁπάντων ὑμᾶς ἀκριβῶς ἐπίστασθαι προσῆκεν, ἵνα ἐν παντὶ χωρίῳ δύνησθε ῥᾳδίως ἐκ τῶν παρόντων συντιθέναι τὰ λυσιτελοῦντα τοῖς θεραπείας δεομένοις σώμασιν, οὕτω καὶ τῶν παρὰ φύσιν πασῶν διαθέσεων τὰς διαφορὰς ὑπόμνημα· δεύτερον δὲ τὸ περὶ τῆς τῶν συμπτωμάτων, καὶ τρίτον ἐπ' αὐτοῖς, ἐν ᾧ περὶ τῶν τὰς νόσους ἐργαζομένων αἰτίων διέρχομαι. καὶ πρὸς τούτοις ἄλλα τρία τῶν ἐν τοῖς συμπτώμασιν αἰτίων. ἔχετε δὲ καὶ τὸ περὶ πλήθους ἐμὸν γράμμα καὶ τὸ περὶ τῆς τῶν πυρετῶν διαφορᾶς· ἐπ' αὐτοῖς τε τὰ τῆς θεραπευτικῆς μεθόδου, δι' ὧν ἐμάθετε τάς τε διαθέσεις, ὑφ' ὧν ἐνέργεια βλάπτεται, καὶ ὡς ἡ θεραπεία τούτων πρώτων ἐστίν, ὥσπερ γε πάλιν ἡ προφυλακὴ τῶν ἐργαζομένων αὐτὰς αἰτιῶν. ἐμάθετε δὲ καὶ ὅτι πρῶτος σκοπὸς τῆς θεραπείας ἐκ τῶν νοσωδῶν εὑρίσκεται διαθέσεων, ὅτε τε συνενδείκνυται τούτοις ἡ τοῦ πεπονθότος μορίου φύσις, ἅμα τῇ τοῦ περιέχοντος ἡμᾶς ἀέρος κράσει καὶ κατάστασιν καὶ ἡλικίαν καὶ ὥραν καὶ χώραν, ἐπιτηδεύματά τε καὶ ἔθη συνεπισκέπτονται πολλοὶ τῶν ἀρίστων ἰατρῶν,

ſcribere. Jam vero, ut ſimplicium medicamentorum univerſorum facultates adamuſſim vobis cognoſcendae ſunt, quo ubivis corporibus curationem deſiderantibus idonea ex iis quae adſunt facile poſſitis remedia componere, ita etiam omnium praeter naturam affectuum differentias tenere expedit, quas primum quidem libro de morborum, altero de ſymptomatum differentiis, tertio poſt illos, in quo de cauſis morbos efficientibus differo, comprehenſas habetis, ad haec aliis tribus de ſymptomatum cauſis, uno inſuper meo de plenitudine, nec non de febrium differentia commentario, poſtremo medendi methodo, in quibus affectiones actionem laedentes didiciſtis, item curationem harum primam eſſe, quemadmodum etiam praeſervationem, cauſarum eas parientium. Docti pariter eſtis, primum curationis ſcopum a morboſis diſpoſitionibus ſuggeri, ac cum his una affectae partis naturam indicari. Praeterea aëris nos ambientis temperamentum, conſtitutionem, aetatem, tempus, locum, vitae propoſitum et ἔθη, id eſt conſuetudines, plures egregii medici

Ed. Chart. XIII. [643.] Ed. Baſ. II. (313.)

ὑπὲρ ὧν εἰρήσεταί τινα καὶ νῦν, ἔνθ' ἂν αὐτῶν γένηται χρεία. ταῦτ' οὖν ὑμᾶς οὕτως ἅπαντα διὰ μνήμης ἔχειν χρὴ πρόχειρα, βουλομένους ἐν ἅπαντι χωρίῳ φαρμάκων εὐπορεῖν ἁπλῶν τε καὶ συνθέτων, ἔτι τε πρὸς τούτοις, ὡς ἐνίοτε μὲν ἕν τι φάρμακον αὐτοφυὲς ἁπλοῦν, ἱκανόν ἐστι τὴν παρὰ φύσιν ἰάσασθαι διάθεσιν, ἐνίοτε δὲ χρεία γίγνεται συνθέτου καὶ διὰ τί γε πράττομεν τοῦτο λεκτέον ἐφεξῆς.

Κεφ. γ'. [*Τίς ἡ χρεία τῶν συνθέτων φαρμάκων.*] Εἰ διὰ τῶν ἁπλῶν φαρμάκων μόνον ἦν δυνατὸν ἁπάσας ἰάσασθαι τὰς παρὰ φύσιν διαθέσεις, οὐκ ἄν ἐδεήθημεν οὐδέποτε συνθέτου φαρμάκου, νυνὶ δὲ οὐχ οὕτως ἔχει. πολλάκις γὰρ ἄχρι τοσοῦδέ τινος ἐκθερμανθῆναι τὸ σῶμα βουλόμενοι τῶν ἁπλῶν οὐδὲν ἔχομεν τοιοῦτον. ἀνάλογον γὰρ εἶναι χρὴ τῇ θεραπευομένῃ διαθέσει τὸ θεραπεῦον φάρμακον. ἐὰν οὖν ἡ διάθεσις ᾖ ψυχρὰ, τέτταρσιν ἀριθμοῖς ἀφεστῶσα τῆς κατὰ φύσιν, ὅτι μὲν εἶναι χρὴ τὸ θεραπεῦσον αὐτὴν φάρμακον, ἴσῃ ποσότητι θερμότερον τοῦ συμμέτρου πρόδηλον παντί.

inſpiciunt, de quibus, ubi eorum uſus fuerit, aliqua ſimul et hic nobis dicentur. Haec itaque in memoria vos omnia ſic exprompta habere expedit, ſi quovis loco medicamentorum tum ſimplicium tum compoſitorum copiam habere deſideratis. Inſuper quod ab uno interim aliquo ſponte nato medicamento ac ſimplici morbus curari poſſit, interim vero compoſiti uſus requiratur, ac quamobrem id agamus rationem deinceps explicabimus.

Cap. III. [*Quis compoſitorum medicamentorum uſus.*] Si ſolis ſimplicibus medicamentis univerſos praeter naturam affectus curare liceret, nullus utique compoſiti unquam uſus foret; at hoc nunc ita comparatum non eſt, nam ſaepe, quum corpus aliquatenus caleſacere volumus, ſimplex nullum, quod praeſtare id queat, habemus, medicamentum enim curans affectioni cui adhibetur, proportione nimirum reſpondere oportet. Ergo ſi diſpoſitio ſit frigida, quatuor numeris a naturali recedens, curaturum ipſam medicamentum totidem gradibus mediocri ſymmetrove calidius eſſe opor-

Ed. Chart. XIII. [643. 644.] Ed. Baſ. II. (313. 314.)

μὴ παρόντος δ' ἐνίοιε (314) μηδενὸς τοιούτου τῶν ἁπλων ἂν εὐπορῶμεν δυοῖν, ὧν τὸ μὲν ἀριθμοῖς πέντε, τὸ δὲ τρισὶ θερμότερον, μίξαντες αὐτὰ τὸ μέσον ἐργασόμεθα, τέτρασιν ἀριθμοῖς ὑπερέχον τοῦ συμμέτρου. τινὰ δὲ τῶν ἁπλῶν οὐδ' εἰς χρῆσιν ἀχθῆναι δύναται χωρὶς ἑτέρας μίξεως, οἷον ὅταν ἐμπλαστὸν φάρμακον ἐπιτιθέναι τινὶ βουλώμεθα. τῶν γὰρ ἁπλῶν οὐδὲν ἐπιτήδειον εἰς τὴν τοιαύτην χρείαν. οὔτ' οὖν ἄσφαλτος οὔτε κηρὸς οὔτε ῥητίνη, καθάπερ οὐδὲ πίσσα πρόπολίς τε καὶ λάδανον, ἔτι δὲ μᾶλλον ἰὸς καὶ ψιμύθιον ἢ λιθάργυρος ἢ μολύβδαινα ἢ τῶν ἄλλων τι με(644)ταλλικῶν φαρμάκων. ὡσαύτως οὐδὲ βοτάναι μόναι φάρμακον ἐμπλαστὸν δύνανται ποιεῖν. εἰκότως οὖν ἐπενόησαν οἱ πρώτως συνθέντες ἐμπλαστὰ φάρμακα καὶ δι' ἐλαίου μίξεως ἕψειν μὲν τὰ μεταλλικά, τήκειν δὲ τὰ τηκτά, προσεμβάλλειν δ' αὐτοῖς καὶ βοτάνας ξηρὰς, κεκομμένας τε καὶ διηθημένας. ἐφ' ἑτέρων πάλιν διαθέσεων, χρεία ἑνὸς φαρμάκου μόνου τῶν αὐτοφυῶν ἐστιν, ἐπιμίγνυμεν δ' αὐτῷ τινὰ, ποτὲ μὲν

tere omnibus eſt manifeſtum. Porro quum interim tale ſimplex nullum adſit, ſi duo habeamus, quorum hoc numeris quinque, illud tribus calidius ſit, ea ſi miſcuerimus, medium efficiemus, quatuor numeris ſymmetron exuperans. Jam quaedam ſimplicia citra alterius mixturam ne in uſu quidem eſſe poſſunt, veluti quum emplaſtrum medicamentum apponere cuipiam volumus, quippe ſimplex nullum ad talem uſum idoneum eſt. Ergo neque bitumen neque cera neque reſina, ſicut neque pix neque propolis ac ladanum multo minus aerugo et ceruſſa, vel ſpuma argenti vel molybdaena vel aliud quodpiam metallicum medicamentum, ſimili modo nec herbae ſolae emplaſtron medicamentum efficere poſſunt. Quare primi emplaſtrorum autores non temere ex oleo quoque metallica coquere excogitarunt, quae liquefieri poſſint, liquefacere ac ſiccas herbas contuſas cribratasque eis adjicere. Rurſus in aliis affectibus unum medicamentum ſolum ex iis, quae ſuapte natura proveniunt, uſurpamus, cui tamen nonnulla adjicimus, aliquando facul-

Ed. Chart. XIII. [644.] Ed. Baſ. II. (314.)

ἀμβλῦναι τὸ σφοδρὸν τῆς δυναμεως αὐτοῦ βουλευόμενοι, ποτὲ δὲ τὴν ἀηδίαν παραμυθήσασθαι, καθάπερ Ἱπποκράτης ἐν τῷ περὶ διαίτης ὀξέων ἔφη κατὰ τήνδε τὴν ῥῆσιν· ἢν δ' ὑπὸ φρένας ᾖ τὸ ἄλγημα, ἐς δὲ τὴν κληῖδα μὴ σημήνῃ, μαλθάσσειν χρὴ τὴν κοιλίην ἢ μέλανι ἐλλεβόρῳ ἢ πεπλίῳ, μέλανι μὲν δαῦκον ἢ σέσελι ἢ κύμινον ἢ ἄνισον ἢ ἄλλο τι τῶν εὐωδέων μίσγοντα, πεπλίῳ δὲ ὀπὸν σιλφίου. ἐν ταύτῃ τῇ ῥήσει σαφῶς ὁ Ἱπποκράτης ἐνεδείξατο χρείαν μὲν εἶναι τοῦ καθαίροντος φαρμάκου, τὴν δ' ἀηδίαν αὐτοῦ κατὰ τὴν πόσιν καὶ τὴν ἐν τῇ κοιλίᾳ μόνην ἡδύσματος δεῖσθαι. πολλὰ γάρ τοι τῶν πινομένων φαρμάκων ἐπὶ τοσοῦτον ἀηδῆ τοῖς προσφερομένοις ἐστὶν, ὡς ἀνατρέπεσθαι τὸν στόμαχον, ἐμεῖσθαί τε παραχρῆμα, τινὰ δὲ κἂν ἐπ' ὀλίγον ἐν τῇ γαστρὶ μεῖναι δυνηθῇ, μετὰ ταῦτα γοῦν ἐμεῖσθαι μοχθηρὰς ἐρυγὰς κινήσαντα. καθάπερ δὲ τῶν καθαιρόντων οἷον ἡδύσματά ἐστι τὰ τοιαῦτα τῶν φαρμάκων, ὧν Ἱπποκράτης ἐμνημόνευσεν, οὕτως τῶν ἀνωδύνων ὀνομαζομένων, ἕτερα τῆς σφοδρότητος ὑπάρχει παρῦντικὰ, καθάπερ ὅταν ὀπὸν μήκωνος

tatum ipſius vehementiae obtundendae, interdum inſuavitatis mitigandae gratia, quemadmodum Hippocrates in libro de victus ratione in morbis acutis hiſce verbis inquit: *ſi ſub transverſo ſepto dolor ſit, ad claviculam vero ſignum non fecerit, emolliendus eſt venter vel nigro veratro vel peplio, veratro quidem daucum vel ſeſeli vel cuminum vel aniſum vel aliud quid odoriferum miſcendo, peplio autem ſilphii ſuccum.* Hac dictione manifeſto Hippocrates uſum quidem medicamenti purgantis eſſe oſtendit, ſed inſuavitatem ejus in potu moramque in ventriculo condimentum requirere, multa ſiquidem quae bibuntur medicamenta tam ſunt aſſumentibus inſuavia, ut ſtomachum ſubvertant vomitumque protinus cieant, quaedam licet paululum in ventriculo manere poſſint, poſtea tamen evomantur, quum pravas eructationes moverint. Quemadmodum vero purgantium ceu condimenta ſunt ejusmodi medicamenta, quorum Hippocrates meminit, ita dolorem levantium, quae anodyna appellantur, alia vehementiam mitigant, ut quum

Ed. Chart. XIII. [644.] Ed. Baſ. II. (314.)

ἢ ὑοσκυάμου σπέρμα παραδιδόαμεν ἢ μανδραγόρου ῥίζης φλοιὸν, ὥστε καὶ αὕτη χρεία συνθέσεως φαρμάκων ἐστί. μεγίστη δ' ἐπὶ τῶν ἐναντίων δυνάμεων ἅμα χρηζόντων παθῶν, οἷον ἀποκρουστικῶν τε καὶ διαφορητικῶν ἢ ῥυπτικῶν τε καὶ λεαντικῶν, ἢ παχυνόντων τε ἅμα καὶ λεπτυνόντων χυμοὺς, καθά τε πολυχρηστότατα καὶ κάλλιστα φάρμακα τὰς ἐναντίας ἐν αὐτοῖς ἔχει δυνάμεις, ὡς ἐπιδείξομεν. ἀλλὰ καὶ ἥδε ἡ χρεία συνθέσεως φαρμάκων ἐστὶν, ὅταν ἔν τι φάρμακον ἔχειν βουλώμεθα πρὸς πολλὰ τῶν ἰοβόλων θηρίων ἢ θανασίμων φαρμάκων ἐπιτήδειον, ἥτις χρεία καὶ τὴν θηριακὴν ὀνομαζομένην ἀντίδοτον ἐσκεύασε καὶ πρὸς αὐτῇ τὴν Μιθριδάτειον ἑτέρας τε πολλάς. εἰσὶ δὲ καὶ ἄλλαι τινὲς χρεῖαι, μικρότεραι μὲν τῶν εἰρημένων, ὅμως δ' οὖν ἀναγκάζουσαι πολλάκις ἡμᾶς ἐπὶ τὴν σύνθεσιν ἀφικνεῖσθαι τῶν φαρμάκων, ἃς ἐν τῇδε τῇ πραγματείᾳ πάσας μαθήσεσθε. νυνὶ γὰρ ἤδη τῶν προκειμένων ἄρξομαι, πρώτου μνημονεύσας ἐμπλαστοῦ φαρμάκου πολυχρηστοτάτου συντεθέντος ὑπ' ἐμοῦ.

papaveris ſuccum vel hyoſcyami ſemen praebemus vel mandragorae radicis corticem. Quare et hic medicamentorum compoſitionis uſus eſt, maximus autem in morbis, qui contrarias ſimul facultates deſiderant, verbi gratia repellendi et diſcutiendi vel detergendi ac laevigandi vel incraſſandi ſimul et attenuandi humores ac veluti plurimi uſus medicamenta polychreſtotata et optima diverſas in ſe facultates, ut indicabimus, continent. Verum is quoque medicamentorum compoſitionis uſus eſt, quum unum aliquod illorum ad multas venenatas feras vel exitialia medicamenta efficax habere volumus, qui uſus etiam theriacam, ut vocant, antidoton comparavit, item mithridation aliasque multas. Sunt porro et aliae quaedam utilitates minores quidem praedictis, attamen quae crebro nos ad medicamentorum compoſitionem deſcendere cogunt, quas univerſas hoc in opere docebimini. Nunc enim ubi primum emplaſtri medicamenti et ad plura utiliſſimi a me confecti mentionem fecero, jam inſtitutum aggrediar.

Ed. Chart. XIII. [644.645.] Ed. Baſ. II. (314.)

Κεφ. δ'. [Περὶ τοῦ διὰ χαλκίτεως ἐμπλαστοῦ φαρμάκου.] Τίνι λόγῳ συνέθηκα τὴν διὰ χαλκίτεως ἔμπλαστρον, ἣν φοινικίνην ὀνομάζω, κολλητικήν τε καὶ συνουλωτικὴν ἑλκῶν καὶ φλεγμονῶν θεραπευτικήν, ἐπειδὰν τακεῖσα σύστασιν ὑγρᾶς ἔχῃ κηρωτῆς, τοὺς μὲν ἐμπειρικοὺς ἐάσαντες ὁμολογεῖν τὴν ἑαυτῶν ἀμαθίαν, ἀποστάντες δὲ καὶ τῶν περὶ τὸν Θεσσαλὸν, ἀγνοούντων τὰ κάλλιστα τῶν ἡυρημένων τοῖς ἰατροῖς φαρμάκων, ἐξ ἐναντίων δυνάμεων συγκείμενα, τὸν λογισμὸν ἀσκεῖτε πρὸς τὸ δύνασθαι συντιθέναι φάρμακα ταῖς αὐταῖς ἐμοὶ χρώμενοι μεθόδοις, ἵν' ἔργῳ καὶ αὐτοὶ πεισθῆτε καὶ τὰ τοῖς ἔμπροσθεν ἡυρημένα λογισμῷ συντίθεσθαι πάντα, [645] ληρώδους τῆς τῶν ἐμπειρικῶν περιπτώσεως οὔσης. λεκτέον οὖν ἤδη τὸν λόγον τῆς τοῦ προκειμένου φαρμάκου συνθέσεως. διαφορητικὴν μὲν ἔχει δύναμιν ἔλαιόν τε παλαιὸν καὶ στέαρ, ἀποκρουστικὴν δὲ καὶ στυπτικὴν ἥ τε χαλκῖτις καὶ ὁ τοῦ φοίνικος χυλός. ἐκ τούτων οὖν ἐγὼ συνέθηκα φάρμακον, ᾧ πάνυ πολλοὺς ἤδη χρω-

Cap. IV. [*De emplaſtro medicamento dia chalciteos.*] Qua ratione compoſuerim emplaſtrum ex chalcitide, quod a palma, quam phoenica Graeci vocant, phoenicinum appello, medicamentum glutinandis ulceribus, cicatrice obducendis et phlegmonis curandis accommodum, ubi liquefactum humidi cerati craſſitudinem obtinet, animum exercere tum permiſſis empiricis ſuam ipſorum fateri inſcitiam tum relictis quoque Theſſali ſectatoribus, qui optima medicamenta a medicis inventa contrariis conſtare facultatibus ignorant. Exercete, inquam, ingenium, ut eisdem mecum utentes methodis medicamenta poſſitis conficere ac ſitis re ipſa perſuaſi vel ea, quae a majoribus inventa ſunt, omnia ex ratione componi, nimirum quum empiricorum incidentia nugatoria ſit. Dicenda itaque jam eſt propoſiti medicamenti compoſitionis ratio. Oleum vetus et adeps digerendi vim obtinent, chalcitis et palmae ſuccus repellendi aſtringendique. Ex his igitur medicamentum compoſui, quo jam complures uti noviſtis ideo, quod omnibus ſui ge-

Ed. Chart. XIII. [645.] Ed. Baſ. II. (314.)

μένους ὥστε διὰ τὸ τῶν ὁμοειδῶν ἁπάντων ἄμεινον κεκρίσθαι, δι' αὐτῶν τῶν ἔργων βασανισθέν. ὁ μὲν γὰρ λόγος εὑρίσκει τὴν σύνθεσιν, ἡ δὲ πεῖρα κρίνει τὴν τῶν εὑρεθέντων ἀρετὴν, ὥστε καὶ τοῖς ἀπείροις λογικῶν μεθόδων πιστεύεσθαι τὰ τεχνικῶς συντεθέντα. προσέμιξα δὲ τοῖς εἰρημένοις ἄρτι φαρμάκοις λιθάργυρον οὐδέν τι μέγα συντελέσαι δυναμένην οὔτε τοῖς ἀναστέλλουσι τὸ ἐπιῤῥέον οὔτε τοῖς διαφοροῦσι τὸ ἐστηριγμένον ἤδη κατὰ τὰ φλεγμαίνοντα μόρια· ξηραντικῆς γάρ ἐστι δυνάμεως οὐ μὴν ἰσχυρᾶς, ἀλλ' ὡς ἐπιτήδειον φάρμακον αὐτὴν εἰς ἔμπλαστοῦ σύνθεσιν ἔμιξα, σὺν γὰρ τοῖς εἰρημένοις ἕψηται μέχρι συστάσεως ἀμολύντου. χρὴ δὲ τὸ στέαρ ἅναλόν τε καὶ ὡς ἔνι μάλιστα παλαιότατον εἶναι, τό τε ἔλαιον ὁμοίως παλαιόν. ἐμάθετε γάρ πως παραπλησίας μὲν εἶναι ἀλλήλοις δυνάμεως τό τε ἔλαιον καὶ τὸ στέαρ τῶν ὑῶν, μαλακτικώτερον βραχὺ καὶ θερμότερον ὂν τῇ δυνάμει τὸ στέαρ. ἐμάθετε δὲ καὶ ὡς παλαιούμενα λεπτομερέστερά τε καὶ διαφορητικώτερα γίγνεται καὶ διὰ τοῦτο ταῖς μὲν ὀδυνηραῖς φλεγμοναῖς παρηγορικώ-

neris melius eſſe ex ipſis operibus comprobatum ſit. Etenim ratio compoſitionem invenit, experientia de inventorum virtute decernit, ut etiam rationalium methodorum imperitis artificioſe confecta fidem faciant. Porro cum modo dictis medicamentis argenti ſpumam miſcui, quae nihil magni adeo momenti afferre poteſt, neque repellentibus, quod influit, neque digerentibus, quod jam partibus phlegmone laborantibus infixum eſt, quippe ſiccandi virtutem habet, ſed non validam, quare ipſam ceu aptum medicamentum in emplaſtri compoſitionem adjunxi, nam cum praedictis incoquitur donec ſubſtantiam, quae non polluat, conſequatur. Adipem vero inſulſum et quam maxime fieri licet vetuſtiſſimum eſſe convenit, tum oleum vetus ſimiliter, quod cum ſuillo adipe propinquam virtutem habere quodammodo didiciſtis, licet adeps paulo majorem emolliendi calefaciendique vim obtineat. Didiciſtis quoque vetuſtate ipſa tenuiorum partium fieri et digerere promptius, eoque phlegmonis, quae magnum dolo-

Ed. Chart. XIII. [645.] Ed. Baſ. II. (314.)

τερα τὰ νέα, ταῖς δὲ μὴ τοιαύταις ὠφελιμώτερα τὰ παλαιά. καὶ ὅσῳ γ' ἂν ᾖ χρονιωτέρα τε καὶ δύσλυτος ἡ φλεγμονὴ, τοσούτῳ τὰ παλαιὰ χρησιμώτερα καὶ μόνα θεραπεύειν ἱκανὰ μηδενὸς ἐπιῤῥέοντος ἔτι τῷ πεπονθότι μορίῳ. εἰ δ' ἐπιῤῥέοι τι, μικτὴν εἶναι χρὴ καὶ τοῦ φαρμάκου τὴν δύναμιν, οἵαπερ ἐστὶ τοῦ συντεθέντος ὑπ' ἐμοῦ. διὰ τοῦτο γοῦν ἔμιξα τοῖς διαφοροῦσι τὴν χαλκῖτιν καὶ τὸν φοίνικα, παντάπασιν ὀλίγας φλεγμονὰς εἰδὼς χρονιζούσας, ἐφ' ὧν οὐδὲν ἐπιῤῥεῖ. διὰ γὰρ τοὺς ἐπιῤῥέοντας αὐτοῖς χυμοὺς εἰώθασι χρονίζειν. ἀρχομένων δὲ καὶ αὐξανομένων τῶν φλεγμονῶν ἐπικρατεῖν προσήκει τὴν τῶν στυφόντων τε καὶ ψυχόντων φαρμάκων δύναμιν, καὶ διὰ τοῦτο τηκόμενον εἰς πάχος κηρωτῆς ὑγρᾶς τὸ ἐμπλαστὸν τοῦτο φάρμακον ἱκανῶς πολύχρηστον γίγνεται ποτὲ μὲν οἴνου προσλαμβάνον ἢ ὄξους ἢ ὕδατος, ἔστι δὲ ὅτε δι' ὠμοτριβοῦς ἐλαίου τηκόμενον ἢ τινος τῶν στύψιν ἐχόντων, οἷόν ἐστι τὸ Σπανόν τε καὶ τὸ Ἰστρικὸν, ἢ διά τινος τῶν γλυκέων ἄνευ στύψεως ἢ διὰ παλαιοῦ. καὶ

rem inferunt, magis blanda ac mitia eſſe ipſa recentia, iis vero, quae tales non ſunt, commodiora vetuſta. Et quo phlegmone et diuturnior et contumacior, hoc magis vetera proſunt ac ſola curare valent, modo praeterea nihil afflictae parti influat. Quod ſi quidquam influat, mixtam eſſe medicamenti quoque virtutem oportet, cujusmodi habet a me compoſitum medicamentum. Itaque propterea chalcitidem et palmam digerentibus admiſcui, non ignarus paucas omnino phlegmonas diuturnas exiſtere, quibus nihil influat, nam ob humores in eas confluentes diutinae eſſe ſolent. Dum autem hae incipiunt et accreſcunt, aſtringentium refrigerantiumque medicamentorum virtutis praepollere debet, ideoque hoc emplaſtron medicamentum ad humidi cerati ſpiſſitudinem liquefactum multis admodum utile redditur, interim vino adjecto vel aceto vel aqua illiqueſcens, nonnunquam ex oleo immaturo vel alio quopium aſtringente, quale eſt Hiſpanum et Hiſtricum, vel ex dulci aliquo aſtrictionis experte vel etiam vetuſto. Ego quoque ſaepe

Ed. Chart. XIII. [645. 646.] Ed. Baſ. II. (314. 315.)

διὰ μυρσίνου δὲ καὶ μηλίνου πολλάκις ἔτηξα τὸ φάρμακον, ἐφ' ὧν ἐστι στύψεως ἰσχυροτέρας χρεία. αὕτη μὲν οὖν ἡ σύνθεσις τοῦ φαρμάκου κατὰ τοιάνδε γίγνεται συμμετρίαν. τοῦ παλαιοῦ στέατος ὃ κα(315) λοῦσιν ἀξούγγιον οἱ πιπράσκοντες ἔστωσαν λίτραι β'. τοῦ δὲ ἐλαίου τοῦ παλαιοῦ λίτραι γ'. καὶ λιθαργύρου λίτραι γ', χαλκίτεώς τε οὐγγίαι δ'. ἕψειν δὲ αὐτὰ χρὴ κατὰ τόνδε τὸν τρόπον. τοῦ στέατος τοὺς ὑμένας ἐξελὼν καὶ τὸ λοιπὸν θλάσας, ὡς εὔτηκτον γενέσθαι μετὰ τοῦτο τῆξον ἐπὶ πυρὸς, εἶτα λαβὼν ἠθμὸν διήθησον, ὡς καθαρὸν αὐτὸ γενέσθαι, μηδὲν ὑμένος ἔχον, ᾄλκον σταθμὸν τὰς προειρημένας δύο λίτρας, εἶτα λελειωμένας τὰς δ'. οὐγγίας τῆς χαλκίτεως σὺν ταῖς τρισὶ λίτρας τοῦ ἐλαίου μίξεις τῷ στέατι, προσεπιβαλὼν καὶ τὰς γ'. λίτρας τῆς λιθαργύρου, καὶ πάντα κατὰ θυείαν ἑνώσας ἔμβαλλε ἐν τῇ κακκάβῃ, κινῶν ξύλῳ φοίνικος. ἀρκέσει δέ σοι κλάδος εἷς τῶν μεγάλων, ὡς τῷ μὲν ἁδρῷ μέρει τοῦ ξύλου χρῆσθαι κινοῦντα, κατὰ τὴν τῆς καλουμένης σπάθης χρείαν· οὕτω γὰρ [646] ὀνομάζουσιν ᾧ κινοῦσι τὰ σκευαζόμενα, καὶ ἡμεῖς τοῦ σαφοῦς ἐχόμενοι καλέσομεν ὡσαύτως αὐτοῖς. τὸ

myrteo et melino, ubi validius aſtringere res poſtulabat, medicamentum liqueſeci. Haec igitur compoſitio medicamenti tali ſymmetria conficitur, vetuſti adipis, quem inſtitores axungiam appellant, ſint lib. ij, olei veteris lib. iij et argenti ſpumae lib. iij, chalcitidis ℥ iv. Haec autem ita coquere oportet; adipis membranulae omnes eximuntur, reliquum contunditur, ut liquari facile poſſit, mox ad ignem liqueſit, deinde per colum deſtillatur, ut purum fiat, nihilque membranae habeat, pondo duo praedicta pendens, poſtea chalcitidis laevigatae pondo triens cum olei tribus libris adipi miſcetur, his et argenti ſpumae pondo tria adjiciuntur, ac omnia, ubi ſimul in mortario coierint, conjiciuntur in caccabum ac rudicula palmae moventur. Sufficiet autem tibi ramus unus majuſculus, ut ſolida ligni parte movendo utaris in modum ſpathae dictae, vocant enim ſic id quo confecturas movent, et nos perſpicuitatis gratia ſimiliter nominabimus. Quod autem ſolidae rami parti

Ed. Chart. XIII. [646.] Ed. Baſ. II. (315.)

δὲ συνεχὲς τῷ ἁδρῷ μέρει τοῦ κλάδου περικαθήρας καὶ τὰς ἑκατέρωθεν ἐκφύσεις τὰς λεπτὰς ἀποτρίψας κατάτεμνε, προπεριξύσας τὸν φλοιὸν, ὅπως ἐμβληθέντα τὰ τμήματα τῷ φαρμάκῳ μεταδῷ τοῦ καθ' ἑαυτὰ χυλοῦ. τῇ μὲν οὖν σπάθῃ χρῆσθαι προσῆκεν ἀπ' ἀρχῆς εὐθέως, τὰ δὲ λεπτὰ τμήματα τῆς φοίνικος ἐμβάλλειν, ὅταν εἰς σύστασιν ἥκῃ τὸ φάρμακον ὁμοίαν κηρωτῇ. ἐὰν γὰρ ἀπ' ἀρχῆς ἐμβάλλῃς αὐτὰ, καταναλωθήσεται διὰ τῆς ἑψήσεως ὁ χυλὸς τῶν ἐμβληθέντων, ὃν διαμεῖναι βουλόμεθα. καὶ αὐτῆς δὲ τῆς σπάθης, ᾗ κινεῖς ἐξ ἀρχῆς τὸ φάρμακον, ὅταν τὸ διαβρεχόμενον ἐν τῇ κακκάβῃ γένηται ξηρὸν, ὡς μηκέτ' ἔχειν τὸν οἰκεῖον χυλὸν, ἀποτέμνων αὐτὸ καὶ ἀποῤῥίπτων τῷ λοιπῷ χρῷ. καὶ αὖθις ὁμοίως εἰ τύχοι τὸ διαβρεχόμενον ἐν τῷ φαρμάκῳ ξηρανθὲν αὖθις ἀπότεμνε. πρόδηλον δ' ὅτι τὸν κλάδον τοῦ φοίνικος οὐ χρὴ πρὸ πολλῶν ἡμερῶν ἀποτετμῆσθαι τοῦ δένδρου, ξηραίνεται γὰρ ἐν τῷ χρόνῳ καὶ ἄχυλος γίνεται. κατὰ τὴν προτέραν οὖν, εἴπερ εἴη χειμὼν, ἀφῃρῆσθω, θέρους δὲ χρὴ καὶ κατ' αὐτὴν ἐκείνην τὴν ἡμέραν, ἐν ᾗπερ ἂν ἕψῃς τὸ φάρμακον, ἀφῃρῆσθαι τοῦ δένδρου τὸν κλάδον. ὅταν δ' οὕ-

continuum eſt, in orbem purgato ac tenellos ramuſculos utrinque procedentes contuſos decide, ſed cortice prius exuto, ut ſegmenta injecta medicamentum ſucco ſuo imbuant inſiciantque. Igitur ſtatim ab initio ſpatha utendum eſt, ſed tenuia palmae ſegmenta injicere oportet, ubi medicamentum cerato ſimilem conſiſtentiam habuerit. Nam ſi a principio ea immittas, ſuccus injectorum, quem manere volumus, ex decoctione conſumetur. Inſuper ſpathae, qua medicamentum initio movetur, pars in caccabo intincta, poſtquam inaruerit, ut proprium ſuccum non amplius ſervet, amputatam rejice, reliqua utere. Hanc rurſus, cum medicamento intincta ſiccata fuerit, ſimili modo abſecato. Conſtare autem vobis arbitror quod palmae ramum non multis diebus ante abſciſſum arbore eſſe oportet, quippe temporis intervallo areſcit et ſuccum amittit. Pridie igitur per hiemem auferatur, aeſtate vel eodem ipſo die, quo cocturus es medicamentum. Ubi autem ſic coctum ſpiſ-

Ed. Chart. XIII. [646.] Ed. Baſ. II. (315.)

τως ἐφόμενον ἀμόλυντον γένηται τὸ φάρμακον, αὐτῷ μὲν ἐμπλαστῷ χρήσῃ κατά τε τῶν δυσεπουλώτων ἑλκῶν καὶ τῶν ἐναίμων ἐλαίῳ διατήκων, ἐπὶ τῶν φλεγμαινόντων, ἐν ποδάγραις, ἐν ἀρθρίτισιν, ἐν βουβῶσιν, ἐν φύμασιν, ἐν κατακαύμασιν, ἐν χειμέθλοις, ἐν κατάγμασιν, ἐν θλάσμασιν, ἐν ταῖς ῥευματικαῖς καλουμέναις διαθέσεσιν ἅπάσαις. ἤδη δὲ καὶ τῶν τὰς κήλας τεμνόντων πολλοὶ μετὰ τὴν χειρουργίαν εὐθέως ἐπιτιθέασιν αὐτὸ, μετά τε τῶν ἐπιβροχῶν καὶ τῶν καταπλασμάτων διαπραττόμενοι. εἰ μέντοι τῆς χαλκίτεως ἐμβάλοις οὐγγίας στ'. ὅπερ ἐστὶν ἥμισυ λίτρας, ἔσται σοι μεγάλων τραυμάτων κολλητικώτερον τὸ φάρμακον ἐπουλωτικώτερόν τε τῶν δυσεπουλώτων. ἀλλ' ἐν τούτῳ μέν ἐστι καὶ ἄλλα φάρμακα τῆς αὐτῆς δυνάμεως. τηχθέντι δὲ αὐτῷ μετ' ἐλαίου θαῤῥεῖν χρὴ τῶν ἄλλων ἁπάντων μᾶλλον ἐπὶ τῶν ῥευματικῶν διαθέσεων. ἐν γοῦν τῇ Ῥώμῃ πλείστων γιγνομένων τοιούτων, οὐδὲν οὕτως ἠυδοκίμησεν. ἐπιτήδειον δὲ, ὡς ἔφην, ἔστι καὶ ποδάγραις καὶ ἀρθρίτισιν ἐν ἅπαντι καιρῷ,

ſitudinem, ut non inquinet, acquiſierit medicamentum, ipſo uteris emplaſtro ad ulcera, quae cicatricem aegre ducunt, dyſepulota vocantur, ad cruenta valet oleo liquefactum, benefacit phlegmonis, podagris, articulorum morbis, bubonibus, phymatis, ambuſtis, pernionibus, fracturis oſſium, contuſionibus, omnibus denique affectibus, quos appellant rheumaticos. Jam vero et multi, qui hernias abſecant, poſt manus operam ſtatim ipſum cum irrigationibus et cataplasmatis praeparatum imponunt. Si vero chalcitidis unciae ſex immittantur, quae eſt ſelibra, medicamentum ad magna vulnera glutinanda promptius atque ad ea, quae cicatricem aegre ducunt, efficacius fiet. Sunt quidem in hoc etiam alia ejusdem potentiae medicamenta, ipſi tamen cum oleo liquefacto magis quam aliis omnibus in rheumaticis affectionibus fidendum eſt. Quum igitur plurima ejusmodi Romae exiſterent, nullum tam celebre probatumque fuit. Conducit, ut dixi, et podagricis et articulorum vitio laborantibus quolibet tempore, quum

Ed. Chart. XIII. [646.] Ed. Baſ. II. (315.)

καθ' ὃν οὐκ εἰσὶν ὀδύναι σφοδραὶ, δεόμεναι καταντλημάτων τε καὶ καταπλασμάτων παρηγορικῶν. ἀρχομένων οὖν καὶ αὐξομένων ἔτι τῶν τοιούτων διαθέσεων, ἐπειδὰν τήξῃς τὸ φάρμακον, ἐάσας ἀποψυχθῆναι, καὶ ξύων σπαθομήλῃ τὸ ξυσθὲν ἐμβαλε εἰς θυείαν παραχέων οἴνου καὶ τρίβων ταῖς χερσὶ πρὸς τῇ θυείᾳ, χάριν τοῦ δέξασθαι τὸν οἶνον. ἔστω δ' οὗτος ἐκ τῶν αὐστηροτέρων, ἡλικίαν μὲν μέσος, οὐ παχὺς δὲ κατὰ τὴν σύστασιν, ἀλλ' ὡς οἷόν τε μάλιστα διαυγέστερος. ὁ γὰρ τοιοῦτος, ὡς λεπτομερέστερος ὤν, εἰς τὸ βάθος δύεται τῶν σωμάτων. ἄχρι τοσούτου δ' αὐτὸν ἐπίχει τῷ τετηκότι φαρμάκῳ, τρίβων ταῖς χερσὶν ἄχρις ἂν ὑποδέχηται καὶ μιγνύηται καὶ μὴ παραπλέῃ τὸ ὑγρὸν ἄμικτον τῷ τριβομένῳ τε καὶ μαλασσομένῳ φαρμάκῳ. καὶ χωρὶς δὲ τοῦ προψύχοντα ξύειν ἔτι θερμῷ τῷ τετηκότι φαρμάκῳ τὸν οἶνον ἐγχέας τις ἀναμῖξαι δυνήσεται. κατὰ μὲν οὖν τὰς ἀρχὰς τῶν φλεγμονῶν τὴν ἀποκρουστικὴν δύναμιν ἐπικρατεῖν προσήκει, κατὰ δὲ τὰς αὐξήσεις ἀφαιρεῖν μέν τι αὐτῆς, προστιθέναι δὲ τῆς διαφορητικῆς. ὅταν δ' εἰς τὴν οἰκείαν ἀκμὴν

dolores intenſi non ſunt, qui perfuſiones et cataplaſmata lenientia poſtulent. Incipientibus igitur atque augeſcentibus etiamnum id genus vitiis, liquefactum medicamentum refrigerari ſinito idque ſpathomela deradens pilae injicito, cui vinum ſuperfundito, quod ut recipiat, manibus ad pilam ſubigito, erit autem vinum auſterius aetate quidem medium, ſubſtantia non craſſum, ſed quam maxime fieri poteſt, dilucidius, nam hujusmodi, utpote ſubſtantiae tenuioris, in altum corpus penetrat. Tantiſper autem liquefacto medicamento ipſum infundito, manibus conterens, dum excipiatur miſceaturque, nec humidum adnatet, quod contrito ac emollito medicamento mixtum non ſit. Ad haec etiam ſi non prius refrigeratum medicamentum deraſeris, liquefacto et adhuc calido vinum ſuperfuſum permiſcere licet. Itaque in phlegmonωn principiis vim repulſoriam validiorem eſſe oportet, in incrementis vero haec nonnihil imminuenda, quae digerit virtus augenda eſt. Quum autem

Ed. Chart. XIII. [646. 647.] Ed. Baſ. II. (315.)

ὁ τῆς φλεγμονῆς ὄγκος ἀφίκηται, παραπλησίας ἀλ[647]λήλαις εἶναι χρὴ τὰς δυνάμεις τήν τε ἀποκρουστικὴν καὶ διαφορητικὴν, ἐάν γε μή τις ὀδύνη σφοδρὰ παρηγορικοῦ δέηται φαρμάκου. παρακμαζούσης δὲ τῆς φλεγμονῆς τὴν διαφορητικὴν δύναμιν ἐπικρατεῖν προσήκει, ὡς μηδ' ὅλως ἐν ἐκείνῳ τῷ καιρῷ μίγνυσθαί τι τοῦ οἴνου. καὶ μέντοι καὶ κατ' αὐτὴν τὴν τῆξιν, ἔνθα μὲν ἐπικρατεῖν ἱκανῶς βουλόμεθα τὴν στύφουσαν ποιότητα, τὸ Σπανὸν ἔλαιον ἢ τὸ Ἰστρικὸν ἢ τὸ καλούμενον ὀμφάκινόν τε καὶ ὠμοτριβὲς ἐμβάλλειν προσήκει. ἔνθα δὲ παραπλησίας ἔχειν ἀμφοτέρας τὰς δυνάμεις, ἐλαίῳ γλυκεῖ μήτε προσφάτῳ μήτε παλαιῷ τήκειν αὐτό. διαφορητικὸν δὲ ποιῆσαι βουλόμενοι, ἐπιτήδειόν ἐστι παλαιὸν ἔλαιον ἢ κίκινον. ἡ δὲ ἐν τῷ τήκεσθαι συμμετρία τοῦ ἐμπλαστοῦ φαρμάκου τοιάδε γιγνέσθω. βραχὺ πλέον ἔστω σοι τὸ ἔλαιον τοῦ φαρμάκου καὶ μᾶλλον δηλονότι τοῦ θέρους, ὡς εἶναι δέκα μὲν οὐγγίας τοῦ φαρμάκου, τοῦ δὲ ἐλαίου λίτραν μίαν αὐτάρκως ἂν ἐμβάλλοι τις. εὔδηλον δ' ὅτι δραστικώτερον μὲν γίνεται πλέον ἔχον τοῦ φαρμάκου, παρηγο-

in ſtatum proprium ſeu vigorem phlegmones tumor pervenerit, pares invicem eſſe poteſtates convenit repellendi et digererdi, niſi quis vehemens dolor medicamentum leniens requirat. Caeterum declinante phlegmone diſcutiendi vim augebitis, ut prorſus nihil vini eo tempore miſceatis. Praeterea dum id liqueſcit, ubi aſtrictoriam qualitatem ſatis excellere volumus, Hiſpanum oleum vel Iſtricum vel quod omphacinum et omotribes *crudum* vocatur injiciendum eſt. Ubi aequales utrasque facultates habere cupias, oleo dulci nec recenti nec vetuſto liquandum eſt. Si ut digerat expetis, vetus oleum vel cicinum commode ſumitur. Emplaſtri autem medicamenti in liqueſcendo hujusmodi fiat ſymmetria. Oleum paulo copioſius quam medicamentum eſto, magisque aeſtate, videlicet ut libram unam abſolvat, medicamenti vero decem unc. injeciſſe abunde ſuffecerit. Clarum eſt autem cuilibet hoc efficacius reddi emplaſtrum, quo plus medicamenti habuerit, tanto autem

Ed. Chart. XIII. [647.] Ed. Baſ. II. (315.)

ρικώτερον δὲ καὶ ἀνωδυνώτερον, ὅσῳ περ ἂν ὑγρότερον γένηται τακὲν σὺν ῥοδίνῳ. κηρωτῆς δὲ ἐγχρίστου σύστασιν λαμβάνει, τακείσης τοῦ φαρμάκου λίτρας μιᾶς ἐν ἡμιλίτρῳ ἐλαίου. χρήσιμον δὲ τὸ τοιοῦτο ταῖς παρακμαῖς τῶν φλεγμονῶν ἐστι. καὶ τοὺς ἐν ἕδρα δὲ καὶ κατὰ τὸ ἀπευθυσμένον ἔντερον ὄγκους φλεγμονώδεις αὐτομάτως γιγνομένους, οὐδὲν οὕτως ὀνίνησι. τετῆχθαι δὲ αὐτὸ χρὴ τηνικαῦτα μετ' ἐλαίου πλείονος, ὡς δι' εὐθυτρήτου κέρατος ἐνίεσθαι, κύστιν ὑείαν ἔχοντος προσδεδεμένην, ὡς εἰώθαμεν ἐπὶ τῶν τοιούτων χρῆσθαι. καὶ διὰ ῥοδίνου δὲ ἐπὶ τούτων ἔτηξα πολλάκις αὐτό, προϋποκειμένης τῷ ἀγγείῳ καθ' ὃ τήκεται κακκάβης, ὕδωρ μὲν ἐν αὐτῇ ἐχούσης θερμὸν, ἄνθρακι δὲ διαπύροις ἐπικειμένης ἢ κατὰ φλογὸς ἀκάπνου. κατὰ μέντοι τὴν προειρημένην συμμετρίαν τετηκὸς, ὡς σύστασιν ἔχειν ὑγρᾶς κηρωτῆς καὶ τὰ κατὰ τὸ αἰδοῖον ἕλκη καὶ τὰ κατὰ τὴν ἕδραν ὀνίνησιν. οὐχ ἥκιστα δὲ καὶ τἄλλα πάντα καὶ μέχρι τῶν ἑλκωθέντων χειμέθλων τε καὶ πυρικαύτων. καὶ γὰρ ἀφλέγμαντα καὶ καθαρὰ ποιεῖ ταχέως ἅπαντα καὶ σαρκοῖ στερεᾷ σαρκὶ καὶ μάλισθ' ὅταν ἔχῃ πλέον χαλκίτεως. εὔδη-

magis mitigare ac dolorem tollere, quanto liquidius fuerit ex roſaceo liqueſactum. At cerati, quod inungi poſſit, conſiſtentiam recipit, dum medicamenti libra j. in olei ſelibra liquata fuerit. Tale vero phlegmonωn declinationibus ex uſu eſt. Item ſedis, rectique inteſtini tumores phlegmonodas ſponte obortos omnibus melius juvat. Ipſum autem tunc liqueſactum oportet cum oleo copioſiore, ut per cornu recti foraminis, cui veſica ſuis alligata ſit, immittatur, velut in ejusmodi uſurpare conſuevimus. Ad haec frequenter ipſum in his ex roſaceo liqueſecimus, caccabo vaſi, in quo liqueſcit, prius ſubjecto, qui calidam contineat, prunis vero ardentibus incumbat aut flammae ſumo carenti. Jam vero pro ſuperioris ſymmetriae modo liquatum, ut liquidi cerati ſpiſſitudinem habeat et pudendi et podicis ulcera perſanat, imo et alia omnia usque ad ulceratos perniones et ambuſta. Etenim univerſa ſtatim inflammatione liberat, puraque reddit et ſolida implet carne, praeſertim ubi plus

Ed. Chart. XIII. [647.] Ed. Baſ. II. (315. 316.)

λον δ' ὅτι καὶ οἴνου μεμίχθαι χρὴ τῷ τοῦτο δράσοντι φαρμάκῳ. εἰ προσλάβοι δὲ ὄξους, ἄριστον ἐπὶ τῶν πυρικαύτων ἐστὶ καὶ παραχρῆμα καὶ μετὰ ταῦτα κατὰ πάντα καιρὸν ἐπιτιθέμενον, ἐάν τε ἤδη φλυκταίνας ἔχῃ τὸ πυρίκαυτον, ἐάν τε μή. πρόδηλον δ' ὅτι κἂν ἐφ' ὕδατος ζέοντος καυθῇ τις, ὀνομάζεται καὶ τοῦτο τὸ (316) πάθημα πυρίκαυτον. εἰ δὲ πρὶν φλεγμῆναί τις ἐπιθείη τὸ φάρμακον, οὐδὲν οὕτως κωλύει γένεσιν φλεγμονῆς, ὥστε καθάπερ ἔφην καὶ τῶν τὰς κήλας τεμνόντων εὐθέως αὐτῷ χρῶνταί τινες, οὐδὲ προεπιβρέξαντες τὸ τραῦμα. καὶ καταθλασμάτων δὲ καὶ καταγμάτων καὶ τῶν ὁπωσοῦν πεπληγότων, ἐπιτηδειότατόν ἐστιν ὑγρὸν ἐπιτιθέμενον. ἐπιδέσμοις δὲ περιλαμβανόμενον ἐν τρόπῳ καταγματικῆς ἐπιδέσεως, οἰδήματά γε πάντα καὶ ἐμφυσήματα θαυμαστῶς ὑνίνησι. κακοχύμου δ' ὄντος τοῦ σώματος ἢ καὶ λίαν αἰσθητικοῦ, μιγνύειν αὐτῷ χρὴ κατ' ἀρχὰς ἐπιτιθέντα τοῖς τεθλασμένοις τε καὶ πεπληγόσι μέρεσιν ὑοσκυάμου πρόσφατον. εἰ δ' ἀποροίης προσφάτου, διὰ τὴν ὥραν τοῦ ἔτους

chalcitidis adjectum fuerit. Inſuper nemo ignorat, vinum quoque medicamento id effecturo admiſcendum eſſe. Quod ſi acetum acceperit, ambuſtis optime facit et ſtatim et poſtea quolibet tempore impoſitum, ſive illa jam puſtulas ſive non habeant. Conſtat autem, ſi quis in aqua ferventi uſtus fuerit, hunc etiam affectum, pyricauton, ambuſtum igne nominari. Porro ſi medicamentum ante impoſueris quam phlegmone ſit orta, nihil adeo ipſius generationem impedit prohibetque. Quapropter, ut dictum eſt, nonnulli qui hernias ſecant, ſtatim eo utuntur, neque prius vulnere madefacto. Ad haec contuſionibus, fracturis et qualibuſcunque plagis, ſi liquidum imponitur, accommodatiſſimum eſt remedium. Ligamentis autem circundatum, faſciarum inſtar, quibus rupturae deligantur, catagmaticas vocant, oedemata omnia et inflationes mirifice juvat. Quum malo ſucco corpus abundat vel admodum ſentiens eſt, quamprimum contuſis et percuſſis partibus illud impones, hyoſcyamus recens adjicietur, qui ſi non eſt recens propter anni tempus aut locum, nihilo magis

Ed. Chart. XIII. [647. 648.] Ed. Baſ. II. (316.)

ἢ τὸ χωρίον οὐδὲν μεῖον ἕξεις ἐπεμβάλλων τὸν ἀποτεθέντα διὰ τοῦ θέρους, οἷος καὶ ὁ ἀπὸ Κρήτης ἐστὶ κομιζόμενος ἡμῖν εἰς Ῥώμην καθ' ἕκαστον ἔτος. ἔτι δὲ μᾶλλον τούτου τὸν χυλὸν τοῦ μανδραγόρου μιγνύων, ἀνώδυνον ἐργάσῃ τὸ φάρμακον. ἴστε δ' ὅτι καὶ οὗτος ἀπὸ Κρήτης κομίζεται κάλλιστος ἐν ὀστρακίνοις ποτηρίοις. ἀρκεῖ δὲ μίαν οὐγγίαν μῖξαι τοῦ χυλοῦ, λίτρᾳ ἐλαίου τῆς τηκομένης ἐμπλάστρου. [648] καὶ πλεῖον δ' ἂν ἐσθ' ὅτε καὶ ἔλαττον ἐμβάλλοις κατὰ τὴν χρείαν τῆς διαθέσεως. συντελεῖ δὲ ἐπὶ τῶν τοιούτων σωμάτων καὶ τὸ διὰ ῥοδίνου τετῆχθαι τὸ φάρμακον. ὅσα δὲ ἐκ καταπτώσεως ἐθλάσθη μέρη τοῦ σώματος ἢ πληγέντα ξύλῳ καὶ λίθῳ, κἂν ἐκχύμωμά τι γένηται, κατὰ τὰς ἀρχὰς εὐθέως ἐπιτιθέναι χρὴ τὸ τετηκὸς φάρμακον, ὡς εἴρηται, μιχθέντος οἴνου. προσήκει δὲ κατὰ τὴν τρίτην ἡμέραν ἢ πάντως γε τὴν τετάρτην, ἐὰν ἀφλέγμαντον εἴη τὸ μόριον, ἀφαιρεῖν μὲν τὸν οἶνον, ἐλαίῳ δὲ τήκειν παλαιῷ τὴν ἔμπλαστρον. ἐὰν γὰρ ἐπὶ πλέον στύφηται τὰ ἐκχυμώματα δυσδιαφόρητα γίνεται. τούτῳ τῷ φαρμάκῳ καὶ πρὸς ἐρυσιπέλατα χρῶμαι καὶ μά-

ipſum deſiderabis, ſi adjungas eum, qui per aeſtatem repoſitus eſt, qualis etiam ſingulis annis ex Creta nobis Romam apportatur. Hoc magis adhuc dolori ſedando opportunum, id eſt anodynon medicamentum, ſuccus mandragorae mixtus efficiet. Non autem vos latet et hunc a Creta optimum fictilibus poculis afferri, cujus unciam j. librae olei emplaſtri liquefacti miſcere ſufficit, atque interdum amplius, interdum minus impones, prout diſpoſitio poſtulat. Conducit autem in ejusmodi corporibus et medicamentum ex roſaceo liquefactum eſſe. Caeterum ex caſu contuſis partibus vel ligno ac lapide percuſſis, etſi ecchymoſis quaedam contigerit, protinus ab initio medicamentum liquatum imponi oportet, vino ut docui mixto. Quod vinum die tertio aut certe quarto, ſi pars inflammatione careat, auferri oportet, oleo autem veteri emplaſtrum liquare; nam ſi plus aſtringantur ecchymomata, vix queant per halitum digeri. Hoc medicamento etiam utor adverſus eryſipelata, praeſertim phlegmonode,

Ed. Chart. XIII. [648.] Ed. Baſ. II. (316.)

λιστα φλεγμονώδη καὶ πολὺ δὴ μᾶλλον ἔτι πρὸς τὰς ἐρυσιπελατώδεις φλεγμονάς. ἐν ἀρχῇ μὲν οὖν ἐπιτίθημι τήκων αὐτὸ ῥοδίνῳ δι' ὠμοτριβοῦς ἐλαίου καὶ ἁνάλου σκευασθέντι, κάλλιστον μὲν γὰρ πρὸς ἐρυσιπέλατα τὸ τοιοῦτον. τακέντι δ' οὕτως αὐτῷ μιγνύσθω κατὰ τὴν θυείαν, ἀναφυρόμενός τε καὶ δευόμενος ἀκριβῶς ὅλος δι' ὅλου στρυχνοῦ χυλὸς ἢ εἰ μὴ τοῦτο παρείη ψυλλίου. θέρους δὲ ὄντος καὶ ὁ τῆς ὄμφακος μετὰ τοῦ τῆς ἀνδράχνης ἢ ἀειζώου. μόνος μὲν γὰρ ὁ τῆς ὄμφακος πλέον ἢ δεῖ στύφει. βλάπτει δὲ ἡ τοσαύτη στύψις ἐρυσιπέλατα, κατακλείει γὰρ αὐτῶν τὴν θερμότητα πυκνοῦσα τὸ δέρμα. πάλιν δὲ ὁ τῆς ἀνδράχνης χυλὸς, οὐδ' ἐκθλιφθῆναι δύναται μόνος ὑπὸ γλισχρότητος. ἄριστον οὖν ἐστιν ἐκθλίψαντα τὸν τῆς ὄμφακος χυλὸν ἐπιβάλλειν ἐν ὅλμῳ κεκομμένης τῇ ἀνδράχνῃ καὶ οὕτως αὖθις κόπτειν. εἶθ' ὅταν ἀκριβῶς ἑνωθῇ τὸ μικτὸν ἐξ ἀμφοῖν ἐκθλίβειν τὸν χυλόν. ὁμοίως δὲ καὶ τὸν τοῦ ἀειζώου χυλὸν ἐκθλίψεις. καταμόνας γὰρ οὐδὲ ἐκ τούτου δυνατὸν ἐκθλῖψαι δαψιλῆ, καθάπερ οὐδ' ἐκ τῆς κοτυληδόνος. εἰ δὲ καὶ τῶν τοῦ μανδρα-

et adhuc longe magis ad phlegmonas eryſipelatodeis. Principio igitur impono ipſum liquatum ex roſaceo, quod oleo omotribe, *crudo*, et ſalis experte conſtet, tale enim eryſipelatis eſt accommodatiſſimum. Ita jam liquefacto ſolani ſuccus in mortario miſceatur, qui totus per totum accurate ſubigatur excipiaturque; qui ſi non adeſt, pſyllii; ſi aeſtas fuerit, etiam omphacis, id eſt uvae acerbae cum portulacae vel ſempervivi ſucco. Etenim uvae acerbae liquor per ſe plus quam oportet aſtringit, tanta autem aſtrictio eryſipelata laedit, ut quae calorem ipſorum cutem denſando includat. Rurſus portulacae ſuccus neque is ſolus prae lentore poteſt exprimi. Optimum igitur eſt, qui ex uva acerba prius tuſa exprimitur, portulacae in pila committere et ſic iterum contundere, deinde ubi ex ambobus mixtum exacte unitum fuerit, liquorem elicere. Simili modo etiam ſempervivi ſuccum exprimes, nam ſeorſum neque ex hoc, quemadmodum neque ex cotyledone, ſuccum copioſum exprimere quisquam poteſt. At mandra-

Ed. Chart. XIII. [648.] Ed. Baſ. II. (316.)

γόρου μήλων ἀκμαίων ὄντων ἐκθλίψετε πρόσφατον χυλὸν, ἐπιτηδειότερον ἐργάσεσθε τὸ φάρμακον. εἰ δὲ μὴ κατὰ καιρὸν εἴη, ἀλλὰ τοῦ γε ἀπὸ Κρήτης ἤ τινος ἑτέρου χωρίου τοιούτου κομιζομένου μιγνύειν χρή. καὶ ὑοσκυάμου δὲ χυλὸν εἴωθα μιγνύειν αὐτῷ καί ποτε καὶ μηκώνειον. ὀνομάζεται δὲ οὕτως ὁ τῆς μήκωνος ὀπός. ἄμεινον δὲ ἅμα τούτῳ καὶ γλαυκίου τι προσεπεμβάλλειν. ἀσθενέστερος δὲ πολὺ τούτων, ἀλλ' εὐπόριστος ὁ τῆς θριδακίνης χυλὸς, ὅ τε τῆς ἀγρίας καὶ ὁ τῆς κηπευομένης, ἣν ἅπαντες οἱ Ἕλληνες οἱ νῦν οὐ θριδακίνην, ἀλλὰ θρίδακα προσαγορεύουσι, τὴν ἀγρίαν μόνην θριδακίνην ὀνομάζοντες. ἀσθενέστεροι δὲ τούτων εἰς ψύξιν χυλοὶ, σέρεως καὶ πολυγόνου καὶ τριφύλλου καὶ μυὸς ὤτων εἰσὶ, ψύχουσι δ' οὖν καὶ αὐτοί. καὶ μᾶλλον αὐτῶν ὁ ἀπὸ τῶν τιλμάτων φακός. εἰ δὲ μηδὲν τούτων παρείη, μιγνύειν ὄξους τε καὶ ὕδατος. ἅπαντα δὲ τὰ τοιαῦτα φάρμακα τὰς ἐπικτήτους ποιότητας ἐχέτω ψυχρὰς, ἐνισταμένων τῶν ἀγγείων ὕδατι ψυχρῷ λίαν ἢ χιόνι. καὶ αὐτὸ δὲ τὸ τῆς φοινικίνης φάρμακον ὁμοίως κατεψύχθω προσαγόμενον

gorae pomorum maturitate vigentium ſuccus recens adjectus magis aptum medicamentum efficiet, quem ſi tempus non admittat, illius quae a Creta vel alio quopiam loco advehatur, miſcere non dubitabis. Quin et hyoſcyami ſuccum miſcere ei conſuevimus, interdum meconium, ita autem nominatur papaveris ſuccus. Satius autem eſt una cum hoc et glaucii quippiam ſuperindere. At his multo imbecillior, ſed acquiſitu facilis, lactucae ſuccus eſt, tum agreſtis, tum hortenſis, quam univerſi Graeci hujus tempeſtatis non thridacinem, ſed thridaca nominant, agreſtem ſolam thridacinen appellantes. His rurſus ſereos, polygoni, trifolii et auriculae muris, ſucci minus ad refrigerandum efficaces ſunt, quanquam et ipſi refrigerant, ſed his evidentius lenticula paluſtribus locis proveniens. Horum omnium penuria miſcebis acetum et aquam. Porro medicamenta haec univerſa aſcititias qualitates frigidas habeant, vaſis videlicet aquae admodum frigidae aut nivi inſiſtentibus. Atqui ipſum quoque phoenicinum medicamentum ſimi

Ed. Chart. XIII. [648. 649.] Ed. Baſ. II. (316.)

ἐρυσιπέλασιν, ἄχρι περ ἂν αὐτῶν παύσηται τὸ πάνυ φλογῶδες. εὔδηλον δ' ὅτι συνεχῶς ὑπαλλάττεσθαι χρὴ τὰ δι' ἐπικτήτου ποιότητος ψυχρᾶς ὠφελοῦντα τὰς ἐρυσιπελατώδεις διαθέσεις καὶ μάλισθ' ὅταν ἀκριβὲς ᾖ τὸ ἐρυσίπελας ἄνευ τοῦ μεμίχθαι φλεγμονῇ. παυσαμένου μέντοι τοῦ πάνυ φλογώδους ἢ μηδὲ τὴν ἀρχὴν ἀκριβοῦς ἐρυσιπέλατος γεγονότος, ἀλλ' ἤτοι φλεγμονῆς ἐρυσιπελατώδους ἢ ἐρυσιπέλατος φλεγμονώδους, οὐδὲν ἔτι δεόμεθα τῆς ἐπικτήτου ψύξεως, ἀλλὰ καὶ τῶν ψυχόντων πάνυ χυλῶν ἀφεψόμεθα, τοὺς μετρίως ψυχροὺς μιγνύντες τῷ τηχθέντι φαρμάκῳ. καὶ μετὰ τούτους ἤδη καὶ λινοσπέρμου χυλὸν καὶ χαμαιμήλου μίξωμεν· αὐτῷ τε μόνῳ μετὰ ταῦτα χρησόμεθα τῷ τετηκότι φαρμάκῳ μηδὲν ἐπιμιγνύντες ἄλλο. [649] φθάσαντος δέ ποτε πελιδνοῦ γενέσθαι τοῦ ἐρυσιπέλατος, ὑπὸ τῆς τῶν ψυχόντων δυνάμεως, χρὴ μὲν οὐδ' ὀνομάζειν ἔτι τὸ τοιοῦτον ἐρυσίπελας· ἀπέχεσθαι δὲ προσήκει τηνικαῦτα μὴ ὅτι τοῦ οἴνου τῆς μίξεως, ἀλλὰ καὶ τοῦ ῥοδίνου καὶ τῶν στυπτικῶν ἐλαίων, ἱκανὴ γὰρ ἡ φοινικίνη μόνη διαφορῆσαι τὸ πελιδνωθὲν

modo refrigeratum eryſipelatis admoveatur, donec vehemens ipſorum ardor ſubſidat. Liquet autem, ſubinde ea, quae adventitia qualitate frigida eryſipelatoſis affectibus ſuccurrunt, immutanda eſſe, maxime ubi exactum eryſipelas citra phlegmonem fuerit. Poſteaquam vero vehemens ille ardor quieverit aut nec perfectum plane eryſipelas afflixerit, ſed vel eryſipelatodes phlegmone vel phlegmonodes eryſipelas, non adhuc externum frigus admoliemur, verum a ſuccis etiam impenſe frigidis abſtinebimus, eos medicamento liquefacto miſcentes, qui mediocriter refrigerant. Atque ab his jam et lini ſeminis et chamaemeli ſuccum miſceamus, ipſoque ſolo poſtea medicamento liquato utemur, nihil aliud praeterea immittentes. At ſi quando lividum ex frigeſacientium ni eryſipelas evaſerit, tale non amplius eryſipelas appellandum eſt, ſed tunc abſtinere non a vini mixtura modo, ſed roſacei quoque et aſtringentium oleorum oportet, nam ſolum phoenicinum

Ed. Chart. XIII. [649.] Ed. Baſ. II. (316.)

ἐλαίῳ τηκομένῃ παλαιῷ, καὶ καταντλεῖται ὕδατι θερμῷ τηνικαῦτα τὰ πεπονθότα μόρια καὶ κατασχάζεται. καὶ ὑμῖν εἰ δόξει ποτε τοῦτο πρᾶξαι, παραχρῆμα μὲν ἐπιτιθέναι χρὴ τὸ τῆς φοινικίνης τακείσης ὑγρὸν φάρμακον ἔχον οἴνου, μετὰ δὲ μίαν ἡμέραν ἀφαιρεῖν τὸν οἶνον. εἰ δὲ πλέον ἤδη κατεψυγμένον ἐρυσίπελας ὑπὸ τῶν ἀμέτρως ψυχόντων ἰατρῶν παραλάβοιμεν, ὡς ἤδη καὶ μελαίνεσθαι, τῇ τε καταντλήσει καὶ τῇ ἀποχαράξει μᾶλλον χρησόμεθα. καὶ χωρὶς δὲ τούτων τῷ ὑγρῷ φαρμάκῳ μίξομέν τι τῆς ἀσβέστου τιτάνου. μαλακοσάρκων δὲ τῶν πεπονθότων ὄντων, πεπλυμένης αὐτῆς μίξομεν. ἀγαθὸς δὲ τηνικαῦτα καὶ ὁ τοῦ κοριάνδρου χυλὸς ἀναμιγνύμενος τῷ φαρμάκῳ. οὗτος μέν γε καὶ μετὰ ῥοδίνης κηρωτῆς ὀνίνησι μεγάλως, πρὸς ἃ δὴ καὶ τὰς τοιαύτας διαθέσεις καὶ ἄλλα πολλὰ φάρμακα κατὰ τὸν ἑξῆς λόγον εἰρήσεται, τινὰ μὲν ὁμοίαν ἔχοντα δύναμιν τῇ φοινικίνῃ, τινὰ δὲ καὶ δραστικωτέραν. πρὸς δὲ τὰ ῥευματικὰ πάντων ἄριστον φάρμακον τοῦτο καὶ πολλάκις ἐλπίδος τι μεῖζον ἀνύ-

veteri oleo liquefactum, quod livorem contraxit, per halitum diſcutere poteſt, et tunc affectae partes aqua calida foventur et ſcariſicantur. Vobis ſi fuerit viſum hoc interdum facere, protinus phoenicini liquefacti humidum medicamentum, cui vinum adjectum ſit, imponere convenit, altero die vinum auferendum. Quod ſi jam plus impendio eryſipelas refrigeratum ab immodice refrigerantibus medicis acceperimus, ut jam quoque nigricet, perfuſione et ſcariſicatione magis utemur, atque citra haec calcis vivae quippiam liquido medicamento immittemus; ſi vero laborantes teneri ſunt, lotam ipſam uſurpabimus. Tunc prodeſt etiam ſuccus coriandri medicamento inditus, qui ſane et cum cerato roſaceo juvat non mediocriter. Ad haec ſane ſimilesque affectus alia pleraque medicamenta ſequenti ſermone dicentur, quaedam pari virtute cum phoenicino, nonnulla etiam efficaciore praedita. Adverſus autem rheumaticos affectus omnium optimum hoc medicamentum eſt, ac ſpe majora frequenter praeſtitit. Quum

Ed. Chart. XIII. [649.] Ed. Baſ. II. (316. 317.)

σαν ἐκπυήσαντος οὖν ποτε μηροῦ πλησίον τοῦ βουβῶνος, ἀπέπτου τῆς καθ' ὅλον αὐτὸν οὔσης φλεγμονῆς, ἐσχηματίζετο μὲν ὑφ' ἡμῶν τὸ σκέλος, ὡς ἐκρεῖν τοὺς ἰχῶρας ἐπὶ τὸν βουβῶνα. κατὰ δὲ τὸ γενόμενον ἕλκος, ἐν πλέονι χρόνῳ τούτου συμβάντος, ἐξεκενώθη μὲν τὸ κατασκῆψαν εἰς τὸν μηρὸν ῥεῦμα, συριγγώδης δέ τις ἐγένετο διάθεσις ὑπὸ τῷ δέρματι καθ' ὅλον τὸν μηρὸν, ὡς βούλεσθαι μὲν διελεῖν αὐτὸν ἐγγὺς τῆς ἐπιγονατίδος, ὅπως ἑκατέρωθεν ἔκρους μὲν ὑπάρχῃ τοῖς ἰχῶρσιν, εὐπορία δὲ τοῖς ἐνιεμένοις ὑγροῖς φαρμάκοις ἐπὶ πλέον διεξιέναι. λυθέντος δὲ τοῦ μηροῦ κατὰ τὴν ὑστεραίαν, ἐν ᾧ τέμνειν αὐτὸν ἐγνώκειν, εὑρέθη προσπεπτωκότα καὶ ξηρὰ καὶ ἄνικμα (317) πάντα. πρόδηλον οὖν ὅτι καὶ κατ' ἐκείνην τὴν ἡμέραν εὔλογον ἦν χρήσασθαι τῷ φαρμάκῳ καὶ κατὰ τὴν ἐπιοῦσαν ὡσαύτως, ἔν τε ταῖς ἑξῆς, ἐπειδὴ καθ' ἑκάστην αὐτῶν εὐχρούστερόν τε καὶ ὅλον ὑγιεινότερον αὐτοῦ τὸ μόριον ἐγίγνετο. θεραπευθέντος οὖν οὕτως τοῦ μειρακίου μετὰ ταῦτα πολλὰς ῥευματικὰς διαθέσεις ἐθεράπευσα τῷ φαρμάκῳ, στόμιον μὲν ἐχούσας ἔν,

itaque femur aliquando prope inguen, cruda phlegmone totum id affligente, ſuppuraſſet, crus ita nobis figurabatur, ut ſanies ad inguen conſlueret. Facto autem ulcere, dum hoc longiore intervallo contingeret, fluxio quae in femur decubuerat, evacuata eſt, ſed fiſtuloſa quaedam affectio ſub femoris totius cute orta eſt, ut ipſam juxta patellam ſeu epigonatidem dividere cogitaremus, quo ſaniei utrinque liber eſſet exitus, medicamentis autem liquidis inditis largius pertranſeundi via promptior. Ubi autem femur ſolviſſem poſtero die, quo incidere ipſum decreveram, inventa ſunt omnia collapſa, arida madorisque expertia. Nemo igitur non novit quod rationi conſentaneum erat et poſtero die et ſequentibus ſimiliter uti medicamento, quandoquidem particula quotidie coloratior ac omnino ſanior quam eſſet reddebatur. Curato itaque hoc modo adoleſcente poſtea multas rheumaticas affectiones hoc medicamento ſanavi, quae quidem oſculum ſimplex

Ed. Chart. XIII. [649.] Ed. Baſ. II. (317.)

ἀκόλλητον δὲ καὶ συριγγῶδες τὸ ἔνδον. οὐ χρὴ δὲ ἀφίστασθαι τῆς χρήσεως αὐτοῦ, κἂν μηδὲν αἰσθητὸν ὠφελεῖν φαίνηται μέχρι πολλῶν ἡμερῶν. ὕστερον γάρ ποτε κατὰ μίαν ἡμέραν ἀθρόαν ὠφέλειαν ἐπιδείκνυται μεγίστην, ὥστε θαρροῦντες αὐτῷ χρῆσθε διὰ παντὸς ἐπὶ τῶν ῥευματικῶν διαθέσεων, ὅταν μὲν ἁπαλόσαρκος ἄνθρωπος ἢ τις παῖς ἢ γυνὴ πάσχῃ, μετὰ τὴν προειρημένην συμμετρίαν ἐμβάλλοντες οὐγγίας δ'. τῆς χαλκίτεως. ὅταν δὲ ἰσχυρὸν καὶ σκληρὸν πάσχον σῶμα, κατὰ τὴν ἀναλογίαν ἤτοι μίαν οὐγγίαν ἢ δύο προστιθέντες, ὥστε ε'. μὲν ἢ στ'. εἶναι τῆς χαλκίτεως οὐγγίας, τρεῖς δὲ λίτρας ἑκατέρου, τοῦ τε ἐλαίου τοῦ παλαιοῦ καὶ τῆς λιθαργύρου καὶ δύο τοῦ παλαιοῦ στέατος, ὃ καλεῖν ἔφην τοὺς πιπράσκοντας ἀξούγγιον. ἀνιέσθω δὲ ἐπὶ τῶν ῥευματικῶν διαθέσεων ἐλαίῳ γλυκεῖ μήτε προσφάτῳ μήτε παλαιῷ, καὶ προσλαμβανέτω τὸν αὐστηρὸν οἶνον, ἡλικίας ὑπάρχοντα μέσης. τοῦτο τὸ φάρμακον ἤλεγξε τὴν Θεσσαλοῦ φλυαρίαν, ἐνεργεστάτην μὲν ἐπιδεικνύμενον ὠφέλειαν, ἐξ ἐναντίων δὲ ταῖς δυνάμεσι συγκείμενον, ὧν ἐὰν ἀφέλῃς

haberent, ſed ut glutinari non poſſet et fiſtuloſum intus eſſet. Non eſt autem ab ipſius medicamenti uſu deſiſtendum, etiam ſi multis diebus evidens nullum praeſidium afferre videatur, ut quod poſtea uno interim die ſimul univerſam utilitatem maximam oſtendat. Quare bono animo hoc ſemper in rheumaticis affectionibus utamini, in tenerae quidem carnis homine vel puero aliquo vel muliere poſt praedictam ſymmetriam quatuor uncias chalcitidis immittentes, in valido ac duro corpore ex proportione vel unciam unam vel duas apponentes, ut quinque vel ſex chalcitidis unciae ſint, tres librae utriusque, nempe olei veteris et argenti ſpumae, duae vetuſti adipis, quum inſtitores axungiam appellare diximus. Diluatur autem in rheumatum vitiis oleo dulci nec novo nec veteri, aſſumatque vinum auſterum aetatis mediae. Hoc medicamentum coarguit Theſſali nugacitatem, efficaciſſimum auxilium ex contrariis potentiis compoſitum oſtendens, quarum ſi alteram adimas, nihil faciet praedictorum.

Ed. Chart. XIII. [649. 650.] Ed. Baſ. II. (317.)

τὴν ἑτέραν, οὐδὲν τῶν εἰρημένων ἐργάσεται. οὔτε γὰρ ἐκ τῶν στυφόντων μόνον ἄνευ τῶν χαλώντων ἀνύσει τι γενναῖον ἐπὶ τῶν ῥευματικῶν διαθέσεων ἢ ὅλως τῶν ἀρχομένων τε καὶ αὐξανομένων φλεγμονῶν. [650] οὐδὲ γὰρ ἕξει τὸ παρηγορικὸν οὔτε ἐκ μόνων τῶν χαλώντων τὸ διαφορητικὸν ἄνευ στύψεως γενόμενον, οἷς μαλάττειν ὑπάρχει τὰ σκληρυνόμενα. χαλαστικὸν δ' ἂν ἀκριβῶς γένοιτο καὶ μετρίως μαλακτικὸν, εἰ μὴ πάνυ παλαιὸν ἔχοι τό τε ἔλαιον καὶ τὸ στέαρ. ὃ γοῦν συνέθηκεν ὁ Μνασαῖος φάρμακον, ἴσα μὲν ἀλλήλοις ἔχει τό τε ἔλαιον καὶ τὴν λιθάργυρον καὶ τὸ στέαρ. ἐναντιώτατον δέ ἐστιν ἀρχομέναις τε καὶ αὐξανομέναις φλεγμοναῖς. ἔχει δὲ δηλονότι καὶ τὸ ἡμέτερον τοῦτο φάρμακον ὅσα περ καὶ τὸ τοῦ Μνασαίου, τήν τε λιθάργυρον καὶ τὸ στέαρ καὶ τὸ ἔλαιον. ἀλλ' ἐὰν μηδὲν προσλάβῃ τῶν στυφόντων, ἐκθηλύνει τὰ μόρια καὶ διαλύει τὸν τόνον αὐτῶν, διὸ καὶ ῥευματικὰ γίγνεται. μεμαθήκατε γὰρ ὡς οὐκ ἀεὶ διὰ θερμασίαν πολλὴν, ὥς τινες οἴονται, ῥευματίζεται τὰ μόρια τοῦ σώματος, ἀλλὰ τοῦτο μὲν γίγνε-

Nam neque ex aſtringentibus ſolum ſine laxantibus ad rheumaticos affectus praeclarum quidquam perficiet, vel certe ad phlegmonas incipientes et augeſcentes; neque enim leniendi vim obtinebit, neque ex ſolis relaxantibus discuſſorium, ſine aſtrictione confectum, quae indurata habent emollire. Porro laxabit perfecte et mediocriter emolliet, ſi non admodum vetus oleum et adipem receperit. Quod ita Mnaſeus medicamentum condidit, aequalia invicem continet tum oleum tum argenti ſpumam tum adipem, ſed maxime phlegmonis incipientibus increſcentibusque eſt contrarium. Habet et noſtrum videlicet hoc medicamentum eadem omnia, quae Mnaſei, et argenti ſpumam et adipem et oleum, verum ſi nihil ex iis, quae aſtringunt, acceperit, partes effeminat et robur earum diſſolvit, ob quod etiam fluxioni fiunt obnoxiae. Ddiciſtis enim non ſemper ob calorem immodicum, ut quidam arbitrantur, corporis partes fluxionibus labotare,

Ed. Chart. XIII. [650.] Ed. Baſ. II. (317.)

ται σπανίως αὐτοῖς. ἡ δὲ ἀσθένεια τῶν μορίων τὰς ῥευματικὰς ἐργάζεται διαθέσεις ἤ τις ὡς τὸ πολὺ κατὰ δυσκρασίαν ἀποτελεῖται ψυχράν. ἐὰν οὖν ὑγραίνῃ τις αὐτὰ καὶ θερμαίνῃ τοῖς χαλαστικοῖς φαρμάκοις, τελέως ἔκλυτά τε καὶ ἄῤῥωστα γίγνεται. πάλιν δ' αὖ στύφων ἰσχυρῶς τοὺς ἐν ταῖς ῥευματικαῖς διαθέσεσιν ὄγκους, ἐν ἀρχῇ μὲν ἀνύσαι δόξει, δύσλυτον δὲ ἐργάσεται καὶ σκιῤῥώδες αὐτὸ τὸ λείψανον. ὡς τὰ πολλὰ δὲ οὐδὲ φέρουσι τὴν τῶν ἄγαν στυφόντων ἐπίθεσιν αἱ τοιαῦται διαθέσεις, ὀδυνώμεναί τε καὶ συντεινόμεναι πρὸς αὐτῶν. ὀδύνη δὲ πᾶσα παροξύνει τὰ φλεγμαίνοντα καὶ ῥευμάτων αἰτία γίγνεται, κἂν μὴ ῥευματικὴν ἔχῃ δυσκρασίαν ὁ πεπονθώς. ἀλλ' οὐδὲν θαυμαστὸν ἄπειρόν τε τῶν κατ' ἰατρικὴν τέχνην ἔργων ὄντα τὸν Θεσσαλὸν, ἀδύνατόν τε τῷ λόγῳ τὰς διαθέσεις ἐξευρεῖν, ἀγνοεῖν ἅπαντα τὰ κατὰ τὰς ἰάσεις τῶν φλεγμονῶν, ὑμᾶς δὲ τεθεαμένους πολλάκις καὶ τῆς φοινικίνης τῆσδε καὶ ἄλλων φαρμάκων ἐξ ἐναντίων δυνάμεων συγκειμένων ἐναργεστάτην ὠφέλειαν, ἐπὶ πολλῶν διαθέσεων πειρᾶσθαι χρὴ καὶ αὐτοὺς, ὅταν ἀπορῆτέ ποτε

ſed hoc quidem ipſis raro accidere, ab imbecillitate vero illarum id genus vitii progigni, quae ut plurimum ex intemperie frigida proficiſcitur. Itaque ſi humectet eas quiſpiam caleſaciatque medicamentis laxantibus, diſſolutae prorſus et infirmae fiunt. Rurſus ſi tumores in rheumaticis affectionibus fortiter aſtringat, initio quidem proficere videbitur, caeterum quod reſtat, contumax et ſcirrhoſum faciet; nam magna ex parte tales affectus ne quidem ferunt nimis aſtringentium impoſitionem, ut qui illis et dolore et tenſione moleſtentur. Atqui omnis dolor inflammata exacuit irritatque et fluxionibus occaſionem praebet, quamvis rheumatica intemperie aeger non afficiatur. Sed miri nihil eſt, Theſſalum medicae artis operum inexpertum, et qui affectiones ratione invenire nequeat, omnem phlegmonarum curationem ignorare. Vobis autem, qui crebro tum phoenicini hujus tum aliorum medicamentorum, quae contrariis conſtant virtutibus, evidentiſſima in multis morbis auxilia videritis, conandum eſt

Ed. Chart. XIII. [650.] Ed. Baf. II. (317.)

τῶν ἤδη συγκειμένων, συντιθέναι φάρμακα κατὰ τὴν αὐτὴν μέθοδον, ἐκ τῶν εὐπορουμένων ἐν ἐκείνῳ τῷ χωρίῳ, προσδοκωμένης μὲν ἔσεσθαι φλεγμονῆς ἢ καὶ κατηργμένης ἤδη πλέονα τὴν στύψιν ἔχοντα, κατὰ δὲ τὰς αὐξήσεις αὐτὰς ἐλάττονα, κατὰ δὲ τὰς ἀκμάς τε καὶ παρακμὰς πλέονα τὴν χαλαστικήν τε καὶ διαφορητικὴν ἔχοντα δύναμιν. ἀεὶ μέντοι μεμίχθωσαν ἀμφότερα, ἥ τε ἀποκρουστικὴ καὶ διαφορητική, πλὴν εἴ ποτε τῶν ἐπιῤῥεόντων ἤδη τελέως πεπαυμένων καὶ κενοῦ τοῦ σώματος ὄντος, ἐπὶ τὰς διαφορητικὰς δυνάμεις ἀκινδύνως ἄν τις ἔλθοι, καθάπερ ἐν ταῖς πρώταις εἰσβολαῖς ἐπὶ τὰς ἀποκρουστικάς.

Κεφ. ε'. [*Περὶ τῶν διὰ λιθαργύρου σκευαζομένων ἐμπλάστρων.*] Ἐπειδὴ κατὰ σύνθεσιν τῆς ἐμῆς φοινικίνης ἐμπλάστρου διαφορητικὴν μὲν ἔφην δύναμιν εἶναι ἔν τε τῷ στέατι τῷ παλαιῷ καὶ τῷ ἐλαίῳ, συνακτικὴν δὲ καὶ ἀποκρουστικὴν, ἔν τε τῇ χαλκίτιδι καὶ τῷ φοίνικι, ταῦτα δ' ἄνευ τῆς λιθαργύρου ποιῆσαι φάρμακον ἐμπλαστὸν οὐ δύναται, διὰ τοῦτ' ἔδοξέ μοι περὶ τῆς κατὰ τὴν λιθάργυρον χρείας ἐφεξῆς διελθεῖν. εἰς μὲν γὰρ τὴν δύναμιν τῆς φοινι-

ipſis quoque, ubi jam compoſita interdum deſiderantur, eadem methodo ex illis quaecunque regio praebet, conficere, quum phlegmonem ſuſpicamini futuram vel incepiſſe modo, quae magis aſtringunt, in augmento ipſo, quae minus, in ſtatu et declinatione, quae magis relaxant et digerunt. Semper tamen utraque miſceatur et repellendi et diſcutiendi facultas, niſi quando fluxio prorſus conſtiterit et corpus vacuum fuerit, tunc ad digerentem, ſicut in primis incurſibus ad repulſoriam virtutem, tuta eſt acceſſio.

Cap. V. [*De emplaſtris, quae ex lithargyro parantur.*] Quoniam in emplaſtri mei phoenicini confectura adipem vetuſtum et oleum digerendi poteſtatem habere dixi, chalcitidem vero et palmam cogendi repellendique, haec autem medicamentum emplaſtrum ſine argenti ſpuma procreare non poſſunt, ob id viſum mihi eſt, de ipſius ſpumae argenti uſu deinceps verba facere, ſiquidem phoe-

Ed. Chart. XIII. [650. 651.] Ed. Baſ. II. (317.)

κίνης οὔτ' ἀντιπράττειν τι νομιστέον αὐτὴν οὔτε συντελεῖν, ὕλης δὲ λόγον ἔχειν μόνον ἐπιτηδείου πρὸς ἐμπλαστοῦ φαρμάκου ποίησιν. εὔλογον οὖν ἔδοξέ μοι τὸν περὶ τῶν τοιούτων φαρμάκων λόγον ὡς ἐπὶ παραδείγματος τῆς λιθαργύρου διελθεῖν. ἔστι δὲ οὐκ ὀλίγα δύναμιν μὲν ἢ οὐδεμίαν [651] ἢ πάνυ σμικρὰν τῷ σκευαζομένῳ συνεισφερόμενα, χρείαν δ' ὕλης παρέχοντα πρὸς τὸ γενέσθαι φάρμακον ἐμπλαστὸν ἢ κηρωτῶδες. οὔτε γὰρ θερμαίνουσα σαφῶς ἡ λιθάργυρος, καθάπερ οὐδὲ ψύχουσα οὐδ' ὑγραίνουσα βραχεῖαν ἔχει δύναμιν ξηραντικὴν κατὰ τὴν πρώτην ἀπόστασιν τῶν ἀκριβῶς μέσων, τοῦθ' ὑγραίνειν καὶ ξηραίνειν· οὐ μὴν οὐδ' ἐμπλαστικῆς ἐστι δυνάμεως, ὥσπερ οὐδ' ἐκφρακτικῆς, ὡσαύτως δὲ οὐδὲ ῥυπτικῆς, ὥσπερ οὐδὲ ῥυπαινούσης σαφῶς, ῥηέμα δέ πως ἀποκεχώρηκε τῶν μέσων ἐπὶ τὸ παχυμερέστερον. ἀλλὰ κατὰ τὴν ἐπὶ πλέον ἔψησιν ἀποτίθεται καὶ τοῦτο, χεομένη τε καὶ ἀλλοιουμένη διὰ τῆς τοῦ πυρὸς δυνάμεως. μόνη δὲ καθ' ἑαυτὴν ὠμὴ παρατρίμματα μηρῶν ἐξ ὁδοιπορίας ὀνίνησιν, ᾧ καὶ δῆλον ὅτι βραχέως ξηραίνει. τοῦ δὲ

nicini viribus nec eam obeſſe quicquam nec conducere, ſed materiae ad emplaſtri medicamenti compoſitionem tantum idoneae rationem obtinere putandum eſt. Non abſurdum itaque mihi apparet, ſi de ejusmodi medicamenti, exempli gratia de lithargyro, diſputationem inſtituero. Sunt non pauca, quae poteſtatem aut nullam aut exiguam admodum medicamento, quod praeparatur, ſimul afferunt, commoditatem vero materiae praebent, ut vel emplaſtri vel cerati ſpeciem referat. Neque enim lithargyrus manifeſto calida eſt, ſicut nec frigida nec humida, ſed exiguam ſiccandi habet virtutem in primo abceſſu ab iis, quae adamuſſim media ſunt inter humida et ſicca. Non tamen vis ejus eſt obſtruere, ſicut nec aperire, item nec abſtergere, quemadmodum nec inquinare evidenter, ſed paulum a mediis ad craſſius quodammodo receſſit. Verum hoc quoque ex diuturna coctione deponit, ſuſa per ignis potentiam et alterata. Porro ſola per ſe cruda ſemorum attritus ex itinere juvat, quo etiam

Ed. Chart. XIII. [651.] Ed. Baſ. II. (317. 318.)

μήτε δριμεῖαν ἔχειν αὐτὴν ἢ γλυκεῖαν ποιότητα μήτ' ὀξεῖαν ἢ πικρὰν ἢ αὐστηρὰν ἢ στρυφνὴν ἢ ὅλως στυπτικήν, ἡ γεῦσις ἱκανὴ μάρτυς, ὥσπερ καὶ τὰ ἕλκη, μήτε δακνόμενα πρὸς αὐτῆς μήτε θερμαινόμενα μήτε ψυχόμενα μήτε καθαιρούμενα μήτε σαρκούμενα μήθ' ὅταν ὑπερσαρκώσῃ καθαιρούμενα. πάρεστιν οὖν ἡμῖν εἰς πολλὰ κεχρῆσθαι λιθαργύρῳ, ποτὲ μὲν ἐλαίῳ καὶ ὕδατι τὴν ἕψησιν αὐτῆς ποιουμένοις ἄχρι συστάσεως ἐμπλαστρώδους, ἔστι δ' ὅτε ἐν ἐλαίῳ καὶ ὄξει καί ποτε ἐν ἐλαίῳ καὶ οἴνῳ. ἐν οἷς δ' ἂν ἕψηται τούτων, ἄμεινον γίγνεται τὸ φάρμακον ἐπὶ πλέον ἑψηθέν. ἔσται δὲ τοῦτο τῷ πλήθει τῶν μιγνυμένων ὑγρῶν. ἔστι μὲν γὰρ τῶν τηκτῶν φαρμάκων καὶ ἡ λιθάργυρος ὅλη χεομένη, καθάπερ ἥ τε ῥητίνη καὶ ὁ κηρὸς, ἀλλ' οὐκ εὐθέως ἅμα τῷ ψαῦσαι τοῦ πυρὸς, ὅθεν καὶ λανθάνει πολλοὺς καὶ νομίζουσιν αὐτὴν οὐδ' ὅλως χεῖσθαι. σὺν ὀξελαίῳ μὲν οὖν (318) ἑψομένη τήκεται θᾶττον, ὥσπερ γε καὶ σὺν ἰῷ καὶ αὐτοῦ δηλονότι τοῦ ἰοῦ χεῖσθαι πεφυκότος, ὥσπερ ἥ τε χαλκῖτις

parum exiccare cognoſcitur. At neque acrem vel dulcem, neque acidam vel amaram vel auſteram vel acerbam vel omnino aſtringentem facultatem ipſam habere guſtus abunde teſtis eſt. Quemadmodum etiam ulcera nec ab ea derodi nec calefieri nec refrigerari nec purgari nec carne impleri nec, quum caro ſupercreverit, tolli percipimus. Licet itaque nobis in varium uſum adminiſtrare argenti ſpumam, interim ex oleo et aqua coctionem ejus adusque emplaſtri ſpiſſitudinem molientibus interdum ex oleo et aceto, aliquando ex oleo et vino. Porro in quibuſcunque iſtorum coquatur, melius id medicamenti redditur, quod magis coctum fuerit, quod liquidorum, quae miſcentur, copia contingat. Eſt enim ex iis medicamentis, quae liquefieri poſſunt, etiam ſpuma argenti, dum tota funditur, ſicut reſina et cera, ſed non ſtatim ubi ignem contigerit, unde multis imponit, qui nullo modo ipſam fundi exiſtimant. Igitur ſi cum oxelaeo coquatur, liqueſcit citius. perinde ac cum aerugine, quae et ipſa fundi na-

Ed. Chart. XIII. [651.] Ed. Baſ. II. (318.)

καὶ τὸ μίσυ. τάχιστα μὲν οὖν αὐτῶν ἡ χαλκῖτις τοῦτο πάσχει, βραδύτατα δ' ὁ λιθάργυρος· ἐν δὲ τῷ μεταξὺ τούτων ὅ τε ἰὸς ἐστι καὶ τὸ μίσυ. χεῖται καὶ τὸ σῶρυ χρόνῳ πλέονι, γεωδέστερόν τε γάρ ἐστι καὶ λιθωδέστερον τῆς χαλκίτεώς τε καὶ τοῦ μίσυος. ἀλλὰ περὶ μὲν τούτων αὖθις εἰρήσεται. τὴν λιθάργυρον δὲ δι' ὀξελαίου μὲν ἕψων θᾶττον τήξῃς, δι' ὑδρελαίου δὲ βραδύτερον, ὅμως μὲν χεῖται καὶ οὕτως, ἐὰν ᾖ διπλάσιον αὐτῆς ἑκάτερον τῶν ὑγρῶν. ἐγὼ δὲ καὶ πλέον ἢ διπλάσιον ἔμιξα πολλάκις, ὡς ὀλίγον ὕστερον εἰρήσεται. κάλλιον δ' ἐστὶν εὐθέως ἐξ ἀρχῆς ἐν θυείᾳ μιγνύειν τὰ τρία, τήν τε λιθάργυρον καὶ τὸ ὕδωρ καὶ τὸ ἔλαιον. εἰ δὲ τοῦ λευκὸν γίνεσθαι τὸ φάρμακον φροντίζεις, ἔλαιόν τε καθαρώτερον καὶ διαυγέστερον ἔμβαλλε καὶ ὕδωρ ὁμοίως καθαρόν τε καὶ λευκὸν, ἑψέσθω τε κατὰ χωρίον ὑπαίθριον ἡλιούμενον. ὁ μὲν γὰρ ζοφώδης ἀὴρ μιλαίνει τὸ φάρμακον, ὁ δὲ καθαρὸς εἰς λευκότητα μεγάλως συντελεῖ, καθάπερ γε καὶ τὸ καταῤῥαινόμενον ὕδωρ ἐν ἀέρι τοιούτῳ. φυλάττου δὲ καὶ τὸ διὰ ξύλων ποιεῖσθαι τὴν ἕψησιν ἢ ἀνθράκων ἀρχομένων διακά-

tura ſolet, uti chalcitis quoque et miſy. Ipſorum itaque celerrime chalcitis funditur, tardiſſime argenti ſpuma, at in horum medio ſunt aerugo et miſy. Funditur et ſori, ſed longiore temporis intervallo, ut quod terreſtre magis et ſaxeum ſit, quam chalcitis et miſy, ſed de his iterum dicetur. Argenti autem ſpumam per oxelaeum coquens, ocius liquefacies, per hydrelaeum tardius, tamen funditur ſic quoque, ſi duplum ejus ſit uterque humor. Ego certe plus etiam quam duplum miſcui frequenter, ut paulo poſt exponam. Atqui melius eſt ſtatim ab initio haec tria in mortario miſcere, argenti ſpumam, aquam et oleum. Quod ſi candidum medicamentum eſſe cures, oleum purius lucidiusque injicito, atque aquam ſimiliter puram ac candidam, coquatur in loco ſub dio, ſoli expoſito, quia nubilus aër medicamentum denigrat, ſincerus magnum ad albedinem adjumentum affert, ſicut aqua etiam in hujusmodi aëre aſperſa. Caeterum obſervato, ne coctionem lignis aut carbonibus peruri incipientibus, mo-

Ed. Chart. XIII. [651. 652.] Ed. Baf. II. (318.)

εσθαι, μελαίνει γὰρ αὐτὸ ῥᾳδίως ὁ καπνός. προδιακαύσας οὖν τοὺς ἄνθρακας, ὅταν ἀκριβῶς ὦσι διάπυροι, τότε ἔψειν ἄρξαι. καὶ εἰ μὴ φθάσοιεν οὗτοι συμπληρῶσαι τὴν ἕψησιν, ἐφ' ἑτέρας ἑστίας ὁμοίως παρασκευάσας ἄνθρακας ἐπιτίθει κατ' ἐκείνην τὴν κακκάβην. ἕνεκα μὲν οὖν τοῦ λευκὸν γενέσθαι τὸ φάρμακον, ὅσα χρὴ παραφυλάττειν αὐτάρκως εἴρηται. γίγνεται δὲ ἐχεκολλότερον εἰς τοσοῦτον, εἰς ὅσον ἂν ἔχῃ πλέον, ὡς εἴρηται, τὸ ὑγρόν. ὡς ἐάν γε τῶν τριῶν ἀνὰ λίτραν ἀ. ἐμβάλῃς, δυσαπόπτωτον ἔσται. καὶ μέντοι καὶ ἄτηκτος ἡ λιθάργυρος μένει, καὶ τοῦτό γέ ἐστιν αὐτὸ μάλιστα αἴτιον τοῦ ῥᾳδίως ἀποπίπτειν αὐτό, καθάπερ γε καὶ τὸ προσμένειν μέχρι πλέονος, εἰ ἡ λιθάργυρος ἑψηθεῖσα χυθείη τε καὶ ἀλλοιωθείη. [652] λευκότερον δ' ἔσται καὶ θᾶττον ἑψηθήσεται βληθεισῶν δύο λιτρῶν ὕδατος εἰς τρεῖς ἑκατέρου λιθαργύρου τε καὶ ἐλαίου. καὶ τούτῳ συνήθως ἐπὶ τῶν μικρῶν ἑλκῶν χρῶμαι. πρόδηλος δὲ ἡ δύναμίς ἐστι τοῦ δι' ὕδατος ἑψομένου φαρμάκου μεμνημένοις ἡμῖν τῶν εἰρημένων ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ.

liaris; nam fumus ei facile nigredinem conciliat. Peruſtis igitur antea carbonibus, cum exacte ardent, tunc coctionem auſpicare, quod ſi illam per hos abſolvi non licuerit, in alio foco ſimili modo carbonibus praeparatis caccabum ſuperponito. Quae ergo medicamenti candidi faciendi gratia obſervanda ſunt, abunde ſatis indicatum eſt. Jam vero hoc ſit glutinantius, quo plus, ut dictum eſt, liquoris aſſuerit, quemadmodum ſi ſingulorum trium pondo libram unam injicias, firmius adhaerebit. At ſi argenti ſpuma non illiqueſcat, cauſa eſt potiſſimum, cur id facile decidat, ſicut diutius adhaeret, quum argenti ſpuma cocta funditur alteraturque. Candidius ſane erit citiusque coquetur, libris duabus aquae in tres utriusque, puta ſpumae argenti et olei, injectis, atque hoc in parvis ulceribus uti conſuevimus. Medicamenti, quod aqua coquitur, poteſtas nota eſt, ſi meminerimus eorum quae in commentario de ſimplicibus medicamentis dicta ſunt.

Ed. Chart. XIII. [652.] Ed. Baf. II. (318.)

Κεφ. στ'. [Περὶ τῆς διὰ λιθαργύρου καὶ ὑδρελαίου σκευαζομένης ἐμπλάστρου.] Τὸ ὕδωρ ὑγραίνει μὲν ἀεὶ καὶ ψύχει κατὰ τὴν οἰκείαν οὐσίαν· ἐπίκτητον δὲ θερμότητα προσλαβὸν, ἄχρι περ ἂν αὐτὴν διαφυλάττῃ θερμαίνει, ψυχρὸν δὲ γενόμενον ψύχει. τὸ γε μὴν ἔλαιον, ἐὰν εἴη νέον, οὐκ ἀντιπράττει τῷ φαρμάκῳ, διαμένει γὰρ ὑγρόν τε καὶ μετρίως ψυχρὸν, ὁποίου μάλιστα δεῖται τὰ θ' ἁπαλόσαρκα σώματα καὶ τὰ κακόχυμα. γυναῖκές τε οὖν καὶ παῖδες καὶ τῶν τελείων οἱ μαλακὴν ἔχοντες τὴν ἕξιν τοῦ σώματος, εἰσὶ δ' οὗτοι καὶ λευκοὶ κατὰ τὸ χρῶμα, τῶν τοιούτων δέονται φαρμάκων. ἐψηθὲν δ', ὡς εἴρηται, μετὰ πλείονος ἐλαίου τε καὶ ὕδατος οὕτως γίνεται δυσαπόπτωτον, ὡς μηδὲ λουομένων ἀποῤῥεῖν. καὶ μέντοι καὶ συμφέρει τοῖς ἐπουλουμένοις ἕλκεσιν ἐπιμένειν τὸ φάρμακον ἐφεξῆς ἡμερῶν πλεόνων, ἄμεινόν τε γὰρ οὕτω καὶ θᾶττον ἐπουλοῦται. πρόδηλον δ' ὅτι κνήσμασι καὶ ἀποσύρμασι καὶ συνελόντι φάναι μικροῖς ἕλκεσιν ἁρμόττει τὸ τοιοῦτον φάρμακον, ἐφ' ὧν καὶ ἡ πάρυγρος ὀνομαζομένη κηρωτὴ καὶ ἄλλαι τινὲς ὅμοιαι χρησιμώτεραι

Cap. VI. [*De emplaſtro, quod ex lithargyro et hydrelaeo conficitur.*] Aqua peculiari ſubſtantia ſemper humectat et refrigerat, aſcititio autem calore aſſumpto, donec ipſum conſervat, caleſacit, frigida facta refrigerat. Oleum vero ſi recens ſit, medicamento non renititur, permanet enim humidum et modice frigidum, quali maxime tenera corpora et vitioſis humoribus repleta indigent. Mulieres itaque et pueri, atque ex grandioribus mollem corporis habitum ſortiti, ſunt autem hi et candidi cute, ejus generis medicamenta requirunt. Porro coctum oſtendimus ex oleo copioſiore et aqua reddi tam glutinans, ut ne quidem a lotis decidat. Et vero etiam ulceribus, quae ad cicatricem veniunt, multis diebus ſubſequentibus medicamentum immanere expedit, quo melius et citius ita cicatrix ducatur. Notum eſt hujusmodi medicamentum pruritus deſquamata et, ut uno verbo expediam, parva ulcera perſanare, in quibus et ſubliquidum, ut vo-

Ed. Chart. XIII. [652.] Ed. Baſ. II. (318.)

τῶν ἰσχυρὰν δύναμιν ἐχόντων εἰσὶν, ὁποῖα τοῖς μεγάλοις τραύμασιν ἐπιτίθεμεν. ὑπὲρ ὧν ἁπάντων τῆς καθόλου δυνάμεως ἐν τῷ τρίτῳ τῆς θεραπευτικῆς μεθόδου γέγραπται, καθ' ὃ τοὺς γενικοὺς καὶ κοινοὺς λόγους, οὓς καθόλου καλοῦσιν, ἐφ' ἑκάστης διαφορᾶς εἶκους, διῆλθον ἐπιδεικνὺς ὁποίας τινὰς εἶναι προσήκει τὰς δυνάμεις τῶν ἰασομένων αὐτὰ φαρμάκων, ἐνταυθοῖ δὲ τὰς κατὰ μέρος ὕλας διέρχομαι, συμμετρίας τε τῶν μιγνυμένων ὁρίζων, ἐπιδεικνύς τε τοὺς τρόπους ἐν οἷς σκευαζόμενα γενήσεται κάλλιστα. δι' ὑδρελαίου μὲν οὖν ἡ λιθάργυρος, ὡς εἴρηται, σκευαζομένη τὴν μὲν ἔμπλαστρον εὐαφεστάτην τε ἅμα καὶ δυσαπόπτωτον ἐργάζεται, καὶ προσέτι λευκὴν ὀφθῆναι, δύναμιν ἔχουσαν ψυκτικὴν μετρίαν, ᾗ χρωμένη καὶ κωλύει τι τοῖς ἡλκωμένοις μορίοις ἐπιῤῥεῖν καὶ τὸ φθάσαν ἐπιῤῥυῆναι, πάλιν ἀποκρούεται πρὸς τοὺς πέριξ τόπους, ὡς γίνεσθαι τὸ πρᾶγμα τοιοῦτον, οἷον ὅταν ὕδατι ψυχρῷ διάβροχον ἐργασάμενοι σπόγγον ἐπιθῶμέν τινι μορίῳ τοῦ σώματος. ἐκεῖνός τε γὰρ ῥυσὸν καὶ προσεσταλμένον ἐργάζεται τὸν τόπον ὅλον, οὐ

cant, ceratum aliaque id genus quaedam utiliora ſunt iis, quae validam poteſtatem obtinent, qualia magnis vulneribus imponimus. De quorum omnium univerſali virtute in tertio libro de morbis curandis dictum eſt, in quo generales communesque ſermones univerſales nuncupant, de quaque ulceris differentia tradidi, oſtendens quales medicamentorum, quibus illa curabuntur, vires eſſe conveniat. Hic vero particulares materias recenſeo, ſymmetrias miſcendorum definiens, et modos, quibus ſi praeparentur, reddantur optima, demonſtrans. Ex hydrelaeo itaque argenti ſpuma, ſicuti dictum eſt, praeparata, emplaſtrum tactu blandiſſimum et adhaerendo pertinax efficit, praeterea aſpectu album, refrigeratoriam vim habens mediocrem, cujus auxilio exulceratis partibus ne quid influat impedit, et quod jam influxit denuo ad partes circumjacentes retrudit, ut res fiat hujusmodi, qualis quum ſpongiam aqua frigida humentem parti cuipiam corporis imponimus. Nam illa rugoſum contractumque totum locum facit, non tan-

Ed. Chart. XIII. [652 653.] Ed. Baſ. II. (318.)

μόνον ἀποκρουόμενος τὸ ἐπιῤῥέον, ἀλλὰ καὶ τὸ περιεχόμενον ἐν αὐτῷ πρὸς τοὺς πλησιάζοντας ἐκθλίβων. ἥ τε νῦν εἰρημένη κατὰ τὸν λόγον ἔμπλαστρος, οὐ κατὰ πρώτην δύναμιν, ἀλλὰ κατὰ συμβεβηκὸς ξηραίνειν ἂν λεχθείη. κυρίως μὲν γὰρ καὶ πρώτως τά τε διαφοροῦντα καὶ τὰ τὰς κράσεις ὑπαλλάττοντα πρὸς τὸ ξηρότερον ὀνομάζεται ξηραίνοντα. κατὰ συμβεβηκὸς δὲ καὶ τὰ διὰ ψύξιν, ἀναστέλλοντα μὲν τὸ ἐπιῤῥέον, ἐκθλίβοντα δὲ τὸ περιεχόμενον. ὅλως δὲ οὐδὲν τῶν ὑγραινόντων ἢ πρώτως ἢ κατὰ συμβεβηκὸς ὠφέλιμον ἕλκεσίν ἐστιν, ὡς ἐν τῷ τρίτῳ δέδεικται τῆς θεραπευτικῆς μεθόδου.

[653] *Κεφ. ζ'. [Περὶ τῆς διὰ λιθαργύρου καὶ ὀξελαίου σκευαζομένης ἐμπλάστρου.] Περὶ μὲν οὖν τῆς δι' ὑδρελαίου σκευαζομένης λιθαργύρου καὶ ταῦθ' ἱκανά. μεταβῆναι δὲ ἤδη καιρὸς ἐπὶ τὴν δι' ὀξελαίου συντιθεμένην. συμμέτρως μὲν οὖν ξηραντικὸν γίνεται τὸ φάρμακον, ἐὰν διπλάσιον ἑκάτερον ᾖ τῆς λιθαργύρου τό τε ἔλαιον καὶ τὸ ὄξος. ἐὰν δὲ καὶ παλαιὸν ᾖ τὸ ἔλαιον, ἔτι καὶ μᾶλλον ξη-

tum repellens quod influit, ſed etiam quod in eo continetur ad vicina elidens. Atque emplaſtrum modo commemoratum non ea prima facultate, ſed per accidens exiccare dicetur. Nam proprie quidem et primario ea, quae digerunt et temperamenta ad ſicciorem ſtatum perducunt, nominantur ſiccantia, ex accidenti vero etiam ea, quae frigoris cauſa id, quod influit, propulſant, quod continetur expellunt. In ſumma nullum humectans vel primario vel ex accidenti, ulceribus commodum eſt, ut in tertio Methodi libro monſtravimus. De argenti ſpuma, quae ex hydrelaeo praeparatur, etiam haec ſufficiunt.

Cap. VII. [*De emplaſtro quod ex lithargyro et oxelaeo componitur.*] Digrediendum modo eſt ad eam, quae oxelaeo conſtat. Itaque mediocriter exiccans medicamentum fit, ſi utriusque, nempe olei et aceti, duplo major portio quam argenti ſpumae miſceatur. At ſi vetus quoque oleum ſit, adhuc etiam magis exiccat. Copioſior vero quam

Ed. Chart. XIII. [653.] Ed. Baſ. II. (318.)

ραίνει. πλέον δὲ ἢ διπλάσιον ἑκάτερον αὐτῶν ἐμβληθὲν ἰσχυρότερον ποιεῖ τὸ φάρμακον, ὥστε καὶ σύριγγας, ὅσαι μήπω τύλον ἔχουσι σκληρὸν, ἰᾶσθαι. βάλλεται δὲ λιθαργύρου μὲν ἓν μέρος, ἑκατέρου δ' ἐκείνων δύο καὶ ἥμισυ. καὶ μέντοι καὶ τριπλάσιον ἐνίοτε μίξας ἑκατέρου, δι' ὅλης μὲν ἡμέρας ἥψησα τὸ φάρμακον. ἐγένετο δὲ μέλαν μὲν, στίλβον δ' ὁμοίως ἀσφάλτῳ τῇ καλῇ. ξηραντικωτάτην δ' ἔχει δύναμιν τοῦτο, θεραπεύει τε ἕλκη δυσίατα καὶ σύριγγας οἵας εἶπον, ἐναίμων τε τραυμάτων κολλητικὸν ὑπάρχει. ἐνὶ δὲ λόγῳ ξηραντικὸν ἀδήκτως. διὰ τοῦτο οὖν καὶ τἄλλα πάντα ἕλκη θεραπεύει τά τε μείζω καὶ τὰ μικρότερα, μέχρι συνουλώσεως. ἄξιον δὲ καὶ ἄλλα τινὰ τῶν ἔργων αὐτοῦ διελθεῖν, ἃ τάχ' ἂν οὐδὲ ἐλπίσειέ τις, ὅσον ἐπὶ τῷ τῆς ὕλης εὐκαταφρονήτῳ. κριθέντος γάρ τινος ἐν πυρετῷ διὰ παρωτίδος ἐκπυησάσης, ὑπελείφθη συρίγγιον, ὃ μετὰ μῆνας ἓξ τῆς ἀρχῆς ἐδείχθη μοι κατ' ἀγρόν. ἦν γὰρ ὁ παῖς υἱὸς γεωργοῦ περὶ τὴν πέντε καὶ δέκα τὴν ἡλικίαν, τούτῳ δοὺς ἐπιτεθῆναι τῆς ἐμπλά-

duplum ſit utriusque menſura, valentius enim facit medicamentum, quapropter fiſtulas, quae nondum callum durum habent, curat. Caeterum ſpumae argenti una pars injicitur, illorum ſingulorum duae et ſemis. Quin etiam tripla utriusque parte nonnunquam mixta toto die coxi medicamentum, unde reddebatur quidem nigrum, ſed perinde ac bitumen probum ſplendeſcebat. Porro maxima ſiccandi potentia hoc pollet curatque ulcera difficilia et fiſtulas, quales dixi, jungit, vulnera cruenta glutinat, uno verbo, exiccat ſine morſu, hujus rei gratia etiam alia univerſa ulcera ſanat, majora minoraque, donec ad cicatricem perveniant. Aequum eſt et alia quaedam ejus opera commemorare, quae forſan ne quidem ſperaveris, quantum ad materiae humilitatem attinet. Nam quum quis in febre ex parotide ſuppurata judicatus ſuiſſet, parva relicta eſt fiſtula, quam poſt ſex menſes a principio in agro mihi oſtenderunt, erat enim puer filius agricolae, annos natus circiter quindecim. Huic cum ex emplaſtro illo, quanta

Ed. Chart. XIII. [653.] Ed. Baf. II. (318. 319.)

στρου ταύτης, ὅσον εἶχον ἐπόμενον, αὐτὸς μὲν ἐπανῆλθον εἰς τὴν πόλιν, ἐν ἀσχολίαις πλείοσιν ἰατρικαῖς γενόμενος ἐπελαθόμην τοῦ λαβόντος τὸ φάρμακον. ἀλλὰ μετὰ δύο γε μῆνας ἦκεν ὑγιὴς, οὐ πάνυ τι ἐλπίσαντος (319) ἐμοῦ τοῦτο γενέσθαι. καθιέντων γὰρ ἡμῶν ὑείαν τρίχα διὰ τοῦ συριγγίου, μέχρι τῆς διαρθρώσεως ἐφαίνετο προερχομένη, κατὰ τύχην δὲ μετ' ὀλίγας ἡμέρας ἄλλου μοι δειχθέντος παιδαρίου τὴν ἡλικίαν ἄγοντος τὴν αὐτὴν τῷ πρόσθεν, ὁμοίαν τε διάθεσιν ἔχοντος, ἐπέθηκα τῆς ἐμπλάστρου, καὶ συνέβη καὶ τούτῳ τελέως ὑγιασθῆναι. μετὰ ταῦτα δὲ οὐκ ὀλίγους ἐκ τῆς αὐτῆς διαθέσεως ἰασάμην τῷ φαρμάκῳ τούτῳ καὶ παῖδας καὶ γυναῖκας καὶ νεανίσκους. εἰ τοίνυν καὶ ὑμεῖς βούλεσθε χρῆσθαι πρὸς τὰ τοιαῦτα αὐτῷ, παλαιότατόν τε τὸ ἔλαιον ἐμβάλλετε καὶ ὄξος δριμύτατον ἐξ οἴνου δηλονότι μόνου γεγονὸς, οὐχ ὡς ἔνιοι σκευάζουσιν αὐτὸ μιγνύντες ὕδωρ. ἔστω δὲ καθαρὸν ὡς ἔνι μάλιστα καὶ διαφανὲς τὸ ὄξος. οὕτω γὰρ ἂν εἴη λεπτομερέστερόν τε καὶ βέλτιον εἰς

tunc mihi copia aderat, imponendum dediſſem; ipſe in urbem reverſus ſum, ac pluribus negociis medicis occupatus, oblitus ſum ejus, qui medicamentum acceperat, ſed poſt duos certe menſes in urbem venit incolumis, cum hoc ego eventurum non admodum ſperaſſem. Immittentibus enim nobis ſuillum pilum per fiſtulam ad articuli commiſſuram usque procedere videbatur. Non multos poſt dies, quum alius puer forte fortuna ejusdem cum priore aetatis eodemque morbo laborans, mihi eſſet oſtenſus, emplaſtrum hoc impoſui, quo ille pariter integrae ſanitati reſtitutus eſt. Ab eo tempore plurimos eodem vitio hujus medicamenti virtute liberavi tum pueros tum adoleſcentes tum mulieres. Igitur ſi vos quoque uti eo ad hujusmodi affectus volueritis, vetuſtiſſimum oleum et acetum quam acerrimum ex vino videlicet ſolo confectum injicitote, non ut quidam aqua mixta ipſum praeparant, ſed purum ſit quam maxime licet ac pellucidum, tale ſi quidem tenuius commodiusque iis

Ed. Chart. XIII. [653. 654.] Ed. Baſ. II. (319.)

ἃ δεόμεθα. τούτῳ τῷ φαρμάκῳ καὶ μῦς ἐσκληρυσμένους πολλάκις ἰασάμην.

Κεφ. η'. [*Περὶ τῆς διὰ λιθαργύρου καὶ οἰνελαίου σκευαζομένης ἐμπλάστρου.*] Ὑπόλοιπον οὖν μοι διελθεῖν περὶ τῆς δι' οἰνελαίου σκευαζομένης λιθαργύρου, τὰ μὲν τῆς συμμετρίας ἐχούσης τὰ αὐτὰ τοῖς εἰρημένοις, ἀκολούθως τε τὰς τῆς δυνάμεως ὑπεροχὰς τῷ πλήθει τῶν ὑγρῶν. καὶ γὰρ ἴσα τὰ τρία βαλὼν ἐσκεύασα, καὶ διπλάσιον ἑκάτερον τῶν ὑγρῶν τῆς λιθαργύρου καὶ πρὸς τῷ διπλασίονι ἔτι τὶ ἥμισυ προσθεὶς καί ποτε καὶ τριπλάσιον. [654] ἐσκεύασα δέ ποτ' αὐτὸ καὶ οὕτως. ὥρᾳ θέρους ἐν ἡλίῳ θερμῷ καθ' ἑκάστην ἡμέραν ἡ λιθάργυρος ἐτρίβετο μετ' οἴνου Φαλερίνου καὶ τοῦτο ἡμέραις ἐγένετο ιε'. προσεπιχέοντός μου πάλιν οἶνον, εἰ διαφορηθεὶς ἔτυχεν ὁ πρότερος. μετὰ δὲ τὰς εἰρημένας ἡμέρας ἐψηθὲν τὸ φάρμακον ἱκανῶς ἐγένετο ξηραντικόν. ἐχρησάμην δὲ αὐτῷ καὶ κατὰ τῶν ῥευματικῶν διαθέσεων ὁμοίως τῇ φοινικίνῃ διατήκων ἐλαίῳ, καθάπερ ἐπ' ἐκείνης προείρηται. καὶ μηρὸν δὲ χρονίως ἐσκληρυσμένον ἰασάμην αὐτῷ καὶ κατὰ

erit, ad quae ipſum requirimus. Hoc medicamento etiam muſculos induratos ſubinde curavi.

Cap. VIII. [*De emplaſtro, quod ex lithargyro et oenelaeo praeparatur.*] Reliquum eſt, ut de argenti ſpuma dicam, quae ex oenelaeo componitur et eandem praedictis ſymmetriam ac virtutis exceſſus pro humorum copia reſpondentes habet. Etenim aequali portione tria miſſa praeparavi et duplo majori utriusque liquidi menſurae quam argenti ſpumae, dimidium inſuper ac interdum et triplum addidi. Confeci autem nonnunquam ipſum et hoc modo. Per aeſtatem sole calido argenti ſpumam ex vino Falerno conterebam ſingulis diebus quindecim continuis, vinum rurſus, ſi forte primum evaporarat, infundens. Poſt dictos dies coctum medicamentum exiccans abunde factum eſt, quo in rheumaticis quoque affectionibus perinde ac phoenicino uſus ſum, ex oleo liquefaciens, ut in illo praedictum eſt. Ac femur jam diu induratum cruentaque vulnero eo ſanavimus,

Ed. Chart. XIII. [654.] Ed. Baf. II. (319.)

τραυμιάτων ἐναίμων ἐπέθηκα καὶ ἦν εἰς πάντα κάλλιστον. ἔστω τοιγαροῦν ἐπ' αὐτοῦ, κἂν μὴ Φαλερῖνον ἔχῃ τις ἕτοιμον, ἕτερος κιρρὸς μὲν τὴν χρόαν, λεπτὸς δὲ τὴν σύστασιν ὡς διαυγεῖσθαι. τοιοῦτος δέ ἐστιν ὅ τ' Ἀριούσιος ἐν τῇ Χίῳ γεωργούμενος, ὅ τ' εὐώδης πάνυ Λέσβιος, ἐν Μιτυλήνῃ μὲν ὀλίγος, ἐν Ἐρεσσῷ δὲ καὶ Μηθύμνῃ πλείων τε καὶ βελτίων ἅμα γινόμενος, ὅ θ' ὅμοιος τῷ Φαλερίνῳ Τμωλίτης. ἔστι δὲ καὶ οὗτος λεπτότατος καὶ διαυγὴς, κιρρὸς δὲ τὴν χρόαν καὶ μετρίως γλυκὺς εὐώδης τε πάνυ. τούτῳ παλαιωθέντι εἰς ἅπαντα χρῆσθαι δυνατόν ἐστιν, εἰς ἅπερ καὶ τῷ Φαλερίνῳ. καὶ ἕτερος δ' ἐστὶ Τμωλίτης οἶνος, ὅμοιος αὐτῷ κατὰ τὴν χροιὰν καὶ τὴν σύστασιν, ἀλλ' οὔτε γλυκὺς οὔτ' εὐώδης. ἔχει δέ τινα στύψιν, ἀπολειπόμενος δὲ τοῦ γλυκέος πολύ. ταυτὶ μὲν οὖν ἑψομένης τῆς λιθαργύρου γίνεται φάρμακα.

Κεφ. θ'. [*Περὶ χρήσεως ὠμῆς λιθαργύρου.*] Χωρὶς δὲ ἑψήσεως καθ' ἑαυτὴν μέν, ὡς ἔφην, ἐπὶ παρατριμμάτων ἐστὶ χρήσιμος. εἰ δὲ προπαρασκευασθείη δι' ὄξους ἢ οἴνου τριβεῖσα καὶ ξηρανθεῖσα, τῶν δι' ὑγρότητα δυσεπου-

atque ad omnia fuit optimum. Itaque ſi Falernum ad manum non habeas, aliud ſumito colore fulvum, ſed tenue ſubſtantia, ut pelluceat, cujusmodi eſt Ariuſium, quod in Chio naſcitur, et odorum vehementer Lesbium, in Mitylene paucum in Ereſſo et Methymna copioſius meliusque proveniens, item quod Falerno ſimile eſt, Tmolite. Eſt et hoc tenuiſſimum, pellucidum, fulvum colore, dulce mediocriter, nimis quam odoratum, potes inveteratum hoc uſurpare ad quaecunque et Falerno uteris. Eſt porro et aliud vinum Tmolitae huic tum colore tum ſubſtantia ſimile, verum neque dulce neque odoratum, habet autem vim quandam aſtringendi, ſed dulcedine multo inferius eſt. Haec itaque ex cocta ſpuma argenti fiunt medicamenta.

Cap. IX. [*De crudae lithargyri uſu.*] Non cocta quidem per ſe, ut annotavimus, attritus emendat. Ex aceto autem ſeu vino trita ſiccataque ulceribus medetur, quae

Ed. Chart. XIII. [654.] Ed. Baſ. II. (319.)

λώτων ἑλκῶν ἴαμα γίνεται. καὶ εἴ γε βουληθείης ἄδηκτον αὐτὴν εἶναι, πλυτῇ χρήσῃ.

Κεφ. ι'. [Ὅπως δεῖ πλύνειν λιθάργυρον καὶ μεταλλικὰ λοιπά.] Ῥᾳδίως δὲ πλύνεται διὰ τὸ σύμφυτον βάρος ὑφισταμένη ταχέως τοῖς ὑγροῖς, ἐν οἷς λειοῦται. τελεώτατα μὲν οἶν ἄδηκτος γίγνεται δι' ὕδατος πλυθεῖσα. τοῖς δὲ εὐαισθήτοις σώμασι βραχεῖαν αἴσθησιν φέρει δήξεως, ὅταν δι' ὄξους ἢ οἴνου πλυθῇ, χρὴ δὲ ἱκανῶς αὐτὴν προσλειώσαντα δι' ὅλης ἡμέρας μετὰ τοῦ ὑγροῦ ἐᾶσαι καταστῆναι τῆς νυκτὸς, εἶτα κατὰ τὴν ὑστεραίαν ἔωθεν ἀποχέοντα τὸ ὑγρὸν αὖθις ἐπιχεῖν ἕτερον, εἶτ' αὖθις ὁμοίως τρίβειν, ἀποχεῖν τε πάλιν ἐπὶ τῆς ὑστεραίας, καὶ τοῦτο ποιεῖν, ἄχρις ἂν ἅμα τῷ ὑγρῷ φαίνηταί τις οἷον ἄχνη τῆς λιθαργύρου. μηκέτι δ' ἐφισταμένου μηδενὸς, οὐδ' ἀποχεῖν ἔτι προσήκει, τρίβειν μέντοι πλείοσιν ἡμέραις, κἂν μηδὲν ἐφίστηται, βέλτιόν ἐστι. καὶ τοῦτο πρᾶττε ἐν ἡλίῳ θερμῷ· ξηραντικώτερον γὰρ οὕτως τὸ φάρμακον γίγνεται. εὔδηλον δὲ ὅτι θέρους ὥρᾳ τοῦτο πράττειν ἄμεινον οὐκ ἐπὶ λιθαργύρου μόνον, ἀλλὰ καὶ τῶν

ob humiditatem vix cicatricem recipiunt. Quod ſi mordacitatis expertem eſſe cupis, elota utitor.

Cap. X. [*Quomodo lavare oporteat lithargyron et reliqua metallica.*] Facile autem eluitur, ut quae ſtatim propter innatam gravitatem liquoribus, in quibus laevigatur, ſubſidat, unde totam mordacitatem in aqua lota exuit, acuti vero ſenſus corpora parum adeo mordacem percipiunt, ſi ex aceto vel vino eluatur. Porro convenit diligenter toto die contritam cum liquore per noctem relinquere, poſtero die mane illum auferre, alium mox ſuperfundere, poſtea rurſus terere ſimiliter iterumque ſequenti aurora liquorem emittere. Quod faciendum eſt, donec ſimul cum humore lithargyri velut tenuiſſima quaedam portio achne dicta appareat, quumque nihil amplius innatat, nihil etiam magis effundendum eſt, attamen conterere diebus pluribus et ſi nihil ei inſiſtat, idque ſole ferventi ſatius eſt, ita enim accidit, ut medicamentum exiccet valentius. Porro noverunt omnes id aeſtate non ſolum in argenti ſpuma,

Ed. Chart. XIII. [654. 655.] Ed. Baſ. II. (319.)

ἄλλων, ὅσα τὸν τρόπον τοῦτον παρασκευάζεται. καὶ γὰρ ἡ καδμεία καὶ ἡ τοῦ χαλκοῦ λεπὶς, ὅ τε κεκαυμένος χαλκὸς, ἔτι τε πρὸς τούτοις τὸ διφρυγὲς ὀνομαζόμενον καὶ τὸ ψιμύθιον καὶ τὸ μίσυ καὶ τὸ σῶρυ καὶ τὸ στίμμι καὶ πάντες οἱ λίθοι καὶ πρὸς αὐτοῖς ὁ τίτανος ὁμοίως τῷ λιθαργύρῳ καὶ πλύνεται καὶ λειοῦται μετά τινος τῶν εἰρημένων. ἐνίοτε δὲ καὶ διὰ θαλάττης αὐτῶν ποιοῦμαι τὴν παρασκευὴν περὶ ὧν αὖθις εἰρήσεται προϊόντος τοῦ λόγου. νυνὶ γὰρ πρόκειταί μοι τὰς ἐμπλάστρους διελθεῖν, ἃς οἱ νεώτεροι τῶν ἰατρῶν μετὰ τοῦ ρω. γράφουσί τε καὶ λέγουσιν ἐπὶ τῆς ὑστάτης συλλαβῆς. [655] ὥσπερ ἐπὶ τοῦ κεντρίου καὶ τῆς μηλωτρίδος εἰώθασι ποιεῖν ἅπαντες. καὶ γὰρ ἐπὶ τούτων ἡ μὲν πρώτη θέσις τῶν ὀνομάτων ἔοικεν ἄνευ τοῦ ρω γεγονέναι, παρὰ μὲν τὸ κεντεῖν ὠνομασμένου τοῦ κεντρίου τῆς ἐσχάτης συλλαβῆς οὐκ ἐχούσης τὸ ρω, τῆς μηλωτρίδος δὲ συγκειμένης ἐκ μήλης τε καὶ ὠτός. νυνὶ μέντοι σχεδὸν ἁπάντων αὐτὰ μετὰ τοῦ ρω λεγόντων οὐκ ἂν ἁμάρτοι τις ὁμοίως αὐτοῖς φθεγγόμενος καὶ μάλιστα τὸ κέντριον. ἐπιδέ-

verum in aliis etiam, quae hoc modo praeparantur, fieri commodius. Si quidem cadmia, aeris ſquama aes uſtum, ad haec item, quod vocatur diphryges, ceruſſa, miſy, ſory, ſtimmi et omnes lapides, praeterea calx, perinde ut argenti ſpuma, ex liquore aliquo praedicto eluuntur laeviganturque. Interdum ex marina praeparationem ipſorum molior, de quibus in ſermonis proceſſu rurſus agetur, nunc enim propoſitum mihi eſt emplaſtra percenſere, quae Graeci juniores medici cum ρω in ultima ſyllaba et ſcribunt et enunciant. Quemadmodum in centrio et melotride facere omnes conſueverunt, ſiquidem in his prima nominum poſitio videtur ſine ρω facta fuiſſe a verbo quidem centeîn, quod eſt pungere, centrio nominato, ultima ſyllaba rho non habente, melotride vero compoſita ex mela et ote, id eſt ſpecillo et aure. At quum hoc tempore prope omnes ea cum rho efferant, non peccaveris, ſi ſimili modo cum illis pronuncies, praeſertim in centrio, quippe oſtendimus in opere,

Ed. Chart. XIII. [655.] Ed. Baf. II. (319.)

δεικται γάρ μοι κατὰ τὰ πρὸς τοὺς ἐπιτιμῶντας τοῖς σολοικίζουσι καὶ αὐτοὺς Ἀττικοὺς ἄνδρας ἠκολουθηκέναι τῇ κρατούσῃ συνηθείᾳ. δέδεικται γὰρ καὶ ἄλλοις πρὸ ἐμοῦ τῆς Ἀτθίδος αὐτῆς διαλέκτου μετάπτωσις γεγονέναι πολυειδὴς, ἔπεσθαί τε τῷ καθ' ἑαυτοὺς ἔθει πάντας, ὧν δόξα μεγίστη παρὰ τοῖς Ἕλλησίν ἐστιν ἐπὶ λόγων δεινότητι. καὶ ἡμεῖς οὖν, ἐπειδὴ πάσας εὑρίσκομεν ἤδη τὰς φαρμακίτιδας βίβλους μετὰ τοῦ ρω γεγραμμένον ἐχούσας τοὔνομα τὸ τῆς ἐμπλάστρου, καὶ αὐτοὶ τῇ κρατούσῃ συνηθείᾳ χρησομέθα.

Κεφ. ια'. [Περὶ τῶν διὰ μολυβδαίνης σκευαζομένων φαρμάκων.] Εἴρηταί μοι καὶ πρόσθεν ὡς ἡ τῆς μολυβδαίνης χρεία παραπλησία ἐστὶ τῇ τῆς λιθαργύρου. πάντα γὰρ ὅσα διὰ λιθαργύρου συντίθενται καὶ διὰ μολυβδαίνης δύναται σκευάζεσθαι. τῇ δυνάμει δὲ ἀλλήλων διαφέρουσι τοσοῦτον, ὡς παχυμερεστέραν μὲν εἶναι καὶ ψυχροτέραν τὴν οὐσίαν τῆς μολυβδαίνης, λεπτομερεστέραν δὲ καὶ μέσην θερμοῦ τε καὶ ψυχροῦ τὴν τῆς λιθαργύρου. πρὸς δὲ τὰς χρόας τῶν φαρμάκων, ὅσα δι' αὐτῶν σκευάζεται, διαφορά τις

quod contra illos, qui ſoloecismum committentes corripiunt, prodidimus et ipſos Atticos viros valeſcentem uſum et conſuetudinem ſequutos fuiſſe. Nam alii quoque ante me indicarunt Atticorum linguam permultum a proprietate ſua decidiſſe, ac omnes, quorum eloquentiae laus ac gloria maxima apud Graecos extat, ſuae quemque tempeſtatis morem imitatos fuiſſe. Et nos itaque, quum omnes inveniamus jam medicamentarios libros emplaſtri nomen, cum rho ſcriptum habere, uſum praevalentem ſequemur.

Cap. XI. [*De medicamentis, quae ex molybdaena conficiuntur.*] Relatum a me eſt ſuperius quoque molybdaenam et argenti ſpumam in eundem fere uſum adhiberi. Omnia enim, quae ex argenti ſpuma componuntur, etiam ex molybdaena fieri poſſunt, ſed facultate invicem differunt tantum, ut molybdaena ſubſtantiae craſſioris frigidiorisque ſit, argenti ſpuma tenuioris et inter calidam ac frigidam mediae. Caeterum colores medicamentorum, quae inde

Ed. Chart. XIII. [655.] Ed. Baſ. II. (319. 320.)

αὐτῆς ἐστὶ, καθόσον ἐπὶ τὸ φαιότερον ἄγει τὰς χρόας ἡ μολύβδαινα. διὸ καὶ τῶν λευκῶν ἐμπλάστρων οὐ μόνον ψιμύθιον, ἀλλὰ καὶ λιθάργυρον ἐχουσῶν, οὐδεμία διὰ μολυβδαίνης σκευάζεται. μιχθείσης γὰρ αὐτῆς τὸ μὲν (320) λευκὸν χρῶμα τεφρῶδες γίγνεται. τὰ δὲ τῆς δυνάμεως οὐ μόνον οὐκ ἀπόλλυται κατά γε τὴν δι' ὑδρελαίου σκευαζομένην ἔμπλαστρον λευκὴν, ἀλλὰ καὶ βελτίω γίνεται καὶ μάλιστα ἐπὶ τῶν μαλακοσάρκων. ἡνίκα δὲ διαφορῆσαί τι βουλόμεθα, βελτίων ἐστὶ μολυβδαίνης λιθάργυρος. οὕτω δὲ καὶ τῶν ἄλλων φαρμάκων ἁπάντων, ὅσα διὰ λιθαργύρου γέγραπται συντιθέμενα, βαλλόντων τὴν μολύβδαιναν, ἥ τε χρόα τοῦ φαρμάκου καὶ ἡ δύναμις εἰς τοσοῦτον ἔχει τὴν ἀλλοίωσιν, εἰς ὅσον ἄρτι μοι δεδήλωται.

Κεφ. ιβ'. [Περὶ τῶν διὰ λιθαργύρου καὶ ψιμυθίου σκευαζομένων λευκῶν ἐμπλάστρων.] Ἤτοι τῆς χροιᾶς ἕνεκεν οἱ ἰατροὶ μίξαντες ψιμύθιον τῇ λιθαργύρῳ σκευάζουσι τὰς λευκὰς ἐμπλάστρους, ἢ χάριν τοῦ στύψιν καὶ ψύξιν τινὰ προσθεῖναι τῷ φαρμάκῳ, θεώμενοι δὲ καὶ μελαινόμενον,

praeparantur, molybdaena nonnihil evariat, quatenus ſuſciores ipſos efficit. Quare et alborum emplaſtrorum, quae non modo ceruſſam, ſed argenti ſpumam quoque habent, nullum ex molybdaena conſtat, quippe ex hujus mixtura color albus cinereus redditur. Poteſtas autem in albo emplaſtro, quod ex hydrelaeo componitur, melior etiam evadit, praecipue in teneris corporibus, tantum abeſt ut pereat. Quum diſcutere quid volumus, argenti ſpuma, quam molybdaena potior eſt. Pari modo et in reliquis medicamentis cunctis, quae ex argenti ſpuma compoſitionis titulum ſortita ſunt, cum molybdaenam adjicimus, color et virtus tantum immutantur medicamenti, quantum paulo ante indicavimus.

Cap. XII. [*De emplaſtris albis, quae ex lithargyro et ceruſſa fiunt.*] Vel coloris cauſa medici ceruſſam argenti ſpumae ad emplaſtra alba conficienda miſcent, vel ut quandam aſtringendi ac refrigerandi vim medicamento concilient. Videntes autem et hujusmodi nigreſcere, quum

Ed. Chart. XIII. [655, 656.] Ed. Baſ. II. (520.)

ὅταν ἐπὶ πλέον ἕψηται τὸ τοιοῦτο, καὶ μάλισθ' ὅταν ἐπὶ ξύλων οὐδὲ τούτων ἴσως ἀκάπνων οὐδὲ ἐν ἀέρι καθαρῷ, ταχέως μὲν αἴρειν ἀπὸ τοῦ πυρὸς ἀναγκάζονται, δι' αὐτὸ δὲ τοῦτο μήθ' ὕδωρ δαψιλὲς μήτ' ἔλαιον μιγνύειν. ἐπενόησαν οὖν εἰκότως ἐπεμβάλλειν αὐτῷ ῥητίνης, ὅπως ὀλκιμόν τε καὶ συνεχὲς εἴη, προσλαμβάνον τινὰ γλισχρότητα, καὶ μάλισθ' ὅταν ἡ ὑγρὰ ῥητίνη μιχθῇ. χεῖρον δὲ γίνεται τὸ φάρμακον ἐπὶ τῇ τοιαύτῃ μίξει, δακνῶδες μέν τι καὶ ῥητίνης ἐχούσης, τὸ ξηραντικὸν δὲ οὐ πάνυ τι γενναῖον, οὗ μάλιστα χρείαν εἶναι τοῖς ἕλκεσιν ἐμάθετε. [656] τίνες μὲν οὖν ῥητίναι καὶ πάνυ δακνώδεις εἰσὶ καὶ ῥηθήσεται περὶ πασῶν αὐτῶν αὖθις. αἱ πραότατα δὲ ἐν αὐταῖς δύο εἰσί. πρώτη μὲν ἡ τερμινθίνη, δευτέρα δὲ ἡ λάριξ ὀνομαζομένη. τούτων οὖν ἄμεινον μιγνύειν, ὅταν τις βουληθῇ τοιαύτην ἔμπλαστρον σκευάσαι. πολὺ δ' εὐαφέστερα γίγνεται πάντα, τά τε διὰ ῥητίνης σκευαζόμενα προσλαμβάνοντα κηροῦ τι, τά τε διὰ κηροῦ μιχθείσης αὐτοῖς ῥητίνης. ἐπεμβάλλειν οὖν χρὴ τῇ ῥητίνῃ καὶ κηρόν. ὅπως δὲ τὸ χρῶμα τῆς ἐμπλάστρου

largius coctum fuerit, praeſertim lignis et iis quoque fortaſſe fumidis nec in aëre puro, mox ab igne tollere coguntur, ob quod ipſum nec aquam copioſam nec oleum miſcere. Merito igitur reſinam ei adjungere excogitarunt, quo ſequax ac ſibi continuum fiat, viſcoſum quid aſſumens maxime cum liquida reſina immittitur. At ex tali mixtura deterius efficitur medicamentum cum mordax quiddam reſina repraeſentet, quod vero ſiccet, nihil admodum generoſum, cujus uſum maxime ulceribus eſſe neceſſarium didiciſtis. Quaedam itaque vel inſigniter mordaces ſunt reſinae, de quibus univerſis iterum ſermo futurus eſt. Mitiſſimae vero duae inter eas ſunt, prima terebinthina, larix altera nuncupatur. Has igitur miſcere ſatius eſt, ubi id genus emplaſtri conficere cogitas. At multo leniora tactu omnia fiunt tum quae reſina conſtant, ſi cerae quid adjectum ſit, tum quae ex cera, ſi reſinae nonnihil admixtum habeant. Quamobrem cera quoque reſinae immittenda eſt: ut autem color

Ed. Chart. XIII. [656.] Ed. Baſ. II. (320.)

λευκὸν φυλάττοιτο, λευκὸν εἶναι προσήκει τὸν κηρόν. ἔστι δὲ λευκὸς αὐτοφυὴς μὲν ὁ Ποντικὸς, ὀνομάζεται γὰρ οὕτως συνήθως ἤδη κἂν ἐξ ἑτέρου τινὸς ᾖ χωρίου, διὰ τὸ πλεῖστον μὲν ἐν τῷ Πόντῳ γίγνεσθαι τὸν λευκὸν, ἐλάχιστον δὲ ἐν ἑτέροις χωρίοις. οὐκ αὐτοφυὴς δὲ λευκὸς ὁ Τυῤῥηνικὸς ὠνομασμένος ἐστίν. οὗτος μὲν οὖν οὐδεμίαν ἔχει σαφῆ δριμύτητα. τῶν αὐτοφυῶν δὲ ἔνιοι δριμεῖς εἰσιν, οὓς χρὴ πλύνειν πρότερον. ἡ πλύσις δ' αὐτῶν γίγνεται τακέντων ἐπὶ πυρὸς, εἶτ' εἰς ὕδωρ πηγαῖον καθαρὸν ἐμβληθέντων, ἀνακινουμένων τε ἐνταῦθα καὶ διαῤῥυπτομένων. οὕτω καὶ πίτταν καὶ ῥητίνην καὶ τὸ καλούμενον φύσημα πλυτέον ἐστὶ, περὶ ὧν αὖθις ἀκριβέστερον εἰρήσεται. νυνὶ δὲ ἐπειδὴ τῆς λευκῆς ἐμπλάστρου τὴν σύνθεσιν γράφω, τὸ κατάλοιπον ὧν εἶπον ἐφεξῆς διηγήσομαι. κηροῦ γὰρ ἐπεμβληθέντος ἅμα τῇ ῥητίνῃ προειψημένοις τῷ τε ψιμυθίῳ καὶ τῇ λιθαργύρῳ, μέχρις ἂν ἀκριβῶς ἀμόλυντον γένηται τὸ φάρμακον, ἔχοιτ' ἂν ἤδη λευκὴν ἔμπλαστρον, εἰ βούλεσθε, ποτὲ μὲν ὕδατος ἐμβάλλοντες αὐτῇ, ποτὲ δὲ ἐλαίου μόνου, καὶ τούτου ποτὲ

emplaſtri albus ſervetur, albam ceram eſſe congruit. Eſt ſane alba, quae ſuapte natura provenit, Pontica, ſic enim nominari jam conſuevit, licet aliunde veniat, quod plurima in Ponto alba naſcatur, aliis in regionibus pauciſſima, ac candida, quae Tyrrhenica nominata eſt, non ſponte naſcitur, quare nullam evidentem habet acrimoniam. Quae vero ſuo inſtinctu proveniunt, nonnullae acres ſunt, quas prius eluere oportet in hunc modum. Liquantur primum ad ignem, deinde in aqua fontis pura demerguntur, ubi permoventur expurganturque. Simili ratione et pix et reſina et quod phyſema dicitur lavandum eſt, de quibus iterum exactius commentabimur. In praeſentia, quoniam albi emplaſtri compoſitionem tradimus, reliquum eorum, quae praecepta ſunt, deinceps percenſebimus. Poſteaquam ergo ceruſſae ſpumaeque argenti, coctis prius, usque dum medicamentum adamuſſim non inficiat, cera ſimul cum reſina fuerit adjecta, candidum jam emplaſtrum, ſi placet, habebitis, interim aquam injicientes, interim oleum duntaxat idque nunc

Ed. Chart. XIII. [656.] Ed. Baſ. II. (320.)

μὲν νέου, ποτὲ δὲ παλαιοῦ. προακηκόατε γὰρ ἤδη τίνα δύναμιν ὕδωρ καὶ παλαιὸν ἔλαιον ἔχει. γιγνώσκετε δὲ καὶ ὡς στύψεώς τι προσδίδωσι τῷ φαρμάκῳ, τό τ' ὀμφάκινον ἔλαιον καὶ τὸ κατὰ τὴν Ἰβηρίαν γεωργούμενον, ἣν νῦν ὀνομάζουσιν Ἱσπανίαν. τὸ δὲ Ἰστρικὸν οὐ μόνον τὴν στύψιν ἔχει βραχεῖαν, ἀλλὰ καὶ πικρότητα. διαφορὰν οὖν ἔξουσιν αἱ διὰ τῶν στυφόντων σκευασίαι τῶν διὰ τοῦ γλυκέος ἐλαίου, καθόσον ἐν ἀρχῇ μὲν καὶ τελευτῇ τῶν ἑλκῶν ἀμείνω πάντα ἐστὶ τὰ στύψεως ἔχοντά τι, κατὰ δὲ τὰ μέσα τὰ γλυκέα. δεῖται γὰρ ἐν μὲν ταῖς ἀρχαῖς τὰ ἕλκη τῶν ἀποκρουομένων φαρμάκων, ὅπως μηδὲ ἄρξηται φλεγμαίνειν. ἐφεξῆς δὲ τῶν χαλαστικωτέρων, ἐὰν μὲν μὴ γένηται φλεγμονὴ, χάριν τοῦ διαπνεῦσαι, φθασάσης δὲ γενέσθαι καὶ δι' ἐκείνης ὅπως θᾶττον λυθείη. εὔδηλον δ' ὅτι περὶ σμικρᾶς φλεγμονῆς ὁ λόγος ἐστίν. οὐδὲ γὰρ δύναται βραχέσιν, ἐφ' ὧν χρώμεθα ταῖς λευκαῖς ταύταις ἐμπλάστροις, ἐπιγίνεσθαι μεγάλη φλεγμονὴ μηδενὸς ἁμαρτήματος προσελθόντος. ὅτι δὲ καὶ συνουλουμένων ἤδη τῶν ἑλκῶν ἡ στύφουσα ποιότης ὠφέλιμός ἐστιν

recens nunc vetus. Prius enim jam audiviſtis, quam virtutem aqua et oleum vetus habeat. Noviſtis item, quod omphacinum oleum et id, quod colitur in Iberia, quae nunc Hiſpania dicitur, aſtringens quippiam medicamento adjicit. Hiſtricum non modo exiguam aſtrictionem, ſed amaritudinem quoque refert. Proinde different tantum ex aſtringentibus confecturae ab iis, quae dulci oleo conſtant, quanto initio ulceris et fini potiora ſunt omnia, quae nonnihil aſtringens continent, in mediis dulcia. Nam in principio medicamenta repellentia proſunt ulceribus, ne phlegmone corripi incipiant, inde quae magis relaxent, ſi non phlegmone adſit, tranſpiratus gratia; quod ſi affuerit, etiam ob illam, ut citius diſſolvatur. Enimvero clarum eſt de parva phlegmone verba fieri, ſiquidem exigua ulcera, in quibus albis hiſce emplaſtris utimur, magna comitari phlegmone non poteſt, ſi error nullus acceſſerit. Caeterum et ulceribus, quae jam ad cicatricem veniunt, aſtringendi qualitatem utilem eſſe, nullus ignorat. Tempus igitur jam poſtulat medi-

Ed. Chart. XIII. [656. 657.] Ed. Baſ. II. (320.)

οὐδεὶς ἀγνοεῖ. καιρὸς οὖν ἤδη τὴν συμμετρίαν εἰπεῖν τῶν συντεθέντων φαρμάκων τὴν χρησιμωτάτην ἔμπλαστρον λευκήν.

[Ἡ σταθμεία τῆς ἐμπλάστρου.] Ἴσον ἔστω μέρος ἑκατέρου τῶν μεταλλικῶν, τοῦ τε ψιμυθίου καὶ τοῦ λιθαργύρου, καὶ τοῦτ' εἰ βούλεσθε, σταθμὸς ἔστω μιᾶς λίτρας ἑκατέρου. συναμφοτέρων δὲ ἴσον ἐλαίου μέτρον ἢ ὡς ὀνομάζουσι Ῥωμαῖοι, λίτραι δύο, τοῦ κηροῦ δὲ ἡμίλιτρον ἔστω καὶ τῆς τερμινθίνης ἥμισυ, τουτέστιν οὐγγίας τρεῖς ὁ σταθμός. εἰ δὲ καὶ λιβανωτοῦ μίξαις, ἀνωδυνώτερόν τε καὶ πεπτικώτερον τῶν φλεγμαινόντων ἕλκυδρίων ἐργάσῃ τὸ φάρμακον, ἀλλὰ πρός γε τὴν ἐπούλωσιν ἀτονώτερον. ὑπερσαρκώσεις γὰρ, ἐπειδὴ σαρκωτικῶν ἐστιν ὁ λιβανωτὸς, ὡς κἂν τῷ τρίτῳ τῆς [657] θεραπευτικῆς μεθόδου μεμαθήκατε. βέλτιον οὖν ἐστιν, ἐμβαλεῖν τι καὶ στυπτηρίας ὀλίγον ἕνεκά τε τῆς ἐπουλώσεως καὶ ἄλλως, ἐπειδὴ τὰ χαλαστικὰ φάρμακα πληθωρικοῖς τε καὶ κακοχύμοις σώμασι προσφερόμενα προτρέπει ῥευματίζεσθαι τὰ πεπονθότα μόρια. τὸ δ' ἐκ τούτων ἁπάντων συντεθὲν φάρμακον δυνήσεται διαφορεῖν ὄγκους

camentorum, quae emplaſtrum album utiliſſimum conſtituunt, ſymmetriam exponere.

[*Pondus emplaſtri.*] Aequa ſit portio utriusque metallici, ceruſſae et argenti ſpumae, et haec, ſi videatur, eſto ſingulorum pondo libra, olei vero menſura amborum ſimul pondus abſolvat vel, ut Romani dicunt, ſint pondo librae duae, cerae pondo ſelibra, terebinthinae illius dimidium, hoc eſt pondo unciae tres. Quod ſi et thus admiſceas, primum dolori mitigando aptum magis erit, tum parva ulcera, quae phlegmone infeſtat, ocius concoquet, ſed ad cicatricem ducendam erit imbecillius, nam carnem ſupercreſcentem promovet, quoniam thus carnem generat, ut in tertio quoque libro de morbis curandis legiſtis. Satius itaque eſt injicere et aluminis paululum tum ad cicatricem ducendam tum alterius cauſa, quandoquidem laxantia medicamenta plethoricis et vitioſo ſucco abundantibus corporibus adhibita affectis partibus fluxum concitant. Ex his autem omnibus compoſitum medicamentum tumores praeter naturam

Ed. Chart. XIII. [657.] Ed. Baſ. II. (320.)

παρὰ φύσιν ἐπὶ τῶν ἀπαλοσάρκων, ὅσοι μήτε μεγάλοι λίαν εἰσὶ μήτ' ὀδυνώδεις καὶ μάλισθ' ὅταν λάβῃ δαψιλῆ τὸν λιβανωτόν. εἴη δ' ἂν ἐπὶ τοῖς προειρημένοις δαψιλὴς ὁ λιβανωτὸς, ἐὰν ἴσος ᾖ κατὰ τὸν σταθμὸν τῇ τερμινθίνῃ. εἰ δὲ ἥμισυς ὁ λιβανωτὸς εἴη τῆς ῥητίνης, ἧττον μὲν ἔσται διαφορητικὸν τὸ φάρμακον, ἐπουλωτικώτερον δὲ τοῦ διπλάσιον ἔχοντος τὸν λιβανωτόν. εἰ δέ τι μᾶλλον ἐργάσασθαι διαφορητικὸν αὐτὸ βουληθείητε καὶ πεπέρεως ἐμβάλλετε τοῦ λευκοῦ βραχύ τι, μηδὲν εἰς τὴν ἐπούλωσιν τῶν ἑλκῶν βλάψαι δυναμένου. καὶ τοίνυν ἔστω τῆς μὲν στυπτηρίας γο. σταθμὸς, ἥμισυ δὲ τοῦ πεπέρεως. εὔλογον οὖν τούτου μὲν ἐμβληθῆναι τρεῖς δραχμὰς, ἓξ δὲ τῆς στυπτηρίας. ἐπεὶ δὲ καὶ ἄλλων ἐστὶ βελτίων τῶν στυπτηριῶν ἡ σχιστὴ καλουμένη καὶ τῇ χρόᾳ λευκὴ, ταύτης ἐμβάλλειν προσήκει.

Κεφ. ιγ'. [*Λευκὴ ἡ διὰ τοῦ λευκοῦ πεπέρεως, ὡς Ἄτταλος καὶ Ἥρας.*] Ὠφελεῖ γερόντων ἕλκη καὶ ἀπαλοχρώτων καὶ πᾶν ἕλκος ἰᾶται, ὅσα ὑγρότερα καὶ δυσεπούλωτα καὶ ἀποσύρματα, ὡς ἀποκρέμασθαι τὸ δέρμα, ἐνίοτε

in molli corpore, qui nec magni adeo nec dolorifici ſunt, diſcutere poterit, praeſertim quum thus abunde aſſumpſerit. Erit itaque in praedictis copioſum thus, ſi aequale ipſi terebinthinae pondus accipiat, ſin ejus dimidium, minorem digerendi vim medicamentum habebit, magis autem cicatrici ducendae erit idoneum quam quod duplo copioſius id receperit. Jam ſi plenius adhuc digerere cupiatis, etiam piperis albi pauxillum adjicitote, quod ulcerum cicatrici obducendae nihil obeſſe poteſt. Sit igitur aluminis pondo uncia, piperis vero ſemuncia, ratio ſiquidem eſt, hujus tres denarios, aluminis ſex injicere. Quoniam vero et alias praeſtat alumen, quod ſciſſile nominatur et colore candidum eſt, id immittere expedit.

Cap. XIII. [*Album emplaſtrum ex pipere, ut Attalus Herasque compoſuerunt.*] Juvat ſenum ulcera et eorum, qui mollem habent cuticulam, denique omne ulcus curat, quod et humidius eſt et non facile cicatricem admittit, ad haec abraſa, quae apoſyrmata Graeci vocant, ut cu-

Ed. Chart. XIII. [657.] Ed. Baſ. II. (520. 521.)

μελαινόμενον ἐπ᾽ ὠλεκράνου καὶ ἀντικνημίου καὶ γόνατος, ἐφ᾽ ὧν οὐδὲ σὰρξ, ἀλλ᾽ ὁ περιόστιος ὑμὴν ὑπόκειται μόνος. γέγονε τοίνυν πάντα ἐφεξῆς καταλέγοντι τὸ φάρμακον ἐκ τῶνδε συγκείμενον. λιθαργύρου μὲν καὶ ψιμυθίου, λίτρας ἑκατέρου σταθμῷ, δυοῖν δὲ λιτρῶν ἐλαίου μέτρῳ. καλεῖται γὰρ (321) ὑπὸ Ῥωμαίων ὁμωνύμως ὁ λιτραῖος σταθμὸς τῶν στερρῶν σωμάτων τῷ λιτραίῳ μέτρῳ τῶν ὑγρῶν, ὃ πάμπολυ καθ᾽ ὅλην τὴν πόλιν ἐστὶν, ἐξ ὕλης κερατίνης γιγνόμενον. ἐπὶ τούτοις δὲ τοῦ κηροῦ μὲν ἡμίλιτρον τῷ σταθμῷ, τριῶν δὲ οὐγγιῶν τῆς τερμινθίνης ῥητίνης, λιβανωτοῦ δὲ ἤτοι τοῦ ἡμίσεος ἢ τοῦ ἴσου ταύτῃ, καὶ στυπτηρίας μὲν ἓξ δραχμῶν, τριῶν δὲ τοῦ πεπέρεως. ἡ δὲ ἕψησις εὔδηλος ἀπ᾽ ἀρχῆς μὲν ἑψομένων τῶν μεταλλικῶν ἐν ἡλίῳ, μέχρι τοῦ γενέσθαι τελέως ἀμόλυντον ἢ καὶ βραχὺ σκληρότερον. ἐμβαλλομένων δὲ τηνικαῦτα κηροῦ καὶ ῥητίνης, εἶθ᾽ ὅταν ἑνωθῇ πάντα, τοῦ λιβανωτοῦ μὲν πρῶτον, ἔπ αὐτῷ δὲ τῆς στυπτηρίας τε καὶ τοῦ πεπέρεως. ἐμβάλλειν δὲ χρὴ τὸ ῥοδιακὸν καλούμενον ψιμύθιον, εἰ βούλοιτό τις πάνυ λευκὴν τὴν

tis ſuſpenſa ſit, interim nigreſcens in cubito, tibia et genu, quibus neque caro, ſed membrana ſola os ambiens, perioſtios Graecis dicitur, ſubjecta eſt. Hiſce igitur, ut omnia ordine recenſeam, medicamenti compoſitio conſtat. Argenti ſpumae, ceruſſae, utriusque pondo libra, olei duarum librarum menſura, nuncupatur enim a Romanis aequivoce ponderalis, ut ita dicam, libra ſolidorum corporum et menſuralis libra liquidorum, quae copioſiſſima in tota urbe ex materia cornea conſtat, praeter haec cerae pondo ſelibra, terebinthinae reſinae pondo unciarum trium, thuris vel dimidio ipſius reſinae vel aequali pondere, aluminis pondo denariorum ſex, piperis pondo denariorum trium. Coctio manifeſta eſt. Initio quidem metallica in sole coquuntur, dum plane non inficiat vel etiam paulo durius fiat, immittuntur autem tunc cera et reſina, dein cum omnia in unum coierint, thus primum, mox alumen et piper addentur. Injicere autem convenit ceruſſam, quam vocant rhodiacam,

Ed. Chart. XIII. [657. 658.] Ed. Baf. II. (321.)

ἔμπλαστρον γενέσθαι. ἀλλὰ καὶ κατὰ τὴν πάλαι μὲν Δικαιαρχίαν ὀνομαζομένην, νυνὶ δὲ Ποτιόλους, ἔνιοι τῶν σκευαζόντων τὸ ψιμύθιον ὁμοίως τῷ ῥοδιακῷ λευκὸν εἰώθασι ποιεῖν. ὅτι δὲ ἐν ἡλίῳ τε χρὴ σκευάζειν τὴν ἔμπλαστρον, ὑδατός τε μιγνύειν, ὡς λευκοτέραν τε ἅμα καὶ ψυκτικωτέραν γενέσθαι, λέλεκται πρόσθεν. εἰ δ' ἐπουλωτικωτέραν ἐθέλοι τις αὐτὴν ἐργάσασθαι, τοῦ μὲν ὕδατος οὐδ' ὅλως μικτέον ἐστὶ, δι' ἐλαίου δὲ παλαιοῦ μόνον σκεναστέον γο β'. ἥμισυ, ἀλλὰ καὶ τρεῖς ἐμβάλλοντα. τοῦτο τὸ φάρμακον οὐ τῶν ὑπ' ἐμοῦ πρώτου συντεθέντων ἐστὶν, ἀλλ' ἤδη πρὸ πολλῶν ἐτῶν ὑπὸ τοῦ βασιλεύσαντος ἡμῶν τῶν Περγαμηνῶν Ἀττάλου σπουδάσαντος ἀνδρὸς περὶ φάρμακα παντοῖα, καὶ σύγκειται λύγῳ [658] τῷ προειρημένῳ καὶ κρεῖττον αὐτοῦ θαυμάζοιμεν ἄν, εἴ τι δύναται τῶν ὁμοειδῶν συντεθῆναι. μέμνηται δὲ αὐτοῦ καὶ ὁ Ἥρας ἐν τῷ βιβλίῳ τῶν φαρμάκων, ὃ τινὲς μὲν ἐπιγράφουσι νάρθηκα, τινὲς δὲ τόνον δυνάμεων, ἀξιῶν τὸ μὲν ἔλαιον εἶναι παλαιὸν, ὕδατος δ' αὐτῷ μίγνυσθαι τὸ ἴσον ἢ τὸ ἥμισυ. τὰ δ' ἄλλα τῆς συμ-

si emplaſtrum candidum eximie fieri cupias, quin etiam in civitate Dicaearchia olim, nunc Puteolia vocant nonnulli, quam ceruſſam praeparant, ſimilem rhodiacae albam facere conſueverunt. Porro quod in sole conficiendum ſit emplaſtrum et aqua admiſcenda, ut albius ſimul et magis refrigerans fiat, antea diſcuſſum eſt. At ſi mavis ad cicatricem ducendam commodius ipſum reddere, ab aqua in totum abſtineto, olei autem veteris pondo uncias duas ac dimidiam, imo etiam tres immittito. Hoc medicamentum non ex eorum numero eſt, quae a me primo auctore compoſita ſunt, ſed jam annis multis ante a rege noſtro Pergamenorum Attalo, viro omnigenorum medicamentorum ſtudioſo. Conſtat ratione praedicta. Et ſane admirarer, ſi quid ejusdem ſpeciei hoc ipſo praeſtantius poſſit confici. Meminit ejusdem Heras quoque in medicamentorum libro, quem nonnulli narthecem, id eſt ferulam, inſcribunt, alii tonon dynameon, id eſt *robur virium*, cenſens oleum vetus attribuendum eique parem aquae menſuram vel dimidiam eſſe miſcendam.

Ed. Chart. XIII. [658.] Ed. Baſ. II. (321.)

μετρίας, ὡς ὑπ' ἐμοῦ γέγραπται, πλὴν ὅτι κοτύλας ἐκεῖνος, οὐ λίτρας ἔγραψε, τοῦ τε ὕδατος καὶ τοῦ ἐλαίου μὴ δηλώσας ὁπόσων οὐγγιῶν βούλεται εἶναι τὴν κοτύλην, ἤτοι σταθμικῶν ἢ μετρικῶν· αἱ μὲν γὰρ σταθμικαὶ τὸ βάρος κρίνουσι τῶν σωμάτων, αἱ δὲ μετρικαὶ τὸν ὄγκον. θεραπεύειν μὲν οὖν λέγων τὸ φάρμακον τοῦτο γερόντων ἕλκη καὶ ἀπαλοχρώτων ἀληθεύει· πλέον δὲ ἢ δεῖ χαρίζεται, πᾶν ἕλκος ἰᾶσθαι φάσκων. ὅσα μὲν γὰρ ὑγρότερα καὶ διὰ τοῦτο δυσεπούλωτα θεραπεύει ταῦτα, τῶν κακοήθων δ' οὐδὲν, ὥσπερ οὐδὲ τῶν ἐναίμων τι τραυμάτων· ὁ δέ γε καὶ ταῦτα πάντα φησίν. ἀποσύρματα μέντοι λέγων αὐτὸ θεραπεύειν ἀληθεύει, πολλάκις γὰρ οὕτως ἀποσεσυρμένου, ὡς ἀποκρέμασθαι τὸ δέρμα μετὰ τῆς ὑποκειμένης ἐπί τινος σαρκὸς, ἐπιθεὶς τὸ φάρμακον ἐθεασάμην ἑνωθὲν αὐτῇ τὸ ἀποσεσυρμένον, καὶ τό γε τούτου μεῖζον, ἐνίοτε μελαινόμενον ἤδη. καὶ πάλιν γε ἕτερον ἔτι τοῦδε μεῖζον, ἐπ' ὠλεκράνου τε καὶ ἀντικνημίου καὶ γόνατος, ἐφ' ὧν οὐδὲ σὰρξ, ἀλλ' ὁ περιόστιος ὑμὴν ἢ τένων πλατὺς ὑπόκειται μόνος, ὥστε πρὸς ἀποσύρματα μὲν

Caeterum alia, quae ad ſymmetriam ſpectant ita habent ut a me ſcripta ſunt, niſi quod ille heminas, non libras, tum aquae tum olei poſuerit, non indicans quot unciarum heminam ſive ponderis ſive menſurae conſtituant, etenim ponderales unciae gravitatem corporum, menſurales molem decernunt. Quum igitur medicamentum hoc ſenum ulcera et tenerorum curare dicit, verus eſt, quum vero ulcus ſanare ſcribit, amplius quam par eſt ei condonat et tribuit. Siquidem humidiora eoque minus ad cicatricem venientia curat, cacoëthes nullum, ſicut nec ullum vulnus cruentum, ille autem et haec omnia promittit. Attamen deraſis ipſum mederi ſcribens non falſus eſt; ſubinde enim tam deraſum os ut cutis inde cum ſubjecta quadam carne dependeret, medicamento impoſito, cum ipſa coaluiſſe vidi, et quod hoc majus eſt, interdum jam nigricante, rurſus aliud quam hoc etiam admirabilius, in cubiti gibbero, tibia et genu, quibus nulla caro, ſed os conveſtiens membrana vel latus tendo ſolus ſubjectus eſt. Quare ad abraſa optimum

Ed. Chart. XIII. [658.] Ed. Baſ. II. (321.)

ἄριστον ἂν ἔχοιτε τὸ φάρμακον τοῦτο, κόλπων δὲ καὶ ἀποστημάτων οὔτ' ἄριστον ἁπάντων οὔτ' ἀρετῇ τῶν ἀρίστων δεύτερον, ἀλλ' ἐπὶ μετρίων τῷ μεγέθει τούτων τῶν παθῶν, ἐν ἁπαλοχρῶσι καὶ γυναιξὶ καὶ παισὶ καὶ γέρουσιν ἀγαθὸν φάρμακον, ὥστε κἀνταῦθα πλέον ἢ δεῖ μεμαρτύρηκεν ὁ Ἥρας τῷ φαρμάκῳ. πολὺ δὲ μᾶλλον ἡνίκα ἐπήνεσεν αὐτὸ πρὸς δήγματα πάντα φάσκων ἁρμόττειν. τί γὰρ βούλεται τὸ πάντα προσκείμενον τῷ λόγῳ; πότερον εἰ καὶ θηρίον εἴη τὸ δακὸν ἢ μόνα τὰ τῶν ἁπάντων ἀνθρώπων λέγει; καὶ μὴν ψεῦδός ἐστιν ἑκάτερον. ἐπὶ μὲν τῶν θηρίων ἄντικρυς· ἃ γὰρ ὑπὸ δραστηρίων φαρμάκων θεραπεύεται μόγις, οὐκ ἄν τις ταῦτα φαίη διὰ τοῦδε κατορθοῦσθαι δύνασθαι· περὶ δὲ τῶν ἀνθρώπων εἰ λέγει, καὶ οὕτως ἀδιόριστος ὁ λόγος, ὡς βλάττειν μᾶλλον ἢ ὠφελεῖν τοὺς ἀκούσαντας. ἀνέπεισε γοῦν τίς τινα τῶν ἰατρῶν, ἐπιτιθέναι τὴν ἔμπλαστρον ταύτην ἐν παγκρατίῳ δηχθέντι νεανίσκῳ τὸν λιχανὸν δάκτυλον, ὃς οὕτως ἔσχε κακῶς, ὡς κινδυνεῦσαι μὲν ἀποσαπῆναι τὸ δηχθὲν μόριον ὅλον, ἐπιγενομένης σηπεδόνος αὐτῷ. μόλις

hoc medicamentum habueritis, ad ſinus et abſceſſus nec omnium optimum nec bonitate optimorum ſecundum, verum ad mediocres hos affectus in teneris, mulieribus, pueris et ſenibus commendatur. Quare et hic plus quam oportebat Heras medicamento detulit, multo autem magis, cum laudaret ipſum ſcribens ad morſus univerſos eſſe remedio. Cur enim sermoni appoſitum eſſe vult univerſos? utrum ſi etiam ferarum morſus fuerit, an hominum univerſorum tantum, dicit? atqui falſum eſt utrumque. In feris quidem clarum eſt, quae enim ab efficacibus medicamentis vix curantur, haec nemo ab illo ſanari poſſe dixerit; quod ſi de hominibus dicat et ſic oratio incerta indiſtinctaque eſt adeo, ut auditores magis offendat quam juvet. Itaque perſuaſit aliquis cuidam medico ut emplaſtrum hoc adoleſcenti in pancratio digitum indicem morſo imponeret, qui inde tam male habuit, ut in periculo eſſet, ne pars tota morſa computreſceret, oborta jam putredine, vix autem diuturna cu-

Ed. Chart. XIII. [658. 659.] Ed. Baſ. II. (321.)

δ' ἐν χρόνῳ πλέονι θεραπευθεὶς ἐκολλήθη. γενομένου τοῦδε τοῦ δήγματος οὐκ εἰς νεῦρον, ἀλλ' εἰς σάρκα, θαυμαστὸν οὐδὲν ὑπὸ τοῦ τοιούτου φαρμάκου θεραπευθῆναι. τὰ γὰρ τῶν ἀνθρώπων δήγματα παραπλήσια τοῖς ἄλλοις ἐστὶν ἕλκεσιν, εἰ μὴ πάνυ κακόχυμος ὁ δακὼν εἴη ἢ νενηστευκώς γε μέχρι καὶ πλέονος ἢ τεθυμωμένος, ὡς ἐκκεχολῶσθαι τό τε σύμπαν σῶμα καὶ τὰ περὶ τοὺς ὀδόντας. οὐ μὴν οὐδ' ἐπὶ τούτων τὶ τοιοῦτον ἀξιόλογον φανεῖται ποιοῦν, τὸ φάρμακον, ἀλλ' ἀρκέσει τῷ παραχρῆμα χρησαμένῳ μηδὲν ἀδικηθῆναι, πρίν τι τῶν ἰδίως ἐπιτηδείων εἰς τὰ τοιαῦτα φαρμάκων ἐπιβληθῆναι κατὰ τοῦ δηχθέντος μορίου, περὶ ὧν αὖθις εἰρήσεται. νυνὶ δ' ἀποχρήσει τοσοῦτον εἰπεῖν, ὡς ἐφ' ὧν ἤτοι γε ἄνθρωπος ὁποῖον εἴπομεν εἴτε πίθηκος εἴτε κύων εἴτ' ἄλλο τι τοιοῦτον ζῶον εἴη δακόν.

[659] Κεφ. ιδ'. [Περὶ τῆς Ἀτταλικῆς Ἀνδρομάχου λευκῆς ἐξήγησις καὶ σύνθεσις, ὅτι ἧσσον βλάπτει τοὺς λυσσοδήκτους καὶ τοὺς νευροτρώτους.] Αἱ δι' ἐλαίου νέου καὶ ὕδατος σκευαζόμεναι λευκαὶ, χωρὶς τοῦ τὸ πέπερι καὶ τὸν

ratione glutinatus eſt. At quum non in nervum, ſed carnem laeſionem acceperit, nihil mirum eſt hujusmodi medicamento ſalvum evaſiſſe. Etenim hominum morſus aliis ulceribus admodum ſimiles ſunt, niſi qui momorderit vitioſis humoribus abundet aut diutius a cibo abſtinuerit aut ira correptus ſit, univerſum corpus et etiam dentes bile madeant, neque in his tamen ejusmodi quicquam mentione dignum medicamentum facere videbitur. Atqui ei, qui ſubito fuerit uſus, ſatis erit, ſi nihil incommodi acceperit prius quam medicamentum aliquod talibus curandis peculiariter dedicatum morſae particulae impoſuerit, de quibus mox diſputabitur. Nunc vero tantum dixiſſe ſufficiet in iis, quos ſive homo, qualem diximus, ſive ſimia ſive canis ſive id genus animantium aliud memorderit.

Cap. XIV. [*Attalici ſecundum Andromachum albi narratio et compoſitio, quod minus laedit a rabioſis morſos et nervos vulneratos.*] Alba quae oleo recenti et aqua citra piperis atque thuris mixturam conficiuntur,

Ed. Chart. XIII. [659.] Ed. Baſ. II. (321.)

λιβανωτὸν λαβεῖν, ἀδικοῦσι μεγάλως τὰ δηχθέντα μόρια, κἂν βραχύτατον ἰώδους ἔχῃ τὸ τοῦ δακόντος ζώου σίαλον. ἧττον δ' ἐκείνων ἁπασῶν ἡ Ἀτταλικὴ βλάπτειν πέφυκε τῷ τὴν τερμινθίνην ἐμβάλλεσθαι καὶ τὸ ἔλαιον τὸ παλαιὸν καὶ τὸν λιβανωτὸν καὶ τὸ πέπερι. κατὰ ταῦτα δὲ κἀπὶ τῶν νευροτρώτων αἱ μὲν ἄλλαι λευκαὶ βλαβερώτεραι, πολὺ δὲ ἐλάττων ἡ ἐκ τῆσδε βλάβη, παλαιὸν μὲν ἔλαιον ἐχούσης, ὕδωρ δ' οὐκ ἐχούσης. ἔτι δὲ μᾶλλον εἰ τὰς τρεῖς ὅλας οὐγγίας ἔχει τοῦ λιβανωτοῦ καὶ μὴ τὸ ἥμισυ. λέλεκται γάρ μοι καὶ πρόσθεν, ὡς εἰ καὶ οὕτω σκευάζοιμεν, ἐπὶ τῶν τοιούτων λευκῶν ἡ στυπτηρία πρὸς κακοῦ γίνεται τῷ φαρμάκῳ. δεῖται γὰρ οὐ τῶν στυφόντων, ἀλλὰ τῶν ἱκανῶς ἑλκόντων ἔξω τὰ διὰ βάθους ἐνοχλοῦντα, τά τε νενυγμένα νεῦρα καὶ τὸ τῶν ζώων ἰῶδες σίαλον. καὶ πυρίκαυτα δὲ τὴν ἔμπλαστρον ταύτην ἰᾶσθαί φησιν ὁ Ἥρας, ἀνιεμένην ῥοδίνῳ ἢ μυρσίνῳ ἢ μυρρίνῳ. πολὺ δὲ κἀνταῦθα λείπεται τῶν θεραπεύοντων καλῶς φαρμάκων τὰ πυρίκαυτα, περὶ ὧν καὶ αὐτῶν αὖθις εἰρήσεται. βελτίους γὰρ ἐπὶ τούτων αἱ ἄλλαι

commorſas partes vehementer offendunt, licet animantis ſaliva, quod momorderit, vel pauxillum adeo virus contineat, at minus illis omnibus Attalicum laedendi naturam obtinet, quod terebinthina, oleum vetus, thus et piper adjecta ſint. Pari etiam modo in nervorum vulneribus reliqua alba magis nocent, ſed multo minor offenſa eſt ex hoc, quod quidem oleum vetus habet, aquam non item. Inſuper hoc magis eveniet, ſi tres uncias thuris integras et non ejus dimidium recipiat. Dictum ſiquidem mihi eſt et antea, quod ſi et hoc pacto praeparemus, in hujusmodi albis alumen medicamento male congruat, nam opus eſt hic non aſtringentibus, ſed abunde extrahentibus, quae in alto nervos punctos affligunt et venenatam animalium ſalivam. Heras hoc emplaſtrum ex rhodino vel myrteo vel myrrhino dilutum mederi et ambuſtis igne tradit, et ſi etiam hic longe inferius ſit medicamentis, quae ambuſta commode ſanant, de quibus ipſis quoque rurſus ſermonem inſtitu-

Ed. Chart. XIII. [659.] Ed. Baſ. II. (321. 322.)

λευκαὶ μήτε λιβανωτὸν ἔχουσαι μήτε ῥητίνην. ἀπολείπονται δὲ καὶ αὗται πάμπολυ τῶν ἰδίως ἰωμένων τὰ πυρίκαυτα, καθάπερ ἔφην τὴν ὑπ' ἐμοῦ συντεθεῖσαν ἐκθεραπευειν αὐτὰ προσλαβοῦσαν ὄξος. ἐκείνη μὲν γὰρ ἐν ἅπαντι καιρῷ χρήσιμος, ἡ δὲ διὰ τοῦ πεπέρεως λευκὴ τοῖς ἀποδαρεῖσι κατακαύμασιν. ὅταν μὲν οὖν εἰς οὐλὴν ἄγηται, χρήσιμος, ἔμπροσθεν δὲ καθ' ἑαυτὴν μὲν ἄχρηστος, ἀνεθεῖσα δ' ἐν ἐλαίῳ μυρσίνῳ χρήσιμος, οὐ μὴν ἰσοσθενῶς γε τοῖς ἰδίως ἁρμόττουσι πρὸς τὰ πυρίκαυτα φαρμάκοις. καὶ δηχθεῖσιν αὐτὴν ὁ Ἥρας ἁρμόττειν φησίν. ἀλλὰ κἀνταῦθα διορισμοῦ χρεία. ἐπὶ μὲν (322) γὰρ τῶν σκληρῶν καὶ δυσπέπτων ἀσθενέστερόν ἐστι τὸ φάρμακον, ἐπὶ δὲ τῶν μετριωτέρων ἱκανὸν καὶ μάλιστα ἐπὶ γερόντων καὶ παίδων καὶ γυναικῶν καὶ συλλήβδην φάναι τῶν ἁπαλοσάρκων. ἔστι δὲ καὶ τοῖς ἰόνθοις τὸ φάρμακον χρήσιμον, ὡς καὶ τοῦτο ἔγραψεν ὁ Ἥρας ἀληθεύων. ἀδιορίστως δὲ περὶ τῶν ἐξανθημάτων ἀπεφήνατο. καὶ γὰρ καὶ τούτων ὅσα μετρίως ὑπόσκληρα θεραπεύει, τὰ δὲ ἐπὶ πλέον ἥκοντα θέρμης ἤ τι φλεγμονώδες ἔχοντα, πα-

emus. Praeſtantiora enim in his ſunt alia candida, quae neque thus neque reſinam habent. Quin et haec non parum ab iis ſuperantur, quae ambuſtis igne proprie auxiliantur, quemadmodum a me compoſitum eadem ſanare dixi, ſi acetum adjungas, illud ſi quidem nullo non tempore commodum eſt. Quod autem ex pipere album conſtat, excoriatis aduſtionibus quum ad cicatricem perveniunt utile eſt, ante per ſe nihil conducit, dilutum vero ex oleo myrteo prodeſt, non tamen aequali cum his medicamentis virtute, quae ad ambuſta proprie faciunt. Heras morſis etiam ipſum convenire ſcribit. Sed hic quoque diſtinctione utamur oportet, ſiquidem in duris et ad patiendum difficilibus imbecillius eſt medicamentum, in mediocribus, maxime in ſenibus, pueris, mulieribus et ut breviter dicam, molli carne praeditis abunde ſufficit. Inſuper varis aptum eſt, quemadmodum et hoc vere prodidit Heras. At de exanthematis indiſtincte pronunciavit. Etenim ex horum numero mediocriter ſubdura perſanat, quae vero plus caloris aut

Ed. Chart. XIII. [659. 660.] Ed. Baſ. II. (322.)

ροξύνει καὶ μάλιστα ἐν ἀρχῇ. ἐφεξῆς δὲ τῶν εἰρημένων ὁ Ἥρας ἔγραψε κατὰ λέξιν οὕτως. ἐποίησε καὶ ἐπὶ σκληρίας ῥιμηνιαίου, ἥτις συνέστη ἐκ τόκου, καὶ διεφόρησεν, οὐκ ἀδύνατα λέγων. ἐχρῆν δ' αὐτὸν προσγεγραφέναι τίνος ἦν ἡ σκληρία, πότερον αὐτῆς ὅλης τῆς μήτρας ἢ κατὰ τὸν αὐχένα μόνον ἢ τὸ στόμιον, ἢ κατὰ τὰς κεραίας ἢ κατά τι τῶν ἔξωθεν ἐπικειμένων σωμάτων αὐτῇ. καὶ πρὸς σύριγγας δὲ ἐπαινεῖ τὴν ἔμπλαστρον αὐτὴν ὁ Ἥρας μειζόνως ἢ πέφυκεν, ἁπάσας τε τὰς ἄλλας καὶ μάλιστα τὰς ἐν δακτυλίῳ γινομένας. αὐτὸς γὰρ οὕτως ὠνόμασε, θεραπεύειν αὐτὴν ἀποφηνάμενος. ὁμοίως δὲ καὶ πρὸς ποδάγραν καὶ ἄνθρακας, ἐπινυκτίδας τε καὶ κονδυλώματα, λέπρας τε καὶ λειχῆνας καὶ ὑπώπια τὴν προκειμένην ἔμπλαστρον ἐπαινῶν ἐστιν ὁ Ἥρας. εἰ μὲν οὖν ὡς τῶν βελτιόνων αὐτῷ μὴ παρόντων χρησάμενός τις αὐτῇ μετρίως ἂν ὠφελήσειεν, ἀληθῶς ὑπείληφεν· εἰ δ' ὡς ἀρίστῳ φαρμάκῳ πρὸς ταῦτα, ψεύδεται φανερῶς, ἑτέρων πολλῶν ἀμεινόνων ὄντων. [660] ἐπὶ δ' οὖν τῷ τέλει τῶν ἐπαίνων αὐτῆς οὕτως ἔγραψεν αὐτοῖς ὀνόμασι.

phlegmonodes quippiam referunt, irritat praeſertim initio. Poſt commemorata deinceps in haec verba Heras diſſeruit: *Fecit etiam ad duritiam trimeſtrem, quae ex partu profecta erat ac perſpiratu diſcuſſit, non impoſſibilia dicens.* At conveniebat ipſum praeſcripſiſſe, cujusnam durities eſſet, totiuſne vulnae, an cervicis ſolius vel orificii vel cornuum vel externi cujusdam corporis ei incumbentis. Jam vero id ipſum emplaſtrum impenſius quam natura comparatum ſit, laudat adverſus fiſtulas quum alias omnes tum maxime quae in dactylio, id eſt podice, oriuntur; ſic enim appellavit ipſe, cum illud curare affirmaret. Simili modo ad podagram, carbunculos, epinyctidas, condylomata, lepras, vitiligines, fugillata, propoſitum emplaſtrum Heras extollit. Si itaque tanquam meliorum penuria eo uſus quiſpiam mediocre praeſidium attulerit, vere praedicat; ſin autem ut medicamentum ad haec optimum adducit, manifeſti mendacii arguitur, quum multa alia praeſtantiora inveniantur. Caeterum poſt ipſius laudes, his verbis praecipit: *Utere hoc*

Ed. Chart. XIII. [670.] Ed. Baſ. II. (322.)

χρῶ δὲ αὐτῇ μάλιστα, ὅταν ἕλκος ὑπὸ δριμέων φαρμάκων καὶ ἐναίμων ἀναλύηται καὶ ἀναφλεγμαίνῃ καὶ ἐπὶ τῶν περὶ τὸ γόνυ ἀποστημάτων. ἐχρῆν δὲ κἀνταῦθα προσγεγράφθαι, κατὰ μὲν τὸν τῶν ἀποστημάτων λόγον τοὺς ἀπαλοσάρκους καὶ παῖδας καὶ γυναῖκας καὶ γέροντας, ἐπὶ δὲ τῶν ἑλκῶν τὰς ἰδέας αὐτῶν, ὡς ἡμᾶς ποιήσομεν ἐν τῷ περὶ τῶν κακοήθων ἑλκῶν λόγῳ. τῶν γὰρ οὕτως κακοήθων οὐδενός ἐστιν ἡ προκειμένη κατὰ τὸν ἐνεστῶτα λόγον ἔμπλαστρος ἐπουλωτική. διορισμοῦ δὲ δεῖ τοῖς δυσεπουλώτοις ἀπὸ τῶν κακοήθων. οὐδὲ γὰρ πάντ' ἐστὶ τὰ κακοήθη δυσεπούλωτα. καὶ λεχθήσεται δηλονότι προϊόντος τοῦ λόγου περί τε τῆς διαφορᾶς αὐτῶν καὶ τῶν φαρμάκων, ὅσα πέφυκεν ὠφελεῖν ἑκάτερα. καὶ διὰ μόνων δὲ τῶν μεταλλικῶν ἐγχωρεῖ σκευασθῆναι λευκὴν ἔμπλαστρον, ὡς ὀλίγον ἔμπροσθεν ἐπὶ τῆς λιθαργύρου μόνης ἐψηθείσης ἔλεγον. ἐὰν γὰρ τῇ λιθαργύρῳ προσβληθῇ τὸ ψιμύθιον, εἶτα ἐλαίου τε καὶ ὕδατος ἑκατέρου διπλάσιον μιχθῇ καὶ τὴν ἕψησιν, ὡς ἀρτίως εἶπον, ἐπ' ἀνθράκων προδιακεκαυμένων ἐν ἀέρι λαμπρῷ ποιήσηταί τις,

maxime, quum ulcus ab acribus medicamentis et iis, quae cruentis imponuntur vulneribus, ſolvitur et phlegmonen recipit, tum in abſceſſibus, qui circa genu fiunt. Hic quoque fidei illius erat apponere pro abſceſſuum quidem ratione tenera carne praeditos pueros, mulieres et ſenes, in ulceribus autem ſpecies eorum adſcribere, uti nos faciemus in ſermone de malignis ulceribus; nam iſtud, de quo nunc loquimur, emplaſtrum nulli tam cacoëthi ſeu maligno cicatricem obducit. Verum diſtinguenda ſunt ea, quae cicatricem aegre ducunt, a cacoëthibus, neque enim omnia cacoëthe difficulter cicatricem admittunt. At dicetur ſermone procedenti de ipſorum differentia et medicamentorum, quae utrisque ſanandis dicata ſunt. Quin ex ſolis metallicis album emplaſtrum praeparare licet, ut paulo ante in ſola argenti ſpuma cocta admonuimus. Si enim ſpuma argenti ceruſſae committatur, deinde olei et aquae utriusque duplum miſceatur, et coctionem, ut nuper eſt dictum, carbonibus antea peruſtis, in aëre lucido peragas, tum glutinans ac tenax, tum

Ed. Chart. XIII. [660.] Ed. Baſ. II. (322.)

ἐχέκολλόν τε τὸ φάρμακον ἔσται καὶ λευκὸν τῇ χρόᾳ, τοῦ δὲ διὰ μόνης λιθαργύρου κατασκευασθέντος ἐμψυκτικώτερον. ὥσπερ γὰρ ἡ μολύβδαινα ψυκτικωτέρας τε καὶ παχυμερεστέρας ἐστὶ φύσεως καὶ ἐὰν λιθαργύρῳ περιβάλλῃ τις αὐτὴν, οὕτω καὶ τὸ ψιμύθιον ἢ καὶ μᾶλλον ἔτι τῆς μολυβδαίνης. εἰ δὲ καὶ παλαιὸν ἐμβληθείη τὸ ἔλαιον, ἕξει καὶ τοῦτο τὸ φάρμακον οὐκ ὀλίγην γλισχρότητα πρὸς τὸ μὴ ῥᾳδίως ἀποπίπτειν τοῦ σώματος, ᾧπερ ἂν ἐπιτεθὲν τύχῃ. λευκὴν δὲ γενέσθαι τὴν ἔμπλαστρον εἰ βούλοισθε, καθαρώτατον ὡς οἷόν τε καὶ λαμπρότατον ἔλαιον ἐμβάλλετε, πολλὰ γάρ ἐστιν οὐ τοιαῦτα. παρηγορικὸν δὲ καὶ ἀνώδυνον ἔσται τὸ φάρμακον, ἐὰν καὶ στέατος αὐτῷ τις ἐπεμβάλῃ, καθάπερ εἴωθα ποιεῖν ἐγώ. χήνειον δ' ἔστω τὸ στέαρ ἢ τούτου μὴ παρόντος ὀρνίθειον· εἰ δὲ μηδὲ τοῦτ' ἔχοιμεν, ὕειον ἐμβάλλωμεν, εἰδότες μὲν οὐ σμικρὰν ὑπεροχὴν εἶναι τοῦ χηνείου παρὰ τὰ ἄλλα, χρώμενοι δὲ καὶ τοῖς χείροσιν, ὅταν ἀπορῶμεν τοῦ καλλίστου. καὶ γὰρ ὅταν μὴ παρῇ κιννάμωμον, ἐπὶ τὴν ἀρίστην ἐρχόμεθα κασσίαν. ἀρκεῖ δὲ ἐπὶ τῇ προειρημένῃ συμ-

album colore medicamentum erit, majore autem refrigerandi virtute praeditum quam quod eſt ex ſola argenti ſpuma confectum. Quemadmodum enim molybdaena frigidioris craſſiorisque naturae eſt, etſi argenteae ſpumae eam admiſceas, ſic etiam ceruſſa vel magis adhuc quam molybdaena; quod ſi vetus oleum indatur, non parum lentoris et hoc medicamentum habiturum eſt, ne videlicet a corpore facile decidat, cuicunque fuerit impoſitum. Atqui ſi emplaſtrum candidum fieri poſtulatis, oleum quam fieri poteſt puriſſimum ſimul et lucidiſſimum injicitote; multa enim ejus generis non ſunt. Mitigans vero ac dolorem ſedans erit medicamentum, ſi et adipis aliquid injeceris, veluti ego facere conſuevi. Adeps vero anſerinus ſit vel hujus inopia gallinaceus. Si neque hunc habemus, ſuillum injiciamus, non ignari quidem magnam eſſe anſerini ad reliquos eminentiam, utentes autem peioribus etiam, ſi quando optimi copia non conceditur, nam et quum cinnamomum deſideratur, ad caſſiam optimam deſcendimus. Verum in praedicta

Ed. Chart. XIII. [660.] Ed. Baf. II. (322.)

μετρίᾳ μιγνύναι τοῦ στέατος ἥμισυ μέρος τοῦ σταθμοῦ τῶν μεταλλικῶν ἑκατέρου, ὡς εἶναι λιθαργύρου μὲν καὶ ψιμυθίου μέρος ἓν ἑκατέρου, διπλάσιον δὲ ἐλαίου καὶ διπλάσιον ὕδατος ἢ καὶ πλεῖστον ὀλίγῳ, τοῦ δὲ στέατος ἥμισυ μέρος. ὅπως δὲ λέγω τοῖς ἰσταμένοις ἐπὶ ζυγοῦ τὰ μετρούμενα, διπλάσιά τε ἡμίσεα καὶ ἴσα, μικρὸν ἔμπροσθεν ἐδήλωσα, τὴν ὁμωνυμίαν ἐξηγησάμενος τῆς παρὰ Ῥωμαίοις σταθμικῆς λίτρας τῇ μετρικῇ. τοῦτο τὸ φάρμακον ἐσκεύασα πολυειδῶς· καὶ γὰρ ἴσα τὰ τέτταρα μίξας, ἥμισυ τοῦ στέατος ἐνέβαλον εἰς αὐτὰ, καί ποτε καὶ τῶν ὑγρῶν ἑκατέρου μέρους ἓν καὶ ἥμισυ. γενήσεται δὲ ὡς ἐπὶ παραδείγματος ἡ συμμετρία τοιάδε. λιθαργύρου Λ΄ α΄. ψιμυθίου Λ΄ α΄. τοῦ δὲ ἐλαίου καὶ τοῦ ὕδατος ἑκατέρου λίτρας ἥμισυ καὶ λοιποῦ στέατος ἡμίλιτρον, ἔσθ' ὅτε δὲ καὶ τὸ τρίτον τῆς λίτρας ἔβαλλον, ὥσπερ καὶ τοῦ ὕδατος μίαν λίτραν. ὃ δ' εἰώθασι λέγειν πολλάκις οἱ ἰδιῶται καὶ τῶν ἰατρῶν οἱ τοιούτοις ὁμοιοι, φυλάξασθέ ποτε εἰπεῖν, ὡς αὐτοὶ λέγουσιν, ἄμεινον γιγνεσθαι τόδε τι τὸ φάρμακον, εἰ προσλάβοι τοῦδέ τινος,

ſymmetria adipis pondus dimidio minus, quam utriusque metallici miſcere ſufficit, ut argenti ſpumae et ceruſſae ſingulorum pars una adſit, olei dupla et aquae dupla aut etiam paulo amplior, adipis pars dimidia. Caeterum quomodo dicam iis qui lance metiuntur dupla, dimidia et aequalia, ante paulum oſtenſum eſt, dum Romanae librae ponderalis cum menſurali cognominationem, quam vocant homonymiam ſeu aequivocationem, interpretarer. Medicamentum hoc variis modis praeparavi, ſiquidem quatuor pari portione mixtis dimidiam adipis, interdum quoque liquidorum utriusque unam et dimidiam, adjunximus. Porro fiet veluti exemplo ſymmetria talis, argenti ſpumae pondo libra, ceruſſae pondo libra, olei aquae utriusque pondo libras, poſtremo adipis pondo ſelibra. Eſt quum et pondo trientem adjecerim, ſicut et aquae pondo libram integram. Quod autem idiotae frequenter dicere ſolent et medici ipſis ſimiles, obſervate ne interdum dicatis, nempe medicamentum quodlibet generoſius fieri, ſi adjectum hoc fuerit,

Ed. Chart. XIII. [660.661.] Ed. Baſ. II. (322.)

ὅπερ ἂν ὀνομάσωσιν. ἔνιοι δ' αὐτῶν μὲν ἀγνοεῖν ὁμολογοῦσιν, ἐρωτῶσι δ' ἡμᾶς ὁποία τῶν συνθέσεων καὶ σκευασιῶν ἐστι καλλίστη, μὴ γινώσκοντες ἄλλην ἐπὶ ἄλλης διαθέσεως εἶναι χρησιμωτέραν, ἁπλῶς δὲ καὶ ἀδιορίστως οὐδεμίαν ἀρίστην. διὰ τοῦτ' οὖν ἐγὼ τῶν ἁπλῶν φαρμάκων ὑμᾶς ἀξιῶ τὰς δυνάμεις ἀκριβῶς ἐπίστασθαι· [661] χρῆσθαι γὰρ οὐχ οἷόν τε καλῶς τῷ συνθέτῳ τούτων ἀγνοουμένων. αὐτίκα γοῦν ἐπὶ τῆς προκειμένης κατὰ τὸν λόγον τόνδε λευκῆς ἐμπλάστρου τὸ πρόσφατον στέαρ μιγνύμενον ἀνωδυνώτερον μὲν ἐργάσεται τὸ φάρμακον, ὡς κἂν ὑποφλεγμαίνῃ τὸ ἕλκος, ὠφελεῖν αὐτό, χεῖρον δ' εἰς τὴν ἐπούλωσιν ποιήσει. τὸ δὲ χωρὶς τοῦ στέατος ἐπουλωτικώτερον μέν, οὐχ ὁμοίως δὲ ἀνώδυνον. εἴρηται δὲ καὶ πρόσθεν ὡς ὕδατος μὲν προσλαβὸν ἐμψυκτικώτερον γίγνεται, παλαιοῦ δὲ ἐλαίου διαφορητικώτερον. ὁ δυνάμενος οὖν γνῶναι τίνος μᾶλλον χρῄζοι τὸ ἕλκος, οὗτος ἄριστα καὶ αὐτὸς συνθήσει τὰ φάρμακα καὶ τοῖς ἤδη συγκειμένοις χρήσεται. κἀμὲ πολλάκις ἐθεάσασθε τοῖς τῶν παρακαλεσάντων ἰατρῶν εἰς συμβουλὴν

quodcunque ſcilicet nominaverint. Nonnulli ignorare ſe ſatentur rogantque nos, qualisnam compoſitio praeparatioque ſit optima, ignorantes aliam in alio affectu eſſe commodiorem, ſimpliciter vero et indefinite ne unam quidem optimam, hujus itaque rei gratia ego ſimplicium medicamentorum virtutes accurate pernoſcere operae pretium eſſe vobis puto, nam compoſito probe uti non poſſitis illorum ignari. Nimirum igitur in propoſito hic albo emplaſtro recens adeps admixtus medicamentum efficit, quod dolorem magis adeo levat, ut ſi et inflammatione laboret ulcus, juvet ipſum, at cicatrice obducenda minus reddet accommodatum. Quod citra adipem conficitur, facilius quidem cicatricem inducit, verum non ex aequo ſedat dolorem. Dictum quoque eſt prius, quod aqua admixta evidentius refrigeret, ſed oleo veteri magis diſcutiat. Itaque qui eam facultatem aſſequutus eſt, ut quo potiſſimum ulcus indigeat ſcire poſſit, is optime et ipſe componet medicamenta et jam compoſitis utetur. Atque vidiſtis me ſubinde medicorum, qui me in

Ed. Chart. XIII. [661.] Ed. Baſ. II. (322. 323.)

φαρμάκοις θεραπεύσαντα πολλὰ τῶν ἐκείνοις ἀπορουμένων. ἄριστον οὖν εἴρηται φάρμακον οὐχ ἁπλῶς, ἀλλὰ τῶν ἐπαγγελλομένων τόδε τι ποιεῖν, ὥσπερ ἐγὼ τὴν φοινικίνην ἀρίστην ἔφην εἶναι πρὸς τὰ ῥευματικὰ χρωμένων αὐτῇ κατὰ τοὺς προειρημένους διορισμούς.

Κεφ. ιε'. [Περὶ τῶν ἄλλων λευκῶν ἐμπλάστρων.] Αἱ μὲν οὖν προειρημέναι λευκαὶ καθ' ὃν εἴρηκα λόγον ἐσκευάσθησαν ἐκ παλαιοῦ. πολυειδεῖς δ' ἄλλαι μετὰ ταῦτα συνετέθησαν, ἀφαιρούντων γέ τινα καὶ προστιθέντων καὶ ὑπαλλαττόντων τῶν ἐπιγινομένων ἰατρῶν, περὶ ὧν καὶ αὐτῶν ἄμεινον εἰπεῖν ἕνεκα τοῦ γυμνάσασθαι ποικίλως ὑμᾶς ἐν τῇ τῶν φαρμάκων συνθέσει. γέγραπται τοίνυν ὑπ' Ἀνδρομάχου κατὰ τὸ βιβλίον, ὃ ἐπιγράφει δυνάμεις πρὸς τὰ ἐκτὸς, ὡδί πως αὐτοῖς ὀνόμασι· λευκὴ ἧ χρῶμαι. λιθαργύρου μνᾶ α'. ψιμυθίου μνᾶ α'. κηροῦ τέταρτον, ῥητίνης τέταρτον, ἐλαίου κοτύλαι γ'. ὕδατος (323) κοτύλαι β'. ταῦτα μὲν ἔγραψεν ὁ Ἀνδρόμαχος, οὔτ' ἐπί τίνων ἁρμόττει προσγράψας οὔτε περὶ τῆς ἑψήσεως αὐτοῦ διελθών. τινὲς μὲν οὖν

consilium advocarunt, medicamentis multa curasse, a quibus illi sanitatis spem abjecerant. Optimum igitur medicamentum dictum est non sermone simplici, sed inter ea, quae hoc aliquid facere pollicentur, quemadmodum ego phoenicinum optimum esse retuli adversus rheumatica, si eo juxta praedictas distinctiones utamur.

Cap. XV. [*De aliis emplastris albis.*] Alba igitur ante commemorata qua dixi ratione jam olim confecta sunt, post quae alia diversa medici posteri excogitarunt, quaedam adimentes, addentes et immutantes, de quibus et ipsis praestat dicere, ut in varia medicamentorum compositione vos exerceamini. Scripsit itaque Andromachus in libro, cui titulum fecit, virtutes ad exteriora, hisce quodammodo verbis: *Album, quo utor.* Argenti spumae mina una, cerussae mina una, cerae pars quarta, resinae pars quarta, olei heminae tres, aquae heminae duae. Hactenus Andromachus nec quibus conveniat adscripsit nec coctionis ejus mentio-

Ed. Chart. XIII. [661.] Ed. Baf. II. (523.)

εἴκοσιν οὐγγίας ἔχειν φασὶ τὴν μνᾶν, ἔνιοι δὲ ἑκκαίδεκα. καὶ δύναιτ' ἂν ἑκατέρως σκευάζεσθαι τὸ φάρμακον, οὐ μὴν ὀρθῶς μοι δοκεῖ τὸ ἴσον ἐμβάλλειν ῥητίνης τε καὶ κηροῦ. βελτίων γὰρ ἡ Ἀτταλικὴ σύγκειται, τὸν κηρὸν τῆς ῥητίνης λαμβάνουσα διπλάσιον. πρόδηλον δὲ ὅτι τῆς ῥητίνης ἴσης ἐμβληθείσης τῷ κηρῷ γένοιτ' ἂν ἐχεκολλοτέρα μὲν ἔμπλαστρος, οὐχ ἡδεῖα δ' ὁμοίως τοῖς ἕλκεσιν, ἀλλ' ἔχουσα δριμύ. καὶ μέντοι καὶ τῷ μὴ δηλῶσαι ποίαν βούλεται βάλλεσθαι ῥητίνην οὐκ ὀρθῶς ἔπραξεν. ἀλλ' ἡμεῖς γε γινώσκοντες ἀμείνω κατὰ πάντα τὴν τερμινθίνην εἶναι τῆς κολοφωνίας τε καὶ φρυκτῆς ὀνομαζομένης, ἐκείνην ἐμβαλοῦμεν. εἰ δὲ καὶ τῆς λάρικος εὐπορούμεν, οὐδὲν κωλύει χρήσασθαι, παραπλήσιαι γάρ πως εἰσιν. ἐλαίου δὲ κοτύλας τρεῖς ἡγοῦμαι γράφειν αὐτὸν τὰς Ἀττικὰς ἢ πάντως ἂν ἐγεγράφει λίτρας. καίτοι θαυμάσειεν ἄν τις ὅπως ἐν Ῥώμῃ διατρίβων ἀντὶ λιτρῶν ὠνόμαζε κοτύλας. ἐπιχώρια γὰρ ταῦτα ὀνόματα, τό τε τῆς λίτρας καὶ τὸ τοῦ ξέστου καὶ τὸ τῆς οὐγγίας. ἐκ πολλῶν φαρμάκων πάλαι συγγεγραμμένων, πρὶν εἰς τοσοῦτο

nem fecit. Nonnulli viginti uncias minam continere tradunt, quidam fedecim. Atque medicamentum utroque modo praeparari poſſit, non tamen recte mihi parem modum reſinae et cerae injicere videtur, nam Attalici compoſitio melior eſt, quae ceram reſinae duplo copioſiorem accipit. Conſtat autem ſi reſinae et cerae aequalis portio adjecta ſit, emplaſtrum fore glutinantius, non tamen ex aequo ſuave gratumque ulceribus, ſed acrimoniam habiturum. Quin etiam eo quod indicare noluit qualis immitti debeat reſina, parum recte fecit, nos autem haud ignari eſſe meliorem per omnia terebinthinam tum colophoniam tum eam quae phryctе nominatur, illam injiciemus. At ſi et laricem habeamus, quid uti prohibet, quum ſibi invicem propemodum ſint affimiles? Olei heminas tres Atticas puto ipſum ſcribere, aut certe ſcripſiſſet libras. Atqui miretur quiſpiam quomodo Romae degens pro libris heminas nominaverit; ejus nempe regionis illa ſunt nomina, libra, ſextarius, uncia. Ex multis medicamentis quondam conſcriptis, priusquam Romanorum

Ed. Chart. XIII. [661. 662.] Ed. Baf. II. (323.)

δυνάμεως ἠυξῆσθαι τὰ τῶν Ῥωμαίων, ἐστοχασάμην ἣν ὀνομάζουσιν ἐκεῖνοι κοτύλην ἴσην εἶναι ταῖς κατὰ τὴν νῦν ἐν Ῥώμῃ λίτραν οὐγγίαις ἐννέα. μή τι οὖν καὶ ὁ Ἀνδρόμαχος τὰς τρεῖς κοτύλας ἀξιοῖ βάλλειν, ὡς ἑκάστης αὐτῶν οὔσης οὐγγιῶν θ'. καὶ κατὰ τὸν αὐτὸν λόγον καὶ τὰς τοῦ ὕδατος δύος προειδότες οὖν ἡμεῖς τὴν ἑκάστου τῶν ἁπλῶν δύναμιν, ὅπως ἂν σκευάσητε χρῆσθαι δυνήσεσθε πρὸς ἅπερ ὁ τῆς συνθέσεως ἐπαγγέλλεται τρόπος, ἐπιτρέψαντες ἑτέροις ζητεῖν ὁποία τῶν συνθέσεών ἐστιν ἀρίστη. [662] πᾶσαι γὰρ ἄρισταί τέ εἰσι καὶ οὐκ ἄρισται, καθότι προεπιδέδεικταί μοι. καὶ γὰρ αὖ καὶ ταύτης ἐφεξῆς ἑτέραν ὁ Ἀνδρόμαχος γράφει τήνδε.

[*Λευκὴ ἄλλη.*] ℔ *Λιθαργύρου* ≺ ρξ'. *ψιμυθίου* ≺ σ' *κηροῦ* ≺ ν'. *τερμινθίνης* ≺ κδ'. *ἐλαίου κοτύλης ἥμισυ, ὕδατος κυ. σ'. αὕτη τοίνυν ἡ ἔμπλαστρος τῆς προτέρας πλέον ἔχουσα τὸ ψιμύθιον τῆς λιθαργύρου λευκοτέρα μὲν ἂν γένοιτο καὶ ψυκτικωτέρα κατά γε τοῦτο. ῥᾳδίως δ' ἀποπίπτουσα, κἂν ἑκκαίδεκα καὶ δίμοιρον οὐγγίας τὴν κοτύλην*

res eo potentiae accreviſſent, conjeci quam illi vocarent heminam eſſe aequalem unciis novem librae Romanae hodiernae. Numquid igitur et Andromachus tres heminas cenſet adjiciendas, tanquam ſingulae unciis novem valeant? eademque ratione et aquae duas? Vos ergo ſi ſimplicis cujusque poteſtatem cognitam ante habeatis, quomodocunque praeparato uti potueritis ad ea quae compoſitionis modus promittit, aliis permittentes inquirere, qualisnam confectio ſit optima; omnes enim optimae ſunt et non optimae, quemadmodum nobis prius oſtenſum eſt. Poſtea Andromachus alind ſubjungit hujusmodi.

[*Album aliud.*] ℔ Argenti ſpumae ʒ clx, ceruſſae ʒ cc, cerae ʒ l, terebinthinae ʒ xxiv, olei heminae dimidium, aquae cyathos vj. Hoc igitur emplaſtrum priori plus ceruſſae quam argenti ſpumae habens candidius evadet magisque refrigerans, quod ad hoc attinet, ſed facile decidit, minusque adhaereſcit, licet ſedecim uncias et duas partes hemiuam habere ſtatuamus, quemadmodum nonnulli ajunt.

Ed. Chart. XIII. [662.] Ed. Baſ. II. (323.)

ἔχειν ὑποθώμεθα, καθάπερ ἔνιοί φασι. βοηθεῖ γε μὴν αὐτῇ πρὸς τοῦτο τῆς τερμινθίνης ἡ μίξις, ὡς μὴ κραῦρον γίνεσθαι τὸ φάρμακον, ἐπεὶ τελέως ἂν ἀλιπὲς ἦν καὶ ξηρὸν, ὀλίγον ἔχον ἐλαίου τε καὶ ὕδατος. οὐ προσέγραψε δὲ οὐδὲ ἐπὶ ταύτης ὁ Ἀνδρόμαχος οὔθ' ἕψησιν οὔτ' ἐπαγγελίαν.

[*Λευκὴ ἄλλη.*] Ἑτέραν δ' ἐφεξῆς τῇδε γράφει τρίτην, τὰ μὲν ἄλλα τὰ αὐτὰ πάντα ἔχουσαν τῇ διὰ τοῦ λευκοῦ πεπέρεως Ἀτταλικῇ. πρόσκειται δὲ αὐτῇ ταῦτα τὰ δύο, ὄρχεως βοτάνης ≺ η'. στρουθίου οὐγγίαι δύο, ὕδωρ δὲ οὐδ' ὅλως ἐμβάλλει τῷ φαρμάκῳ τούτῳ καὶ τοῦ λιβανωτοῦ τὰς ε'. καὶ εἴκοσι δραχμὰς ἀξιοῖ βάλλειν οὐ προσγράψας, ὡς ὁ Ἥρας εἴωθεν. ἔνιοι δὲ δέκα δύο καὶ εἴκοσι βάλλουσιν, ἐλαίου μέντοι κἀνταῦθα δύο κοτύλας μίγνυσι, τὴν αὐτὴν ἀσάφειαν ἡμῖν καταλιπὼν ἧς ἔμπροσθεν ἐμνημόνευσα. μέμψαιτο δ' ἄν τις αὐτῷ μεγάλως μὴ προσγράψαντι τὰς ἐπαγγελίας τῶν φαρμάκων. οὐ γὰρ δήπου τὴν αὐτὴν δύναμιν ἔχει τὸ δεύτερον γεγραμμένον τῷ πρώτῳ τε καὶ τῷ τρίτῳ. τὸν Ἥραν δὲ ἐπαινεῖν προσήκει τάς τε ἐπαγγελίας τῶν φαρμάκων γρά-

Juvat ſane ipſum ad haec terebinthinae mixtura, ne friabile fiat medicamentum, quoniam omnino alipes, ut Graeci dicunt, id eſt pinguis expers et aridum eſſet, pauco oleo et aqua addita. Neque in hoc vero aſcripſit Andromachus vel coctionem vel quid promittat.

[*Aliud album.*] Aliud poſt hoc ponit tertium, quod eadem alia omnia cum Attalico ex pipere albo confecto continet. Adjecta autem ſunt ei haec duo, orchis herbae drachmae octo, ſtruthii unciae duae. Aquam vero nequaquam huic medicamento adjungit, ſed thuris pondo denariûm viginti quinque injiciendum cenſet non adſcribens, ut Heras conſuevit, nonnulli autem xxvj immittunt. Olei tamen hic ille heminas duas imponit, eandem nobis obſcuritatem relinquens cujus supra memini. Accuſaverit quis eum vehementer, quod medicamentorum pollicita, ſeu titulum non praefixerit, quippe ſecundum cum primo et tertio eandem potentiam non obtinet. Herasque ſane laudandus eſt, qui

Ed. Chart. XIII. [662.] Ed. Baſ. II. (323.)

ψαντα καὶ τοὺς τρόπους τῶν χρήσεων, οὓς ὅλως ὁ Ἀνδρόμαχος ἐπὶ τῶν λευκῶν ἐμπλάστων κατέλιπε, σπανίως που μόνην τὴν ἐπαγγελίαν προσθεὶς, οὐ μὴν οὐδ' ὅπως χρὴ τὸ φάρμακον ἔψειν ἔγραψεν. ἀλλ' οὐκ ἄν τις αὐτὸν ἴσως ἐν τούτῳ μέμψαιτο τοῖς ἤδη γεγυμνασμένοις κατὰ τὴν ἰατρικὴν τέχνην, οὐκ ἰδιώταις γράφοντα. τὸ δὲ μὴ προστιθέναι τὰς ἐπαγγελίας ἢ τὰς καθόλου δυνάμεις οὐ σμικρὸν ἁμάρτημα. τί γὰρ καὶ φήσει τις ἀπολογούμενος ὑπὲρ αὐτοῦ; τάχ' ἴσως ὅτι τοῖς ἐπισταμένοις τὰς τῶν ἁπλῶν φαρμάκων δυνάμεις γέγραπται ταῦτα. καὶ μὴν οὐδεὶς ἐκείνων Ἀνδρομάχου δεῖται, δυνάμενός γε καὶ αὐτὸς ὁμοίως συντιθέναι.

Κεφ. ιστ'. [Λευκὴ Ἥρα πρὸς τοὺς ὑδροφόβους.] Πάλιν οὖν ἐπὶ τὸν Ἥραν ἀφικόμεθα, γράφοντα μετὰ τὴν Ἀτταλικὴν ἔμπλαστρον ἑτέραν λευκὴν, αὐτοῖς ὀνόμασι τοῖσδε· λευκὴ πρὸς τοὺς λυσσοδήκτους. ποιεῖ δ' ἀκριβῶς καὶ πρὸς τοὺς ὑδροφόβους. ῥύεται γὰρ εὐθὺς τοῦ κινδύνου ἐπιτεθεῖσα τῷ τραύματι. τοῖς μέντοι κεκρατημένοις ἄγαν καὶ καταπότιον ὅσον καρύου Ποντικοῦ ἐξ αὐτῆς ποιήσαντα διδόναι καὶ

medicamentorum virtutes adſcripſerit utendique modos, quos Andromachus in emplaſtris albis prorſus omiſit, raro ad quid valeant apponens, quin nec quo pacto coquendum medicamentum ſit, indicavit. Attamen nemo forſan eum accuſare poſſit, quod jam exercitatis in re medica, non idiotis, ſcribat. Verum quod titulum praeterit vel univerſales potentias, non mediocre peccatum eſt. Quid enim dicet qui defenſionem ejus ſuſceperit? forſan quod peritis ſimplicium medicamentorum virtutem haec tradiderit; atqui illorum nullus Andromachum deſiderat, quum et ipſe ſimili modo poſſit componere.

Cap. XVI. [*Aliud Herae adverſus rabioſos morſus.*] Rurſus ad Heram revertamur, aliud candidum emplaſtrum poſt Attalicum iisdem hiſce verbis ſcribentem. *Candidum adverſus rabioſorum morſus. Facit exacte etiam ad aquam expaveſcentes rabidi canis morſu, praeſervat enim ſtatim a periculo vulneri impoſitum, item devictis valde catapotium nucis avellanae magnitudine ex eo dandum eſt,*

Ed. Chart. XIII. [662. 663.] Ed. Baſ. II. (323.)

τοῦτο ποιεῖν ἐφ' ἡμέρας μ'. μεταβάλλει μέντοι τὴν χρόαν ἐπὶ τῶν σπληνῶν καὶ γίνεται μέλαινα. ποιεῖ δὲ καὶ πρὸς ἀνθρωπόδηκτα, κυνόδηκτα, ἀποσύρματα, δυσκατούλωτα, αἴρει καὶ ὑπώπια κεράτιον α' καὶ τραύματα κολλᾷ. ποιεῖ καὶ πρὸς φύματα καὶ ῥαγάδας. ἔστι δὲ καὶ πεσσὸς μαλακτικός. δεῖ μέντοι παρὰ μίαν ἡμέραν λύειν καὶ ἀποσπογγίζειν τὴν ἐπιγινομένην τοῖς ἕλκεσι μελανίαν. καὶ τοῦτο ποιεῖν, ἕως ἂν μηκέτι φαίνηται ἡ μελανία. [663] ἡ αὐτὴ καὶ κατουλωτική ἐστι καὶ πρὸς πάντα ἀγαθή. ταῦτα προειπὼν Ἥρας ἐφεξῆς ἔγραψε τὴν συμμετρίαν τῆς ἐμπλάστρου κατὰ τήνδε τὴν λέξιν. λευκή. ℔ κηροῦ λευκοῦ Ποντικοῦ λίτρας β'. λιθαργύρου χρυσίτιδος λίτραν α'. ψιμυθίου λίτραν α'. σμύρνης οὐγγίας β'. μυελοῦ ἐλαφείου οὐγγίας β'. λιβάνου ἀτόμου οὐγγίαν α'. ἐλαίου παλαιοῦ ξε. α'. συμμετρία μὲν ἥδε τῶν συντιθέντων τὴν ἔμπλαστρον. ἐφεξῆς δὲ τὴν ἕψησιν οὕτως ἔγραψε. λιθάργυρον ἐλαίῳ ἕψε, ὅταν δὲ δοκῇ γλοιοῦσθαι κατὰ τὴν σύστασιν κηρὸν, εἶτα τὸ ψιμύθιον ἔμπασσε καὶ κίνει. ὅταν δ' ἐνωθῇ καὶ ἀμόλυντος γένηται, ἀφελὼν τὴν

idque diebus quadraginta, mutat tamen colorem in ſpleniis redditurque nigrum. Valet et contra morſus hominum canumque abraſa et ulcera, quae cicatricem difficulter admittunt. Tollit etiam ſugillata ſiliqua uva, vulnera conglutinat, auſert phymata et rhagadas. Eſt et peſſus emolliens. Oportet tamen poſt diem ſolvere et nigredinem ulceribus obortam ſpongia detergere, idque tantiſper faciendum eſt, donec nigricies amplius nulla appareat. Jam quoque idem cicatricem ducit et ad omnia bonum eſt. Haec praefatus Heras deinceps ſymmetriam emplaſtri his verbis enarravit. *Album.* ℔ cerae albae Ponticae lib. ij, argenti ſpumae chryſitidis lib. j, ceruſſae lib. j, myrrhae ℥ ij, medullae cervinae ℥ ij, thuris infecti ℥ j, olei veteris ſextarium j. Haec ſane ſymmetria eorum eſt, quae emplaſtrum conſtituunt. Coquendo vero modum deinceps ita ſcripſit. Argenti ſpuma ex oleo coquitur, ubi ſordium craſſitudinem habere videtur cera, mox ceruſſa aſpergitur moveturque, unita jam nec polluentia ab igne tolluntur et

Ed. Chart. XIII. [663.] Ed. Baſ. II. (323. 324.)

ἀνθρακιὰν, τὸν μυελὸν ἀποδίδου. ψύξας δὲ ἀποδίδου τὴν σμύρναν καὶ τὸν λιβανωτὸν καὶ μαλάξας χρῶ. καὶ κατὰ τοῦτο οὖν ἐπαινεῖν χρὴ τὸν Ἥραν, οὐκ ἐφ' ἡμῖν ἀπολιπόντα τὴν ἔμπλαστρον ἕψειν ὅπως ἂν βουληθῶμεν, ἀλλ' αὐτὸν προσγράψαντα. πρόχειρον γὰρ ἦν ἅμα τῇ λιθαργύρῳ τὸ ψιμύθιον εὐθέως ἀπ' ἀρχῆς ἕψειν, ὡς ἐπὶ τῶν ἄλλων λευκῶν, ἡμεῖς τε τοῦτο ὡς ἐπίπαν εἰώθαμεν ποιεῖν, ἀλλ' αὐτός τε ἐκεῖνος ἐπ' ἄλλων ἔγραψεν. ἀλλ' ἐπί γε ταύτης ὕστερον ἐμβάλλειν αὐτὸ κελεύει μὴ προσγράψας μὲν τὴν αἰτίαν δι' ἣν τοῦτο ποιεῖν ἄμεινον, ἐνδεικνύμενός γε μὴν ὡς οὐχ εἷς τρόπος ἐψήσεως ἐπὶ πάντων ἐστὶν ὁμοίως χρήσιμος, ἀλλ' ἐπ' ἐνίων καὶ δύο καὶ τριῶν ποιήσασθαι δυνατόν ἐστιν, οὐ μόνον ὑπαλλάττοντας τὴν χροιὰν, ἀλλὰ καὶ τὴν δύναμιν τῶν φαρμάκων. ὥσπερ ἐπὶ τῆσδε τῆς νῦν προκειμένης οὐκ ἐβουλήθη τὸ ψιμύθιον ἑψηθῆναι μετὰ τῆς λιθαργύρου, γινώσκων αὐτὸ καὶ τὴν ἀκριβῆ λευκότητα μὴ φυλάττον ἐν τῷ καθέψεσθαι καὶ τὴν στύψιν ἣν ἔχει μετὰ τῆς ψύξεως ἀποτιθέμενον. ἴσως οὖν τις ζητήσει καὶ τί (324) διαφορητικὸν εἶναι

medulla injicitur, poſtquam refrixerit medicamentum, myrrha et thus miſcetur, deinde emollitum ſubactumque manibus uſui eſt. In hoc igitur Heras commendandus eſt, qui non reliquerit nobis quomodocunque lubet emplaſtrum coquendum, ſed ipſe appoſuerit. Proclive enim erat ceruſſam cum argenti ſpuma, ut in albis aliis ſtatim ab initio coquere, et nos id plerumque factitare conſuevimus, imo et ille ipſe in aliis conſcripſit, verum in hoc ipſam ſecundo injicere praecipit, non apponens cauſam cur id agere praeſtiterit, etſi oſtendat non unum coquendi modum in omnibus eſſe ſimiliter utilem, ſed in quibusdam et duos et tres efficere licere, non modo colorem, verum et facultatem immutantes medicamentorum, quemadmodum in hoc nunc propoſito ceruſſam cum argenti ſpuma coquere noluit, ſciens ipſam et exactum candorem ex coctione perdere et aſtrictionem, quam habet cum refrigerandi virtute, deponere. Forſan igitur inquiret aliquis, ecquid quum emplaſtri autor pri-

Ed. Chart. XIII. [663.] Ed. Baf. II. (324.)

βουλόμενος τὸ φάρμακον ὅ συνθεὶς πρῶτον, ὅστις ποτ' ἦν, ὅμως ἐπειράθη διαφυλάξαι τὸ ψιμύθιον ὠμὸν ἐν αὐτῷ; δοκεῖ δέ μοι τούτου χάριν ἐπὶ τὴν τοιαύτην ἐλθεῖν σκευασίαν, ἵν' ἔχῃ τι καὶ τῆς ἀποκρουστικῆς δυνάμεως τὸ φάρμακον. τὰ γὰρ οὐδεμίαν ἔχοντα τοιαύτην οὐκ ἀσφαλῆ τοῖς πληθωρικοῖς σώμασιν. ὅπως οὖν ἁρμόττῃ καὶ τούτοις, εἰκὸς μεμίχθαι τὸ ψιμύθιον ὠμόν. εὔδηλον δ' ὅτι μεγάλας ἐπαγγελίας τὸ προκείμενον ἐπαγγέλλεται φάρμακον, ἐκ τοῦ προσειληφέναι τήν τε σμύρναν καὶ τὸν ἐλάφειον μυελὸν, ὡς τά τε ἄλλα ταῖς κοιναῖς ταύταις ἐμπλάστροις ἔχει τὰ αὐτά. μεμαθήκαμεν δὲ τὴν μὲν σμύρναν ἰσχυρῶς ξηραῖνον εἶναι φάρμακον, ἱκανῶς τε λεπτομερὲς, τὸν δὲ μυελὸν οὐδενὸς ἧττονα τῶν μαλακτικῶν ὀνομαζομένων. εἴρηται δὲ περὶ τῆς δυνάμεως ταύτης, ὥσπερ καὶ τῶν ἄλλων ἁπασῶν τῶν δευτέρων, ἐν τῷ ε'. τῆς περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείας. ἔοικέ γε μὴν οὐ τούτοις μόνοις ὁ συνθεὶς τὸ φάρμακον, ἀλλὰ καὶ τῷ λευκῷ κηρῷ τῷ Ποντικῷ θαῤῥῆσαι, φαρμακώδη δύναμιν ἔχοντι καὶ διὰ τοῦτο πλεῖστον αὐτὸν

mus, quicunque fuerit, digerens id esse vellet, conatus tamen est cerussam erudam in eo praeservare? Mihi sane videtur hujus gratia ad talem venisse confecturam, ut medicamentum repulsoriae quoque virtutis quippiam habeat, etenim ejusmodi nullam habentia, plethoricis corporibus nequaquam tuta sunt. Ut ergo conveniat et his cerussam crudam mixtam esse, verisimile est. Caeterum neminem latet, magna de se propositum medicamentum promittere, inde quod myrrham et cervinam medullam assumserit, sicut et alia quoque eadem cum communibus his emplastris continet. Didicimus autem myrrham valde siccans tenuiumque admodum partium esse medicamentum, medullam rursus nullo inter ea, quae mollientia vocantur, inferiorem. De hac facultate, quemadmodum et de aliis omnibus secundis, in libro v, simplicium medicamentorum dictum est, videtur tamen non iis tantum medicamenti compositor, sed etiam albae cerae Ponticae, quae vim habet medicamentosam, confidere, atque idec plurimum ejus immittere. Caeterum sex-

Ed. Chart. XIII. [663. 664.] Ed. Baſ. II. (324.)

ἐμβάλλειν. ξέστου δὲ νομίζω μεμνῆσθαι τὸν Ἥραν τοῦ Ῥωμαϊκοῦ. παρὰ μὲν γὰρ τοῖς Ἀθηναίοις οὔτε τὸ μέτρον ἦν οὔτε τοὔνομα τοῦτο. νυνὶ δὲ ἀφ᾽ οὗ Ῥωμαῖοι κρατοῦσι, τὸ μὲν ὄνομα τοῦ ξέστου παρὰ πᾶσίν ἐστι τοῖς Ἑλληνικῇ διαλέκτῳ χρωμένοις ἔθνεσιν, αὐτὸ δὲ τὸ μέτρον οὐκ ἴσον τῷ Ῥωμαϊκῷ. χοῶνται γὰρ ἄλλος ἄλλῳ ξεστιαίῳ μέτρῳ. παρὰ γοῦν τοῖς Ῥωμαϊκοῖς ὁ ξέστης ἔχει μίαν λίτραν καὶ ἡμίσειαν καὶ ἕκτον, ὡς εἶναι τὰς πάσας οὐγγίας κ΄. ἃς ὡς τὸ πολὺ τοῖς κέρασι μετροῦσιν, ἐπιτετμημένοις ἔξωθεν γραμμαῖς τισι κυκλοτερέσιν. ἔνιοι δὲ ψευδῶς ὑπειλήφασι τὸν Ῥωμαϊκὸν ξέστην ὀκτωκαίδεκα μετρικὰς ἔχειν οὐγγίας. ἔοικεν οὖν καὶ ὁ Ἥρας ὅταν κοτύλην γράφῃ, τὸ μὲν ἥμισυ τοῦ ξέστου σημαίνειν. ἤτοι δὲ τὰς ϑ΄. δηλοῦσιν οὐγγίας ἐκ τοῦ λιτραίου κέρατος ἢ τὰς δέκα, τοῦτο γὰρ ἄδηλον. [664] εἰ δὲ καὶ πρὸς λυσσοδήκτους ἐπιτήδειόν ἐστι φάρμακον, εἴτ᾽ οὖν καταπινόμενον εἴτ᾽ ἔξωθεν ἐπιτιθέμενον, ἐκ λόγου μὲν οὐχ οἷόν τε γνῶναι. δέδεικται γὰρ ἡμῖν ὅλῃ τῇ τῆς οὐσίας ἰδιότητι τὰ τοιαῦτα φάρμακα τὴν ἐνέργειαν ἔχοντα καὶ διὰ

tarii, hoc eſt xeſti, Romani Heram meminiſſe puto, nam apud Athenienſes neque menſura neque nomen hoc erat, nunc ex quo Romani imperare orbi coeperunt, nomen ſextarii apud omnes, quae Graeca lingua utuntur, nationes exiſtit, ipſa vero menſura Romanae aequalis non eſt, quippe alii aliam ſextarii menſuram uſurpant. Apud Romanos ſextarius libram unam, ſemiſſem et ſextam illius partem pendet, ut omnes ſimul junctae unciae ſint viginti, quas plurimum cornibus metiuntur, inciſis extrinſecus lineis quibusdam orbicularibus. Nonnulli falſo Romanum ſextarium opinati ſunt octodecim menſurales uncias capere. Videtur igitur et Heras, quum heminam ſcribit, ſextarii dimidium indicare, num vero novem uncias ex librali cornu, an decem innuant, etiamnum ignoratur. Item ad rabioſos morſus aptum ne ſit medicamentum ſive bibitum ſive extrinſecus impoſitum, ratione cognoſcere nemini licet. Indicavimus enim tota ſubſtantiae proprietate ejusmodi medicamenta efficaciam habere et ob id experientia judicari. At experiri nunquam

Ed. Chart. XIII. [664.] Ed. Baſ. II. (324.)

τοῦτο τῇ πείρᾳ κρινόμενα. πειραθῆναι δὲ οὐδέποτε ἐτόλμησα τοῦ φαρμάκου τοῦδε, τίνα δύναμιν ἐν τοῖς λυσσοδήκτοις ἐπιδείκνυται, διὰ τὸ βεβαίως θεραπεῦον ἔχειν φάρμακον τὸ διὰ τῶν καρκίνων, ὅταν δὲ τοῦτο μὴ παρῇ, καὶ ἄλλα τινὰ μηδέποτε ἀποτυχόντα. τὸ τοίνυν ἐν οὕτως ἐπικινδύνῳ πάθει καταλιπόντα τὰ βέβαια, πολυπράγμονος ἕνεκα πείρας προδοῦναι τὴν σωτηρίαν τοῦ δεδηγμένου, δεινὸν καὶ ἄδικον ἐφαίνετο μοι. περὶ μὲν δὴ τῶν λυσσοδήκτων ἀρκεῖ καὶ ταῦτα εἰρῆσθαι. τὰ δ' ἄλλα τὰ περὶ τῆσδε τῆς ἐμπλάστρου γεγραμμένα τῷ Ἥρᾳ, καθάπερ ἐπὶ τῆς Ἀτταλικῆς, ἔνια μὲν ἀληθεύεσθαί φημι, τινὰ δὲ ἐπὶ τὸ μεῖζον ἐξαίρεσθαι. κάλλιστον μὲν γάρ ἐστι φάρμακον, ὡς ἐν ἐμπλάστροις, τῶν ὀνομαζομένων ὑπωπίων, ἐναίμων δὲ τραυμάτων κολλητικὸν, οὐκ ἐν τοῖς πρώτοις καὶ ἀρίστοις. ὅλως δὲ περὶ τοῦ γένους τούτου τῶν ἐμπλάστρων εὑρίσκω παμπόλλους τῶν ἰατρῶν οὐ μόνον τῶν νῦν, ἀλλὰ καὶ τῶν γεγραφότων συγγράμματα, μείζονας τῶν ἀληθῶν ἐπαίνους πεποιημένους, ὑπὲρ ὧν ἐν τῷ μετὰ ταῦτα λόγῳ ῥηθήσεται. νῦν δὲ ἐπὶ τὴν προκειμέ-

ausus ſum hoc medicamentum, quam vim in rabidorum morſibus oſtenderet, quod certo ſanans haberem medicamentum ex cancris confectum, quum autem hoc non adeſt, alia quoque nonnulla, quae nunquam proſpero ſucceſſu nos fruſtrantur. Quare in tam periculoſo affectu certis medicamentis relictis curioſae experientiae cauſa morſi ſalutem prodere grave et iniquum mihi videbatur. Jam quidem de rabioſis morſibus haec quoque dicta ſufficiunt. Reliqua vero, quae Heras de hoc emplaſtro retulit, ut in Attalico, partim ſane vera praedicari, partim impendio magis ab eo extolli, dixerim. Optimum enim eſt medicamentum, ut inter emplaſtra, quae ſugillatis dictis admoventur, inter ea vero, quae cruenta vulnera glutinant, non in primis et optimis eſt. Summatim permultos invenio non modo hujus tempeſtatis medicos, ſed etiam veteres, qui libros poſteritati reliquerunt, hoc genus emplaſtra ſupra veri fidem extuliſſe, de quibus ſequenti volumine agetur. In praeſentia ad inſtitutum re-

Ed. Chart. XIII. [664.] Ed. Baſ. II. (324.)

νην ἐλθόντες, αὖθις ἐπισκεψόμεθα περὶ τῶν εἰρημένων τῷ Ἥρᾳ. φησὶ γὰρ αὐτὴν ἰᾶσθαι φύματα, μηδένα προσθεὶς διορισμὸν ὧν ἐγὼ περὶ τῆς φοινικίνης ἔγραψα. τινὰ μὲν γὰρ πάνυ θερμὰ τῶν φυμάτων ἐστὶ καὶ σφοδρῶς ἐξορμῶντα, τινὰ δὲ καὶ ψυχρὰ καὶ ξηρά. πάμπολλα δ' ἄλλα μεταξὺ τούτων, ἔνια μὲν ἀκριβῶς μέσα τῶν εἰρημένων, ἔνια δὲ ὀλίγον ἀφιστάμενα τῆς μεσότητος ἑκατέρωσε καί τινα πλέον ὡσαύτως ἐφ' ἑκάτερα, καί τινα τῶν ἄκρων ἐγγὺς ἢ μεταξύ πως ἐξ ἴσου τῶν τε μέσων καὶ τῶν ἄκρων, ἐφ' ὧν ἁπάντων ἀδύνατόν ἐστι τὴν ἔμπλαστρον ταύτην ἐφαρμόττειν, εἰ μὴ ἄρα βούλοιτο τήκειν αὐτὴν ὑγροῖς τισιν, ὡς γίγνεσθαι τρόπους πολλοὺς τῆς χρήσεως, οὓς ἐχρῆν αὐτὸν εἰρηκέναι, καθάπερ ἐπ' ἄλλων ἐποίησε. διὸ καὶ δίκαιον εἶναί φημι τοῦτον μὲν ἐπαινεῖν ἐφ' οἷς οὕτως ἔγραψε, μέμφεσθαι δὲ Ἀνδρομάχῳ. περὶ δὲ τοῦ τὴν ἔμπλαστρον ταύτην ἐπ' ἀνθρωποδήκτων καὶ κυνοδήκτων ἁρμόττειν, τοὺς αὐτοὺς νόμιζε παρ' ἐμοῦ λόγους ἀκούειν, οὓς καὶ περὶ τῆς Ἀτταλικῆς εἶπον. ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων, ὅσα μαρτυρεῖ τῷ

verſi iterum Herae dicta examinabimus. Ait enim phymatis medicamentum illud mederi, nulla diſtinctione eorum appoſita, quae ego de phoenicino protuli. Quaedam ſiquidem calida ſunt phymata et cum vehementia quadam exiliunt, quaedam frigida ſiccaque ſunt, permulta alia inter haec conſiſtunt, alia quidem exacte media illorum, quae diximus, alia a medio in utramque partem paulum inclinant, aliqua plus idem faciunt, nonnulla ſummis vicina vel a mediis quodammodo et ſummis pari ſpatio abſunt. Quibus univerſis emplaſtrum hoc convenire non poteſt, niſi cum mollibus quibusdam id velit liqueſacere, ut multi modi fiant, quibus eo utamur, quos explicaſſe ipſum, ſicut in aliis factitavit, oportebat. Proinde par eſſe puto, ut hunc laudemus ob ea quae tradidit, Andromachum accuſemus. Caeterum de eo, quod emplaſtrum iſtud hominum canumque morſibus conferat, easdem puta a me rationes audire, quas et de Attalico pronunciavi, ſimiliter etiam de aliis, quae medicamen-

Ed. Chart. XIII. [664.] Ed. Baſ. II. (324.)

φαρμάκῳ, καθάπερ ἐπ' ἐκείνης οὕτω καὶ ἐπὶ ταύτης λέγων καλὸν εἶναι τὸ φάρμακον, ἀλλὰ πολὺ λείπεσθαι τῶν εἰς ἕκαστον ἐκείνων ἄριστα ποιούντων, ὡς χρήσασθαί τινα αὐτῷ θαῤῥοῦντως μηδενὸς τῶν ἀρίστων παρόντος. οὐ σμικρὸν δὲ οὐδὲ τοῦτ' ἔστιν ἐν τοῖς φαρμάκοις, ὥσπερ κἀν τοῖς διαιτήμασι καὶ πᾶσι τοῖς κατὰ τὴν τέχνην, οὗ κατεφρόνουν μὲν ἐγὼ τὸ πρῶτον, ὡς μηδ' ἄξιον Ἱπποκράτει εἶναι νομίζειν παραινοῦντι ἡμῖν οὕτω πάντα τὰ κατὰ τέχνην πράττειν, ὡς ὠφελεῖν ἢ μὴ βλάπτειν. ὕστερον δ' ἔγνων αὐτὸ μεγίστην δύναμιν ἔχον, ὡς ἑώρων ἐνίους τῶν ἰατρῶν, οἷς κατώρθωσαν ἔμπροσθεν φαρμάκοις, ὡς θαυμασθῆναι, τούτοις ὕστερον ἐπ' ἄλλων ἀποτυχόντας, ὡς καταγελασθῆναι. καὶ διὰ τοῦτ' ἐπειράθην ἀεὶ τοιούτοις χρῆσθαι βοηθήμασιν, ἐφ' οἷς ἡ μὲν τῆς ὠφελείας ἐλπὶς ἐνίοτε ἀμφιβολίαν ἐχει, τὸ δὲ μηδεμίαν ἀπαντῆσαι βλάβην ἀκριβῆ γνῶσιν. ἅπερ οὖν ἐπήνεσε τῆς Ἀτταλικῆς ἐμπλάστρου καὶ ταύτης ὁ Ἥρας, ἔστι μέν, ὡς ἔφην, οὐ μεγάλα. οὐ παρόντων δὲ τῶν μεγάλως αὐτὰ

tum commendant, quemadmodum illud, ita hoc quoque bonum eſſe medicamentum dicens, ſed multum ab iis, quae optime ad unumquodque illorum faciunt, inferius eſſe, ut quis eo confidenter utatur, ubi optima deſint omnia. Hoc autem non parvum eſt in medicamentis, quemadmodum nec in victus ration et omnibus quae circa artem verſantur. Ego contempſi quidem id primum, ut neque dignum eſſe judicarem Hippocrate, qui adhortatur nos, ita omnia artis opera perficere, ut juvent vel non offendant. Poſtea vero cognovi magnam vim habere, quum ſcilicet viderem nonnullos medicos in medicamentis ſe primum recte geſſiſſe, ut in admirationem ſui alios perducerent, eosdem poſtea in aliis proſpero eventu fruſtratos, ut riſui eſſent. Ideoque ſemper conatus ſum ejusmodi uti praeſidiis, quae an proſutura eſſent, nonnunquam ſane dubitabam, quod autem nihil afferrent incommodi, certo ſciebam. Quae igitur in Attalico emplaſtro, atque hoc laudavit Heras, non quidem, ut dixi, magna ſunt, ſed ubi deſiderantur, quae id magnifice

Ed. Chart. XIII. [664, 665.] Ed. Baſ. II. (324.)

δρώντων, οὐκ ἄν τις τούτοις χρώμενος ἐργάσεται βλάβην σαφῆ, κἂν μηδὲν ὠφελήσῃ. χρῆσθαι μέντοι τις τῷ φαρμάκῳ τούτῳ βουλόμενος ἐπὶ φυμάτων, [665] ἐξ ὧν εἶπον ἐπὶ τῆς φοινικίνης, αὐτὸς ἐξευρήσει τήκων ἄλλοτε ἄλλως αὐτήν. εἰρήσεται δὲ ἐπὶ πλέον ἐν τοῖς ἑξῆς καὶ τῶν φυμάτων ἐπιμέλεια πᾶσα, δι' ἧς. ἐλπίζω τὴν μέθοδον ὑμᾶς ἕξειν ἀκριβῆ τε καὶ τελείαν τῶν δυναμένων φαρμάκων ὠφελεῖν φύματα. καλείσθω δὲ ὑμῖν ἡ ἔμπλαστρος αὕτη λευκὴ πρὸς λυσσοδήκτους, ὥσπερ ἡ διὰ τοῦ λευκοῦ πεπέρεως Ἀτταλική. γράφει δ' ἐφεξῆς τῇδε καὶ ἄλλην ἔμπλαστρον ὁ Ἥρας κατὰ τήνδε τὴν λέξιν. λευκὴ ἡ Ἀριοβαρζάνειος, ᾗ Ξενοκράτης τὸ περὶ τὸν ταρσὸν ἀπόστημα διεφόρησεν ἤδη μεταβεβληκός. εἶτα τήν τε συμμετρίαν τῶν ἐμβαλλομένων εἰς αὐτὴν εἰπὼν καὶ μετὰ ταῦτα τὴν ἕψησιν, ἐπὶ τέλει προσέγραψε κατὰ λέξιν οὕτως. ποιεῖ μάλιστα πρὸς τὰ κακοήθη καὶ νεμόμενα καὶ δυσαλθῆ, καθόλου τε πρὸς πᾶν ἕλκος. αὐτὴν δὲ τὴν συμμετρίαν τῶν συντιθέντων τὸ φάρμακον οὐκ οἶδ' ὅπως ἐκ τρίτου μέρους ἔγραψε, τῆς ὁλοκλήρως ὑπ' ἄλλων γεγραμ-

efficiant, nemo his utens manifeſtam laeſionem inferet, etſi nihil juverit. Atqui ſi quis hoc medicamento uti volet in phymatis, ab illis, quae in phoenicino docui, ipſe intelliget, alias aliter ipſum liqueſaciens. Tractabitur autem uberius deinceps et phymatum tota curatio, unde ſpero vos methodum exactam perfectamque medicamentorum, quae illa juvare poſſunt, habituros. Vocetur autem vobis emplaſtrum hoc. Album ad rabioſos morſus, ſicut illud, quod ex albo conſtat pipere, Attalicum. Subjungit mox et aliud emplaſtrum Heras in hanc ſententiam. *Album Ariobarzanion, quo Xenocrates abſceſſum jam inalteratum circa tarſum diſcuſſit.* Deinde eorum, quae ipſi immittuntur, ſymmetriam et poſtea coquendi modum praefatus, ad calcem haec verba apponit. *Maxime facit ad cacoëthe paſcentia contumacia, univerſaliter ad omne ulcus.* Porro cur eorum, quibus conſtat medicamentum, ſymmetriae tertiam partem recitaverit, compertum non habeo, quum alii integram hoc mo-

Ed. Chart. XIII. [665.] Ed. Baſ. II. (324. 325.)

μένης κατὰ τόνδε τὸν τρόπον. ♃ λιθαργύρου ≺ σ'. κηροῦ ≺ ν'. παλαιοῦ ἐλαίου κο. γ'. ψιμυθίου ≺ π'. τερμινθίνης ≺ λβ'. κηρύκων κεκαυμένων ≺ ι'. λιβανωτοῦ ≺ ιθ'. ὕδατος κυ. ιβ'. ταῦτα πάντα τὰ νῦν ὑπ' ἐμοῦ λελεγμένα φάρμακα κατὰ τὸ τρίτον μέρος ἔγραψεν ὁ Ἥρας. ♃ λιθαργύρου ≺ ξστ'. ὀβολοὺς δ'. κηροῦ ≺ ιστ'. ὀβολοὺς δ'. ἐλαίου δὲ παλαιοῦ κοτύλην α'. καὶ ψιμυθίου μὲν (325) ≺ κστ'. καὶ τετρώβολον· τῆς δὲ τερμινθίνης ῥητίνης ≺ ι'. καὶ τετρώβολον, κηρύκων κεκαυμένων ≺ γ'. καὶ διώβολον καὶ λιβανωτοῦ ≺ στ'. καὶ διώβολον, ὕδατος κυάθους δ'. εἶτ' ἐφεξῆς τὴν ἕψησιν οὕτωσὶ γράφει. τὴν λιθάργυρον καὶ τὸ ψιμύθιον σὺν τῷ ὕδατι καὶ τῷ ἐλαίῳ τρῖβε, εἶτα ἕψε ἐν καινῇ χύτρᾳ ἐπὶ μαλακοῦ πυρὸς, κινῶν σιδηρᾷ σπάθῃ ἐπιμελῶς, ἵνα μὴ καυθήσῃ. ὅταν δὲ ἡμίεφθος ᾖ, ἐπέμβαλλε κηρὸν, τακέντος δὲ ῥητίνην καὶ λιβανωτὸν, καὶ ἕψε ἕως ἀμόλυντον γένηται ποσῶς, εἶθ' ὅταν δοκῇ ἐγγὺς εἶναι τοῦ καλῶς ἔχειν, ἐπεμβαλὼν τοὺς κήρυκας, συνέψησον τὸν λοιπὸν χρόνον. ὅταν δὲ τελέως συστραφῇ, κατέρασον εἰς θυείαν, ὕδατος ὀλί-

do tradiderint, ♃ argenti ſpumae drach. cc. cerae drachmas quinquaginta, olei veteris heminas iij, ceruſſae drach. lxxx, terebinthinae drach. triginta duas, cineris buccinorum drach. x, thuris drach. xix et aquae cyathos duodecim. Haec omnia a me prolata medicamenta Heras ad tertiam partem imminuit, ſic, ♃ argenti ſpumae drach. ſexaginta ſex obolos quatuor, cerae drach. xvj obolos iv, olei veteris hemiuam, ceruſſae drach. xxvj obolos quatuor, terebinthinae reſinae drach. decem, obol. quatuor, cineris buccinorum drach. iij. obolos ij, thuris drach. vj obolos duos, aquae cyathos quatuor. Poſtea coctionem ita ſubdit, argenti ſpumam et ceruſſam cum aqua et oleo terito, deinde recenti olla igne non acri coquito, ferrea ſpatha ſedulo movens, ne adurantur. Ubi ſemicocta fuerint, ceram immittito, hac liquefacta reſinam et thus, ac tam diu coquito, dum aliquatenus non inquinet. Poſtquam bene habere propemodum videtur, buccinos injectos reliquo tempore concoquito. Quum perfecte coierint, in mortarium demittito, aqua exigua prius

Ed. Chart. XIII. [665.] Ed. Baſ. II. (325.)

γου προϋποκειμένου καὶ μαλάξας χρῶ. τοῦτο τὸ φάρμακον εἰς τὸ διαφορεῖν ἀδήκτως παρεσκεύασται, τό τε ψιμύθιον ὀλίγον ἔχον, ὡς πρὸς τὴν ἀναλογίαν τῆς λιθαργύρου καὶ μετὰ ταύτης ἀπ' ἀρχῆς ἑψόμενον ἰσχυρῶς τε ξηραῖνον φάρμακον διὰ τοὺς κεκαυμένους κήρυκας. ἡ δ' αὐτη πώς ἐστι δύναμις καὶ ταῖς πορφύραις καὶ τοῖς ὀστρέοις κεκαυμένοις. εὔδηλον δ' ὅτι χωρὶς τῶν σαρκῶν καίεται τὰ τῶν ζώων τούτων ὄστρακα. καὶ Ἥρας μὲν ἓν ἔγραψε βιβλίον τῶν δυνάμεων. Ἀσκληπιάδης δὲ ὁ ἐπικληθεὶς φαρμακίων δέκα χωρὶς τῶν θηριακῶν καὶ γυναικείων προσθεὶς καὶ αὐτὸς ἑκάστου φαρμάκου τὴν ἐπαγγελίαν, ἐπὶ πολλῶν δὲ καὶ τὴν ἔψησιν, ἐπ' ἐνίων δὲ καὶ τὸν τρόπον τῆς χρήσεως. ὁ δὲ Ἀνδρόμαχος πολλὰς ἤθροισε δυνάμεις καὶ σχεδὸν οὐκ ἐλάττους τῶν ἐν τοῖς δέκα τοῦ φαρμακίωνος Ἀσκληπιάδου. τρισὶ δ' αὐτὰς περιέλαβε βίβλοις· ἐνὶ μὲν ἐν ᾧ τὰ ἔξωθεν ἐπιτιθέμενα φάρμακα γράφει, δευτέρῳ δὲ ἐν ᾧ τὰ εἴσω τοῦ σώματος λαμβανόμενα, καὶ τρίτῳ τῷ κατὰ τοὺς ὀφθαλμούς. μέμψαιτο δ' ἄν τις, ὡς ἔφην, αὐτῷ μήτε τὰς σκευασίας προσγρά-

ſubjecta et ſubacto utitor. Hoc medicamentum ut ſine morſu diſcutiat praeparatum eſt, quod et ceruſſae parum ad argenti ſpumae portionem habeat et cum hac ab initio coctum ſit valideque exiccet ob buccinorum cinerem additum. Non diſſimilis quodammodo facultas eſt et purpuris et oſtreis concrematis, notum eſt autem ſine carnibus horum animalium teſtas concremari. Ac Heras quidem unum de facultatibus librum conſcripſit: Aſclepiades cognomento pharmacion, decem praeter theriacas et gynaecea, apponens et ipſe cujusque medicamenti titulum, in multis etiam coctionis, in quibusdam utendi modum. Porro Andromachus multas vires collegit et fere non pauciores iis, quae in decem libris pharmacionis Aſclepiadis habentur, tribus ipſas libris comprehendens. Primo medicamenta docet, quae extrinſecus imponuntur, altero quae intro aſſumuntur, et tertio quae oculis adhibentur. Reprehendere autem ipſum

Ed. Chart. XIII. [665. 666.] Ed. Baſ. II. (325.)

φοντι μήτε τοὺς τρόπους τῶν χρήσεων μήτε τὰς δυνάμεις μήτε τὰς ἐπαγγελίας.

Κεφ. ιζ'. [*Αἱ ὑπ' Ἀσκληπιάδου γεγραμμέναι λευκαί.*] *Ἐπὶ τὸν Ἀσκληπιάδην οὖν ἤδη μεταβὰς παραθήσομαι τὰς ὑπ' αὐτοῦ γραφείσας ἐμπλάστρους λευκὰς ἐπὶ* [666] *τῷ τέλει τοῦ τρίτου βιβλίου τῶν ἐκτός. ἐπιγράφει δ' αὐτὸς αὐτὰ πρώτην Μαρκέλλαν καὶ δευτέραν καὶ τρίτην καὶ τετάρτην καὶ πέμπτην, ὥσπερ τὰ ἄλλα τῶν ἐντὸς πέντε, πρῶτον Μάσωνα καὶ δεύτερον καὶ τρίτον καὶ τέταρτον καὶ πέμπτον. ἐν δὲ τῇ τρίτῃ Μαρκέλλῃ κατὰ τὸ τέλος ἔγραψε λευκὰς ἐμπλάστρους, μίαν μὲν ἧς τὴν ἐπαγγελίαν φησὶν εἶναι πρὸ τὰ πυρίκαυτα καὶ ἀποσύρματα καὶ χρῶτας ἀπαλοὺς, ἣν ἄκεσιν ὀνομάζεσθαί φησιν. ἔψειν δὲ ὁμοῦ τὰ τέτταρά φησι, λιθάργυρον, ψιμύθιον, ἔλαιον, ὕδωρ, ἴσα πάντα καὶ δῆλον ὅτι ψαθυρὸν καὶ ἀλιπὲς γίνεται τὸ φάρμακον τοῦτο, ὡς μηδὲ προσμεῖναι τῷ χρωτὶ δύνασθαι χωρὶς ἐπιδέσεως. εἰ μὴ γὰρ, ὡς προέφην ἔμπροσθεν, ἐπὶ πλέον ἑψηθείη τὰ μεταλλικὰ, τοιαύτην ἀναγκαῖόν ἐστι γίγνεσθαι τὴν ἔμπλαστρον.*

jure poſſis, ut admonui, quod nec confecturas nec uſus rationem nec vires nec quid promittant adjecerit.

Cap. XVII. [*Quae Aſclepiades alba ſcripſerit.*] Ad Aſclepiadem igitur jam transgreſſus producam in medium, quae ipſe alba emplaſtra ad finem tertii libri Externorum tradidit. Nam inſcribit eorum primam Marcellam, ſecundam, tertiam, quartam, quintam, veluti alios interiorum quinque primum Maſonem, ſecundum, tertium, quartum et quintum. Verum in tertia Marcella ad calcem alba emplaſtra adſcripſit, prioris titulum eſſe ait, ad ambuſta et abraſa et cutem teneram, quod emplaſtrum Acceſin, id eſt, medelam, nominari dicit. Omnia vero ſimul quatuor, argenti ſpumam, ceruſſam, oleum, aquam pari pondere incoqui oportere commemorat. Conſtatque hoc medicamentum fragile et alipes effici, hoc eſt pinguis expers, ut cuti ſine deligatura adhaerere non poſſit, niſi enim ut praefatus ſum ante, metallica plenius cocta fuerint, tale fieri emplaſtrum

Ed. Chart. XIII. [666.] Ed. Baſ. II. (325.)

ἐπὶ πλέον δ' ἔψεται, πλέονα μοῖραν ἐν τῇ μίξει τῶν ὑγρῶν ἔχοντα. ἑτέραν δ' ἐφεξῆς τῇδε λευκὴν ἔμπλαστρον ἔγραψεν ὁ Ἀσκληπιάδης, τὴν αὐτὴν μὲν ἐπαγγελίαν ἔχουσαν, οὐ τὴν αὐτὴν δὲ σύνθεσιν. οὔτε γὰρ ἴσον ἐμβάλλει σταθμὸν τῶν μεταλλικῶν, ἀλλὰ τὸ ψιμύθιον ἡμιώλιον τοῦ λιθαργύρου καὶ προσεμβάλλει στέατος μοσχείου, τὴν ὅλην συμμετρίαν ποιήσας τήνδε. ℔ ψιμυθίου ≺ ρκ'. λιθαργύρου ≺ π'. στέατος μοσχείου ≺ λ'. κηροῦ ≺ κε'. ἐλαίου κοτύλας β'. τοῦτο τὸ φάρμακον ὀλίγον ἔχει ἔλαιον, ὡς πρὸς τὴν τῶν μεταλλικῶν ἀναλογίαν, ἐάν τις ὑπόθηται τὴν κοτύλην ἔχειν οὐγγίας θ'. Ῥωμαϊκὰς τὰς καταγεγραμμένας ἐν τοῖς συνήθεσι κέρασι λιτραίοις. ἐπεὶ δὲ πεπλεόνασται τὸ ψιμύθιον ἐν αὐτῷ καὶ διὰ τοῦτο στυπτικώτερον ἐγίνετο τοῦ προγεγραμμένου, τὸ στέαρ ἔμιξεν ὁ συνθεὶς αὐτό. γινώσκων δὲ τὸ τῶν βοῶν στέαρ θερμότερόν τε καὶ διαφορητικώτερον ὑπάρχειν τοῦ τῶν ὑῶν, ἐφυλάξατο τελείου βοὸς ἐμβάλλειν στέαρ. ἐν ἅπαντι γάρ τοι γένει ζώου τὰ νέα τῶν τελείων ὑγρότερόν τε καὶ ἧττον θερμὸν ἔχει τὸ στέαρ. εἴη ἂν οὖν καὶ ἥδε ἡ σύνθεσις περι-

neceſſe eſt. Coquuntur largius dum majorem liquidorum menſuram in mixtura continent. Huic aliud emplaſtrum Aſclepiades ſubdit, ejusdem quidem tituli, ſed non ejusdem conſecturae, neque enim aequale metallicorum pondus immittit, verum ceruſſam argenti ſpumae ſeſquiplam, quin et ſevum vitulinum adjicit, totam ſymmetriam ſic faciens, ℔ ceruſſae drach. cxx, argenti ſpumae drach. lxxx, adipis vitulini drach. xxx, cerae drach. xxv, olei heminas duas. Hoc medicamentum olei parum habet, ceu ad metallicorum proportionem, ſi quis heminam ſtatuat valere unciis novem Romanis, quae in cornibus conſuetis libralibus deſcriptae ſunt. Quoniam vero ceruſſa in ipſo ſuperat, eoque magis aſtringens magisque refrigerans quam ſuperius reddebatur, adipem autor admiſcuit. Sciens autem bubulum adipem calidiorem eſſe ſuillo et vehementius digerere, cavit perfecti bovis ſevum indere, quippe in omni animantium genere juvenilia perfectis humidiorem minusque calidum adipem habent. Erit igitur et haec compoſitio difficilior qui-

Ed. Chart. XIII. [666.] Ed. Baſ. II. (325.)

ἐργοτέρα μὲν τῆς ἁπλῆς λευκῆς ἐμπλάστρου τῆς προγεγραμμένης ὑπ' αὐτοῦ, πλέον οὐδὲν εἰς ὠφέλειαν ἔχουσα. τρίτην δὲ ἄλλην λευκὴν ἔγραψεν ἐπουλωτικὴν, ἐκ ψιμυθίου μὲν ἴσου τῇ λιθαργύρῳ, κηροῦ δὲ τετάρτου μέρους, ἢ κατὰ ταῦτα καὶ τῆς τερμινθίνης αὖ πάλιν ἓξ ἡμίσεος μέρους τοῦ κηροῦ. τὸ δ' ἔλαιον ὀλίγου δεῖν ἴσον ἐμβέβληται τοῖς μεταλλικοῖς ἀμφοτέροις ὁμοῦ καὶ τούτῳ πάλιν αὐτῷ τὸ ὕδωρ ἴσον. ἐβουλήθη γὰρ ὁ συνθεὶς τὸ φάρμακον τοῦ μὲν ψιμυθίου καὶ τῆς λιθαργύρου βάλλεσθαι ≺ ρ'. ἑκατέρου, τοῦ κηροῦ δὲ ≺ κέ. καὶ τῆς τερμινθίνης ιβ'. τοῦ δὲ ἐλαίου καὶ τοῦ ὕδατος ἀνὰ δύο κοτύλας. τῆς οὖν Ἀιταλικῆς ἀναμνησθέντες ἐμπλάστρου, τὰ μεταλλικὰ μὲν ὡσαύτως ἐχούσης τῇδε, καθάπερ καὶ τὸ ἔλαιον ἅμα τῷ ὕδατι. τὸν δὲ κηρὸν διπλάσιον τοῦ κατὰ τήνδε καὶ τὴν τερμινθίνην ὡσαύτως· εἴσεσθε σαφῶς ἥντινα διαφορὰν ἔχει πρὸς ἄλληλα τὰ φάρμακα. προσέκειτο γὰρ ἐκείνοις καὶ λιβανωτὸς καὶ στυπτηρία καὶ πέπερι. καὶ μέντοι καὶ μέμνηται τῆς Ἀτταλικῆς ἐκείνης ἐμπλάστρου καὶ ὁ Ἀσκληπιάδης, οὐκ ὀνομάζων αὐτὴν Ἀτταλικὴν, ἀλλ' οὐδὲ τὸ πέπερι βάλλων. τὰ δ' ἄλλα πάνθ'

dem, ac ſimplicis albi emplaſtri, quod ante ſcripſit, ſed nihilo utilior. Ab his tertium aliud profert cicatricem ducens album, ex pari cum argenti ſpuma pondere, cerae quarta illorum parte et terebinthinae rurſus dimidio minore, quam in cera, oleum et aqua fere aequa portione metallicis menſuris utriusque ſimul indita ſunt. Voluit enim medicamenti autor ceruſſae et argenti ſpumae, ſingulorum drach. c. miſcere, cerae drach. viginti quinque, terebinthinae drach. xij, olei et aquae cujusque heminas duas. Itaque Attalici memores emplaſtri, quod metallica perinde ac iſtud continet, ſicut etiam oleum ſimul cum aqua, ceram dupla portione ad eam, quae in hoc medicamento additur, terebinthinum ſimiliter, ſcietis manifeſto quonam diſcrimine medicamenta inter ſe variant, adjectum namque eſt illis et thus et alumen ac piper. Quin etiam Aſclepiades Attalici illius emplaſtri commeminit, non vocans id Attalicum, imo nec piper admiſcens. Alia vero omnia pariter ita ſcripſit ad

Ed. Chart. XIII. [666. 667.] Ed. Baſ. II. (325.)

ὡσαύτως ἔγραψε κατὰ λέξιν οὕτως. λευκὴ Μνασαίου λεγομένη, ποιεῖ καὶ πρὸς τὰ χρόνια καὶ δυσαλθῆ. ℔ λιθαργύρου, ψιμυθίου ἀνὰ ≺ ρ΄. κηροῦ ≺ η΄. τερμινθίνης, λιβάνου ἀνὰ ≺ κε΄. στυπτηρίας σχιστῆς ≺ ιβ΄. ἐλαίου κοτύλας β΄. μὴ νομίσητε δὲ διαφέρειν, ἐὰν εὕρητέ που ≺ ρ΄. ἀντὶ μιᾶς λίτρας γεγραμμένας, ἀλλ' ἐκεῖνο σκοπεῖτε, πότερον ὁ γράψας τὰς ≺ ρ΄. τὸ ἥμισυ τοῦ κηροῦ μίγνυσιν αὐταῖς, εἶτ' ἐκείνου τὸ ἥμισυ τῆς τερμινθίνης, ὡς εἶναι τοῦ μὲν κηροῦ ν΄. τῆς δὲ θερμινθίνης ≺ κε΄. ἤ τινα ἑτέραν ποιεῖται συμμε-

[667]τρίαν. εἰ μὲν γὰρ τὴν εἰρημένην, οὐδὲν διοίσει τοῦ λέγοντος λίτραν καὶ ἡμίλιτρον καὶ τρεῖς οὐγγίας. ἡ μὲν γὰρ λίτρα ≺ στ΄. ἔχει πρὸς ταῖς ἐνενήκοντα, τὸ δὲ ἡμίλιτρον ὀκτὼ καὶ μ΄. δηλονότι, καθάπερ καὶ τούτου πάλιν τὸ ἥμισυ, τέτταρας καὶ κ΄. ὥσθ' ἡ αὐτὴ ἀναλογία σώζεται, μηδὲν μέγα διαφέροντος εἴτε ταῖς ≺ ρ΄. τῶν μεταλλικῶν εἴτε ταῖς ἐνενήκοντα ἐξ αἱ δύο κοτύλαι τοῦ ἐλαίου μιγνύοιντο. κατὰ τοῦτο μὲν οὖν οὐ διοίσει τὰ φάρμακα λίτρας ὀνομαζομένης ἢ ≺ ρ΄. ἐκείνῃ δὲ διενήνοχε τὸ ὑπὸ τοῦ Ἀσκλη-

verbum. *Album, quod ad Mnaeſaeum refertur, facit et ad diuturna ac difficilia.* ℔ argenti ſpumae, ceruſſae, cujusque drach. c, cerae drach. quinquaginta, terebinthinae, thuris, ſingulorum drach. xxv, aluminis ſciſſi drach. xij, olei heminas duas. Porro ne putetis differre, ſi drach. centum alicubi inveniatis loco unius librae ſcriptas, ſed illud potius conſiderate, utrum qui ſcripſit drachmas centum, dimidium cerae ipſis miſceat ſive hujus dimidium terebinthinae, ut ſint cerae quidem drach. quinquaginta, terebinthinae viginti quinque, an aliam quandam ſymmetriam faciat. Si namque praedictam, nihil referet dicere libram et ſelibram et tres uncias, ſiquidem libra denarios ſex habet ad nonaginta, ſelibra octo et quadraginta, et ſic et hujus rurſus dimidium quatuor et viginti. Quapropter eadem proportio ſervatur, nulla inſigni differentia ſive centum drachmis metallicorum ſive nonaginta ſex heminae duae olei miſceantur. In hoc itaque non variabunt aut different medicamenta ſive libra nominetur ſive drachmae centum.

Ed. Chart. XIII. [667.] Ed. Baſ. II. (325. 326.)

πιάδου γεγραμμένον φάρμακον τῆς Ἀτταλικῆς ἐμπλάστρου, τῷ τὴν Ἀτταλικὴν ἓξ μὲν δραχμὰς τῆς σχιστῆς στυπτηρίας, τρεῖς δὲ τοῦ λευκοῦ πεπέρεως, τὴν δ' ὑπὸ τοῦ Ἀσκληπιάδου γεγραμμένην τὸ μὲν λευκὸν οὐκ ἔχειν πέπερι, διπλάσιον δὲ τὸν σταθμὸν τῆς σχιστῆς στυπτηρίας. εὔδηλον δ' ὅτι στυπτικώτερον μέν πως καὶ διὰ τοῦτο ἐπουλωτικώτερον ἔσται τὸ τοῦ Ἀσκληπιάδου φάρμακον, διαφορητικώτερον τὸ Ἀτταλικόν, ὥσθ' ὅπερ ἔφην καὶ πρόσθεν οἱ ζητοῦντες, ὁπότερον αὐτῶν ἐστι βέλτιον, οὐκ ἴσασι χρῆσθαι φαρμάκοις. εἰς μὲν γὰρ τὴν ἐπούλωσιν, τὸ τοῦ Ἀσκληπιάδου βέλτιόν ἐστιν, εἰς δὲ τὴν διαφόρησιν (326) τὸ Ἀτταλικόν. ἑνὶ δὲ λόγῳ μεμνῆσθαι χρὴ τοῦ ὑφ' Ἱπποκράτους γεγραμμένου κατὰ τὸ περὶ τροφῆς, ὡς ἐν τῷ πρὸς τὶ τό τε φαῦλον καὶ τὸ οὐ φαῦλον λέγεται καὶ δηλονότι τὸ βλαβερόν τε καὶ ὠφέλιμον. ἑτέρῳ γὰρ λόγῳ φαίης ἂν εἶναι τῆσδε τῆς ἐμπλάστρου τὴν Ἀτταλικὴν βελτίονα, τῷ πολυχρηστοτέραν ἐκείνην ὑπάρχειν, ἀμέλει καὶ αὐτὸς Ἀσκληπιάδης, ἐφεξῆς τῇδε τῇ νῦν εἰρημένῃ γράφων αὐτὴν ἐκείνην τὴν διὰ τοῦ λευκοῦ πεπέρεως, οὐκ ὀνομάζει Ἀτταλικὴν, ἀλλὰ Παμφίλειον, ἀγνοῶν, ὡς

Illa vero Alclepiadis ſcriptum medicamentum ab Attalico emplaſtro disjunxit, quod Attalicum ſex quidem drachmas aluminis ſciſſi, piperis vero albi tres habeat, Aſclepiadis album piper non habeat, ſed duplum pondus ſciſſi aluminis. Porro validius aſtringere quodammodo, ideoque promptius cicatricem ducere Aſclepiadis medicamentum, Attali magis digerere, omnes norunt. Unde quod dixi et prius, qui rogant, utrum ipſorum praeſtet, medicamentis uti neſciunt. Etenim ad cicatricem ducendam Aſclepiadis, ad digerendum Attalicum eſt melius. In univerſum meminiſſe oportet quod apud Hippocratem ſcriptum eſt in libro de alimento, *pravum videlicet et non pravum, noxium et utile, relatione ad aliquid dici.* Alia enim ratione pronunciaveris, Attalicum hoc emplaſtro eſſe praeſtantius, alia ad multa utilius illud eſſe. Denique et Asclepiades ipſe poſt hoc modo recitatum, ſcribens illud ipſum, quod ex pipere fit, non vocat Attalicum, ſed Pam-

Ed. Chart. XIII. [667.] Ed. Baſ. II. (326.)

οἶμαι, τὸν πρῶτον αὐτὴν εὑρόντα, προσθεὶς δὲ τοὔνομα τοῦ χρωμένου τε καὶ δόντος αὐτῷ. τὴν δ' οὖν ἐπαγγελίαν αὐτῆς κατὰ λέξιν οὕτως ἔγραψεν. ἄλλη, *Παμφίλειον* λεγομένη, φάρμακον ἐπιτετευγμένον. ποιεῖ πρὸς τὰ παλαιὰ καὶ δυσαλθῆ, ἄνθρακας, ἐπινυκτίδας, ἀχῶρας, ψωρώδεις διαθέσεις, κόλπους παρακολλᾷ, ποιεῖ πρὸς ἀποστήματα, κονδυλώματα καὶ σχεδὸν πολυχρηστότερόν ἐστι τὸ φάρμακον. συγκεῖσθαι δ' αὐτό φησιν ἐκ ψιμυθίου μὲν καὶ λιθαργύρου καὶ κηροῦ καὶ τερμινθίνης καὶ τῶν δύο κοτυλῶν τοῦ ἐλαίου κατὰ τὰ αὐτὰ τῷ Ἥρᾳ, καὶ πρὸς τούτοις ἔτι τῆς σχιστῆς στυπτηρίας καὶ τοῦ λευκοῦ πεπέρεως, ὕδατος δὲ οὐ μέμνηται κατὰ τὴν σκευασίαν, ἀλλ' οὐδέ τι τοῦ λιβανωτοῦ. τινὲς δ' οὐ πέντε καὶ εἴκοσι βάλλουσιν, ἀλλὰ τὸ ἥμισυ, καὶ μέντοι γε καὶ περὶ τοῦ ὕδατος· γράψας γὰρ ἐλαίου παλαιοῦ κοτύλας δύο βάλλεσθαι μετὰ ταῦτα προσέγραψεν ὕδατος κοτύλας δύο ἢ κοτύλην μίαν. ἐγὼ δὲ καὶ χωρὶς ὕδατος ἐσκεύασα τὸ φάρμακον πάνυ πολλάκις καὶ βέλτιον εἰς πάντα τἄλλα γιγνόμενον φαίνεται, πλὴν ἐπὶ τῶν ἀπαλοχρώτων· ἄμεινον γὰρ ἐπὶ τούτων ἐστὶ τὸ προσειληφὸς ὕδωρ καὶ μάλισθ', ὅταν

philion, ignorans opinor primum ipſius inventorem. Apponit autem nomen utentis ac unde acceperit, tum quid valeat, his verbis praefixit. *Aliud Pamphilion dictum medicamentum accommodatum. Facit ad vetera vix ſanabilia, carbunculos, epinyctidas, achoras, pſoricos affectus, ſinus glutinat, facit ad abſceſſus, condylomata et fere omnibus utilius eſt.* Conſtare ipſum tradit ex ceruſſa, argenti ſpuma, cera, terebinthina, duabus heminis olei, eodem modo ſicut et Heras, ad haec item fiſſili alumine et albo pipere, aquae vero non meminit in confectura, ſed neque thuris. Quidam non quinque et viginti, ſed dimidium immittunt, quin etiam de aqua; quum enim olei veteris heminas duas infundi ſcripſiſſet, poſtea aquae duas vel unam adjecit. Ego et ſine aqua medicamentum ſaepius praeparavi et ad omnia alia melius fieri apparet, praeterquam in teneris corporibus; nam in his aquam praeſtat adhibere, prae-

Ed. Chart. XIII. [667. 668.] Ed. Baſ. II. (326.)

ὑποφλεγμαίνῃ τὰ ἕλκη. διαγράφει δὲ σὺν ταῖς εἰρημέναις λευκαῖς ἐμπλάστροις καὶ ἄλλην ὁ Ἀσκληπιάδης, ἐπαγγελλομένην θεραπεύειν λυσσοδήκτους, ὥσπερ καὶ ἡ παρὰ τῷ Ἥρᾳ γεγραμμένη τὴν ἐπαγγελίαν εἶχε. προσλαμβάνει δὲ καὶ αὕτη παρὰ τὴν ἁπλῆν λευκὴν, τὴν ἐκ λιθαργύρου καὶ ψιμυθίου καὶ λιβανωτοῦ καὶ κηροῦ συγκειμένην, ἔτι ἔξωθεν μυελὸν ἐλάφειον καὶ σμύρναν. ἐμβάλλει δ' εἰς αὐτὴν λιθαργύρου μὲν ≺ μ', ψιμυθίου δὲ ≺ λ'. λιβανωτοῦ ≺ ι'. καὶ τὰς ἴσας τῆς σμύρνης, ἐλαφείου δὲ μυελοῦ δυοῖν δεούσας τῶν δέκα καὶ κηροῦ λευκοῦ ≺ ν'. καὶ τοῦ παλαιοῦ ἐλαίου ξε. α'. πρώτην δὲ τούτων ἁπασῶν ὧν εἶπεν ἔγραψεν ὁ Ἀσκληπιάδης ἣν ὀνομάζει Ῥοδιακὴν, ὡς διαφορητικὴν καὶ τὰς ἐπὶ τῶν μαστῶν σκληρίας θεραπεύουσαν ἐκ τῶνδε συγκειμένην, [668] λιθαργύρου καὶ κηροῦ Ποντικοῦ κελεύει βάλλειν ἀνὰ λίτραν α'. ψιμυθίου δὲ καὶ στέατος ὑείου κατειργασμένου τὸ τῆς λίτρας ἥμισυ, τουτέστιν οὐγγίας ἓξ ἑκατέρου καὶ σμύρνης μὲν οὐγγίας δ'. ὀπτῶν δὲ ὠῶν λεκίθους β'. καὶ κοτύλην α'. καὶ ἡμίσειαν ἐλαίου. ταύτην φησὶ καὶ ἑδρικὴν ἀγαθὴν εἶναι,

ſertim cum phlegmone tentantur ulcera. Inde aliud Aſclepiades cum ſuperioribus albis emplaſtris profert, quod rabioſos morſus ſanare promittit, quemadmodum et quod apud Heram ſcriptum eſt pollicebatur. Aſſumit et hoc praeter ſimplex album, quod ex argenti ſpuma, ceruſſa, thure, cera conſtat, inſuper medullam cervinam et myrrham; porro miſcet ei argenti ſpumae drachmas quadraginta, ceruſſae drachmas triginta, thuris drachmas decem, myrrhae drachmas decem, medullae cervinae duobus pauciores quam decem, cerae albae drachmas quinquaginta, olei veteris ſextarium unum. Primum autem horum omnium, quae recitavit, prodidit Aſclepiades, quod Rhodiacum nominat ceu diſcutiens et curans in mammis duritias, et ex his componitur: ℔ argenti ſpumae, cerae Ponticae, ſingulorum libram unam, ceruſſae, adipis ſuilli elaborati, cujusque ſelibram, hoc eſt uncias ſex, myrrhae uncias quatuor, ovorum toſtorum vitellos duos, olei heminam unam et ſemis. Iſtud etiam ſedi

Ed. Chart. XIII. [668.] Ed. Baſ. II. (326.)

μὴ προγράψας διὰ τίνος βούλεται τήκεσθαι τὸ φάρμακον, ἀλλ' ἡμῖν ἐπιτρέψας ἴσως στοχάζεσθαι ποτὲ μὲν διὰ ῥοδίνου, ποτὲ δὲ διὰ μυρσίνης, ποτὲ δὲ διά τινος τῶν ἐλαίων χρὴ τήκειν αὐτό.

Κεφ. ιή. [Πῶς χρὴ συντιθέναι λευκὰς ἐμπλάστρους πρὸς τὰ δυσεπούλωτα καὶ κακοήθη.] Τίνα τἂν ἑλκῶν ὀνομάζω δυσεπούλωτα καὶ τίνα κακοήθη διελέσθαι καιρὸς οὐκ εἰς τὰ παρόντα μόνον, ἀλλὰ καὶ τὰ μέλλοντα λέγεσθαι, χρησίμου τοῦ διορισμοῦ γενησομένου. τὰ μὲν οὖν ἐξ ἐπιῤῥοῆς ὑγρῶν ἤτοι πολλῶν ἢ δριμέων, ἄνευ τοῦ διάθεσιν ἤδη τοιαύτην ἐσχηκέναι τὸν πεπονθότα τόπον, ὡς κἂν ᾖ χρηστὸν τὸ ἐπιῤῥέον, ὅμως διαφθείρειν αὐτό, δυσεπούλωτα καλῶ· τὰ δ', ἤδη τὴν εἰρημένην ἔχοντα διάθεσιν ἐξαιρέτως ὀνομάζω κακοήθη. νῦν οὖν ἐπειδή τινας τῶν λευκῶν ἐμπλάστρων, ὡς καλῶς ἐπουλώσας τὰ δυσεπούλωτα, γεγράφασιν οἱ πρὸ ἐμοῦ, διὰ τοῦτο κἀγὼ γράφω λευκὰς ἐμπλάστρους, ἃς συνέθηκα πρός τε τὰ δυσεπούλωτα πάντα καί τινα τῶν κακοήθων,

benefacere confirmat, non apponens quonam liquefieri velit, ſed nobis conjectandum forſan relinquens interdum ex roſaceo unguento, interdum myrteo, alias ex oleo quopiam liquandum eſſe.

Cap. XVIII. [*Quomodo candida emplaſtra componenda ſint adverſus ulcera cacoëthe, id eſt maligna et ea quae cicatricem difficulter admittunt.*] Quae dyſepulota, id eſt *vix ad cicatricem venientia*, quae item cacoëthe, id eſt *maligna*, appellem, diſtinguendum modo eſt, quia non ſolum in praeſentem diſputationem, ſed etiam in futuram commoda praefinito eſt futura. Quae itaque ex humorum confluxu vel multorum vel acrium oriuntur, fine eo, quod locus affectus hujusmodi jam diſpoſitionem habuerit, ut licet bonum ſit quod influit, tamen ipſum corrumpat, dyſepulota nomino, quae vero dictam diſpoſitionem jam obtinent, praecipuo vocabulo cacoëthe appello. Nunc igitur, quoniam priores me emplaſtra quaedam alba, ut quae dyſepulotis cicatricem probe obducant, conſcripſerunt, propterea ego quoque alba ſcribo emplaſtra, quae adverſus dyſepulota om-

Ed. Chart. XIII. [668.] Ed. Baſ. II. (326.)

ὅσα μὴ πονηρὰν πάνυ ἔχει τὴν κατασκευήν, ἐπ' ἐκείνων γὰρ αὖθις εἰρήσεται τὰ πρόσφορα φάρμακα. πρῶτον κἀνταῦθα τὴν μέθοδον ἐρῶ, καθ' ἣν μαθήσετε πολλὰς τοιαύτας ἐμπλάστρους συντιθέναι. διττὸς δ' αὐτῆς ὁ σκοπὸς, ὁ μέν τις κοινὸς ἁπάντων τῶν κατὰ μέθοδον συντιθεμένων φαρμάκων, ὁ δέ τις ἴδιος, ὁ πρὸς τὴν χρόαν τούτων διαφέρων. ὅσα τοίνυν ἐγνώκατε κατὰ τὴν περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείαν, ἀδήκτως μὲν ἰσχυρῶς δὲ πάνυ ξηραίνοντα, ταῦτα ἀναμνήσθητε. πάντως δ' εἶναι προσῆκεν αὐτὰ πρὸς τῷ μὴ δάκνειν ἢ στύφειν σαφῶς, ἔτι καὶ ῥύπτειν δύνασθαι. καὶ γὰρ καὶ κοῖλα φαίνεται τὰ πλεῖστα τῶν τοιούτων ἑλκῶν, ὡς ἐξ ἀναβρώσεως ὑγρῶν κακοήθων γενόμενα καὶ διὰ τοῦτο σαρκωθῆναι δεόμενα. δέδεικται δ' ἐν τῷ τρίτῳ τῆς θεραπευτικῆς μεθόδου τὰ σαρκοῦντα φάρμακα πάντα ῥύπτικὴν ἔχοντα δύναμιν. πολλὰ μὲν οὖν καὶ ἄλλα φάρμακα ξηρὰν δύναμιν ἔχει τοιούτων ἑλκῶν θεράπευτικήν. ἀλλὰ νῦν ἡμεῖς ἀναμνησθῶμεν τῶν ἤτοι φυλάξαι τὴν λευκότητα τῆς συντεθειμένης

nia et cacoëthe nonnulla, quae non pravum admodum habent ſtatum, compoſui, nam in illis denuo medicamenta accommoda dicentur. Primum et hic methodum dicturus ſum, qua id genus emplaſtra conplura conficere diſcetis. Duplex porro ejus ſcopus eſt, alter omnium, quae ratione componuntur, medicamentorum communis, alter peculiaris colore ab his diſſerens. Quae igitur in commentario de ſimplicibus medicamentis cognoviſtis, ſine roſione quidem ac morſu, valide tamen adeo exiccantia, haec in memoriam reducite. Omnino autem conveniebat, praeterquam quod non mordicent vel aſtringant manifeſto, etiam detergere poſſe, ſiquidem cava plurima ejus generis ulcera tanquam ab exeſione humorum malignorum facta apparent ejusque rei gratia carne impleri deſiderant; oſtendimus autem in tertio therapeuticae methodi libro, omnia quae carnem generant medicamenta detergendi facultatem habere. Multa etiam alia ſiccam obtinent virtutem hujusmodi ulceribus curandis accommodam. Sed age nunc repetamus ea, quae aut compoſiti

Ed. Chart. XIII. [668. 669.] Ed. Baſ. II. (326.)

ἐμπλάστρου δυναμένων ἢ μὴ πολύ γε βλάψαι. τοιαῦτα δ' ἐστὶ καδμεία καὶ πομφόλυξ καὶ τίτανος, ὄστρεά τε κεκαυμένα καὶ πορφύραι καὶ κήρυκες καὶ τὸ τῆς σηπίας ὀστῶδες. οὐ πολὺ δ' ἂν λυμαίνοιτο τῇ χρόᾳ καὶ ἡ τοῦ χαλκοῦ λεπὶς καὶ τῆς κεκαυμένης χαλκίτεως τὸ μὴ πυῤῥὸν, ἀλλὰ τεφρῶδες ἢ ὑπόλευκον. ὅπως δὲ χρὴ τὸ τοιοῦτο παρασκευάζειν, αὖθις εἰρήσεται κατὰ τὸν τῆς θηριακῆς ἀντιδότου λόγον. ἕκαστον δὲ τῶν εἰρημένων εἰ πλυθείη, παντάπασιν ἄδηκτον γίνεται, καθάπερ καὶ ὁ κηρὸς, ὃν χρὴ μῖξαι σκευαζομένῳ τῷ φαρμάκῳ, καὶ ἡ ῥητίνη. λέλεκται δ' ὅτι κηρὸς μὲν ὁ Τυῤῥηνικὸς ἢ ὁ Ποντικὸς ὀνομαζόμενος ἐπιτήδειός ἐστιν εἰς τὴν τῆς λευκῆς ἐμπλάστρου κατασκευήν. αἱ ῥητίναι δὲ, ἥ τε λάριξ ὀνομαζομένη καὶ ἡ τερμινθίνη, πρὸς τὰ κακοηθέστερα τῶν ἑλκῶν λυσιτελεστέρα. καὶ λιβανωτοῦ δὲ ἐμβάλλειν τι προσήκει μέρος ἕνεκα τοῦ πέττεσθαι καὶ διαπυΐσκεσθαι τὴν διάθεσιν τῶν κακοήθων ἑλκῶν. οὐ μόνον δὲ πλύνειν χρὴ τῶν εἰρημένων φαρμάκων ἕκαστον, [669] ἀλλὰ τά γε μεταλλικὰ καὶ λειοῦν ἐπὶ πλεῖστον ἐν ἡλιουμένῳ χωρίῳ μεθ' ὕδατος

emplaſtri candorem tueri poſſint aut non adeo laedere. Hoc ex genere eſt cadmia, pompholyx, calx, oſtrea concremata, purpurae, buccina et ſepiae pars oſſea, parum officiet colori et aeris ſquama et uſtae chalcitidis non ſulvum, ſed cineritium vel ſubalbidum. Quomodo autem hujusmodi res praeparanda ſit, rurſus in Theriacae antidoti ſermone dicemus. Porro dictorum quodquam ſi lavetur, totam mordicationem amittet, quemadmodum cera, quae medicamento conficiendo admiſcenda eſt, tum reſina. Caeterum quod cera Tyrrhenica vel Pontica dicta ad candidi emplaſtri praeparationem ſit idonea, prius explicatum eſt, reſinae vero, et quae larix vocatur et terebinthina, adverſus ulcera maligniora magis valent. Thuris quoque partem aliquam indere non ab re fuerit, ut ulcerum maleficorum diſpoſitio coquatur et ad ſuppurationem veniat. At non ſolum ex praedictis medicamentis unumquodque lavandum venit, ſed etiam metallica quam maxime in loco soli expoſito cum

Ed. Chart. XIII. [669.] Ed. Baſ. II. (326. 327.)

ἢ ὄξους ἢ θαλάττης ἢ οἴνου. καθαρὸν δὲ καὶ λευκὸν καὶ διαφανὲς ἀκριβῶς ἕκαστον τούτων ἔστω, χάριν τοῦ συντελέσαι τι τῇ λευκότητι τοῦ φαρμάκου. καὶ περὶ τοῦ ψιμυθίου δὲ πρόσθεν εἴρηται καὶ τοῦ ἐλαίου καὶ τοῦ τρόπου τῆς ἑψήσεως καὶ τοῦ περιέχοντος ἀέρος καὶ τοῦ πυρὸς, ὅπως ἂν ἕκαστον αὐτῶν συντελοῖ τι τῇ λευκότητι. καθάπερ δὲ ἐπὶ τῶν ἄλλων, οὕτως κἀπὶ τούτων εἰδότα χρὴ τὰς δυνάμεις ὕδατός τε καὶ ὄξους καὶ θαλάττης οἴνου τε τοῦ λευκοτάτου μιγνύειν ἐν τῇ συνθέσει τὸ χρησιμώτατον εἰς τὴν θεραπευομένην διάθεσιν. ἐπὶ μὲν γὰρ τῶν ὀχθωδῶν ἑλκῶν καὶ τὰ χείλη παχέα καὶ σκληρὰ καὶ πολλῆς δεόμενα λεπτύνσεως ἐχόντων τὰ δι' ὄξους καὶ θαλάττης λελειωμένα χρησιμώτερα τῶν δι' ὕδατος· ἐφ' ὧν δὲ δριμὺ καὶ δακνῶδές ἐστι τὸ φερόμενον ἐν τοῖς ἕλκεσιν ὑγρὸν, ἐν ὕδατι χρὴ λελειῶσθαι μᾶλλον ἕκαστον τῶν μεταλλικῶν, ὥσπερ γε πάλιν ἐν οἴνῳ (327) μᾶλλον ἐφ' ὧν πολὺ φαίνεται τὸ ἐπιῤῥέον ὑγρὸν τοῖς ἕλκεσι. τούτων οὖν ἕκαστον ὧν εἶπον ἐν ἑκάστῳ τῶν εἰρημένων ὑγρῶν λελειωμένων ἡμέραις πλείοσιν, ἐμβα-

aqua vel aceto vel marina vel vino laevigare oportet. Pura autem et candida et perſpicua ſingula haec erunt candoris cujusdam medicamento conciliandi gratia. De ceruſſa, oleo, coctionis modo, aëre circumfluo et igne, quomodo quodque eorum ad albedinem aliquid afferat, ante expoſuimus. At quemadmodum in aliis, ita in his quoque, facultatis aquae, aceti, marinae vinique albiſſimi peritum, id in compoſitura miſcere convenit, quod maxime curando affectui profuturum eſt. Etenim in ulceribus praetumidis ac duris, quae oras craſſas, calloſas multamque attenuationem requirentes habent, ex aceto et marina laevigata magis quam quae per aquam idonea ſunt. In quibus autem acre et mordax eſt humidum, quod in ulcera fertur, ex aqua terere potius ſingula metallica neceſſe eſt. Quemadmodum rurſus ex vino magis, ubi copioſus humor ulceribus influens apparet. Haec igitur ſingula, quae dixi, in unoquoque jam nominato humore laevigata diebus pluribus injeci frequen-

Ed. Chart. XIII. [669.] Ed. Baſ. II. (327.)

λῶν ἑκάστοτε τῶν διὰ ψιμυθίου τε καὶ λιθαργύρου φαρμάκων, πάντων αὐτῶν ἐπειράθην ἐπουλώντων κάλλιστα. τινὰς δὲ γραφὰς καὶ φίλοις ἔδωκα, δεομένοις τοιούτων φαρμάκων, ὑφ' ὧν καὶ αὐτῶν εἰς πεῖραν ἀχθέντα τὴν ἐπαγγελίαν ἐφαίνετο διασώζοντα. προεψημένης οὖν, ὡς εἴρηται, τῆς λιθαργύρου μετὰ τοῦ ψιμυθίου καὶ πλησίον ἀμολύντου συστάσεως ἥκοντος τοῦ φαρμάκου, προσβάλλειν χρὴ τῆς λάρικος ἢ τῆς τερμινθίνης ῥητίνης μετὰ τοῦ λευκοῦ κηροῦ καὶ τούτων καλῶς ἑνωθέντων ἐπεμβάλλειν τὰ μεταλλικά, τοιάνδε συμμετρίαν ἔχοντα. τῆς μὲν λιθαργύρου καὶ τοῦ ψιμυθίου κατὰ τὸ σύνηθες ἑκατέρου λίτρα μετὰ δυοῖν ἐλαίου λιτρῶν ἑψέσθω, πολλάκις δὲ καὶ ὕδατος ἡμίλιτρον ἐπεμβάλλων. τήκεται γὰρ οὕτως ἡ λιθάργυρος θᾶττον, ἥ θ' ἕψησις ἀναλίσκει τὸ ὕδωρ, ὡς μηδὲν σαφῶς εἰς ὑγρότητα συντελεῖν τῷ φαρμάκῳ. ῥητίνης δὲ τρεῖς οὐγγίαι καὶ κηροῦ διπλάσιαι τούτων αὐτάρκεις εἰσίν. οὐ μὴν ἀλλὰ κἂν δύο μὲν τῆς ῥητίνης ἐμβάλλητέ ποτε, τέτταρας δὲ τοῦ κηροῦ, καὶ οὕτως οὐδὲν μέγα διαφερούσας εὑρήσετε τὰς συνθέσεις. ἱκανὴ δὲ καὶ li-

ter medicamentis, quae ex argenti ſpuma et ceruſſa conſiunt, eaque expertus ſum omnia cicatricem optime ducere. Verum ſcriptiones quasdam amicis quoque dedimus, qui hujusmodi medicamenta deſiderarent, a quibus ipſis quoque in experientiam producta, quod titulo promittunt, tueri videbantur. Itaque argenti ſpuma cum ceruſſa prius cocta et medicamento prope ad non inquinantem conſiſtentiam perveniente, injicienda eſt larix vel terebinthina reſina cum cera candida. His pulchre unitis adde metallica, quae hujusmodi ſymmetriam habent. Argenti ſpumae et ceruſſae pro conſuetudine ſingulorum libra coquatur cum olei libris duabus, frequenter etiam aquae ſelibra addita; liqueſcit enim ſic argenti ſpuma citius, et coctio aquam conſumit, ut nihil ad humiditatem medicamento aperte proſit, reſinae tres unciae, cerae duplum ſufficit. Quanquam ſi duas reſinae indideritis interdum, quatuor cerae, ſic quoque compoſitiones non adeo differre invenientur. Thuris etiam uncia una ſemis

Ed. Chart. XIII. [669.] Ed. Baſ. II. (327.)

βανωτοῦ μία καὶ ἡμίσεια οὐγγία μετὰ τὸν κηρὸν καὶ τὴν ῥητίνην ἐμβαλλόμεναι. καὶ μετὰ ταῦτα οὐγγίαι τρεῖς τῶν ἄλλων, ἅπερ εἰσὶ ⊲ δ'. πρὸς ταῖς εἴκοσιν. ἐμβαλεῖς δὲ δυοῖν καὶ τριῶν καὶ πλεόνων καὶ πάντων ὧν εἶπον, ὧν ἂν ἑκάστου τύχῃς εὐπορῶν. οἷον εἰ πάντ' ἔχεις, ἴσον ἐμβαλεῖς ἑκάστου, τῆς καδμείας λέγω καὶ πομφόλυγος, καὶ τῶν κεκαυμένων κηρύκων ἢ ὀστρέων καὶ τῆς τοῦ χαλκοῦ λεπίδος. ἔσονται δ' ἑκάστου ἀνὰ ⊲ στ'. ἡ συμπλήρωσις τῶν τριῶν οὐγγιῶν. εἰ δὲ καὶ τιτάνου πεπλυμένης μιγνύεις, ἑκάστου ⊲ ε'. βληθήσονται. εἰ δὲ καὶ τῆς κεκαυμένης χαλκίτεως, ἑκάστου ⊲ δ'., ὡς ἁπάντων τῶν ἓξ συνελθόντων συμπληροῦσθαι τὰς τρεῖς οὐγγίας. ἔστω δὲ ἡ κεκαυμένη χαλκῖτις πεπλυμένη καὶ δηλονότι τεφρώδης τὴν χροιάν, οὐχ οἵαν οἱ πολλοὶ τῶν καιόντων ποιοῦσιν αὐτὴν, ὠχρόξανθον, ὡς ἄν εἴποι τις. καὶ εἰ δύο δέ τινα τούτων ἔχοι τις μόνα, τρεῖς οὐγγίας ἐξ ἀμφοῖν ἐμβαλλέτω, τουτέστιν ἑκατέρου μίαν καὶ ἡμίσειαν. ταῦτα ἀρκεῖ κατὰ τὸ παρὸν ὑμῖν εἰς ἐμπλάστρων λευκῶν σύστασιν ἐπίστασθαι πρὸς ἕλκη δυσεπούλωτα. καὶ κηρωταὶ δὲ λευκαὶ

ſatisfacit poſt ceram et reſinam injecta, deinde tres aliorum unciae, quae drachmae quatuor ſunt ad viginti. Impones autem duorum, trium, plurium, ac omnium quae numeravi, quorum ſingulorum tibi copia contingat, ut ſi omnia habeas, aequam portionem cujusque injicias, cadmiae dico et pompholygis, buccinorum cineris vel oſtreorum et aeris ſquamae, ſingulorum drachmae ſex erunt, quae tres uncias abſolvunt. Quod ſi et calcem lotam miſceas, ſingulorum drachmae quinque ponentur. Si uſtae chalcitidis, ſingulorum drachmae quatuor, ut ex omnibus ſex counitis tres unciae fiant. Verum chalcitis uſta ſit elota et colore cinereo, non qualem multi ex iis, qui urunt eam, faciunt, veluti ſi dicas ex pallido flavam. Si duo quaedam ex his habeas ſolum, tres uncias ex ambobus ponito, hoc eſt utriusque unam ac ſemiſſem. Haec in praeſentia ad alborum emplaſtrorum conſtitutionem, ulceribus dyſepulotis curandis, cognoſcere vobis ſufficit. Atque ſubhumida cerata candida

Ed. Chart. XIII. [669. 670.] Ed. Baſ. II. (327.)

καὶ πάρυγροι διὰ τῶν αὐτῶν σπευάζονται, διαφέρουσαι τῶν ἐμπλάστρων τῷ μήθ' ἕψῆσθαι τὴν λιθάργυρον καὶ τὸ ψιμύθιον, ἐμβεβλῆσθαι δὲ στέαρ ἤτοι χηνὸς ἢ ἀλεκτορίδος ἢ ὑὸς ἢ μόσχειον. εἰ δ' οἴνου πότ' εὐπορoίης ἢ ὄξους, λευκοτάτων τε καὶ διαυγεστάτων ἐμβαλεῖς αὐτῶν ἀντὶ ὕδατος.

[670] Κεφ. ιθ'. [*Δαμοκράτους περὶ λευκῆς ἐμπλάστρου.*] Ἐπεὶ δὲ αἱ διὰ μέτρων ἐγγεγραμμέναι δυνάμεις φαρμάκων εὐμνημόνευτοί εἰσι καὶ διαφυλάττουσαι ἀκριβῆ τὴν συμμετρίαν αὐτῶν, ἔδοξέ μοι κάλλιον καὶ τούτων μνημονεύειν. γεγραφότος οὖν Δαμοκράτους λευκὰς ἄλλας ἐμπλάστρους καὶ μέντοι καὶ λευκὴν, ἣν ἐπαινεῖ, παραθήσομαι τὴν γραφὴν αὐτοῖς τοῖς ὑπ' ἐκείνου γεγραμμένοις στίχοις, τῷ τριμέτρῳ καλουμένῳ μέτρῳ.

Λεῖ δὲ μετὰ τούτων τοὺς φιλιάτρους ἔχειν
Λευκὴν καλὴν ἔμπλαστρον εἰς ἀποσύρματα,
Καὶ τὰ πυρίκαυτα καὶ τὰ χωρὶς αἰτίας
Ἐξ ἐπιπολῆς γινόμενα φανερᾶς ἕλκεα.
Σκευάζεται δ' οὕτως. ψιμυθίου λίτραν

etiam ex iis ipſis praeparantur, differunt tamen ab emplaſtris, quod neque argenti ſpuma nec ceruſſa coquatur, adeps vero vel anſerinus vel gallinaceus vel ſuillus vel vitulinus indatur. Quod ſi vinum interdum habeas vel acetum, quae albiſſima lucidiſſimaque ſint, aquae loco ipſa admiſcebis.

Cap. XIX. [*Damocrates de albo emplaſtro.*] Quoniam medicamentorum facultates verſibus exſcriptae facilius memoria tenentur et exactam ipſorum ſymmetriam perſervant, ſatius mihi viſum eſt et horum meminiſſe. Quum itaque Damocrates praeter alia alba emplaſtra etiam candidum ſcripſerit, quod commendat, apponam ſcripturam iisdem illius verſibus iambico trimetro expreſſis.

At cum his habere emplaſtrum medicis convenit
Album, efficax adverſus avulſam cutem,
Ambuſta ad ulcera et per ſumma corporis
Occaſionem citra manifeſtam edita.
Ita confit, ceruſſae libra ſumitur,

Ed. Chart. XIII. [670.] Ed. Baſ. II. (327.)

Λιθαργύρου τε τῆς τρυφερᾶς μάλιστα νῦν
Λίτραν μίαν τε καὶ μέρος λίτρας τρίτον,
Κηροῦ τε καθαροῦ Ποντικοῦ πέντ' οὐγγίας,
Τερμινθίνης τ' οὐγγίαν τῆς καθαρωτάτης,
Λιβάνου δὲ μάννης ἢ λιβάνου πέντ' οὐγγίας.
Λευκοῦ δ' ἐλαίου τοῦ καλοῦ καὶ προσφάτου
Λύ' ἥμισυ λίτρας καὶ ὕδατος ξέστην α'.
[c]Εψε δὲ ἔλαιον, ψιμύθιον, λιθάργυρον,
[d]Ὕδωρ πυρὶ κούφῳ, τῇ σπάθῃ κινῶν ἀεί.
[e]Οταν δὲ πᾶν μὲν ἐκφρυγῇ, καλῶς θ' ὕδωρ,
Τὸ δὲ φάρμακον λεῖόν τε καὶ λευκὸν βλέποις,
Μαλακὸν, ἀμόλυντον, τότε βάλλεις τερμινθίνην,
[f]Ἔπειτα κηρὸν, εἶτα λίβανον ὕστερον.
[g]Ἄρας τε κίνει τὴν χύτραν ἀπὸ τοῦ πυρὸς,
[h]Ὑποψυχέν τε συμμέτρως τὸ φάρμακον
Εἰς τὴν θυείαν καταχέας ἀναλάμβανε.
[i]Ἐπί τε γυναικῶν ἢ τρυφερῶν τῶν παιδίων
[k]Ἐπί τε γερόντων ἢ τῶν καχεκτούντων νέων.

Lithargyri, trypherae eodem ſimul modo,
Et portio praeterea librae tertia:
Ceraeque purae Ponticae quinque unciae,
Terebinthinae pondo uncia puriſſimae,
Thurisque mannae vel thuris quinae unciae,
Candidi olei boni recentis ſeliBra.
Aquae ſuperfundetur his ſextarius.
Oleum, ceruſſa, argenti ſpuma, aqua coquitur
Leni igne, agitatur ſedulo rudicula.
Cum tota pulchre deſiccata ſic aqua
Et leve medicamentum apparet, candidum
Et molle inficiens nec, terebinthina inditur,
Deinde cera ſuccedet, thus poſtea.
Ab igne cum depones ollulam, move.
Quum mediocriter eſt refrigeratum pharmacum,
Mortario ſuperfundas, atque excipe
In mulieribus vel delicatis puerulis,
In ſenibus habitu aut pravo juvenibus ſimul.

Ed. Chart. XIII. [670.] Ed. Baſ. II. (327.)

Ταύτῃ κατάμισγε τῆς στυπτηρίας τρίτον
Ἣν προαποδεδώκαμεν ἔμπλαστρον ἔμπροσθεν βραχὺ,
Καὶ χρῶ πρὸς ἅπαντα καὶ νεότρωτα τραύματα.
Κατάμισγε δ' αὐτῇ ῥόδινον τετηγμένῃ
Καὶ κηρὸν ὀλίγον, καὶ λιπαρὰν ἕξεις καλὴν
Οἶνον παραχέας λευκὸν αὐστηρὸν βραχύ.

Τῆς στυπτηρίας, ἧς ἐμνημόνευσεν, ἡ σύνθεσις ἐν τῷ πέμπτῳ τῇδε τῆς πραγματείας.

Huic tertiam partem immiſceto aluminis,
Quod prodidimus emplaſtrum non multo antea,
Ac utitor ad omnia recentia vulnera.
Ipſi vero rhodinon liquefacto immiſceas
Paulum ac cerae, liparon habebis ac bonum,
Album vinum parum auſterum ſi affuderis.

Aluminis, cujus meminit, compoſitio in quinto hujus operis commentario.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΓΕΝΗ ΒΙΒΛΙΟΝ Β.

Ed. Chart. XIII. [671.] Ed. Baſ. II. (327.)

Κεφ. α΄. Τῆς προκειμένης πραγματείας σκοπὸν ἐχούσης σὺν τοῖς ἄλλοις καὶ τοῦτον, ὡς ἐὰν ἀπολέσωμέν ποτε τὸ βιβλίον, ἐν ᾧ τῶν φαρμάκων οἷς χρώμεθα τὰς συνθέσεις γεγραμμένας ἔχομεν, αὐτοὺς ἡμᾶς δύνασθαι συντιθέναι παραπλήσια τοῖς ἀπολλυμένοις ἀναγκαῖόν ἐστι, πρῶτον μὲν ἡμᾶς καθόλου τινὰ τύπον ὁδοῦ μεμαθηκέναι, δι' ἧς εὑρήσομεν ὃ προεθέμεθα. δεύτερον δὲ γεγυμνάσθαι κατὰ τὴν

GALENI DE COMPOSITIONE MEDICAMENTORVM PER GENERA LIBER II.

Cap. I. Quum propoſitum opus hunc quoque cum aliis ſcopum teneat, ut ſi quando librum, quo medicamentorum, quibus utimur, compoſitiones ſcriptas habemus, ipſi nos perditis ſimilia poſſimus conficere, neceſſarium eſt primum nos in univerſum formulam quandam viae didiciſſe, qua propoſitum inveniamus. Deinde per hanc viam in multis particularibus exerceamur oportet,

Ed. Chart. XIII. [671. 672.] Ed. Baſ. II. (327. 328.)

ὁδὸν ταύτην ἐπὶ πολλοῖς τῶν κατὰ μέρος, εἰδότας ὅτι χωρὶς τοῦ γυμνάσασθαι τὸ τοιοῦτο γυμνάσιον οὐδὲν τῶν ἔργων ὀρθῶς περαίνεται. δεινὸν δὲ καὶ τὸ συμβὰν ἤδη τισὶν ὧν ἐγὼ γινώσκω δυσὶν ἰατροῖν. ὁ μὲν γὰρ ὑπὸ λύπης ἐπὶ τῇ τῶν τοιούτων γραφῶν ἀπωλείᾳ συντακεὶς ἀπέθανεν, ὁ δὲ ἀπέστη τῶν ἰατρικῶν ἔργων. ὑπάρχει δὲ τοῖς γυμνασθεῖσιν, ὡς ἐγὼ λέγω, πρὸς τῷ δύνασθαι συντιθέναι φάρμακα χρήσιμα καὶ τὸ κριτικοῖς εἶναι τῶν γεγραμμένων τοῖς πρὸ ἡμῶν ἰατροῖς, ἐπιτηδείως τε χρῆσθαι πᾶσι τοῖς ὑπ' ἐκείνων γεγραμμένοις, οἷς τ' ἂν αὐτὸς εὕρῃ κατὰ τὴν διδαχθησομένην μέθοδον. βέλτιον μὲν οὖν ἐστι τοῖς διὰ τῆς πείρας ἤδη (328) βεβασανισμένοις χρῆσθαι, μαθόντα τῆς χρήσεως αὐτῶν τὴν μέθοδον, ἀλλ' ὅπερ ἔφην, ἀνάγκη καταλαμβάνει πολλάκις ἡμᾶς, ὡς καὶ τοῖς ἀπειράστοις αὐτοσχεδιάζοντας χρῆσθαι. [672] κατὰ μὲν οὖν τὸ πρὸ τούτου βιβλίον, ὅπως ἄν τις ἐκ λιθαργύρου μόνης ἐμπλάστρους σκευάζοι, λέλεκται ποτὲ μὲν ἔλαιον μόνον μιγνὺς, ποτὲ δ' ὄξος ἢ οἶνον ἤ τινα τούτων, ἐξ ὁποίας τε συμμετρίας αὐτῶν ἔμπλαστρος δύναται γίγνεσθαι λευκὴ προσηκόντως ἐψηθεῖσα. γίγνεσθαι δ'

ſcientes, citra talis ſtudii exercitationem nullum recte opus perfici. Et vero grave eſt, quod jam quibusdam accidit medicis, duobus mihi cognitis, quorum alter dolore ex talium ſcriptionum interitu contabefactus periit, alter ab operibus medicis deſtitit. Verum exercitatis, judicio meo, praeterquam medicamenta utilia componere, etiam a ſuperioribus nobis medicis ſcriptorum arbitris eſſe licet, commodeque omnia ea, quae ab illis prodita ſunt, uſurpare atque illa, quae ipſi methodo inferius poſita invenerint. Melius igitur eſt experimentis jam comprobata ſumere eum, qui uſus ipſorum methodum didicerit, licet, quod dixi, neceſſitas frequenter nos cogat ut vel experientia incompertis ex tempore utamur. Itaque ſuperiore libro quomodo ex argenti ſpuma ſola emplaſtrum praepares docuimus, interim oleo tantum, interdum aceto admixto vel vino vel hujusmodi alio, item ex quali ipſorum ſymmetria emplaſtrum fieri candidum poſſit, ſi probe coctum fuerit. Caeterum ex

Ed. Chart. XIII. [672.] Ed. Baſ. II. (328.)

ἔφαμεν ἐκ τούτων τῶν ἐμπλάστρων ἐνίας μὲν ἐπουλωτικὰς, ἐνίας δὲ καὶ κολλητικὰς ἐναίμων τραυμάτων, ἐνίας δὲ φλεγμονῶν τῶν μικρῶν θεραπευτικὰς, ἐνίας δὲ αὐτῶν καὶ τὰ δυσεπούλωτα θεραπεύειν, ὁπόσα μὴ κακοήθη καί τινας ἐξ αὐτῶν ὄγκους παρὰ φύσιν, ὅσοι μὴ μεγάλοι μηδὲ σκιῤῥώδεις εἰσὶ διαφορεῖν. ἐγράφη δ' οὐ μετὰ πολὺ τῆς ἀρχῆς ἐν αὐτῷ καὶ ἡ ὑπ' ἐμοῦ συντεθεῖσα ἔμπλαστρος, ἣν ὀνομάζω φοινικίνην. ἐν τούτῳ δὲ τῷ βιβλίῳ τῷ νῦν ἡμῖν προκειμένῳ περί τε τῶν χλωρῶν ἐμπλάστρων εἰρήσεται καὶ μηλίνων καὶ κιῤῥῶν καὶ φαιῶν καὶ πυῤῥῶν, ἐν αἷς εἰσι καὶ αἱ δίχρωμοι καλούμεναι, μεταξύ τε τούτων ἕτεραι τινὲς μὲν ὠνομασμέναι, καθάπερ λευκομήλιναί τε καὶ μελάγχλωροι καὶ ῥυπώδεις ἀερίζουσαί τε καὶ κυανίζουσαι, τινὲς δὲ καὶ παντάπασιν ἀνώνυμοι. τὸ μὲν οὖν ἐφεξῆς ἀλλήλαις γράφειν τὰς κατὰ δύναμιν ὁμοίας χρήσιμόν ἐστιν εἰς τὸ πλείοσιν ἐντυγχάνοντα ἢ ἀναγινώσκοντα τὸ βιβλίον ἑλέσθαι τὴν ἐπιτηδειότατην τῷ θεραπευομένῳ σώματί τε καὶ πάθει. τὸ δὲ τὰς κατὰ χρόαν ὁμοίας ἀναγράφειν, οὐ κατὰ τεχνικὴν ὁμοι-

his emplaſtris quaedam ducendae cicatrici accommodata fieri diximus, quaedam vulneribus cruentis glutinandis, quaedam phlegmonis exiguis curandis, quaedam ulceribus, quae cicatricem aegre admittunt, ſanandis, ſi non cacoëthe ſint, quaedam ad tumores praeter naturam, ſed non magnos, neque duros, diſcutiendos. Scriptum ſimul in eo eſt non multo poſt initium et emplaſtrum a me compoſitum, quod phoenicinum nomino. Praeſenti autem hoc libro de viridibus et melinis et gilvis et fuſcis et ruſis agetur emplaſtris, quibus etiam adnumerantur, quae dichroma, id eſt bicolora, dicuntur. Inter haec alia quaedam ſunt medio inter haec nomine, ut ex candido melina et ex nigro viridia et rhypode, id eſt ſtrigmentoſa, adde quae aërem imitantur et coerulea, quaedam vero nomine prorſus carentia. Itaque ſimilia invicem viribus deinceps ſcribere commodum eſt, ut qui in plura incidit vel librum legit, id quod optimum corpori ejusque curando affectui ſit eligat. At colore ſimilia tradere

Ed. Chart. XIII. [672.] Ed. Baſ. II. (328.)

ότητα σκοπούντων ἐστὶν, ἀλλ' ἐπεί τινες ἐνίοτε τῶν πολὺ δυναμένων ἀνδρῶν κελεύουσιν ἡμᾶς ἔμπλαστρον αὐτοῖς μηλίνην ποιῆσαι κολλητικὴν ἑλκῶν ἢ ἐπουλωτικὴν ἢ μαλακτικὴν τῶν σκληρυνομένων ἤ τι τοιοῦτον ἐργάσασθαι δυναμένην, ἠναγκάσθησαν ἔνιοι τῶν νεωτέρων ἰατρῶν ἐφεξῆς ἀλλήλων γράφοντες ὁμοίας κατὰ χρῶμα προσγράφειν ἑκάστῃ τὰς οἰκείας ἐπαγγελίας. ἐγὼ τοίνυν πειράσομαι μικτήν τινα ποιήσασθαι τὴν διδασκαλίαν ἀπὸ τῆς τεχνικωτέρας ἀρξάμενος. γράφω γὰρ πρῶτον μὲν τὰς σαρκωτικὰς τῶν κοίλων ἑλκῶν, ὧν αἱ πλεῖσται χλωραὶ κατὰ χρόαν εἰσὶν, ἐπισημαινόμενος ὅσαι τε κολλητικαὶ τούτων ὑπάρχουσι καὶ ὅσαι τῶν κακοηθευομένων ἰατρικαὶ καί τι τῶν τοιούτων ἄλλο δυνάμεναι διαπράττεσθαι. δευτέρας δὲ τὰς κολλητικὰς, οὐ μόνον τῶν προσφάτων ἑλκῶν, ἀλλὰ καὶ τῶν κόλπων, ἐν αἷς εἰσι καὶ μέχρι συνουλώσεως ἄγουσαι πολλαί. καὶ τούτων ἁπασῶν ἕνα μὲν στίχον ποιήσομαι τῶν μηλίνων, ἕτερον δὲ τῶν βαρβάρων ὀνομαζομένων, ἕτερον δὲ φαιῶν, ἐπί τε τῶν ἄλλων χρωμάτων ὁμοίως. ἐρῶ δὲ καὶ καθ' ἓν ἄλλο βιβλίον

eorum eſt, qui ſimilitudinem non artificialem attendunt, verum quoniam potentes quidam viri interdum nos jubent emplaſtrum ſibi melinum conficere, quod ulcera glutinet vel cicatricem ducat vel indurata emolliat vel aliud hujusmodi facere poſſit, coacti ſunt nonnulli recentiorum medicorum, ubi ſimilia colore feriatim conſcriberent, proprias cuique profeſſiones apponere. Quamobrem ego mixtam quandam diſciplinam conabor effingere, a magis artificioſa auſpicatus. Scribo enim prius, quae cava ulcera carne implent, quorum plurima colore viridia ſunt, adnotans, quot ex his glutinantia ſint, quotque in maligna evadentibus medeantur, atque hujusmodi aliud quidquam poſſint perficere. Deinde glutinantia non modo recentium ulcerum, ſed etiam ſinuum, ex his plura ſunt, quae ad usque cicatricem ulcera perducant. Atque horum omnium unam ſeriem facturus ſum, melinorum aliam, barbarorum, ut vocant, aliam et fuſcorum aliam, nec non in reliquis coloribus ſimiliter. Producam in alio quoque uno libro ſimilitudines absque colo-

Ed. Chart. XIII. [672 673.] Ed. Baſ. II. (328.)

ἄνευ χρωμάτων ὁμοιότητας, ὅσαι τὰ δυσεπούλωτα τῶν ἑλκῶν θεραπεύουσιν, ἃ καὶ χειρώνεια καλοῦσι. καὶ μετὰ τοῦτο καθ' ἕτερον βιβλίον, ὅσαι καὶ ταῦτα καὶ ἄλλ' ἄττα πολύχρηστοι λεγόμεναί τε καὶ οὖσαι. καὶ μετὰ ταύτας ἁπάσας ὅσον ὑπόλοιπόν ἐστι τῶν κατὰ τὰς δυνάμεις ἐμπλάστρων ἐγνῶσθαι μεθόδῳ διελθεῖν πειράσομαι. ταῦτα μὲν οὖν προείρηται κοινόν τι προοίμιον ἁπασῶν τῶν προσγραφησομένων ἐμπλάστρων, ἐπὶ δὲ τὰς ἐν τούτῳ τῷ βιβλίῳ γεγραμμένας μεταβήσομαι, προτάξας αὐτῶν τινα λόγον κοινὸν, ὡς εἰ καὶ μηδὲν ἤδη μοι προείρητο. φαρμάκων συνθέσεις παμπόλλων ἀξίων ἐπαίνου πρῶτος ὧν οἶδα Μαντείας ὁ Ἡροφίλειος ἔγραψεν, οὗ μαθητὴς γενόμενος Ἡρακλείδης ὁ Ταραντῖνος οὐ μόνον ἐν τῇ τῶν φαρμάκων χρήσει φαίνεται μιμούμενος ἐκεῖνον, ἀλλὰ καὶ κατὰ τὸ διαιτητικὸν μέρος τῆς τέχνης. μεθ' οὓς ἄλλοι μέν τινες ἐν πλείοσι βιβλίοις, ὥσπερ ὅ τε Μαντείας καὶ Ἡρακλείδης. εἰσὶ δὲ καὶ οἱ καθ' ἓν ἢ δύο μόνα τὴν γραφὴν αὐτῶν ἐποιήσαντο, καθάπερ ὁ Καππαδόκης Ἥρας, οὔτ' ἀδόκιμον γράψας τι φάρμακον, [673] οὔτε

ribus, quae ulcera cicatricem vix admittentia, dicuntur et chironia, perſanant. In alio rurſus poſt iſtum, quae tum haec, tum alia quaedam curant, quae dicuntur et ſunt uſus multiplicis. At poſt haec omnia, quicquid emplaſtrorum facultatem reliquum fuit methodo cognoſcendum, percenſere conabor. Haec igitur vice prooemii cujusdam omnium emplaſtrorum, quae commemorabuntur, communis praefati, ad ea quae hoc libro ſcripta ſunt, digrediemur, oratione quadam generali eis praepoſita, tanquam nihil etiam mihi jam praedictum ſit. Compoſitiones medicamentorum complurium laudabilium primus omnium, quos noverim, Mantias Herophileus ſcripſit, cujus diſcipulus factus Heraclides Tarantinus non ſolum in medicamentorum uſu videtur imitatus illum, ſed etiam in ea artis parte, quae victus rationem docet. Poſt quos alii ſane quidam non paucis voluminibus, ſicut Mantias et Heraclides. Sunt etiam qui uno aut altero tantum ea conſcripſerint, quemadmodum Cappadox Heras, qui nec improbatum aliquod medicamentum tradidit, nec

Ed. Chart. XIII. [673.] Ed. Baſ. II. (328.)

τὰς σκευασίας αὐτῶν καταλιπὼν τάς τε κατὰ μέρος χρήσεις ἁπάσας διελθών. πολλὰ δὲ φάρμακα γεγράφασιν ἐπιμελῶς ἐν πλείοσι βιβλίοις ὅ τε Μούσας καὶ ὁ Ἀσκληπιάδης καὶ ὁ Κρίτων. ὁ δ' Ἀνδρόμαχος ἐν ἑνὶ μὲν βιβλίῳ τὰ τῶν ἐκτὸς τοῦ σώματος ἰατρικὰ φάρμακα, καθ' ἕτερον δὲ ἓν ἔγραψε τὰ τῶν ἐντὸς, ὄντος καὶ τρίτου μικροτέρου τούτων ὀφθαλμικοῦ. οὐ πρόσκειται δὲ ὀλιγίστων αὐτῶν ἥ τε σκευασία καὶ ἡ χρῆσις. οὔτε δὲ τούτων τις οὔτε ἄλλος ἔγραψε τὸν λογισμὸν τῆς συνθέσεως ἑκάστου τῶν φαρμάκων, καὶ διὰ τοῦτο θαῤῥαλεώτερον οἱ ἀπὸ τῆς ἐμπειρίας ἀποφαίνονται, καίτοι γε ἀδιανόητα λέγοντες, εἰς περίπτωσιν γὰρ ἀναφέρουσι τὴν εὕρεσιν τῶν συνθέτων φαρμάκων. ἐθάῤῥησαν δὲ τῷ μηδένα τῶν δογματικῶν ἰατρῶν διηρθρωμένως γεγραφέναι τὴν μέθοδον τῆς συνθέσεως αὐτῶν. ὅταν γὰρ οἱ δογματίζοντες ἐρωτώμενοι τὸν λόγον, ᾧ σύγκειται τῶν φαρμάκων ἕκαστον οἷς χρῶνται, μηδὲν ἔχωσι λέγειν, ἀπολέσαντές τε τὰς γραφὰς αὐτῶν ἀδυνατῶσιν αὐτοσχεδιάζειν ἑτέρας συνθέσεις, αὐτοί τε εἰκότως καταφρονοῦνται, τούς τε ἐμπειρικοὺς ἐργάζονται

confecturas ipſorum omiſit et univerſos particulatim uſus recenſuit. Permulta medicamenta pluribus libris ſtudioſe ſcripſerunt Muſa et Aſclepiades et Crito. Verum Andromachus unico libro medicinalia medicamenta ad exteriora corporis vitia, altero quae interna curant, memoriae prodidit, item tertio his minore oculorum remedia. Pauciſſimis autem ipſorum tum praeparandi modus tum utendi appoſitus eſt, neque vero horum quiſpiam nec alius cujusque medicamenti componendi rationem docuit. Ob quod empirici confidentius licet abſurda pronunciant, ut qui medicamentorum compoſitionis inventionem ad caſum referunt, inde nimirum confidentiae occaſionem ſumentes, quod nemo ex dogmaticis medicis confectionis eorum regulam abſolute ſcripſerit. Nam cum dogmatici interrogati rationem, qua medicamenta ſingula compoſita ſint, quibus utuntur, nihil, quod dicant, habeant, perpeditisque illorum ſcriptionibus ipſi alia componere ex tempore non poſſint, et ipſi merito contemnuntur et empiricis contradicendi majorem praebent au-

Ed. Chart. XIII. [673.] Ed. Baſ. II. (328.)

τολμηροτέρους εἰς ἀντιλογίαν. εἰ δ' ἠπίσταντο τὴν ἑκάστου πάθους ὧν θεραπεύουσι φύσιν ἐγίγνωσκόν τε μέθοδον, ὡς ἐξ αὐτῆς ἐξευρίσκειν τόν τε σκοπὸν τῆς θεραπείας, ἑκάστου τε τῶν ἁπλῶν φαρμάκων τὴν δύναμιν, οὐκ ἂν ἠγνόουν τὸν λόγον τῆς συνθέσεως· οἷον αὐτίκα κοῖλον ἕλκος ἀπερίστατον, οὐδὲν γὰρ χεῖρον, ὡς ἔνιοι καλοῦσι, συντόμου διδασκαλίας ἕνεκεν οὕτως καὶ ἡμᾶς ὀνομάσαι, πῶς ἄν τις ἰάσαιτο προκείσθω σκοπεῖν, ὡς εἰ καὶ μήπω μηδὲν εὕροιτο φάρμακον ἐπιτήδειον εἰς αὐτό. διδαχθέντες γὰρ ὑπὸ τοῦ λόγου τὴν τῶν κοίλων ἑλκῶν ἴασιν γίγνεσθαι γιγνομένης σαρκὸς ἀντὶ τῆς ἀπολωλυίας ἑτέρας, ἐξ αὐτῆς δηλονότι βλαστανούσης τῆς ὑποκειμένης σαρκὸς, ἐνενοήσαμεν ἀδύνατον εἶναι γενέσθαι τοῦτο, ῥύπου κατὰ τὸ ἕλκος ἢ πολλῆς ὑγρότητος ὑποκειμένης. ἀλλὰ τὸν μὲν ῥύπον ἀφαιρεῖ τὰ ῥυπτικὰ τῶν φαρμάκων, τὴν δ' ὑγρότητα διαφορεῖ τὰ ξηραντικά. χρὴ τοίνυν ἐπίστασθαι τὰς ὕλας τῶν τοιούτων φαρμάκων, οὐχ ἁπλῶς κατὰ γένος, ὡς Διοσκουρίδης ἄλλως ἔγραψεν, ἀλλ' ὡς ἡμεῖς ἐποιήσαμεν ἐν ταῖς περὶ τῶν ἁπλῶν φαρμάκων,

daciam. Quod ſi affectus cujuslibet eorum, quos curandos ſuſcipiunt, naturam ſcirent methodumque cognoſcerent, qua et ſimplicium ſingulorum medicamentorum vires et ſcopum curationis invenirent, non utique compoſitionis rationem ignorarent. Ut exempli gratia, cavum ulcus apertum, graece aperiſtaton, nihil enim mali est, ut quidam vocant, brevioris diſciplinae gratia, ſic nos quoque nominare, quomodo quis ſanare queat conſideremus, tanquam ſi nondum aliquod ei curando aptum medicamentum inventum ſit. Nam quum docti a ratione fuerimus, cavorum ulcerum curationem ſubminiſtrari naſcente alia carne loco perditae, ex ea videlicet, quae ſubjecta eſt, cogitavimus fieri non poſſe hoc, ſi in ulcere ſordes aut copioſa humiditas inſit. Verum ſordes medicamenta detergentia auferunt, humorem exiccantia diſcutiunt. Convenit igitur hujusmodi medicamentorum materias cognoſcere non ſimpliciter ſecundum genus, ut Dioſcorides alioqui ſcripſit, ſed uti nos in commentariis de ſimplicibus medicamentis ſecimus, non tantum

Ed. Chart. XIII. [675.] Ed. Baſ. II. (528. 329.)

οὐ μόνον γράψαντες ἤτοι θερμαίνειν ἢ ψύχειν ἢ τι τοιοῦτον ἕτερον ἐργάζεσθαι τόδε τι τὸ φάρμακον, ἀλλὰ καὶ ὅτι κατὰ τὴν πρώτην ἀπόστασιν ἢ δευτέραν ἢ τρίτην ἢ τετάρτην τοῦ μέσου φάρμακον τοιοῦτον εἴη. καὶ πολλάκις γε ὅτι κατὰ μεσοῦσαν ἑκάστην τούτων ἢ ἀρχομένην ἢ τελευτῶσαν, ὡς εἶναι δώδεκα τάξεις τῶν κατ' ἐπικράτειαν ἡντιναοῦν λεγομένων φαρμάκων. ἐνίοτε μὲν γὰρ ἤτοι μετρίως θερμαίνοντος ἢ ξηραίνοντος, ἐνίοτε δὲ σφοδρότατα ποιεῖν ὁτιοῦν τούτων δυναμένου χρήζομεν. ὁ δ' ἁπλῶς ὅτι θερμανθῆναι δεῖται τὸ μόριον ἐπιστάμενος οὐδὲν μᾶλλον αἱρήσεται λιβανωτοῦ πέπερι καὶ νᾶπυ. ταῦτ' οὖν εἴρηται μὲν ἡμῖν καὶ πρόσθεν, εἴρηται δὲ κἀν τῷ τρίτῳ τῆς θεραπευτικῆς μεθόδου. ὡς προεπισταμένους δ' αὐτὰ μετ' ἀποδείξεως τῆς προσηκούσης, ἐπὶ τὰ λοιπὰ προάξω τὸν ἐνεστῶτα λόγον ἐντεῦθεν (329) ἀρξάμενος. ἐπειδὴ ξηραίνοντός τε καὶ ῥύπτοντος μετρίως ἄνευ δήξεως ἐδείχθη δεόμενα τὰ σαρκωθησόμενα τῶν ἑλκῶν, ἀναμνησθῆναι χρὴ τὴν ὕλην τῶν τοιούτων φαρμά-

apponentes vel calefacere vel refrigerare vel hujusmodi aliquid aliud quodvis medicamentum facere, verum etiam quod prima diſtantia vel ſecunda vel tertia vel quarta a medio tale exiſtat. Frequenter etiam, quod in horum media unaquaque vel incipiente vel deſinente ſit, ut duodecim medicamentorum, quae per excellentiam quancunque proferuntur, ordines ſubſiſtant. Interdum enim vel mediocriter calefaciens vel exiccans, interdum quod vehementiſſime quodvis horum facere poſſit, requirimus. Qui autem ſimpliciter partem calefactione indigere intelligit, non magis piper et ſinapi quam thus accipiet. Haec ſane et prius oſtendimus, diximus vero et in tertio methodi therapeutices commentario, quaſi vero praeſcientes, ea ex demonſtratione convenienti ad reliqua deducam, hinc praeſentis ſermonis ſumpto initio. Quoniam ulcera carne implenda, medicamento exiccante et detergente mediocriter ſine morſu indigere demonſtravimus, convenit ejusmodi medicamentorum materiam, quaenam ſit, in memoriam reducere. Indicata eſt

Ed. Chart. XIII. [673. 674.] Ed. Baſ. II. (529.)

κων ἥτις ἐστί. δέδεικται δὲ ἐν τῇ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως πραγματείᾳ, μετὰ τοῦ καὶ τὴν προσήκουσαν ἑκάστου τάξιν εἰρῆσθαι. τοῦτο γὰρ, ὡς ἔφην, ἔστι τὸ μάλιστα χρήσιμον, ὥστε ἐάν ποτε δέηταί τις ἰσχυροτέρου φαρμάκου, γινώσκειν ἐφ' ὃ μεταβήσεται, μὴ παρόντος δὲ τῶν ἁπλῶν μηδενὸς, ἐπὶ τὸ σύνθετον ἐρχόμεθα. [674] καὶ πρῶτόν γε ὑποκείσθω κηρὸν ἔχειν ἡμᾶς καὶ ἰόν, ἄλλο δὲ μηδὲν τῶν ἁρμοττόντων ἄντικρυς ἕλκει κοίλῳ, λιβανωτὸν λέγω καὶ ἶριν καὶ ἀριστολοχίαν, ἄλευρόν τε τὸ τῶν ὀρόβων καὶ πάνακος ῥίζαν, ὅσα τ' ἄλλα τοιαῦτα. γιγνώσκοντες οὖν ὅτι κηροῦ μὲν ἐπιτεθέντος μόνου ῥυπαρὸν εὑρεθήσεται τὸ ἕλκος, ὡς ἂν μήτε ῥύπτειν μήτε ξηραίνειν δυναμένου, δηχθήσεται δὲ καὶ διαβρωθήσεται καὶ φλεγμανεῖ προσαχθέντος ἰοῦ. τούτων μὲν ἑκάτερον παραιτησόμεθα, μέσον δ' ἐξ ἀμφοῖν ἄλλο ποιήσομεν, ἀσθενέστερον μὲν ἢ κατὰ τὸν ἰόν, ἰσχυρότερον δὲ κηροῦ. ἀλλ' ἐπεὶ βραχὺ μὲν ἀπολείπεται τοῦ χρησίμως ἂν προσαχθέντος ὁ κηρὸς, ὁ δ' ἰὸς ὑπερβάλλει πολὺ, πολλῷ τῷ κηρῷ μίξομεν ὀλίγον ἰοῦ. πόσον οὖν πόσῳ;

autem in libro de ſimplicium medicamentorum facultatibus, inſuper et conveniens ſingulorum ordo expoſitus eſt. Hoc etenim, ſicut dixi, admodum utile eſt, ut ſi quando fortiore quis medicamento opus habeat, ad quod digrediatur, cognoſcat. Verum quum ſimplex nullum habemus, compoſito utimur. Atque primum fingamus nos habere ceram et aeruginem, aliud nihil, quod cavo ulceri manifeſte conducat, thus dico, irim, ariſtolochiam, farinam ervorum, radicem panacis et quaecunque ex hoc ſunt genere. Quum igitur ſciamus cera ſola impoſita ſordidum ulcus evaſurum, ut quod neque detergere, neque exiccare poſſit, aerugine autem adjecta morſum et roſionem illatum iri, atque phlegmonem excitandam, horum ſane utrumque devitabimus, medium autem ex ambobus aliud conficiemus, imbecillius quidem aerugine, valentius autem cera, ſed quoniam haec paulo inferior eſt eo, quod commode queat adjici, aerugo autem multum praecellit, multae cerae parum aeruginis admiſcebimus. Quantam ergo quantae? hoc enim deinceps ve-

Ed. Chart. XIII. [674.] Ed. Baſ. II. (329.)

τοῦτο γὰρ ἐφεξῆς εἰπεῖν ἐστιν, ἀκριβῶς μὲν οὐχ οἷόν τε τὸ πόσον εὑρεῖν ἑκατέρου πρὸ τῆς πείρας, στοχάσασθαι δὲ οἷόν τε καὶ κρῖναι καὶ συνθεῖναι τὴν πρώτην, μηδεμίαν ἀποτυχίαν ἀξιόλογον ἔξον φάρμακον, ὥσπερ ἐγώ ποτ' ἐποίησα κατά τινα κώμην, ἐν ᾗ μήτ' αὐτὸς εἶχόν τι φάρμακον ἑπόμενον, ἄλλος τε οὐδ' ἠπόρει τῶν κατ' αὐτὴν, εὖρόν τε μόνα τῶν ἐπιτηδείων εἰς σύνθεσιν ἰὸν καὶ κηρόν. ἀναλαβὼν δ'. ἀμφότερα καὶ τήξας ἐπὶ πυρὸς τὸν κηρὸν σὺν ἐλαίῳ ῥοδίνῳ, ὡς γενέσθαι κηρωτὴν ὑγρὰν, ἔμιξα τῇ λίτρᾳ τῆς κηρωτῆς οὐγγίαν μίαν ἰοῦ, τουτέστιν τὸ δωδέκατον μέρος. ἐνενόησα γὰρ ἢ τὸ δέκατον ἢ τὸ ιβ'. μῖξαι τὸ πλέον μὲν ὑποπτεύσας, ὡς δριμύτερον ἐσόμενον τοῦ κηροῦ, τὸ δ' ἔλαττον, ὡς ἀσθενέστερον. ἐλθόντες δὲ εἰς πεῖραν τοῦ συντεθέντος ἐφάνη καὶ τὸ δέκατον καὶ τὸ δωδέκατον ὀρθῶς μιγνύμενα κατὰ τὰς διαφορὰς τῶν σωμάτων. ὑπεδείχθη γὰρ ἡμῖν, ὅπερ καὶ διὰ τῆς πείρας μαρτυρεῖται, τὰ μὲν ἰσχυρὰ σώματα φαρμάκων ἰσχυροτέρων ἀνεχόμενα, τὰ δ' ἀσθενέστερα μὴ φέροντα τὴν τῶν τοιούτων προσφοράν. ἰσχυρότερα δὲ λέγω σώματα

nit dicendum. Exacte quidem quantitatem cujusque ante experientiam invenire nemo poteſt, conjicere tamen et judicare et componere medicamentum prima poteſt experientia, nullum inſigniter improſperum ſucceſſum habiturum, quemadmodum ego aliquando feci in quodam vico, ubi quum neque ipſe medicamentum, quod me ſequeretur, haberem, neque alius ex iis, qui ibidem agebant, copiam mihi facere poſſet, reperi ſolum ad compoſitionem idonea aeruginem et ceram, quibus acceptis et ad ignem cera liquefacta cum oleo roſaceo, ut liquidum ceratum fieret, miſcui cerati librae unciam unam aeruginis, hoc eſt, duodecimam partem, ſtatui enim decimam vel duodecimam miſcere, ſuſpicatus quidem majorem, ut acriorem, cera futuram, minorem tanquam imbecilliorem. Expertis autem nobis compoſitionem, viſae ſunt partes et decima et duodecima recte pro corporum differentia commixtae. Oſtendimus enim, quod etiam uſus atteſtatur, valida corpora validiora ſuſtinere medicamenta, imbecilliora hujusmodi non ferre. Validiora dico corpora,

Ed. Chart. XIII. [674] Ed. Baf. II. (329.)

τὰ ξηρότερα ταῖς κράσεσιν, ὁποῖα τά τε τῶν γεωργῶν ἐστὶ καὶ ναυτῶν καὶ κυνηγετῶν. ἀσθενέστερα δὲ τὰ μαλακώτερα κατὰ φύσιν ἢ ἔθος, ὁποῖα τὰ τῶν γυναικῶν, εὐνούχων τε καὶ παίδων, ὅσοι τ' εἰσὶν ὑγροὶ φύσει ταῖς κράσεσι λευκὸν καὶ μαλακὸν ἔχοντες τὸ σῶμα. τὰ μὲν οὖν σκληρὰ σώματα πλέονος ἰοῦ τῇ κηρωτῇ μιγνυμένου σαρκοῦται, τὰ μαλακὰ δὲ ἐλάττονος. ὅθεν, ὡς εἴρηται πολλάκις, ἓν φάρμακον ἀδύνατόν ἐστι πᾶσιν ἁρμόττειν σώμασιν, ἀλλὰ χρὴ μέσον μὲν εἶναι τὸ φάρμακον, ὡς πρὸς τὴν μέσην κρᾶσιν ἡρμοσμένον, ἄγεσθαι δ' ἐφ' ἑκάτερα τῇ καθ' ἑκάστην ἡμέραν χρήσει κρινόμενον. ἐὰν μὲν γὰρ φαίνηται τὸ δέον εἰργασμένον, ἐπιμένειν αὐτῷ προσήκει. ἐὰν δ' ἐλλιπέστερον, αὐξάνειν αὐτοῦ τὴν δύναμιν, ὥσπερ γε καὶ καθαιρεῖν, ἡνίκα περαιτέρω τοῦ προσήκοντος ἐνήργησεν. οἷον ἐπ' αὐτοῦ τοῦ προκειμένου διὰ τῆς κηρωτῆς καὶ ἰοῦ φαρμάκου, σκοπεῖσθαι πότερον ἐσαρκώθη τὸ ἕλκος ἢ σὰρξ μὲν οὐκ ἐγεννήθη, ὑπαρὸν δὲ εὑρέθη καὶ μεστὸν ὑγρότητος, ἢ πρὸς τῷ μὴ σεσαρκῶσθαι

quae temperamento ficciora ſunt, veluti agricolarum naturam et venatorum, imbecilliora, molliora vel natura vel victus conſuetudine, cujusmodi ſunt mulierum, eunuchorum, puerorum et qui naturali temperamento ſunt humidi, candido mollique corpore praediti. Dura igitur corpora ex copioſiore aerugine cerato admixta, carnem recipiunt, molliora ex pauciore. Unde, ut frequenter dictum eſt, unum medicamentum omnibus nequaquam convenire poteſt corporibus, ſed oportet medium eſſe, ceu ad mediam temperaturam aptatum, duci vero ad utramque ejus medii partem, dum quotidiano uſu probatur. Si enim quod res poſtulat ef feciſſe videatur, in eo manere convenit, ſi paulum deficiat, augere ipſius vires, quemadmodum etiam adimere, cum praeter modum efficax fuerit, velut in ipſo hoc propoſito medicamento, quod cerato et aerugine conſtat, conſiderare prius oportet, ulcuſne carne obductum ſit, an nondum, ſed ſordibus humoreque ſit refertum, vel praeterquam quod carne impletum non eſt, mordicationis ſenſus aliquis labo-

Ed. Chart. XIII. [674. 675.] Ed. Baſ. II. (329.)

δήξεώς τις αἴσθησις ἐγένετο τῷ κάμνοντι, καὶ θερμότερον ἢ ἐρυθρότερόν γε τὸ ἡλκωμένον ἐφάνη. ἐὰν μὲν οὖν ἀσθενέστερον φανεῖται, μίξει μέλιτος ἢ ἰοῦ τὴν δύναμιν αὐτοῦ παραυξήσεις, ἐὰν δ' ἰσχυρότερον, ἔλαιον ἢ ῥόδινον μίξεις μαλάττων τὸ μέλλον ἀναλαμβάνεσθαι τοῖς μετοῖς φάρμακον. ἐπὶ καιροῦ μὲν ἥ τε κηρωτὴ καὶ ὁ ἰὸς οὕτω μίγνυται, καθάπερ ἔφην ὑπ' ἐμοῦ μιχθῆναί ποτε. παρασκευὴ δ' ἔστω τοῖς ἰατρεύουσιν ἐμπλάστρου γεγονυίας ἣν ἀπὸ τῆς χρόας ὀνομάζουσι χλωρὰν, ἱκανῆς μὲν καὶ τὰ πρόσφατα τραύματα θεραπεύειν, ὅσα μὴ μεγάλα, δυναμένης δὲ καὶ διὰ ῥοδίνου τήκεσθαι πρὸς σύστασιν ἐμμέσου φαρμάκου. [675] δεήσει δ' αὐτὴν ἔχειν τι καὶ ῥητίνης, ἤτοι τῆς κολοφωνίας τε καὶ φρυκτῆς ὀνομαζομένης ἢ τῆς τερμινθίνης. εἴρηται δὲ ὅτι τῇ τερμινθίνῃ παραπλησία πώς ἐστιν ἡ λάριξ ὀνομαζομένη. στοχαστικὴ δὲ κἀνταῦθα τῆς μίξεως αὐτῶν ἐστιν ἡ ποσότης. ἐὰν μὲν γὰρ πλέον ἢ προσήκει μίξωμεν τῆς ῥητίνης, ἐν τῷ μαλάττεσθαι διὰ τῶν χειρῶν φαίνεται μαλακὸν, εἰς ὀθόνην δὲ ἐμπλασθὲν ὀλίγον ὕστερον ὡς δέρμα σκληρὸν ἔσται,

ranti ortus ſit, et calidior vel rubicunda magis pars ulcerata apparuerit. Si igitur imbecillius videatur, melle vel aerugine admixtis facultatem ejus adaugebis, ſi validius, oleum vel roſaceum miſcebis, molliens medicamentum, quod linamentis excipiendum eſt. Commode quidem ceratum et aerugo ſic miſcentur, quemadmodum a me nonnunquam eſſe mixta retuli. Confectura autem medicantibus haec eſto emplaſtri compoſiti, viride a colore vocant, ſanantis quidem et recentia vulnera, quaecunque non magna ſunt, ſed quod ex roſaceo ſimul ad mediocris medicamenti conſiſtentiam poteſt liquefieri. Quin et reſinae vel colophoniae et frictae nominatae vel terebinthinae nonnihil ipſum habere oportebit, oſtendimus autem laricem vocatam terebinthinae quodammodo eſſe ſimilem. Porro quantitas earum mixturae et hic conjecturalis eſt. Si enim plus reſinae quam ex uſu ſit admiſceamus, donec manibus ſubigitur, molle apparet, in linteolum vero illitum paulo poſt inſtar pellis durum erit, ſa-

Ed. Chart. XIII. [675.] Ed. Baſ. II. (329.)

ῥᾳδίως ἀποπῖπτον τοῦ σώματος. ἐὰν δὲ ἔλαττον τοῦ συμμέτρου μιχθῇ τῷ κηρῷ τῆς ῥητίνης, οὐχ ἕξει τοῦτο δὴ τὸ καλούμενον ἐχέκολλον, ὡς ἑλκόμενον ἐπὶ πλέον ἐκτείνεσθαι, πρόδηλον δ' ὅτι κἂν ἐπιτεθῇ κατά τινος μορίου, δυσκόλλητον ἔσται καὶ τάχος ἀποπῖπτον αὐτοῦ. τίς οὖν ἡ σύμμετρος μῖξις, ὡς πρὸς ἐμπλαστρώδη σύστασιν; εἰ μὲν ἐμοὶ πείθοις τὸ ἴσον ἑκατέρου. μήτε δὲ ὁ κηρὸς ἔστω ξηρὸς καὶ παλαιὸς μήτε ἡ ῥητίνη. κάλλιστα γὰρ οὕτως ἡ σύστασις γίγνεται τοῦ μιχθέντος ἐξ αὐτῶν, ἐὰν ἀμφότερα λιπαρὰ καὶ μαλακὰ παραλαμβάνηται. εἰ δ' ὑπερβάλλοι θάτερον, ἄμεινον ἀεὶ τὴν ῥητίνην ἐπικρατεῖν, ὥστε ἔνιοι καὶ διπλασίαν στακτῶ τῷ κηρῷ μιγνύουσιν.

Κεφ. β'. [Σκευασία τῆς ἁπλῆς χλωρᾶς Ἀνδρομάχου καὶ περὶ τῆς δυνάμεως αὐτῆς ἐξάπλωσις.] Καὶ τήν γε χλωρὰν, οὕτω γὰρ αὐτοὶ καλοῦσιν, ἐκ διπλασίας τῆς ῥητίνης ἔνιοι πεποιήκασι, δύο μὲν λίτρας ἐμβάλλοντες αὐτῆς, μίαν δὲ κηροῦ καὶ κνάθους δύο ἐλαίου. τοῦ δὲ ἰοῦ τινὲς μὲν δύο, τινὲς δὲ τρεῖς οὐγγίας ἐπεμβάλλουσι τῇ τοιαύτῃ μίξει

cile a corpore decidens. Sin minus juſto reſinae cum cera mixtum ſit, non habebit hoc, quod echecollon, id eſt *glutinans*, appellatur, ut diſtrahendo eo plurimum extendatur. Liquet autem, ſi alicui particulae impoſueris, fore ut difficulter agglutinetur et protinus ab ipſa delabatur. Quae igitur mediocris mixtura ceu emplaſtri conſiſtentiae conveniens? ſiquidem mihi fidem adhibes, par utriusque portio. Nec vero cera nec reſina ficca vetusque eſto, optimum ſiquidem ita amborum mixtionis coagmentum eſt, ſi ambo pinguia et mollia aſſumantur; ſi alterum excedat, ſemper reſinam praepollere ſatius eſt, quare nonnulli vel duplum hujus pondus cerae admiſcent.

Cap. II. [*Confectura ſimplicis emplaſtri viridis Andromachi et facultatis ipſius explicatio.*] Ac ſane viride nonnulli, ſic enim ipſi nominant, ex dupla reſinae portione confecerunt, duas quidem ejusdem libras, unam vero cerae et binos olei cyathos immiſcentes. Aeruginis autem alii duas, alii tres uncias hujusmodi cerae et reſinae mixtioni

Ed. Chart. XIII. [675.] Ed. Baſ. II. (329.)

τοῦ κηροῦ καὶ τῆς ῥητίνης. ἀλλὰ καὶ κατὰ τὴν σκευασίαν τὸν ἰὸν ἔνιοι μὲν ἐμπλάττουσι τακεῖσι τοῖς τηκτοῖς, ἔνιοι δὲ ψύξαντες, εἶτα ξύσαντες ἐν τῇ θυείᾳ τὴν μίξιν ποιοῦνται. ὅσοι δὲ κολλητικώτερον ἐναίμων ἑλκῶν βούλονται ποιῆσαι τὸ φάρμακον, ἐν θυείᾳ προλειώσαντες οὐν ὄξει τὸν ἰὸν ἐπεμβάλλουσι ξύοντες τὴν κηρωτήν. ἐάν τις οὖν πυνθάνηται ὑμῶν ποία τούτων τῶν χλωρῶν ἐμπλάστρων ἐστὶν ἀρίστη, μέμνησθε τὸ πολλάκις ὑπ' ἐμοῦ λεγόμενον, ἀποκρίνασθαι πάσας ἀρίστους εἶναι τῷ γινώσκοντι τὰς διαθέσεις αἷς ἑκάστη πρόσφορος ὑπάρχει, καθάπερ γε καὶ πάσας μοχθηρὰς τῷ μὴ γινώσκοντι. ἐμὸν μὲν γὰρ εἰπεῖν ὅτι γενναιότερον ξηραίνει τὸ προσλαμβάνον ὄξους. εὔδηλον δ' ὅτι τὸ πλέονα τὸν ἰὸν ἔχον ἰσχυρόν τέ ἐστι καὶ ξηραντικώτερον ἑλκῶν τε ῥυπαρῶν καθαρτικώτερον. ὅρος δὲ αὐτοῦ τὸ χωρὶς δήξεως ἐργάζεσθαι ταῦτα. τὸ γὰρ οὕτως ἰσχυρὸν, ὡς ἤδη καὶ δάκνειν ἐπιτιθέμενον ἕλκεσι καθαροῖς, οὔτε σαρκώσει ποτ' αὐτὰ καὶ καθ' ἕτερον τρόπον ὑγρὰ καὶ ῥυπαρὰ ποιήσει, παραπλησίως τοῖς ἐνδεῶς ξηραίνουσί τε καὶ ῥύπτουσιν, ἀλλ' ἐπὶ τῶν δριμυτέρων κοιλότερόν γε γίνεται τὸ ἕλκος, ἐρυ-

immittunt. Sed etiam in praeparatione liqueſactis, quae liquari poſſunt, aeruginem inſpergunt, quidam ubi refrigeraverint, mox raſerint, in mortario mixturam moliuntur. Porro qui medicamentum cruentorum ulcerum glutinantius facere ſtatuunt, aeruginem in pila prius cum aceto laevigatam injiciunt, ceratum radentes. Proinde ſi quis vos roget, quale horum viridium emplaſtrorum ſit praeſtantiſſimum, ſuccurat id, quod identidem a me praedicatur, reſpondere, omnia eſſe optima ei, qui affectus, quibus ſingula offeruntur, cognoſcat, ſicut et eos ignoranti omnia peſſima. Mei etenim officii eſt dicere, id exiccare valentius, quod acetum aſſumit. Conſtat autem, quod plus aeruginis continet, id tum validum eſſe tum magis exiccans tum ſordida ulcera rectius purgare. Terminus ipſius eſt, ut haec citra morſum efficiat, nam adeo valens, ut jam puris ulceribus impoſitum morſum pariat, nec ea unquam carne replebit, ſed alio modo humida ſordidaque reddet, ſicuti illa, quae parum integre ſiccant, de-

Ed. Chart. XIII. 675. 676.] Ed. Baſ. II. (329 330.)

ψρότερόν τε καὶ θερμότερον. ἔστι δ' ὅτε καὶ αὐτὸς ὁ κάμνων αἰσθάνεται τῆς δήξεως αὐτοῦ, μὴ τοίνυν ἁπλῶς ἐπαινεῖτε φάρμακόν τι (330) χωρὶς τοῦ προσθεῖναι τὴν διάθεσιν, ἐφ' ἧς ἐπαινεῖται, μήτ' ἐπ' ἄλλου τινὸς φαρμάκου μήτε ἐπὶ τῶν νῦν προκειμένων. ὅσοι μὲν οὖν ἀλλήλων ἐφεξῆς τὰς χλωρὰς γράψαντες οὐκ ὤκνησαν διορίσαι τὰς διαθέσεις, ἐφ' ὧν ὁρμόττουσιν, ἧττον ἁμαρτάνουσι τῶν μηδὲ τοῦτο ποιησάντων. ὅσοι δ' ἄνευ διορισμῶν γεγράφασι κατὰ τὰς μεταβάσεις αὐτῶν προστάττοντες, ἄλλη χλωρὰ, μοχθηροτάτην ποιοῦνται διδασκαλίαν, εἴ γε δὴ χρὴ διδασκαλίαν ὀνομάζειν ὅλως τὴν τοιαύτην γραφήν. ὁ γοῦν Ἀνδρόμαχος ἐν τῇ βίβλῳ, ἣν τῶν ἐκτὸς ἐπιγράφει, μετ' ὀλίγα τῆς ἀρχῆς πρώτας μὲν φαιὰς ἔγραψεν, εἶτα πυρρὰς, [676] καὶ μετὰ ταῦτα μελαίνας, εἶτα ἐπὶ τὰς χλωρὰς τραπόμενος ἀρχὴν τῆς διδασκαλίας ἐποιήσατο τοιάνδε, προγράψας, χλωραὶ, πρώτην ἁπασῶν ἔγραψε κατὰ λέξιν τήνδε. χλωρὰ Γάλλου. ℥ ῥητίνης στροβιλίνης ≺ τ'. κηροῦ ≺ ρ'. ἰοῦ ξυστοῦ ≺ ν'. λιβάνου

tergentque. Jam vero ex acrioribus cavum magis ulcus evadit et rubicundius calidiusque eſt, quum aeger etiam ipſe morſum ejus percipit. Ne igitur quodvis medicamentum ſimpliciter laudate citra diſpoſitionis, in qua commendatur, appoſitionem, nec in alio quoquam medicamento, nec in iis quae modo nobis proponuntur, id agendum eſt. Quos igitur, viridibus ordine ſuo deſcriptis, affectus, quibus ea conveniunt, diſtinguere non piguit, minus peccant quam ii qui ne hoc quidem fecerunt. Qui vero ſine diſtinctionibus ac indefinite ſcripſerunt, quum ad alia tranſeunt, apponentes, aliud viride, diſciplinam reddunt praviſſimam, ſi modo oportet omnino diſciplinam vocare hujusmodi ſcriptiones. Igitur Andromachus in libro, quem externorum inſcribit, paulo poſt principium, primo fuſca poſuit, mox ruſa, deinde nigra, poſtremo ad viridia converſus, diſciplinae hujusmodi initium fecit, praefixo nomine viridia. Ac quod principem locum habet, ſcripſit his verbis. *Viride Galli.* ℥ reſinae pinae ʒ ccc, cerae drach. c, aeruginis raſae drach. l, thuris

Ed. Chart. XIII. [676.] Ed. Baſ. II. (330.)

≺κέ. ὄξους τὸ ἱκανόν. ἔδει μὲν οὖν ἴσως αὐτὸν εἰρηκέναι τι καὶ περὶ τῆς σκευασίας, εἴτε καὶ τὸν λιβανωτὸν ἅμα τῷ ἰῷ λειοῦσθαι βούλεται παραχεομένου τοῦ ὄξους, εἴτε μόνον τὸν ἰόν. ἑκατέρως γὰρ ἐγχωρεῖ· καὶ κατὰ πολλὰς συνθέσεις οἱ μὲν οὕτως, οἱ δ' ἐκείνως ἔγραψαν. ἀλλ' ἐπὶ τούτου μὲν ἀπομαντεύσασθαι τῆς διανοίας αὐτοῦ δυνατὸν, ὡς ἄμφω τρίβεσθαι σὺν ὄξει βούλεται, τὸν λιβανωτὸν καὶ τὸν ἰόν. ἐπὶ τίνων μέντοι παθῶν ἐστι χρηστέον τῷ φαρμάκῳ, πάντως ἐχρῆν δεδηλῶσθαι. μή τι οὖν ἐπειδὴ πρὸ ταύτης ἐγεγράφει δύο τινὰς ἐμπλάστρους, ὧν ἐπὶ μὲν τῆς προτέρας προὔγραψε, πρὸς γαγγραίνας καὶ σηπεδόνας καὶ νομὰς παλαιὰς καὶ κακοήθεις, ἐπὶ δὲ τῆς δευτέρας, πρὸς νομὰς, ᾗ χρῶμαι, καὶ ἄλλα πολλὰ, διὰ τοῦτ' ἐφεξῆς ἔγραψεν, ἄνευ προσθήκης τὴν χλωρὰν ταύτην, ἐνδεικνύμενος ἐπὶ τῶν αὐτῶν διαθέσεων ἁρμόττειν αὐτήν. ἀλλὰ πάλιν ἐφεξῆς γράφων ἑτέραν ἁπλῶς εἶπε, χλωρὰ Ποτάμωνος, εἶτ' ἄλλην τρίτην χλωρὰν καὶ τετάρτην χλωρὰν, ᾗ χρῶμαι, καὶ πέμπτην ἄλλην, ἕκτην τε ἐπ' αὐταῖς ἑβδόμην τε καὶ ὀγδόην ἐνάτην τε καὶ δεκάτην ια'.

ʒ xxv, aceti quantum ſatis eſt. Conveniebat igitur ipſum nonnihil forſitan et de conſectura dixiſſe, num etiam thus ſimul cum aerugine in laevorum redigi aceto affuſo velit, an ſolam aeruginem, utrumque enim licet, atque in multis compoſitionibus nonnulli hoc, quidam illo modo ſcripſerunt. Verum in hoc mentem ejus conjicere poſſumus, nempe ambo cum aceto velle conteri, thus puta et aeruginem, attamen in quibusnam affectibus medicamento ſit utendum, ſignificatum prorſus oportebat. Numquid igitur, quoniam ante hoc duo quaedam emplaſtra ſcripſerat, quorum priori praepoſuit, Ad gangraenas, putredines, nomas vetuſtas et malignas, ſecundo ad nomas, quo utor, et alia pleraque, ideo viride iſtud ſine appoſitione deinceps protulit, oſtendens iisdem ipſum affectibus convenire. Caeterum aliud rurſus huic ſubjungens ſimpliciter dixit, viride Potamonis, deinde aliud tertium viride et quartum, quo utor. Ad haec quintum aliud, ſextum, ſeptimum, octavum, nonum, decimum,

Ed. Chart. XIII. [676.] Ed. Baſ. II. (330.)

τε καὶ δωδεκάτην καὶ ιγ'. τε καὶ ιδ'. τε ιε'. καὶ ιστ'. ἔγραψεν, ἓν μόνον τοῦτο προγράψας αὐτῶν ἑκάστης τὸ ἄλλη, διαφερούσας μὲν ἀλλήλων ἁπάσας κατὰ δύναμιν γράψας, οὐ μὴν πρός γε σηπεδόνας καὶ νομὰς καὶ γαγγραίνας ἐπιτηδείους ἁπάσας, ὡς ἐκ τῆς ὕλης αὐτῶν ἔνεστι γνῶναι. ᾧ καὶ δῆλον ὅτι κατὰ τὴν τῆς χρόας ὁμοιότητα μετ' ἀλλήλων ἔγραψεν αὐτὰς, οὐ κατὰ τὴν τῆς δυνάμεως. ἡμεῖς οὖν ἐροῦμεν ἑκάστης αὐτῶν τὴν δύναμιν, ἐκ τῆς τῶν ἁπλῶν φαρμάκων φύσεως ὁρμηθέντες. ἔσται γὰρ τοῦτο χρησιμώτατον τοῖς βουλομένοις οὐ μόνον ἐν τῷ καθόλου τὴν μέθοδον ἐπίστασθαι τῆς τε συνθέσεως καὶ χρήσεως τῶν τοιούτων φαρμάκων, ἀλλὰ καὶ διὰ τὸ αὐτοσχεδιάζειν δύνασθαι καὶ διαγινώσκειν τὰ χωρὶς διορισμοῦ γεγραμμένα τοῖς πρεσβυτέροις, ὁποίας ἐστὶ δυνάμεως. ἣν οὖν πρώτην ἔγραψεν ὁ Ἀνδρόμαχος ἐπισκεψόμεθα προχειριζόμενοι καὶ σκοπούμενοι τῶν ἁπλῶν ἕκαστον ἐξ ὧν σύγκειται. πρώτης οὖν ἐν αὐτῇ μνημονεύει ῥητίνης στροβιλίνης. ἔστι δ', ὡς ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ἐλέγετο, θερμαντικω-

undecimum, duodecimum, decimumtertium, decimumquartum, decimumquintum, decimumſextum, recenſuit, uno duntaxat hoc nomine, aliud, ſingulis praepoſitio, differentia quidem inter ſe omnia viribus commemorans, non tamen univerſa ad putredines, nomas et gangraenas idonea, quemadmodum ex ipſorum materia eſt cognoſcere. Unde etiam conſtat pro coloris, non virium ſimilitudine ſimul invicem haec ipſum conſcripſiſſe. Itaque nos cujusque eorum poteſtatem exponemus, a ſimplicium medicamentorum natura ſumpto principio. Nam hoc longe utiliſſimum fuerit iis, qui non ſolum in univerſali compoſitionis methodum ac uſum talium medicamentorum cupiant intelligere, ſed etiam ſuomet ipſorum marte conficere poſſe, et quae a veteribus citra diſtinctionem tradita ſunt, qualemnam facultatem habeant, dignoſcere. Quod igitur primum Andromachus prodidit, inſpiciamus, proponentes conſiderantesque ſimplicia ſingula, quibus confectum eſt. Primum igitur reſinae ſtrobilinae in eo meminit, quae ut in commentariis de ſimplicium medicamen-

Ed. Chart. XIII. [676. 677.] Ed. Baſ. II. (330.)

τάτη τε τῶν ῥητινῶν ἡ τοιαύτη, καθάπερ ἡ τερμινθίνη μετριωτάτη πασῶν εἰς ἄμφω. πᾶσαι μὲν γὰρ αἱ ῥητίναι θερμαίνουσί τε καὶ ξηραίνουσιν, ἀλλ' αἱ μὲν μᾶλλον, αἱ δ' ἧττον αὐτῶν ταῦτα δρῶσιν. ἰσχυροτάτη μὲν οὖν ἐστιν ἡ στροβιλίνη, μετριωτάτη δ', ὡς ἔφην, ἡ τερμινθίνη. καὶ μέντοι καὶ ξηραίνει τάχιστα μὲν ἡ στροβιλίνη καὶ τὸ καλούμενον ἰδίᾳ προσηγορίᾳ πιτύϊνον φύσημα, ῥητίνη μὲν ὑπάρχον τῷ γένει καὶ αὐτό, ξηραῖνον δὲ καὶ θερμαῖνον, ἀλλὰ τῷ μὲν ξηραίνειν οὐκ ἀπολείπεται τῆς στροβιλίνης, τῷ θερμαίνειν δὲ οὐκ ὀλίγον λείπεται. αὗται μὲν οὖν ἀλιπεῖς εἰσι ξηρανθεῖσαι, διὸ καὶ τὰς εὐαφεῖς ἐμπλάστρους οὐ δύνανται κατασκευάζειν, ὥσπερ αἱ γλίσχραι τε καὶ ὑγραί. μεταξὺ δὲ τοῦ τε πιτυΐνου φυσήματος καὶ τῆς στροβιλίνης ῥητίνης ἔστιν ἡ ἐλατίνη, κατά γε τὸ θερμαίνειν ὑγρὰ μὴν, ἕως πλείονος αὐτὴ διαμένει, καθάπερ καὶ τῆς κολοφωνίας ἡ λιβανίζουσα, καὶ ταύτην γε μόνην ἔνιοι καλοῦσι κολοφωνίαν, ἡδύ τι κατὰ τὴν ὀσμὴν ἔχουσα, ὥσπερ ἡ ἐλατίνη καὶ θερμαίνουσα συμμέτρως, ὡς ἐκείνη. γεννᾶται δ' ὀλίγη πάνυ καὶ διὰ τοῦτο τίμιος ὑπάρχει. ὑγροτάτη γε [677] μὴν ἁπασῶν ἐστι τῆς

torum facultatibus aſſerui, reſinarum longe calidiſſima eſt, ſicut terebinthina ambabus qualitatibus omnium moderatiſſima, omnes ſiquidem reſinae calefaciunt et exiccant, ſed hae magis, illae minus. Validiſſima igitur eſt ſtrobilina, moderatiſſima, ut dixi, terebinthina. Quin etiam ſiccat celerrime ſtrobilina, et quod peculiari appellatione pityinon phyſema dicitur, reſina quidem et ipſum genere, caeterum ſiccans et calefaciens, ſiccando autem a ſtrobilina non ſuperatur, calefaciendo plurimum. Hae ergo exiccatae pinguedinis expertes ſunt, ideoque emplaſtra bene adhaerentia conficere non habent, ut viſcoſae et liquidae. Inter pityinon phyſema, id eſt piceam et ſtrobilinam reſinam, media calore abietina eſt, liquida tamen diutius perdurat, ſicut etiam colophonia illa, quae thus redolet et quae nonnullis ſola vocatur colophonia, odoratu ſuavitatem quandam referens ſicut abietina et colore mediocri praedita ut illa, naſcitur autem admodum modica atque ob id pretioſa eſt. Humidiſſima ta-

Ed. Chart. XIII. [677.] Ed. Baſ. II. (330.)

λάρικος ὀνομαζομένης ῥητίνης, ἡ ἑτέρα διαφορά. διττὴ γάρ πώς ἐστι καὶ αὕτη, παραπλησία μὲν ἡ ἑτέρα τῇ τερμινθίνῃ κατὰ πάντα, δριμυτέρα δὲ αὐτῆς ἡ ἑτέρα καὶ τερμοτέρα καὶ ὑγροτέρα καὶ κατὰ τὴν ὀσμὴν ἀηδεστέρα καὶ κατὰ τὴν γεῦσιν πικροτέρα καὶ θερμοτέρα. ἡ δ' ὑφισταμένη τοῖς τὴν πευκίνην ῥητίνην περιέχουσι κεραμείοις ὑγρὰ ῥητίνη κατὰ μὲν τὴν στύστασιν καὶ τὴν χρόαν ἀκριβῶς ἔοικε τῇ τερμινθίνῃ, τῇ δ' ὀσμῇ καὶ τῇ γεύσει διενήνοχεν, ἀηδεστέρα μὲν οὖσα κατὰ τὴν ὀσμὴν, ὥσπερ καὶ δριμυτέρα, καὶ κατὰ τὴν γεῦσιν δακνωδεστέρα· διὸ καὶ κάλλιόν ἐστι τὴν τερμινθίνην μιγνύειν ἅπασι τοῖς μέλλουσιν ἕλκη καλῶς ἰάσασθαι φαρμάκοις, ἐπειδὴ πρῶτός τε καὶ ἄριστος ἐν αὐτοῖς ἐστι σκοπὸς ἄδηκτον εἶναι τὸ προσφερόμενον. ἐπὶ τὴν προκειμένην οὖν ἀνέλθωμεν ἔμπλαστρον, εἰς ἣν ὁ Ἀνδρόμαχος ἐμβαλεῖν κελεύει τῆς στροβιλίνης ῥητίνης τὰς ⊀τ'. ταῖς ἑκατὸν δραχμαῖς τοῦ κηροῦ μεμιγμέναις, οὔτε τῆς συστάσεως οὔτε τῆς δυνάμεως ἀκριβῶς ἐστοχασμένος ἢ αὐτὸς ἢ ὅ γε συνθεὶς αὐτήν. οὔτε γὰρ ἐχέκολλος ἔσται καὶ δριμεῖα γενήσεται, βοήθημα δ' αὐτῇ πρὸς ἄμφω καλῶς ἐποίησε τὸν λιβανωτὸν μίξας, ἀλλ' ὡς

men omnium eſt altera laricis appellatae differentia, nam haec quoque duplex quodammodo eſt, una quidem ſimilis in omnibus terebinthinae, altera hac acrior, calidior, magis liquida et odoratu gravior et guſtu amarior calidiorque. Porro humida reſina, quae in continentibus pineam reſinam ſubſidet vaſis fictilibus, conſiſtentia et colore terebinthinae adamuſſim ſimilis, odore et guſtu diverſa, ingratior quidem olfactu, ſicut etiam acrior et guſtu mordacior. Quare ſatius eſt, terebinthinam omnibus medicamentis, quae ulcera recte curabunt, admiſcere, quoniam primus praecipuusque in eis ſcopus eſt, ut id, quod offertur, non mordeat. Igitur ad compoſitum emplaſtrum revertamur, in quo Andromachus ſtrobilinae reſinae drach. ccc, cerae drach. c, mixtis jubet injicere, neque conſiſtentiam, neque virtutem exacte aſſequutus vel ipſe vel qui id compoſuit. Neque enim glutinans erit et acre fiet, auxilium vero ei ad utrumque contulit thus admiſcens, verum pro illorum copia paucum adeo,

Ed. Chart. XIII. [677.] Ed. Baſ. II. (330.)

πρὸς τὸ πλῆθος ἐκείνων ὀλίγον ἔμιξε καὶ μάλισθ' ὅτι τοῦ ἰοῦ ≺ ν'. ἐμβάλλει, μέρος δ' εἰσὶν ὄγδοον αὗται τῶν ἐκ τοῦ κηροῦ τε καὶ τῆς ῥητίνης ἀθροιζομένων τετρακοσίων. ἀλλὰ τοῦτο μὲν οὐκ ἄν τις μέμψαιτο τῷ σκοπὸν ἔχοντι ξηραντικὸν ἱκανῶς ἐργάζεσθαι φάρμακον, ἐπείτοι τῷ τε σαρκωτικὸν αὐτὸ καὶ τῶν μετρίων τραυμάτων κολλητικὸν ἀποτελέσαι βουληθέντι, αἱ ≺ ν'. καλῶς ἂν μιγνύοιντο. καὶ γένοιτ' ἂν οὕτω πραότερόν τε καὶ σαρκωτικώτερον ἐχεκολλότερόν τε καὶ πολυχρηστότερον. ἐπαινεῖν δὲ χρὴ τὴν τοῦ λιβάνου μίξιν, εἰς σύστασιν ἐμπλαστρώδη βοηθοῦντος· ἀνώδυνός τε γάρ ἐστι καὶ πεπτικός. εἰ μὲν οὖν ἴσον αὐτοῦ σταθμὸν ἐμίξατο τῷ ἰῷ, τουτέστι τὰς ≺ ν'. ἐχεκολλότερον τ' ἄν, ὡς ἔφην, εἰργάσατο καὶ πραότερον τὸ φάρμακον. ἐπεὶ δ' εἴκοσι καὶ ε'. ἔμιξε, τὴν ξηραντικὴν ἰσχὺν τοῦ ἰοῦ φυλάξαι βουληθεὶς ἐπιτήδειον εἴργασται τὴν ἔμπλαστρον, εἵς τε μειζόνων τραυμάτων κόλλησιν, ἑλκῶν τε δυσθεραπεύτων ἴασιν. ὅτι τε τοιοῦτον αὐτὸ γενέσθαι προὔθετο δηλοῖ καὶ ἡ τοῦ ὄξους μίξις. ἐν ἡμῖν οὖν ἐστι καὶ σφοδρότερον ἐργάζεσθαι καὶ πραότε-

praeſertim quum aeruginis drachmas quinquaginta immittat, octavam partem quadringentorum ex cera reſinaque collectorum explentes. Atqui nemo hoc illi vitio verterit, utpote cui conſilium fuerit medicamentum conficere vehementer exiccans, quum et alioquin ipſum carni generandae ac mediocribus glutinandis vulneribus aptum reddere volenti, drachmae quinquaginta miſceri recte poſſint, itaque lenius, ad carnem producendam commodius, adhaerendo pertinacius et ad multa utilius fieri. Commendanda vero eſt thuris commixtio, quod emplaſtri coagmentum juvet, anodynon enim eſt et concoquit. Quare ſi aequa ipſius portio aeruginis fuiſſet conjuncta, hoc eſt drachmae quinquaginta, glutinantius, ut dixi, redditum fuiſſet et mitius medicamentum. Quoniam vero vigintiquinque adjecit, ſiccantem aeruginis vim ſervare curans, emplaſtrum ad glutinandum majora vulnera et ulceribus vix ſanabilibus curandis idoneum factum eſt, quodque tale ipſum fore in animo habuerit aceti quoque mixtura innuit. Penes nos itaque eſt et vehementius

Ed. Chart. XIII. [677.] Ed. Baſ. II. (330. 331.)

ρον αὐτὸ, μιγνύουσι ἤτοι πλέον ἢ ἔλαττον ὄξους, ὡσαύτως δὲ δριμύτερον ἢ ἀδηκτότερον. ἐκ μὲν γὰρ τῆς τοῦ δριμυτέρου μίξεως, ὥσπερ καὶ τῆς τοῦ πλέονος, ξηραντικώτερον ἔσται τὸ φάρμακον, κολλητικώτερόν τε τῶν (331) ἐναίμων, οἰνώδους ὄξους μιχθέντος. ἄμεινον δ' ἐν τῇ συνθέσει τὸν ἰὸν σὺν ὄξει δριμεῖ λεαίνειν ἡμέραις πλείοσιν ἐν ἡλίῳ θερμῷ. τὸ μὲν γὰρ δηκτικὸν αὐτοῦ πραϋνθήσεται, τῆς δυνάμεως δ' οὐδὲν ἐλαττωθήσεται. τὸν λιβανωτὸν δ' οὐκ ἀναγκαῖον ἐξ ἀρχῆς μιγνύειν, ἀλλ' ἀρκεῖ μία πρὸς ταῦτα ἡμέρα. μεμνῆσθαι γὰρ ὑμᾶς νομίζω καὶ τούτου πολλάκις εἰρημένου τῶν μὲν ἰσχυρῶν φαρμάκων, ὁποῖός ἐστιν ὅ τε ἰὸς καὶ τὸ μίσυ καὶ ἡ χαλκῖτις καὶ τὸ σῶρυ καὶ ἡ λεπὶς ἥ τε χάλκανθος ἐν ὄξει λειουμένων ἡμέραις πλείοσι, τὴν μὲν δῆξιν ἀμβλύνεσθαι, τὴν δ' ἀρετὴν αὐξάνεσθαι. παχυμερέστερα γὰρ φύσει ὄντα τὰ μεταλλικὰ πάντα, μέχρι βάθους τῶν θεραπευομένων σωμάτων οὐκ ἐκτείνει τὰς δυνάμεις. ὅπως οὖν γένηται λεπτομερέστερα τὴν διὰ τῆς τρίψεως καὶ τοῦ ὄξους αὐτοῖς κατεργασίαν χρὴ προστίθεσθαι· διὰ ταύτης γὰρ ἀκριβῶς λε-

et lenius ipſum facere vel plus aceti vel minus miſcentes, ſicut acrius vel minus mordax. Etenim ex acrioris mixtione, quemadmodum etiam copioſioris, medicamentum exiccabit fortius et cruentorum erit glutinantius, ſi vinoſum acetum ſit adjectum. Porro praeſtat in compoſitione pluſculis diebus aeruginem ex aceto acri in ſole calido allaevigare; quod enim in eo mordax eſt, miteſcet virtusque nihilo fiet minor. Thus autem initio admiſcere neceſſarium non eſt, verum huic dies unus ſatis eſt. Siquidem meminiſſe vos puto et hujus, quod toties repeto, fortium medicamentorum, cujusmodi eſt aerugo, miſy, chalcitis, ſory, aeris ſquama vel chalcanthum, ex aceto diebus pluribus contritorum morſum obtundi, bonitatem augeri. Quoniam enim metallica, ut quae craſſioribus natura conſtant partibus, facultatem ſuam in altum usque corporis, quod curatur, non extendunt, ideo ut tenuiora fiant, iis per trituram et acetum adhibendus eſt cultus; haec enim curioſe ita attenuata ad intima us

Ed. Chart. XIII. [677.678.] Ed. Baſ. II. (331.)

πτουργηθέντα μέχρι τοῦ βάθους καταδύεται. προσέρχεται δέ τι καὶ ἄλλο χρηστὸν ἐν ταῖς τοιαύταις παρασκευαῖς τῶν φαρμάκων, ἀκριβῶς γὰρ κατεργασθέντα διεξέρχεται τοὺς κατὰ τὸ σῶμα πόρους, μηδαμόθεν κατὰ τὴν ὁδοιπορίαν ἰσχόμενα καὶ διὰ τοῦτο, κἂν ᾖ θερμότερα φύσει, [678] χωρὶς τοῦ δάκνειν ἐνεργεῖ. καὶ τῶν χυμῶν οὖν αὐτῶν κατὰ τὸ σῶμα γεννωμένων οἱ μὲν λεπτοὶ διαπνέονται ῥᾳδίως ἄνευ δήξεως, οἱ παχύτεροι δὲ κατεχόμενοί τε καὶ σφηνούμενοι λυποῦσιν, ὅταν ὦσι δακνώδεις. ὁ δ' αὐτὸς λόγος ἐστὶ καὶ ἐπὶ τῶν καυθέντων μεταλλικῶν φαρμάκων, ἀλλ' ἐκεῖνα μὲν ἐκ τῆς τοῦ πυρὸς ὁμιλίας διασώζει τι δακνῶδες, ὃ κατὰ τὰς πλύσεις ἀποθέμενα παντάπασι ἄδηκτα γίνεται. τὰ δ' ἀντὶ τοῦ πυρὸς ὅμοιόν τι καύσει παθοῦντα κατὰ τὴν δι' ὄξους ἐν ἡλίῳ τρίψιν οὐδὲ τὴν ἐκ τοῦ πυρὸς ἐπικτᾶται θερμότητα. λειούμενά γε μὴν ἐν ὄξει καὶ τὰ καυθέντα πολὺ βελτίω γίνεται. ταῦτά τε οὖν κοινὰ πολλῶν φαρμάκων ἐστὶν ἀναγκαῖα γιγνώσκεσθαι, τό τε τῆς χρήσεως αὐτῶν ὁμοίως, ἄλλο μὲν ἐπ' ἄλλων παθῶν. ἐπὶ δὲ τῶν κοίλων, ὅταν ἀνα-

que penetrant. Accedit autem et aliud quoddam commodum in hujusmodi medicamentorum praeparationibus, quod diligenter elaborata corporis meatus nusquam inter eundem retenta pertranſeunt, ejusque rei gratia et ſi calidioris naturae ſint, ſine morſu munere ſuo funguntur. Quin et inter humores ipſos in corpore generatos tennes facile citra morſum perſpirant, craſſiores retenti obſtructique moleſtant, ubi mordaces fuerint. Eadem ratio eſt in metallicis medicamentis combuſtis, ſed illa ex ignis commercio nonnihil mordax perſervant, quod per lavationes deponunt ac lenia prorſus redduntur. Quibus autem ſimile quippiam uſtioni ex tritura cum aceto in ſole facta ignis loco accidit, ea neque ex igne genitum calorem conſequuntur, ſi tamen et quae combuſta ſunt, ex aceto laevigentur, multo praeſtantiora fiunt. Igitur tum haec multorum medicamentorum communia ſunt cognitu neceſſaria tum uſus ipſorum ſimiliter, alius quidem in aliis affectibus, in cavis vero ulceribus cum

Ed. Chart. XIII. [678.] Ed. Baſ. II. (331.)

ληφθέντα μετοῖς ἐπεμβάλλεται. τὴν γοῦν προκειμένην ἔμπλαστρον, εἰ τήξας μετὰ ῥοδίνου χρῷο, χρησίμη μὲν ἐπὶ ῥυπαρῶν τε καὶ ὑγρῶν ἔσται ἑλκῶν, δακνώδης δ' ἐπὶ τῶν ἀπεριστάτων, καὶ διὰ τοῦτο δεήσει μίγνύειν αὐτῇ κηρωτὴν ὑγρὰν ἐκ κηροῦ καὶ ῥητίνης γεγονυῖαν ἤτοι διὰ ῥοδίνου τετηγμένην ἢ δι' ἐλαίου. γένοιτο δ' ἄν ποτε καὶ μυρσίνου χρεία καὶ χρὴ καὶ τῆς τούτων μίξεως ἐπίστασθαί τινα μέθοδον. ἐλαίου γοῦν ἓν μὲν ὄνομα, ποιότης δὲ καὶ δύναμις οὔ. τὸ μὲν γὰρ ὀμφάκιον ψυχρότερον, τὸ δ' ἐκ πεπείρων τῶν ἐλαιῶν θερμότερον. εἰ δὲ χρονίσειεν, αὐξήσει τὴν τοῦ θερμαίνειν δύναμιν. οὕτως δὲ καὶ τὸ μὲν ἁλῶν ἔχον, εἰς ὅσον ἂν ἐκείνων μεταλάβῃ, θερμαντικώτερόν τε καὶ ξηραντικώτερον τοῦ μὴ προσλαβόντος. τὸ δ' ἀπαλοὺς κλῶνας ἐλαίας, οὓς θαλλοὺς ὀνομάζουσι στυπτικώτερον. ὑπαγορεύει δέ σοι τὸ χρησιμώτερον ἥ τε τοῦ ἕλκους ἰδέα καὶ ἡ τοῦ θεραπευομένου σώματος φύσις, τοῦ μὲν ἕλκους ὑπὸ τῶν ἐναντίων θεραπευομένου, τοῦ δ' ἑλκομένου σώματος ὑπὸ τῶν ὁμοίων, ὥστε καὶ μυρσίνῳ τήξεις τὸ μέλλον ἔμμοτον ἔσεσθαι φάρμακον, ὅταν σοι φαίνηται πλαδαρωτέρα τοῦ προσήκοντος

linamentis excepta exponuntur. Propoſitum itaque emplaſtrum ſi ex roſaceo liqueſaciens eo utaris, prodeſt ſordidis et humidis ulceribus, aperiſtata vero, id eſt aperta, mordicat, cujus rei cauſa miſcendum ei eſt ceratum liquidum ex cera et reſina confectum vel ex roſaceo vel ex oleo liqueſactum. Poteris interdum et myrteo uti, atque horum mixtionis methodum quandam intelligas oportet. Olei ſane nomen unum eſt, qualitas et facultas diverſa. Nam omphacinum frigidius, ex maturis oleis preſſum calidius eſt, temporis autem proceſſu caleſaciendi vim auget. Sic etiam quod ſalem habet, quantum ex illo ſumpſerit, tanto calidius eſt, magisque ſiccat, quam quod ipſius expers eſt. Quod ſurculos oleae, quos thallos nominant, continet, valentius aſtringit. Indicat autem tibi id, quod eſt utilius, et ulceris forma et corporis aegri natura, ulceris quidem ſanandi contrariis, corporis autem ulcerati ſimilibus. Quapropter medicamentum, quod linamento exceptum immittendum eſt, myrteo liqueſacies,

Ed. Chart. XIII. [678.] Ed. Baſ. II. (331.)

ἡ γεννωμένη σὰρξ εἶναι καὶ μᾶλλον ὅταν ἐγγὺς ᾖ τοῦ συνουλοῦσθαι τὸ ἕλκος, ὡς ὅταν βραχύ τι φλεγμονῆς ἐν τοῖς πέριξ ὑπολείπηται, κάλλιστόν ἐστι σὺν ῥοδίνῳ τήκειν τὸ φάρμακον. ἄριστον δὲ ῥόδινον ἔμαθες εἶναι τὸ διὰ ῥόδων μόνον πολλῶν ἐμβραχέντων ἐπὶ πλέον ἐλαίῳ, χωρὶς ἁλῶν ἐσκευασμένῳ γεγονός. ἐὰν οὖν ταῦτά τις ἐν μνήμῃ προχείρῳ διὰ παντὸς ἔχῃ μεμνημένος τε ᾖ, καθάπερ ἔφην, πάντων τῶν ἁπλῶν φαρμάκων τῆς δυνάμεως, αὐτός τε συνθήσει πολυειδεῖς ἐμπλάστρους χλωρὰς, ἑκάστῃ τε τῶν ἤδη συγκειμένων ἄριστα χρήσεται. τὴν γοῦν προτεθεῖσαν ἄχρι δεῦρο κατὰ τὸν λόγον ἔμπλαστρον, ἣν πρώτην τῶν χλωρῶν ἔγραψεν ὁ Ἀνδρόμαχος, ἔνεστι μεταῤῥυθμίζειν πολυειδῶς, τοῦτο μὲν ἀντὶ τῆς στροβιλίνης ῥητίνης ἄλλην τινὰ βάλλοντα, τοῦτο δ' αὐξάνοντα τὸν λιβανωτὸν ἢ σὺν αὐτῷ βάλλοντά τι τῶν ξηρῶν σαρκωτικῶν, οἷον ἶριν, ἀριστολοχίαν, ὀρόβινον ἄλευρον, ὅσα τ' ἄλλα τοιαῦτα. καὶ μέντοι καὶ μαλακτικὸν τῶν ἐσκληρυσμένων χειλῶν τοῦ ἕλκους ἔνεστι μιγνύντα ποικίλλειν τὴν σύνθεσιν. ἐξ ἧς ἐννοίας ἔνιοι μὲν ἀμμωνιακὸν θυ-

quum generata caro flaccidior quam par eſt apparet, praeſertim ulcere ad cicatricem perveniente propemodum. Nam quum pauxillum quiddam phlegmones in ambientibus partibus relinquitur, optimum eſt medicamentum ex roſaceo liquare. Roſaceum vero praeſtantiſſimum eſſe noviſti, quod ſolis roſis pluribus in oleo citra ſalem praeparato diutius maceratis confectum eſt. Si ergo haec quiſpiam in memoria prompta ſemper habeat, nec oblitus ſit, ut praecepimus, omnium ſimplicium medicamentorum potentiae, et varia ipſe emplaſtra viridia componet et ſingulis jam confectis optime utetur. Emplaſtrum igitur hactenus in ſermone propoſitum, quod primum viridium ſcripſit Andromachus, multifariam licet adaptare, partim pro ſtrobilina reſina aliquam aliam adjiciendo, partim thus augendo vel cum eo ſiccum aliquod carne explens, velut irim, ariſtolochiam, ervi farinam atque hujus generis alia admiſcendo. Quin etiam, quod ora ulceris indurata emolliat, miſcendo compoſitionem variare licet. Unde nonnulli guttam ammoniaci et galbanum,

Ed. Chart. XIII. [678. 679.] Ed. Baſ. II. (331.)

μίαμα καὶ χαλβάνην, ἔνιοι δὲ μυελὸν ἐλάφειον ἢ μόσχειον ἢ στέαρ ἔμιξαν, ὥσπερ γε πάλιν ἄλλοι τῶν ἀποκρουστικῶν τι τὰς ἐπιῤῥοὰς ἀναστεῖλαι βουλόμενοι. κατὰ τοῦτο γοῦν οἱ μὲν τὴν σχιστὴν στυπτηρίαν, οἱ δὲ τὴν στρογγύλην, οἱ δὲ τὴν ὀμφακίνην ἐνέβαλον κηκίδα. τὸ λάδανον δὲ ἕτεροι τὰς δυνάμεις ἀμφοτέρας ἔχον ἔμιξαν μαλακτικήν τε καὶ ἀποκρουστικήν, ὅπως τὰ χείλη μαλάττοιτο καὶ μηδὲν ἐκ τῶν ὑπερκειμένων ἐπιῤῥέοι. καὶ μὴν καὶ ὅσοι τὰ δυσαλθῆ θεραπεῦσαι ἠβουλήθησαν, ὡς πολύχρηστον εἶναι τὸ φάρμακον, ἔμιξαν τοῖς προειρημένοις χρυσόκολλαν ἢ διφρυγὲς ἢ χαλκὸν κεκαυμένον ἢ λεπίδα, τινὲς μεν χαλκοῦ, τινὲς δὲ στομώματος ἢ σιδήρου. [679] καὶ σχεδὸν ἅπαντα τὰ νῦν εἰρημένα φυλάττει τὴν χρόαν τῶν χλωρῶν ἐμπλάστρων, ἕτερα δὲ τῶν αὐτῶν ὄντα δυνάμεων, εἰ μιχθείη, διαφθείρει. διόπερ οὐδὲ ἐγὼ πάντων ἐμνημόνευσα τῶν καθ' ἑκάστην δύναμιν, ἀλλὰ μόνων ἐκείνων, ὅσα τὴν χρόαν φυλάξει τῆς συντιθεμένης ἐμπλάστρου. προετέθη γὰρ οὐχ ἁπλῶς εἰπεῖν ὑπὲρ ἐμπλάστρων κολλητικῶν ἢ σαρκωτικῶν, ἀλλὰ μετὰ τοῦ χλωρὰς ὑπάρχειν αὐτὰς, ὥστε καὶ ταῦτα τὰ νῦν εἰρημένα καὶ χάλ-

nonnulli medullam cervinam aut vitulinam aut ſevum admiſcuerunt, ſicut rurſus alii repellens aliquod, dum influxus conantur reprimere. Hac ratione igitur alii ſciſſile alumen, alii rotundum, alii gallam immaturam adjecerunt, quidam ladanum utraque virtute praeditum, molliendi videlicet et repellendi, ut labra emolliantur et nihil ex ſuperioribus influat. Inſuper qui vix ſanabilia curare ſtuduerunt, ut multiplicis uſus medicamentum eſſet, adjunxerunt enumeratis chryſocollam vel diphryges vel aes combuſtum vel ſquamam, aliqui aeris, aliqui chalybis vel ferri. Et prope omnia modo enarrata viridium emplaſtrorum colorem ſervant, alia vero iisdem facultatibus praedita mixta corrumpunt. Quare nec ego omnium memini pro qualibet facultate, ſed illorum duntaxat, quae emplaſtri compoſiti colorem tuebuntur, non enim de glutinantibus vel iis, quae carni alendae ſunt, emplaſtris ſimpliciter, verum de eisdem viridibus dicere etiam ſtatuimus. Quamobrem haec modo narrata et

Ed. Chart. XIII. [679.] Ed. Baſ. IL (331.)

κανθος καὶ ὠμὴ χαλκῖτις βραχεῖ μέτρῳ μιγνύμενα φυλάττει τὴν χρόαν τῶν προκειμένων ἐν τῷ λόγῳ φαρμάκων. περὶ μὲν οὖν τῆς συνθέσεως τῶν τοιούτων αὐτάρκως εἴρηται, περὶ δὲ τῆς χρήσεως αὐτῶν προσεγεγράφθαι μὲν ἐχρῆν ὑπ' Ἀνδρομάχου καὶ ταύτην. ἐπεὶ δὲ ἐκείνῳ παραλέλειπται, προσθήσομεν ἡμεῖς αὐτὴν, εἰπόντες γε πρότερον ἕνα λόγον κοινὸν ἐπὶ τῇ χρήσει τῶν τοιούτων φαρμάκων. ἀναγκαῖος δὲ ὁ λόγος οὗτός ἐστιν· εἶτα τὴν καθόλου μέθοδον εἰπόντας τὰς κατὰ μέρος ἐπὶ τοῖς ἐκείνην μαθοῦσι ποιεῖσθαι προσῆκεν. διαλεκτικῶν δὲ ἀνδρῶν ἐστιν ἔργον τὸ τοιοῦτον, τὰς κατὰ μέρος ἐπὶ πασῶν γράφειν αὐτοῖς, ὡς ὁ Ἥρας καὶ Κρίτων καὶ ὁ Ἀσκληπιάδης καὶ ἕτεροι δὲ πολλοί. καὶ μὴν καὶ τρίτον εἶδός ἐστι διδασκαλίας, ὅπερ ἡμεῖς ποιοῦμεν μήτε ἐπὶ πάντων τῶν κατὰ μέρος φαρμάκων τὴν χρῆσιν γράφοντες, ἀλλὰ μηδὲ τῇ καθόλου κοινῇ τῆς μεθόδου διδασκαλίᾳ μόνῃ τὸ πᾶν ἐπιτρέποντες, ἀλλὰ διδάσκοντες μὲν ταύτην πρώτην, ἐπ' αὐτῇ δὲ ἓν ἢ δεύτερον ἢ καὶ τρίτον παράδειγμα γράφοντες ἕνεκα σαφηνείας τε καὶ γυμνασίας τῶν μανθανόν-

atramentum ſutorium et chalcitis cruda, ſi brevi menſura admiſceantur, colorem medicamentorum in ſermone praecedentium reſervant. Itaque de talium compoſitione abunde ſatis actum eſt. Uſum vero ipſorum quoniam Andromachus omiſit, a quo traditum eſſe conveniebat, nos apponemus, communem unum de talibus medicamentis uſurpandis ſermonem plane neceſſarium praefati, deinde univerſalem methodum interpretati, particulares eorum cauſa, qui illam didicerunt, convenit effingamus. At hujusmodi opus ad dialecticos pertinet in omnibus particulares ipſis perſcribere, ſicut Heras, Crito, Aſclepiades aliique complures factitarunt. Atqui etiam tertia diſciplinae ſpecies eſt, quam nos tractamus, neque in omnibus particularibus medicamentis uſum ſcribentes, imo nec univerſim communi methodi diſci plinae ſoli totum concedentes, ſed hanc quidem primam docentes, inde vero unum vel alterum vel etiam tertium exemplum claritatis et exercitii diſcentium gratia accom-

Ed. Chart. XIII. [679.] Ed. Baſ. II. (331. 332.)

των. ὥσπερ ἀμέλει καὶ νῦν ἔργῳ δείκνυμεν αὐτὰ, ὡς ἤδη καὶ διὰ τῶν ἔμπροσθεν αὐτὰ πράξαντες. εἰς ὅσον γὰρ ἥκει τοῦ ξηραίνειν τε καὶ ῥύπτειν τὸ φάρμακον εὑρόντες ἐκ τῆς τῶν συνθέντων αὐτὸ δυνάμεως, ἐκ ταύτης εὑρήσομεν καὶ τὴν διάθεσιν, ἐφ' ἧς ἔσται χρήσιμον. (332) *ἔνθα μὲν γὰρ ὑγρότης τε πολλὴ καὶ ῥύπος δαψιλὴς, ἐνταῦθα χρὴ προσφέρειν ἀξιολόγως ξηραῖνόν τε καὶ ῥύπτον φάρμακον· ἔνθα δὲ τὸ καλούμενον ἀπερίστατον ἕλκος ἐστὶ σαρκώσεως δεόμενον, ἐνταῦθα τὸ μετριώτατον τῶν ξηραινόντων τε καὶ ῥυπτόντων. τὸ δ' ἧττόν τε καὶ μᾶλλον ἐν αὐτῷ παρὰ τῆς τοῦ θεραπευομένου φύσεως εὑρίσκειν προσήκει. τοῖς μὲν γὰρ σκληροτέροις σώμασιν ἢ διὰ φυσικὴν κρᾶσιν ἢ διὰ ἡλικίαν ἢ διὰ χώραν ἢ ἐπιτηδεύματα μᾶλλον ξηραίνοντα προσφέρειν χρὴ, τοῖς δ' ὑγροτέροις τὰ ἧττον. ἡ μὲν οὖν πρώτη χρῆσις ἑκάστου τῶν ἐμμότων ὀνομαζομένων φαρμάκων, ἐκ τῶν εἰρημένων ἄρτι σκοπῶν λαμβάνεται στοχαστικῶς. ἡ δευτέρα δὲ, ὡς καὶ πρόσθεν ἔφην, ἐκ τῶν κατὰ τὸ θεραπευόμενον σῶμα φαινομένων σημείων. εἰ μὲν γὰρ ἀφλέγμαντόν τε καὶ*

modantes. Quemadmodum ſane ea et nunc re ipſa oſtendimus, ut jam in prioribus quoque fecimus. Nam quatenus medicamentum exiccet detergatque cum ex ſimplicium facultate, quae id conſtituunt, invenerimus, inde ſimul affectionem, cui conveniet, adipiſcemur. Ubi enim humiditas multa et copioſa ſordes eſt, ibi deſiccans evidenter purgansque medicamentum applicare oportet, ubi vero apertum, aperiſtaton vocant, ulcus eſt, carnis indigum, moderatiſſimum inter exiccantia detergentiaque competit. Verum minoris majorisque in eo rationem ab aegri natura ſumere conducit. Siquidem durioribus vel ex temperamento naturali vel aetate vel loco vel ſtudiis, corporibus magis exiccantia exhibenda ſunt, humidioribus minus. Quapropter primus cujusque medicamenti linteolis excepti, emmoton appellatur, uſus ex praedictis nuper ſcopis conjecturali artificio ſumitur: ſecundus, ut etiam antea monuimus, ex ſignis in corpore curando apparentibus. Si namque cavum ulcus

Ed. Chart. XIII. [679. 680.] Ed. Baſ. II. (326.)

καθαρὸν εὑρίσκοιτο τὸ κοῖλον ἕλκος, οὐδὲν χρὴ νεωτερίζειν· εἰ δ' ὑγρότερον ἢ ῥυπαρώτερον, ἐπιτείνειν χρὴ τὸ ξηραντικὸν καὶ ῥυπτικὸν φάρμακον. εἰ δὲ κοιλότερον ἢ πρόσθεν, ἐκλύειν. ἐπιτείνεται μὲν οὖν μέλιτος μίξει, πραΰνεται δὲ ἐλαίου καὶ κηρωτῆς ἤ τινος τῶν ἐλαιωδῶν, ὁποῖόν ἐστι τό τε ῥόδινον καὶ τὸ μύρσινον καὶ τὸ κύπρινον ἁπλῶς ἐσκευασμένα, χωρὶς τῶν συμμάτων, ἅπερ προστιθέασιν, ἤτοι γε εὐωδίας ἕνεκεν ἢ τοῦ μέχρι πλείονος χρόνου διαμένειν ἀπαθῆ τὰ σκευασθέντα. εἰ δέ τις ἡμῖν τῶν φιλεγκλημόνων ἐγκαλέσειεν, ὡς παρὰ τὸ προκείμενον ἐξ ἀρχῆς ἐπὶ τὰς χρήσεις τῶν φαρμάκων ἄγουσι τὸν λόγον, ὑποσχομένοις περὶ συνθέσεως αὐτῶν ἐρεῖν, ἐννοήσας ὅτι καὶ κατὰ τὴν χρῆσιν γίγνεταί τις σύνθεσις ἡσυχασάτω. πρώτη μὲν γὰρ ἐν αὐτῇ σύνθεσίς ἐστιν ἡ τῶν μιγνυμένων τῇ κηρωτῇ φαρμάκων, δευτέρα δ' ἐν τῷ ῥόδινον ἢ μύρσινον ἢ κύπρινον ἢ σχοίνινον ἔλαιον ἢ μέλι προστιθέναι. καὶ περὶ μὲν τούτων ἅλις. [680] ἐπὶ δὲ τὴν γραφὴν τῶν ἤδη πεῖραν ἱκανὴν δεδωκότων ἐμπλάσιρων ἀφίξομεν. ταῦτα μὲν οὖν ἔγραψεν ὁ Ἀνδρόμαχος

citra phlegmonen et purum inveniatur, nihil novum tentare oportet, ſi humidius vel ſordidius, intendere deſiccans detergensque medicamentum ratio poſtulat, ſi cavum magis quam prius exiſtit, ſolvere; intenditur itaque mellis mixtione, mitigatur ex oleo et cerato vel oleoſo quopiam, cujusmodi eſt roſaceum, myrteum et cyprinum ſimpliciter praeparata ſine ſpiſſamentis, quae addunt odoris gratia, vel ut confecta diutius ab injuriis immunia permaneant. Jam vero ſi contentioſus quiſpiam nos increpet, tanquam praeter id, quod ab initio inſtituimus, ad medicamentorum uſus orationem deducamus, polliciti nos de eorum compoſitione verba facturos, ille conſiderato quod in uſu etiam confectura quaedam ſit, ſilentium ſibi imponat. Prima enim medicamentorum, quae cerato miſcentur, in eo confectio eſt, altera roſaceo vel myrteo vel cyprino vel lentiſcino oleo vel melle appoſito conſtat. Atque de his ſatis. Verum ad emplaſtra, quae jam per experientiam abunde probata ſunt, tranſeamus. Haec igitur Andromachus memoratu digna me-

Ed. Chart. XIII. [680.] Ed. Baſ. II. (332.)

ὠφελίμα φάρμακα τοῖς ἐπισταμένοις χρῆσθαι. τοιούτων δ' ὄντων αὐτῶν ἐκλέγεσθαι χρὴ τὰ τ' ἐξ ἐλαττόνων ἢ εὐπορηστοτέρων τῶν ἁπλῶν συγκείμενα καὶ τὰ πολυχρηστότερα καὶ τὰ τοῦ προκειμένου σκοποῦ μάλιστ' ἐχόμενα. γένοιτο δ' ἂν ὃ λέγω σαφέστερον ἐπὶ παραδείγματος. ἔστω δὴ τὸ παράδειγμα κοῖλον ἕλκος ἀπερίστατον ἐν ὑγιεινῷ σώματι. τὸ δὲ τοιοῦτον ἕλκος ὑπὸ τῆς καλουμένης λιτῆς χλωρᾶς ἐμπλάστρου θεραπευθήσεται, τακείσης ἅμα ῥοδίνῳ. λιτὴν δὲ καλοῦσι τὴν ἐξ ἰοῦ καὶ κηροῦ καὶ ῥητίνης. ἐγὼ δέ, ὡς ἔφην, ἑκατέρου μίγνυμι τὸ ἴσον, ἰοῦ δὲ τὸ δέκατον ἢ ιβ' ἢ ὄγδοον. ἔστι δὲ δηλονότι δωδέκατον μὲν, εἰ λίτραν κηροῦ καὶ λίτραν ῥητίνης, ἰοῦ δὲ μίξαιμεν οὐγγίας δύο. τὸ δέκατον δὲ, εἰ ταῖς δύο οὐγγίαις τοῦ ἰοῦ μίξαιμεν εἴκοσι συναμφοτέρου, τῆς τε ῥητίνης καὶ τοῦ κηροῦ, τουτέστιν εἰ ἑκατέρου δέκα. καὶ μέντοι κἂν εἰ τὸ ὄγδοον μέρος ἰοῦ μίξωμεν τῇ διὰ τοῦ κηροῦ καὶ τῆς ῥητίνης κηρωτῇ, καὶ οὕτως εὖ ἕξει. δριμύτερον μὲν γὰρ ἔσται καὶ ῥυπτικώτερον τὸ τοιοῦτο φάρμακον, οὐ μὴν ἄχρηστόν γε. τοῖς γὰρ σκληροῖς σώμασιν ἐπιτηδείως προσα-

dicamenta uſurpare ipſa ſcientibus praeſcripſit. Unde quum talia ſint, ea deligenda, quae ex paucioribus paratuve facillimis ſimplicibus componuntur, tum quae ad plura valent et propoſito maxime ſcopo ſerviunt. Res fiet exemplo ita dilucidior. Finge cavum ulcus apertum in ſano corpore, tale vero ab emplaſtro viridi, quod lite vocatur, liquefacto ex roſaceo curabitur, appellant autem litem quod ex aerugine, cera et reſina conficitur. Ego ſane, ut oſtendi, aequam utriusque portionem miſceo, aeruginis decimam vel duodecimam vel octavam. Eſt videlicet duodecima, ſi cerae pondo et reſinae tantundem, aeruginis ℥ ij, miſcuerimus, decima, ſi duabus aeruginis unciis, viginti ambarum, reſinae et cerae, hoc eſt utriusque decem adjiciantur, quin etiam ſi octavam aeruginis partem cerato ex cera et reſina confecto apponamus, etiam ſic bene habebit; nam acrius quidem magisque detergens hujusmodi medicamentum erit, non tamen inutile, duris enim corporibus percommode adhibebitur.

Ed. Chart. XIII. [680.] Ed. Baf. II. (352.)

χθήσεται. καλλίων δὲ σύνθεσις ἔσται τὸ μὲν ὄγδοον μέρος ἰοῦ μιξάντων τῇ διὰ τοῦ κηροῦ καὶ τῆς ῥητίνης συνθέσει, προλειωσάντων δὲ πλείοσιν ἡμέραις τὸν ἰὸν μετὰ ὄξους δριμυτάτου. κάλλιον δ' ἂν εἴη, εἰ καὶ λιβανωτοῦ μίξαιμεν ἥμισυ μέρος ἢ κατὰ τὸν ἰόν. ἐλαίου δὲ μίξεις, ὅταν μὲν χωρὶς ὄξους τε καὶ λιβανωτοῦ σκευάζῃς τὸ φάρμακον, ἰσαρίθμους κυάθους ταῖς οὐγγίαις τοῦ ἰοῦ. ὅταν δὲ λιβανωτὸν καὶ ὄξος μιγνύῃς, ἐὰν μὲν ἡ φρυκτὴ λιπαρωτέρα πως ᾖ καὶ μαλακωτέρα καὶ θέρους σκευάζῃς, οὐδὲν μίξεις· ὅταν δὲ σκληρὰ καὶ χειμῶνος, ἕνα κύαθον. ἔνεστι δέ σοι καὶ τῷ κηρῷ τῶν ὑγρῶν τινα μιγνύοντι ῥητινῶν μηδ' ὅλως ἐλαίου δεηθῆναι. μίξεις δὲ τῆς μὲν ὑγροτάτης τὸ τρίτον τοῦ κατὰ τὸν κηρὸν σταθμοῦ, τῆς δ' ἧσσον ὑγρᾶς τὸ ἥμισυ. γενήσεται δὲ δηλονότι τοιαύτη τις σύνθεσις. τὸν κηρὸν καὶ τὴν ῥητίνην τήξας καὶ ψύξας μῖξον ἰοῦ μέρει ποτὲ μὲν ὀγδόῳ, ποτὲ δὲ δεκάτῳ, ποτὲ δὲ δωδεκάτῳ, γιγνώσκων ἐπὶ μὲν τῶν σκληρῶν σωμάτων τὴν τε πρώτην συμμετρίαν ἁρμόττειν, ἐπὶ δὲ τῶν μαλακῶν τὴν τρίτην, ἐπὶ δὲ τῶν μέσων τὴν μέσην.

Melior evadet compoſitio, ubi octavam portionem aeruginis confecturae ex cera reſinaque immiſcuerimus, aerugine ex aceto quam acerrimo diebus pluſculis ante in laevorem redacta. Praeſtantior erit, ſi etiam thuris partem dimidio *minorem* quam *fuit* in aerugine indiderimus. Olei pares numero cyathos aeruginis unciis adjunges, cum ſine aceto et thure medicamentum conficis. Quando autem thus acetumque adjicis, ſiquidem fricta reſina pinguior quodammodo molliorque ſit ac aeſtate medicamentum praeparas, miſcebis nihil, ſi vero dura idque per hiemem conficis, cyathum j, infundes. Quod ſi liquidarum quampiam reſinarum cerae miſceas, oleo prorſus carere licet. Liquidiſſimae quidem tertiam cerae portionem addes, minus liquidae dimidiam. Fiet autem videlicet hujusmodi quaedam compoſitio. Ceram reſinamque liquatam ubi refrigeraveris, aeruginis parti nunc octavae, nunc decimae, alias duodecimae commiſceto, cognoſcens duris corporibus primam ſymmetriam convenire, mollibus tertiam, mediis mediam. Aeruginem ex aceto lae-

Ed. Chart. XIII. [680.] Ed. Baſ. II. (332.)

λειώσεις δὲ σὺν ὄξει τὸν ἰόν. εἰ δὲ πρᾳότερον βουληθείης ἐργάσασθαι τὸ φάρμακον, ἐμβάλλῃς τοῦ λιβανωτοῦ σταθμὸν ἥμισυν οὗ κατὰ τὸν ἰὸν ἐποιήσω. εἰ δέ τις τοῦδε πρᾳότερον, ἴσον τοῦ λιβανωτοῦ μίξεις τὸν ἰόν. καὶ χωρὶς δὲ τοῦ ξῦσαι ψύξαντες τὴν ῥητίνην μετὰ τοῦ κηροῦ καταχέομεν αὐτὰ τήξαντες ἐπὶ τὸν ἰόν τε καὶ τὸν λιβανωτὸν ἐν θυείᾳ μετ' ὄξους λελειωμένα. αὗται μὲν οὖν αἱ πρῶται συνθέσεις ἐμπλάστρου χλωρᾶς, κολλητικῆς μὲν ἐναίμων τραυμάτων, ὅσα μὴ μεγάλα καὶ μέχρι συνουλώσεως δὲ τἄλλα δυναμένης ἰᾶσθαι καὶ σαρκούσης, εἰ τακείη μετά τινος ἐλαιώδους ὑγροῦ, λέγω δὲ ἐλαιώδη τό τε ῥόδινον, ᾧ μάλιστα χρῆσθαι προσήκει καθ' ὃν εἴρηκα τρόπον ἐσκευασμένῳ, καὶ μετὰ τοῦτο τῷ μυρσίνῳ καὶ τῷ κυπρίνῳ καὶ τῷ σχινίνῳ, αὐτὸ δὲ τὸ ἔλαιον, ἐφ' ὧν μὲν βούλει θερμότητός τι προσθεῖναι τῷ τηκομένῳ φαρμάκῳ τὸ κοινὸν τοῦτο μίξεις. ἐφ' ὧν δὲ ψύξεως, τὸ καλούμενον ὠμοτριβὲς, ἐφ' ὧν δὲ στύψεως μύρσινον. ἐφ' ὧν δὲ μικτοῦ δυνάμεως ἐχούσης μέν τι καὶ πεπτικὸν, ἐχούσης δὲ καὶ ἀποκρουστικὸν τὸ ῥόδινον, ἐφ' ὧν δὲ βραχείας στύψεως μετὰ πλείονος θερμότητος κύπριόν τε

vigabis, ſi lenius medicamentum voles efficere, thuris pondus dimidium ejus, quod aerugo continet, adjungens, ſin hoc mitius, thus et aeruginem aequali modo committes. Atqui et reſinam cum cera, ubi ſine raſura refrigeraverimus, liquefactas aerugini thurique in pila ex aceto tritis ſuperfundimus. Haec igitur primae compoſitiones ſunt viridis emplaſtri, quod cruenta quidem vulnera non adeo magna glutinat et reliqua ad usque cicatricem ſanare poteſt et carnem in eis producere, ex humido quodam oleoſo liquatum. Voco autem oleoſa, roſaceum, quo maxime ad illum, quem retuli, modum confecto utendum eſt, et poſt hoc myrteo, cyprino et lentiſcino. Sed ipſum oleum, ubi medicamento liqueſcenti caloris quippiam adjicere cordi eſt, commune hoc miſcebis, in quibus refrigerare ſtudes, id quod omotribes appellatur, ubi aſtringere, myrteum, ubi mixtae facultatis aliquid, concoquens puta et repellens, roſaceum, in quibus modicam aſtringendi vim cum majore caliditate deſide-

Ed. Chart. XIII. [680. 681.] Ed. Baſ. II. (332.)

καὶ σχίνινον. πολλαὶ δὲ καὶ ἄλλαι συνθέσεις, ὡς ἔφην, ἔσονται τοῖς εἰρημένοις ἄρτι φαρμάκοις ἁπλοῖς, μιγνυμένων ἤτοι τῶν σαρκωτικῶν ἢ μαλακτικῶν ἢ τῶν στυπτικῶν ἢ τῶν τὰ δυσίατα τῶν ἑλκῶν ἰωμένων. [681] ἔνιοι δὲ καὶ τῶν διαφορητικῶν ἔμιξαν ὥσπερ γε καὶ τῶν ἐπουλωτικῶν. ἕτεροι δέ τινες πάντα μίξαντες ἤτοι καρύκην ἄχρηστον ἐποίησαν ἢ πολύχρηστον εὐτύχησαν ἐργάσασθαι φάρμακον, ὧν τὰς ὕλας ἐπιστάμενοι κεχρῆσθαι ταῖς εὑρημέναις ἤδη καὶ συντιθέναι παραπλησίως αὐτοὶ δυνήσεσθε. παραγράψω δὲ κἀγὼ τῶν ἐνδόξων ἐνίας, ἀρξάμενος αὖθις ἀφ' ὧν ὁ Ἀνδρόμαχος ἔγραψεν. εἰσὶ μὲν οὖν ἐφεξῆς τῇ προσγεγραμμένῃ τριάκοντά που. τὰς δ' ἐπαινουμένας ὑπ' αὐτοῦ μόνας παραθήσομαι. τετάρτη μὲν οὖν ἀπὸ τῆς πρώτης οὕτωσὶ γέγραπται. χλωρὰ ℈ ἰοῦ ξυστοῦ ≺ θ'. χρυσοκόλλης ≺ θ'. τερμινθίνης οὐγγιῶν ισ'. μνᾶν μίαν, κηροῦ μνᾶς ἥμισυ, ὄξους ὀλίγον. ὥσπερ δὲ καὶ πρόσθεν εἶπον, οὐ προσέγραψεν ἑκάστῃ τῶν ἐμπλάστρων ὁ Ἀνδρόμαχος τὴν ἐπαγγελίαν, ἀλλ' ἐκ τῆς ὕλης τῶν ἁπλῶν φαρμάκων, ἐξ ὧν συντίθησι τὴν προ-

ras, cyprinum et lentiſcinum. Porro et pleraeque aliae, quemadmodum dixi, compoſitiones erunt, dum medicamentis ſimplicibus modo commemoratis vel carne explentia vel emollientia vel aſtringentia vel quae difficilia ulcera curant, commiſcentur. Nonnulli vero digerentia miſcuerunt, ſicut etiam cicatricem ducentia. Aliis autem quibusdam omnia commiſcentibus vel confecturam inutilem vel medicamentum variis accommodum praeparare contigit. Quorum materias cognoſcentes tum jam inventis uti, tum ſimilia componere ipſi poteritis. Aſcribam tamen et ego nonnulla celebria ab iis denuo, quae Andromachus tradidit auſpicatus. Sunt itaque ordine a praecedenti triginta, quae vero ab ipſo commendantur, duntaxat adjiciam. Quartum ergo poſt primum ita ſcriptum eſt. *Viride*, *quo utor*. ℈ aeruginis raſae ℥ ix, chryſocollae ℥ ix, terebinthinae ℥ xvj, minam j, cerae minae dimidium, aceti parum. Quid ſingula emplaſtra polliceantur, non, ut prius dixi, praepoſuit Andromachus, ſed ex ſimplicium medicamentorum materia, ex quibus pro-

Ed. Chart. XIII. [681.] Ed. Baſ. II. (332. 333.)

κειμένην, οὐκ ἄδηλόν ἐστι καὶ αὐτὴν καθ' ἑαυτὴν πρὶν τακῆναι δύνασθαι θεραπεύειν ἕλκη καὶ τακεῖσαν ἔμμοτον γίγνεσθαι. τὴν μνᾶν δὲ οὐγγιῶν δεκαὲξ ἐμβάλλειν. ἡ γὰρ τῶν εἴκοσι, ὡς πρὸς τὴν τῆς χρυσοκόλλης καὶ τοῦ ἰοῦ ἰσομετρίαν μεγάλη. μετὰ δὲ ταύτην ἄλλας ἐφεξῆς γράψας τρεῖς, αὖθις ἑτέραν γράφει κατὰ λέξιν οὕτως. ἄλλη ℈ χρῶμαι. ♃ ἰοῦ ξυστοῦ λίτραν μίαν. μάννης οὐγγίας ι'. ἐγὼ λίτραν α'. κηροῦ λίτρας ε'. ῥητίνης φρυκτῆς λίτρας ε'. ῥητίνης ὑγρᾶς λίτρας ε'. ἐλαίου κύαθον α'. ὄξους τὸ ἱκανόν. ἐγὼ δὲ καὶ (333) ἀμμωνιακοῦ θυμιάματος οὐγγίας ι'. ἐπὶ τούτοις μὲν ὁ Ἀνδρόμαχος ἐπαύσατο. πρόδηλον δέ ἐστιν, εἴ τι μεμνήμεθα τῶν προειρημένων, καὶ ταύτην αὐτὴν τὴν ἔμπλαστρον παραπλησίαν ἔχειν δύναμιν τῇ προγεγραμμένῃ. ἐφεξῆς τῇ προγεγραμμένῃ γράφων ὁ Ἀνδρόμαχος ἑτέραν οὕτως ἤρξατο. ἄλλη μολοχίνη. καὶ μετὰ τοῦτο τὴν συμμετρίαν τῶν ἁπλῶν φαρμάκων, ἐξ ὧν αὐτὴν συντίθησιν, ὑπέγραψεν οὕτως. ♃ ἰοῦ ξυστοῦ λίτραν α'. πίσσης λίτρας β'. μάννης λίτραν α'. κηροῦ λίτρας β'. ῥητίνης λίτρας β'. ἐλαίου λίτραν α'. ὄξους τὸ ἱκανόν. ἔστι

poſitum componit, nulli obſcurum eſt vel ipſum per ſe, priusquam liqueſiat, ulceribus mederi poſſe ac liquatum linamento exceptum immitti. Minam vero ſedecim unciarum injicit, nam quae viginti continet, ceu ad chryſocollae et aeruginis aequam menſuram, magna eſt. Poſt hoc vero aliis tribus ſeriatim productis, rurſus aliud ſic ad verbum ſubjungit. *Aliud, quo utor.* ♃ Aeruginis raſae lib. j, mannae ℥ x, ego lib. j, injicio, cerae lib. v, reſinae frictae lib. v, reſinae liquidae lib. v, olei cyathum j, aceti quantum ſatis eſt, ego etiam guttae ammoniaci uncias decem pono. Poſt haec Andromachus ceſſat. Liquet autem, ſi praedictorum meminimus, etiam hoc ipſum emplaſtrum perſimilem ſuperiori facultatem obtinere. Deinde aliud ſcribens Andromachus, ſic exorſus eſt. *Aliud Molochinum.* Ac poſtea ſimplicium medicamentorum ſymmetriam, unde ipſum conficit, his verbis ſubſcribit. ♃ Aeruginis raſae lib. j, picis lib. ij, mannae lib. j, cerae lib. ij, reſinae lib. ij, olei lib. j, aceti

Ed. Chart. XIII. [681.] Ed. Baſ. II. (333.)

μὲν οὖν αὕτη παραπλησία ταῖς ἔμπροσθεν. εὔδηλον δ' ὅτι τὸν μὲν ἰὸν καὶ τὴν μάνναν ἀνὰ λίτραν α'. ἑκάτερα μετὰ τοῦ ὄξους λειοῦσθαι χρὴ, διπλάσιον δὲ τούτων ἑκατέρου τοῦ κηροῦ καὶ τῆς πίσσης καὶ τῆς ῥητίνης, τουτέστιν ἑκάστου λίτρας β'. μετὰ τῆς τοῦ ἐλαίου λίτρας τήκεσθαι καὶ οὕτως μίγνυσθαι τοῖς λελειωμένοις μετὰ τοῦ ὄξους, ὡς πολλάκις ἡμῖν εἴρηται, ψύξαντας μᾶλλον καὶ ξύοντας ἢπερ ἐπικατερῶντας, ἵνα μήπου τοῦ περιέχοντος ὄντος ψυχροῦ συμβῇ τὰς καλουμένας ἐγκηρίδας συστῆναι. ἄλλην ἐφεξῆς τῇδε δόκιμον ἔμπλαστρον ἔγραψεν οὕτως. χλωρὰ ἑκατοντάδραχμος. ♃ ἀμμωνιακοῦ θυμιάματος ⊰ η'. λεπίδος ⊰ ιβ'. μάννης ⊰ η'. ῥητίνης ξηρᾶς ⊰ ιβ'. ἰοῦ ⊰ η'. στέατος μοσχείου ⊰ ιδ'. ῥητίνης τερμινθίνης ⊰ η'. κηροῦ ⊰ λ'. ἐλαίου κυάθου τέταρτον, ὄξους τὸ ἱκανόν. αὕτη καὶ κολλᾷν τραύματα δύναται μεγάλα καὶ τὰ ῥυπαρὰ τῶν ἑλκῶν καθαίρειν, προσλαβοῦσα δὲ κηρωτὴν ἐν τῷ τήκεσθαι σαρκοῦν. πρὶν δὲ τακῆναι καὶ τὰ παχύχειλα τῶν ἑλκῶν ἰᾶσθαι καὶ προστέλλειν κόλπους καὶ ὅλως διαφορεῖν καὶ ἀποκρούεσθαι δύναται.

quantum ſufficiat. Hoc itaque ſuperioribus ſimile eſt. Manifeſtum vero eſt utriusque et aeruginis et mannae parem portionem ex aceto laevigandam eſſe, duplam horum, cerae, picis et reſinae, hoc eſt cujusque lib. ij, cum olei libra liquanda, et ſic in laevorem ex aceto redactis admiſcere oportet, uti frequenter nobis dictum eſt, refrigerantes magis et radentes quam infundentes, ne aëre jam frigido encerides appellatas fieri contingat. Aliud ab hoc celebre emplaſtrum ſubnectit. *Viride Hecatondrachmon.* ♃ Guttae ammoniaci ℥ viij, ſquamae drach. xij, mannae drach. viij, reſinae ſiccae drach. xij, aeruginis drach. octo, ſevi vitulini ℥ xiv, reſinae terebinthinae drach. octo, cerae drach. xxx, olei quartam cyathi partem, aceti quantum ſatis eſt. Hoc et magna vulnera glutinare poteſt et ſordida ulcera purgare, ubi ceratum inter liqueſcendum aſſumpſerit, carni producendae eſt, prius quam vero liquafactum ſit, craſſas ulcerum oras ſanare et ſinus jungere, in totum digerere et re-

Ed. Chart. XIII. [681, 682.] Ed. Baf. II. (333.)

μικτὴ γὰρ ἐκ τῶν ἐναντίων δυνάμεών ἐστι. καὶ ἡ ἐφεξῆς δὲ αὐτῇ γεγραμμένη χλωρὰ παραπλησίας ἐστὶ δυνάμεως καὶ χρήσεως, ἔχουσα συμμετρίαν τήνδε. ♃ τερμινθίνης μνᾶν α'. σεραπιάδος βοτάνης ≺ κε'. ἰοῦ ξυστοῦ ≺ ι'. στέατος μοσχείου ≺ κε'. κηροῦ ≺ κε'. λιβανωτοῦ ≺ ιβ'. κύπρινον εἰς τὰ ξηρά. καὶ τὴν ὑπὸ τῶν ἄλλων λεγομένην ἴσιν, αὐτὸς ἄνευ ταύτης τῆς προσηγορίας ἔγραψεν οὕτως. χλωρὰ Ἐπιγόνου. πάντων δ' αὐτῆς μνημονευόντων, [682] οὐδὲν ἧττον καὶ νῦν γράψω τὴν κατὰ τοῦτο συμμετρίαν τῶν ἁπλῶν φαρμάκων, ἐπειδή τινες ἐν αὐτοῖς διαφέρονται. κελεύει γὰρ βάλλειν χαλκοῦ μὲν κεκαυμένου καὶ ἁλὸς ἀμμωνιακοῦ καὶ λεπίδος χαλκοῦ καὶ ἰοῦ καὶ ἀμμωνιακοῦ θυμιάματος καὶ ἀριστολοχίας καὶ λιβανωτοῦ τὸ ἴσον ἑκάστου ≺ η'. τουτέστιν γο α'. ἁλόης δὲ καὶ σμύρνης καὶ χαλβάνης, ἡμιόλιον τούτων ἑκάστου, τουτέστιν γο α' S''. ὅπερ ταὐτόν ἐστι τῷ φάναι γο ιβ'. καὶ ἡμίσειαν, στυπτηρίας τῆς στρογγύλης ≺ στ'. μίγνυσι καὶ τῆς κολοφωνίας ῥητίνης ≺ σ'. καὶ κηροῦ τὸ ἥμισυ, τουτέστιν ρ'.

pellere poteſt, nam ex contrariis facultatibus mixtum eſt. Quod ſuccedit viride nunc commemorato ſimilis et potentiae et uſus hujusmodi ſymmetriam obtinet. ♃ Terebinthinae minam unam, ſerapiadis herbae drach. vigintiquinque, aeruginis raſae drach. decem, ſevi vitulini drach. vigintiquinque, cerae drach. vigintiquinque, thuris drachmas duodecim, cyprinum aridis adjicitur. Ac emplaſtrum, quod ab aliis iſis nuncupatur, ipſe citra hanc appellationem in hunc modum conſcripſit. *Viride Epigoni.* Quum autem omnes ejus meminerint, nihilo minus et nunc ſimplicium in ipſo medicamentorum ſymmetriam adducturus ſum, quoniam nonnulli in eis diſſentiunt. Jubet enim immittere aeris uſti, ſalis ammoniaci, aeris ſquamae, aeruginis, guttae ammoniaci, ariſtolochiae et thuris, ſingulorum drachmas octo, hoc eſt unciam, aloës autem, myrrhae, galbani, ſingulorum ſexquiplex, hoc eſt unciam et ſemiſſem, quod perinde eſt ac ſi dicas omnium uncias duodecim et dimidiam, aluminis rotundi drachmas ſex. Miſcet etiam reſinae colophoniae drachmas ducentas, cerae dimidium, hoc eſt centum, olei hemi-

Ed. Chart. XIII. [682.] Ed. Baſ. II. (333.)

ἐλαίου δὲ κοτύλης τὸ ἥμισυ. τινὰς δέ φησι τέταρτον μιγνύειν καὶ ὄξους τὸ ἱκανὸν καὶ δρακοντίου ῥίζης τὸ ἥμισυ τῆς οὐγγίας, ὅπερ ἐστὶ ≺ δ'. ἐπὶ τέλει δὲ τοῦτο προσέγραψεν, οὐ φερόμενον ἐπὶ τῆς ἴσιδος γραφῆς. ὁ γὰρ Ἐπίγονος αὐτὸ προσέθηκε καὶ ταύτῃ διήνεγκεν ἡ ἴσις τοῦ Ἐπιγόνου. ἐφεξῆς δὲ ταῖς προγεγραμμέναις ὁ Ἀνδρόμαχος ἔγραψε χλωρὰν Πασίωνος ἐν τῇδε τῇ συμμετρίᾳ. ℔ ῥητίνης κολοφωνίας ≺ τ'. κηροῦ ≺ ρν'. ἰοῦ ≺ η'. στυπτηρίας στρογγύλης ≺ η'. λεπίδος χαλκοῦ ≺ ιβ'. λιβανωτοῦ ≺ ιστ'. χαλκοῦ κεκαυμένου ≺ η'. ἁλὸς ἀμμωνιακοῦ ≺ η'. ἐλαίου κυάθου τὸ ἥμισυ, ὄξους τὸ ἱκανόν. τοῦτο τὸ φάρμακον διὰ τὸ προειληφέναι τοὺς ἀμμωνιακοὺς ἅλας, ἑλκτικώτερον καὶ διαφορητικώτερον καὶ ῥυπτικώτερον τῶν ἔμπροσθεν ἐγένετο. τὰ δ' ἄλλα πάντα παραπλήσιον. ἰσχυροτέραν τῆς προγεγραμμένης καὶ πολυχρηστοτέραν ἔγραψε μετὰ μέσην μίαν ὁ Ἀνδρόμαχος, ἣν ὀνομάζει χλωρὰν Ἀλκιμίωνος, ἐν τῇδε τῇ συμμετρίᾳ. ℔ τερμινθίνης ≺ σ'. κηροῦ ≺ ρν'. λεπίδος χαλκοῦ ≺ ιη'. ἰοῦ ξυστοῦ ≺ ιστ'. στυπτηρίας στρογγύλης ≺ ιστ'. χαλβάνης ιστ'.

nae dimidium. Quosdam ait quartam partem miſcere, aceti quantum ſatis eſt, dracontii radicis unciae dimidium, quod eſt ʒ iv. In fine autem hoc adjecit, quod in iſidis ſcriptura non continetur, nam Epigonus id appoſuit, atque hac ratione iſis ab Epigono differt. Jam vero poſt nuper relata addidit Andromachus viride Paſionis hac ſymmetria. ℔ Reſinae colophoniae drach. trecentas, cerae drachmas centum quinquaginta, aeruginis drachmas octo, aluminis rotundi drach. octo, aeris ſquamae drach. duodecim, thuris drachmas ſedecim, aeris uſti drach. octo, ſalis ammoniaci ʒ viij, olei dimidium cyathi, aceti quantum ſufficit. Hoc medicamentum, quia ſalem ammoniacum prius aſſumpſit, magis quam ſuperiora extrahit magisque diſcutit magisque detergit, in aliis omnibus cum illis convenit. Fortius autem magisque ad multa utile praeſcripto poſt medium unum recenſet Andromachus, quod *Virido Alcimionis* nominavit in hac ſymmetria. ℔ Terebinthinae ʒ cc, cerae ʒ cl, aeris ſquamae ʒ xviij, aeruginis raſae ʒ xvj, aluminis rotundi ʒ

Ed. Chart. XIII. [682.] Ed. Baſ. II. (321.)

λιβάνου ι'. ἄλὸς ἀμμωνιακοῦ ⊰ιβ'. χαλκοῦ κεκαυμένου ⊰ιστ'. ἀριστολοχίας ⊰ι'. ἀλόης Ἰνδικῆς ⊰ιβ'. σμύρνης ⊰ιστ'. ἀμμωνιακοῦ θυμιάματος ⊰ιη'. χαλβάνης ⊰ιβ'. οἱ δὲ η'. ἐλαίου κοτύλης ἥμισυ, ὄξους κοτύλης ἥμισυ. ἄλλην ἐφεξῆς τῇδε γράφει καλουμένην Ἀθηνᾶν, ὡς αὐτὸς ἐπὶ τῇ τελευτῇ προσέγραψεν. ἔχει δ' αὐτῆς ἡ συμμετρία τῶν ἁπλῶν φαρμάκων, ἐξ ὧν σύγκειται, κατὰ τόδε. ℞ κηροῦ ⊰σ'. τερμινθίνης ⊰σ'. φρυκτῆς ⊰ρ'. στέατος μοσχείου ⊰ν'. χαλβάνης ⊰κδ'. μάννης ⊰κδ'. ἄλὸς ἀμμωνιακοῦ ⊰ιβ'. χαλκοῦ κεκαυμένου ⊰ιβ'. ἀλόης ⊰ιβ'. λεπίδος χαλκοῦ ⊰κδ'. στυπτηρίας στρογγύλης ⊰ιβ'. καὶ σχιστῆς ⊰η'. χαλκάνθης ⊰η'. μίσεως ⊰η'. ὀποπάνακος ⊰η'. ἰοῦ ξυστοῦ ⊰στ'. ἀμμωνιακοῦ θυμιάματος ⊰στ'. μίλτου Σινωπίδος ⊰γ'. ὄξους κοτύλας γ'. ἐλαίου κοτύλας β'. τὴν μίλτον ἐν ἀρχῇ βάλλε. Ἀθηνᾶ καλεῖται πολύχρηστον, ὡς ἔφην, καὶ τοῦτο τὸ φάρμακον, ὅπως δὲ δεῖ χρῆσθαι τοῖς πολυχρήστοις ἐν τῷ περὶ αὐτῶν λόγῳ δηλωθήσεται. ταύτῃ δ' ἐφεξῆς ἔγραψεν ἑτέραν χλωρὰν κατὰ λέξιν οὕτως. χλωρὰ διὰ Κυπρίνου Ἀφροδᾶ.

xvj, galbani ʒ xvj, thuris ʒ x, ſalis ammoniaci ʒ xij, aeris uſti ʒ xvj, ariſtolochiae ʒ x, aloës Indicae ʒ xij, myrrhae ʒ xvj, guttae ammoniaci ʒ xviij, galbani ʒ xij, alii octo, olei heminae dimidium, aceti heminae dimidium. Aliud inde ſcribit, cui titulus *Athena.* Minerva, ſicut ipſe ad calcem refert. Porro ſimplicium ejus medicamentorum ſymmetria, unde componitur, in hunc modum habet. ℞ Cerae ʒ ccl, terebinthinae ʒ cc, frictae ʒ c, ſevi vitulini ʒ l, galbani ʒ xxiv, mannae ʒ xxiv, ſalis ammoniaci ʒ xij, aeris uſti ʒ xij, aloës ʒ xij, aeris ſquamae ʒ xxiv, aluminis rotundi ʒ xij et fiſſilis ʒ viij, chalcanthi ʒ viij, miſyos ʒ viij, opopanacis ʒ viij, aeruginis raſae ʒ vj, guttae ammoniaci ʒ vj, minii Sinopici ʒ iij, aceti heminas tres, olei heminas duas, minium initio inditur. Athena, hoc eſt *Minerva* vocatur hoc emplaſtrum, utiliſſimum multis, ut indicavimus. Quomodo autem uſui erunt emplaſtra multis utilia, in ſermone de iis futuro ſignificabitur. Ab hoc deinceps aliud viride his verbis conſcripſit. *Viride ex Cyprino Aphrodae.* ℞

Ed. Chart. XIII. [682. 681.] Ed. Baſ. II. (333.)

℔ κηροῦ ≺ κδ'. ῥητίνης ξηρᾶς ≺ ιβ'. ἰοῦ ξυστοῦ ≺ η'. Ἀφροδᾶς ≺ ιβ'. μάννης ≺ η'. κυπρίνου κοτύλης ὄγδοον. συγκόπτεται δὲ αὐτῇ καὶ πρὸς τὰ δυσθεράπευτα τῶν ἑλκῶν ἁρμόττειν δύναται, καὶ διὰ τοῦτο ταύτην ἔγραψε, δι' ὀλίγων τε συντιθεμένην καὶ χρήσιμον εἶναι δυναμένην ἱκανῶς. ἐφιξῆς δὲ πολλὰς ἄλλας χλωρὰς γράφοντος τοῦ Ἀνδρομάχου, πολυμιγμάτους τε καὶ πολυχρήστους ἔδοξέ μοι καταλιπεῖν αὐτὰς, μόνων τῶν λιτῶν, ὡς αὐτοὶ καλοῦσι, μνημονεύσαντι. γράφει τοίνυν αὐτὸς κατὰ λέξιν οὕτως. ἑτέρα χλωρὰ λιτὴ ᾗ χρῶμαι. ℔ ῥητίνης λίτρας δώδεκα, κηροῦ λίτρας η'. ἰοῦ ξυστοῦ λίτρας δύο, στέατος μοσχείου λίτρας δύο, ὄξους λίτραν μίαν· ἐγὼ δὲ μάννης λίτραν μίαν ἐμβάλλω. [681] εὔδηλον οὖν ὅτι τὸ ὄξος μετὰ τῶν δύο λιτρῶν τοῦ ἰοῦ καὶ τῆς λίτρας τοῦ λιβανωτοῦ λειοῦσθαι βούλεται, καθάπερ ἔμπροσθεν εἶπον, εἶτα μίγνυσθαι τὰ τηκτὰ τούτοις. λέγω δὲ τὰς τοῦ στέατος λίτρας ὀκτὼ, μετὰ τῶν ὀκτὼ τοῦ κηροῦ καὶ τῶν ιβ'. τῆς ῥητίνης. ἡ ἔμπλαστρος αὕτη λιτὴ μὲν ἀκριβῶς ἂν ἦν, εἰ μήτε τοῦ στέατος εἰλήφει μήτε τῆς

Cerae drach. xxiv, reſinae aridae drach. xij, aeruginis raſae drach. octo, Aphrodas drach. xij, mannae drach. octo, cyprini dimidium acetabuli. Contunditur autem cum eo et difficilibus curatu ulceribus poteſt conducere. Atque haec cauſa eſt, cur ipſum ſcripſerit tum quod paucis conſtet, tum quod utiliſſimum eſſe poſſit. Quum autem multa deinceps viridia alia multiplicis mixturae et utilitatis adducat Andromachus, viſum mihi eſt ea relinquere et ut ipſi vocant, litas duntaxat percenſere. Is igitur ſic ad verbum ſcribit. *Aliud viride lite, quo utor.* ℔ Reſinae libras duodecim, cerae libras octo, aeruginis raſae libras duas, ſevi vitulini libras duas, aceti libram unam, ego autem mannae libram injicio. Liquet igitur acetum cum duabus aeruginis libris et libra thuris eſſe laevigandum, ſicut antea praecepi, deinde liquabilia his miſcenda, dico autem ſevi libras octo cum cerae octo et reſinae duodecim. Emplaſtrum hoc lite adamuſſim foret, niſi adipem aſſumpſiſſet et mannam, ita namque

Ed. Chart. XIII. [681.] Ed. Baſ. II. (333. 334.)

μάννης. οὕτως γὰρ ἂν ἦν ὁ ἰὸς δέκατον μέρος συναμφοτέρου, τῆς τε ῥητίνης καὶ τοῦ κηροῦ. καὶ εἴπερ ἦν ἡ ῥητίνη σκληρὰ, πάντως ἄν τι καὶ ἐλαίου ἐμίχθη, καθάπερ εἴρηται πρόσθεν. ἐπεὶ δὲ τὸ μόσχειον ἔλαβε στέαρ, οὐκέτ' ἀκριβῶς ἐστι λιτὴ, μαλακτικόν τε καὶ πεπτικὸν φάρμακον προσλαβοῦσα. πολὺ δὲ δὴ μᾶλλον εἰ καὶ τὴν μάννην λάβοι, πεπτικὴ γὰρ ἐστι καὶ διαπυητικὴ καί τι σαρκωτικὸν ἔχουσα.

Κεφ. γ'. (334) [*Κοινὸς λόγος ἐπὶ ταῖς ὁμοχρόαις ἐμπλάστροις.*] Ὅτι μὲν οὐ χρὴ κατὰ τὴν τῆς χροιᾶς ὁμοιότητα τὴν ἐν τῇ γραφῇ τῶν φαρμάκων γίνεσθαι κοινωνίαν, ἀλλὰ κατὰ τὴν τῆς δυνάμεως, εὔδηλον δήπου γε. γράφουσι γοῦν, ὥσπερ καὶ ὁ Ἀνδρόμαχος, οὕτως καὶ ἄλλοι τινὲς ἐφεξῆς ἀλλήλων, οὐ μόνον τὰς χλωρὰς ἐμπλάστρους, ἀλλὰ καὶ τὰς μηλίνας καὶ τὰς φαιὰς καὶ τὰς λευκάς. ὅπως οὖν αἱ λευκαὶ γίγνονται, διὰ τοῦ πρώτου τῶνδε τῶν ὑπομνημάτων εἶπον. ὅπως δὲ χλωραὶ καὶ πρόσθεν εἴρηται καὶ νῦν ἀναμνήσω.

Κεφ. δ'. [*Πῶς χλωραὶ γίνονται.*] Βάλλεται μὲν εἰς αὐτὰ ἰὸς οὐκ ὀλίγος, ἀλλ' ὥστε κρατῆσαι τῆς τῶν ἄλλων

aerugo decima amborum ſimul portio eſſet, reſinae videlicet et cerae. Quod ſi reſina dura fuerit, omnino etiam olei quid addendum putabis, ut prius expoſitum eſt. Quoniam vero ſevum vitulinum recepit nec amplius exacte eſt lite, ut quod molliens et concoquens medicamentum acceperit, multo autem magis, ſi etiam mannam aſſumpſerit, quae concoquit, purique movendo eſt et carnis gignendae quandam vim obtinet.

Cap. III. [*Communis ſermo de emplaſtris colore ſimilibus.*] Quo ſane medicamenta non ſecundum coloris, ſed facultatis ſimilitudinem una ſcribi conveniat manifeſtum plane eſt. Ut ergo Andromachus, ſic alii quoque nonnulli, ordine tradunt emplaſtra non ſolum viridia, ſed etiam melina, ſuſca et candida. Quo igitur modo fiant candida, priori volumine dictum eſt. Viridium vero compoſitionis licet antea expoſitae nunc quoque mentionem faciemus.

Cap. IV. [*Quomodo viridia fiant.*] Aerugo non pauca iis immittitur, ut et aliorum colorem vincat et omnia in

Ed. Chart. XIII. [681.] Ed. Baſ. II. (334.)

χρόας, αὐτῷ τε συνομοιῶσαι τὸ πᾶν. ἐστοχάσθαι δὲ δεῖ τὴν τοιαύτην ἔμπλαστρον συντιθέντα πρὸς τῇ ποσότητι τοῦ ἰοῦ καὶ τῆς τῶν μιγνυμένων αὐτῷ χροιᾶς καὶ τοῦ τρόπου τῆς ἑψήσεως, ἐπὶ μὲν τῶν μιγνυμένων φυλαττόμενον τὰς δυσκινήτους χροιάς, ὁπόσαι τῶν ξανθῶν εἰσι καὶ πυῤῥῶν καὶ μελάνων φαρμάκων. λέγω δὲ ξανθῶν μὲν καὶ πυῤῥῶν, οἷά πέρ ἐστι τό τε τῆς μηλίτου καὶ τὸ τῆς κεκαυμένης χαλκίτεως, ἀρσενικοῦ τε καὶ σανδαράχης. μελάνων δὲ, οἷά περ πίττης τε καὶ ἀσφάλτου καὶ γῆς ἀμπελίτιδος καὶ λίθου γαγάτου. κατὰ δὲ τὴν ἕψησιν οὐ χρὴ τοῖς ἐπὶ τοῦ πυρὸς ἑνουμένοις συμβάλλεσθαι τὸν ἰὸν, ἀλλ' ἑνωθεῖσι μίγνυσθαι κατὰ τὴν θυείαν, εἴπερ ἐθέλοις τῇ χρόᾳ χλωρὸν διαμεῖναι τὸ φάρμακον. εἰ δέ γε μηλίνην βούλοιο ποιῆσαι τὴν ἔμπλαστρον, εἰδέναι χρή σε κατὰ τὴν ἕψησιν, εἰς πρώτην μὲν ταύτην τὴν χρόαν μεταβαλόντα τὸν ἰὸν, ὕστερον δὲ εἰς τὴν κιῤῥάν, ὡς γενέσθαι τὴν ὀνομαζομένην δίχρωμον ἔμπλαστρον. ἐν γὰρ τῷ μετὰ τὴν ἕψησιν χρόνῳ, μετ' ὀλίγας ἡμέρας ἐπιπολῆς μὲν αὐτῇ γίγνεται τὸ φαιότερον, εἰς τὸ βάθος δὲ τοῦ φαρμάκου συντρέχει τὸ κιῤῥόν. ἐπεὶ δὲ περὶ τῆς χρόας αὐ-

ſuum permutet. Porro conjicere oportet eum, qui tale emplaſtrum conficit, praeter aeruginis quantitatem etiam colorem illorum, quae ipſi commiſcentur, ad haec coctionis rationem, in iis quae miſcentur quidem, colores pertinaces vitare, cujusmodi flava et ruſa et nigra medicamenta obtinent. Dico autem flava et ruſa, qualia ſunt melitites, chalcitis combuſta, auripigmentum, ſandaracha, nigra vero, quod genus ſunt pix, bitumen, terra ampelitis, lapis gagates. At inter coquendum non oportet aeruginem ſuper ignem coëuntibus committere, verum ubi in mortario unitas facta eſt, admiſcere, ſi colore viride medicamentum permanere deſideras, ſin autem melinum voles emplaſtrum conficere, intelligito in coctione aeruginem primum in hunc colorem perduci, poſtea in gilvum, ut emplaſtrum, quod dichromon, id eſt bicolor, appellant, evadat. Etenim a coctionis tempore paucis diebus poſt in ſummo quidem emplaſtri fuſcus magis redditur color, in imum vero gilvus currit. Quoniam vero

Ed. Chart. XIII. [681. 682.] Ed. Baſ. II. (334.)

τῶν εἴρηται τὰ προσήκοντα, μεταβήσομαι πάλιν ἐπὶ τὸν περὶ τῶν δυνάμεων λόγον, ἀναμνήσας ὅθεν πρώτως ὡρμήθην κατὰ τόδε τὸ βιβλίον. ὡρμήθην δὲ, εἴ τι μεμνήμεθα, περὶ τῶν σαρκωτικῶν φαρμάκων εἰπεῖν, ὧν ὁ μὲν τῆς δυνάμεως σκοπὸς ἐστιν ἐν τῷ μετρίως τε καὶ ἀδήκτως ῥύπτειν τε καὶ ξηραίνειν. αἱ δὲ κατ' εἴδη συνθέσεις διάφοροι κατὰ τὰς τῶν ἁπλῶν φαρμάκων ὕλας ὑπαλλαττόμεναι. πρόδηλον δ' ὅτι τὰ κυρίως τε καὶ πρώτως ὀνομαζόμενα σαρκωτικὰ τῶν ἀπεριστάτων ἑλκῶν ἐστι σαρκωτικὰ, τουτέστιν ὅσα κοῖλα μὲν, οὐ μὴν ῥύπον ἢ φλεγμονὴν ἔχει συνοῦσαν, ἔτι δὲ μᾶλλον οὐδ' ἐπιῤῥοὴν ὑγρῶν μοχθηρῶν, [682] οὐδὲ δύσκρατον κατὰ τὸ κοῖλον ἕλκος σάρκα. μιγνυμένου γάρ τινος τῶν εἰρημένων τῇ κοιλότητι, πρότερον ἐκεῖνο θεραπευτέον ἐστίν. οἱ σκοποὶ δὲ τῆς θεραπείας αὐτῶν εἰσιν ἐπὶ μὲν τῶν ῥυπαρῶν τὰ ῥύπτειν δυνάμενα φάρμακα, τῶν δ' ἐξ ἐπιῤῥοῆς ὑγροῦ τὸ ξηραίνειν τε καὶ ἀποκρούεσθαι τὸ ἐπιῤῥέον. εἰ δ' εἴη πολὺ καὶ δυσνίκητον, τὴν αἰτίαν τῆς ἐπιῤῥοῆς ἐκκόψαι πρότερον. εὔδηλον δ' ὅτι καὶ τῶν μὲν φλεγμαινόντων τὴν φλεγμονὴν

de ipſorum colore quae conveniebant diximus, rurſus ad facultatis ſermonem revertemur memoria repetentes, unde primum hoc in libro exordium ſumpſerimus. Agere autem coepimus, ſiquid meminimus, de medicamentis carnem generantibus, quorum facultatis ſcopus eſt, ut mediocriter et ſine morſu detergeant exiccentque, at ſpeciales confecturae pro diverſa ſimplicium medicamentorum materie differunt. Caeterum nemo ignorat, ea quae proprie et primario ſarcotica nominantur, aperta ulcera carne implere, hoc eſt quae cava quidem ſunt, non tamen ſordes aut inflammationem conjunctam habent, magis vero etiam nec pravorum humorum influxionem, neque carnem in cavo ulcere intemperatam, nam praedictorum aliquod cavitati ſi immixtum eſt, prius illud curandum. Scopi vero curationis ipſorum ſunt, ſordidis quidem detergentia medicamenta adhibere, eis vero quae ex influxione humorum proveniunt, exiccantia atque repellentia id, quod influit, at ſi multum et contumax exiſtat, fluoris cauſa prius amputanda eſt. Conſtat autem et

Ed. Chart. XIII. [682.] Ed. Baf. II. (334.)

ἰᾶσθαι χρὴ, τῶν δὲ δύσκρατον ἐχόντων τὴν σάρκα μορίων, εὔκρατον ταύτην ἐργάσασθαι, δυσκράτου δὲ αὐτῆς γιγνομένης, κατὰ τρόπους ἁπλοῦς μὲν τέτταρας, συνθέτους δὲ ἄλλους τέτταρας, ἡ ἴασις ἔσται διὰ τῶν ἐναντίων ποιοτήτων. ἀλλὰ περὶ μὲν τούτων καὶ αὖθις εἰρήσεται, περὶ δὲ τῶν ἰσχυρῶς ῥυπτόντων φαρμάκων ἐφεξῆς ἐρῶ.

Κεφ. ε'. [*Περὶ τῶν ἰσχυρῶς ῥυπτόντων φαρμάκων.*] Ὅτι μὲν ἐκ τοῦ γένους ἐστὶ ταῦτα τῶν προειρημένων, ὅσα τῷ μετρίως ῥύπτειν ἕλκεσι κοίλοις, καθαροῖς, ἀπεριστάτοις προσεφέρετο μηδ' ὅλως δάκνοντα, λέλεκται πρόσθεν. ἐπιτεταμένην δὲ τὴν ῥυπτικὴν δύναμιν ἔχει τὰ τὸν πολὺν ἀφαιροῦντα ῥύπον, ὥστ' ἔνια τῶν εἰρημένων φαρμάκων χλωρῶν ἑνὶ μόνῳ τῶν ἁπλῶς σαρκωτικῶν διαφέρει τῷ πλήθει τοῦ ἰοῦ. τινὰ δὲ καὶ τῶν ἄλλων, ὅσα ῥύπτει σφοδρῶς μίξει, καθάπερ ἴσις ὀνομαζομένη καὶ τὸ τοῦ Μαχαιρίωνος, ᾧ ἡμεῖς χρώμεθα συνήθως, ἐλαιώδει καλουμένῳ διὰ τὴν χρῆσιν. ἔνθα γὰρ ἡμῖν πρόκειται σαρκῶσαι κόλπον, ἐλαίῳ πυλλῷ τήκοντες ἐγχέομεν αὐτὸ δι' εὐθυτρήτου κέρατος, ἐν τρόπῳ κλυστῆρος

inflammatarum partium phlegmonem ſanandam eſſe, carnem autem intemperatam habentium, hanc ad temperiem reducendam. Porro intemperata illa quum fiat quatuor ſane modis ſimplicibus, quatuor item compoſitis, per contrarias qualitates ſuccurretur. Sed de his et poſtea. Nunc autem de medicamentis vehementer detergentibus agemus.

Cap. V. [*De medicamentis vehementer abſtergentibus.*] Quod haec ex praedictorum genere ſint, quae ob moderatam deterſionem cavis ulceribus, puris, apertis, ſine omni morſu admovebantur, antea diximus. Intenſam vero detergendi virtutem obtinent quae copioſas ſordes auferunt. Quare nonnulla ex praedictis viridibus medicamentis una re ſolum, nempe aeruginis copia, ab iis quae ſimpliciter carnem producunt, evariant. Quaedam et aliorum vehementer detergentium mixtura, ſicuti vocatum iſis et Machaerionis emplaſtrum, quod nos pro more uſurpamus, oleoſum ex uſu nuncupant, ubi enim ſinum carne implere proponimus, copioſiore oleo liqueſacientes per cornu recti foraminis, modo

Ed. Chart. XIII. [682.] Ed. Baſ. II. (334.)

ὑείᾳ κύστει συνημμένου, χρώμεθα καὶ τοῖς καλουμένοις πυουλκοῖς ἐπ' αὐτοῦ· καὶ γὰρ καὶ τούτων, ὅσοις εὐρύτερόν ἐστι τὸ τρῆμα, χρήσιμοι πρὸς τὴν τοιαύτην ὑπηρεσίαν εἰσί. πρόδηλον δ' ὅτι τὸν μὲν ῥυπαρὸν κόλπον ἐργαζόμεθα καθαρὸν, ἀκρατέστερον χρώμενοι τῷ φαρμάκῳ, τουτέστιν ἐλάττονι μιγνύντες ἐλαίῳ, τὸν δὲ καθαρὸν ἐπὶ πλέον ὑγραινομένῳ δι' ἐλαίου δαψιλεστέρου μίξεως. εἰ μὲν οὖν ὑποψία τις εἴη μεμιγμένης φλεγμονῆς ἔτι βραχείας τῷ κόλπῳ, διὰ ῥοδίνου πάντως τηκέσθω τὸ φάρμακον. εἰ δ' ἀφλέγμαντος εἴη, δι' ἐλαίου, κἂν ἀδήκτως ἀνέχηται τῆς τοῦ παλαιοῦ μίξεως, ἐκείνῳ διατηκέσθω τὸ φάρμακον. ἐπιτήδειον δὲ εἰς τὴν τοιαύτην χρῆσίν ἐστιν οὐ τοῦτο μόνον τὸ φάρμακον, ἀλλὰ καὶ τὸ τοῦ Μαχαιρίωνος καὶ ἡ ἴσις, ὅσα τ' ἄλλα γεγράφασιν οἱ πρὸ ἐμοῦ μετὰ κηρωτῆς μιγνύμενα σαρκωτικὰ γίγνεσθαι κοίλων ἑλκῶν. ἅπαντα γὰρ ταῦτα, χωρὶς τοῦ μιχθῆναι κηρωτῇ, δι' ἐλαίου καὶ ῥοδίνου τηκόμενα τοῖς κόλποις ἐνίεται διὰ τὸ μὴ δύνασθαι τὴν καλουμένην ἔμμοτον σύστασιν ἐνίεσθαι κόλποις, οὕτως γέ τοι καὶ τὸ διὰ τοῦ κεκαυμένου χάρτου

clyſteris porcinae veſicae conjuncti, ipſum infundimus. Quin et vocatis pyulcis, hoc eſt *pus trahentibus*, in eo utimur, etenim horum etiam ii, quibus latius foramen eſt, ad hujusmodi adminiſtrationem commodi ſunt. Perſpicuum autem eſt ſinus oppletos ſordibus ex meraciore hoc medicamento purgari, id eſt oleo pauciore adhibito, rurſus puriores ex humectato magis olei uberioris mixtura. Itaque ſi parvae adhuc phlegmones ſinum infeſtantis ſuſpicio quaepiam exiſtat, medicamentum ex roſaceo prorſus liqueſiat, ſin a phlegmone fuerit liber, ex oleo, et ſi citra mordicationem veteris mixturam ſuſtinuerit, illo medicamentum liquetur. Caeterum in hujusmodi uſum non ſolum hoc, ſed Machaerionis quoque emplaſtrum et iſis atque alia faciunt, quae majores noſtri perſcripſere, cerato mixta, cavis ulceribus carnem inducere. Omnia namque haec ſine cerati mixtura ex oleo et roſaceo liquefacta ſinibus immittuntur, eo quod conſiſtentia, quae linamento excipitur, emmoton ſyſtaſin vocant, ſinibus illini non poteſt. Pari modo et medicamentum

Ed. Chart. XIII. [682. 685.] Ed. Baſ. II. (334.)

φάρμακον ξηρὸν, ῥοδίνῳ πολλῷ μιγνύντες ἐγχέομεν αὐτοῖς. ὥσπερ δὲ οἱ κόλποι τῶν ὑγροτέρων δέονται φαρμάκων οὐ δυναμένων ἐνίεσθαι τῶν παχυτέρων, οὕτως ὅσα τῶν κοίλων ἑλκῶν ἐπιπολῆς ἐστι, παχυτέρου χρῄζει φαρμάκου διὰ τὸ ταχέως αὐτῶν ἀποῤῥεῖν τὰ ὑγρὰ καὶ καταλείπεσθαι ξηροὺς τοὺς μύτους. εἰκότως οὖν ἐπὶ μὲν τῶν τοιούτων τοῖς ἰσχυρῶς ῥυπτικοῖς μίγνυμεν κηρωτὴν, ἐπὶ δὲ τῶν κόλπων ἔλαιον ἢ ῥόδινον πάμπολυ. ταυτὶ δὲ τὰ οὕτως ῥυπτικὰ φάρμακα πάντως ἐστὶ καὶ διαφορητικὰ, καὶ διὰ τοῦτο καὶ ξηραντικὰ σφοδρῶς, καὶ γίγνεταί τι γένος αὐτῶν κοινὸν, ὃ καλοῦσι πολύχρηστον. ἐπέκεινα δὲ τούτου τοῦ γένους ἐστὶ τὸ τῶν πάνυ δριμέων ἐμπλάστρων, [685] ὁποῖαι καὶ αἱ καλούμεναι δι' ἁλῶν εἰσιν, ἃς οὐ χρὴ προσφέρειν ἔνθα σαρκῶσαί τι βουλόμεθα. πρὸς γὰρ αὖ τοῖς ἄλλοις καὶ τοῦτο τοῖς ἁλσὶν ἐξαίρετον ὑπάρχει τὸ στύφειν μᾶλλον ἢ ῥύπτειν. ἐπὶ τό γε ξηραίνειν οὐδὲν ἧττον ἔχουσιν ἀφρονίτρου καὶ νίτρου, ἀλλ' ἐκείνοις μὲν οὐ μέτεστι τῆς στυπτικῆς δυνάμεως, ὥσπερ οὐδὲ

ſiccum, quod combuſta charta conſtat, roſaceo copioſiore diluentes ipſis infundimus. Quemadmodum vero ſinus liquidioribus medicamentis indigent, dum craſſiora imponi nequeunt, ita quae in ſummo cava ulcera affligunt, craſſius medicamentum deſiderant, hac videlicet occaſione, quod liquida ſtatim ab eis decidunt et linamenta ſicca relinquuntur. Merito igitur in id genus vitiis ceratum valide abſtergentibus admiſcemus, in ſinibus oleum vel roſacei plurimum. Atqui haec in eum modum detergentia medicamenta omnino etiam diſcutiunt, ideoque vehementer exiccant ac commune quoddam ipſorum genus efficitur, quod polychreſtum, id eſt *multiplicis uſus*, appellant. Accedunt huic generi emplaſtra admodum acria, qualia ſunt ea quae di halωn, id eſt *ex ſalibus*, nominantur, quae non offerenda ſunt ubi carne quidquam explere cogitamus. Nam praeter alia hoc quoque ſal eximium habet ut aſtringat magis quam purget, ſiccare vero nihilo minus quam aphronitrum ac nitrum poteſt, ſed illa aſtringendi facultatem non agnoſcunt, ſicut

Ed. Chart. XIII. [685.] Ed. Baſ. II. (334 335.)

τῷ τῆς Ἀσίας πέτρας ἄνθει καὶ διὰ τοῦτο διαφορεῖν τε δύναται καὶ κηρωταῖς μιγνύμενα καθαίρειν ἕλκη ῥυπαρά. τοῖς δ' ἁλσὶν οὐχ ὑπάρχει τοῦτο διὰ τὴν στύψιν. τούτων οὖν μνημονεύουσιν ὑμῖν ἀκηκοόσι τε τὴν μέθοδον τῆς τε συνθέσεως καὶ τῆς χρήσεως ἁπάντων τῶν τοιούτων φαρμάκων ἐν τοῖς ἐφεξῆς γράψω τὰ δεδοκιμασμένα τῇ πείρᾳ πρὸς τῶν ἐνδόξων ἰατρῶν ἐπὶ φαρμάκων ἀρίστων γνώσει. πρώτων δὲ τῶν περὶ Μαντίαν καὶ τὸν μαθητὴν αὐτοῦ τὸν Ταραντῖνον Ἡρακλεί(335)δην πολλὰ φάρμακα γραψάντων, ἃ τοῖς μετὰ ταῦτα διὰ πείρας ἀφικόμενα διωρίσθη. καὶ τὰ μὲν ἄριστα ἐν αὐτοῖς αὐτοὶ πάλιν ἔγραψαν, ὅσα δ' ἧττον ἐκείνων ἐνεργεῖν ἐδόκει κατέλιπον. εἰκότως οὖν κἀγὼ τὴν πλείονα μνήμην ποιοῦμαι τῶν μετ' ἐκείνους γεγονότων. εἰσὶ δὲ αὐτῶν οἱ μάλιστα δοκοῦντες ἐν τῇ τῶν φαρμάκων ἐμπειρίᾳ κατωρθωκέναι, Πετρώνιος Μοῦσας καὶ Ἥρας καὶ Ἀνδρόμαχος, Ἀσκληπιάδης τε καὶ Κρίτων. γέγραπται δὲ καὶ τοῖς περὶ τὸν Ἀρχιγένην τε καὶ τὸν Φίλιππον οὐκ ὀλίγα φάρμακα. καί τι καὶ βιβλίον ἔν ἐστι Μενεκράτους ἐπιγεγραμ-

nec Aſiae petrae flos, hujus rei gratia diſcutere et ceratis admixta ulcerum ſordes tollere nata ſunt, ſal propter aſtringendi poteſtatem hoc efficere non poteſt. Proinde quum haec in memoria habeatis et methodum compoſitionis uſusque omnium ejusmodi medicamentorum audiveritis, deinceps illa quae a clariſſimis propter optimorum medicamentorum cognitionem experimentis probata ſunt, enumerabo, primum ſane Mantiae atque ejus diſcipuli Tarentini Heraclidis ſectatoris permulta medicamenta, quae ſubſequentibus annis per experientiam probantes diſtinxerunt et praeſtantiſſima eorum ipſi duo literis mandarunt, quae vero minus efficaciae habere videbantur, omiſerunt. Jure igitur et ego majorem facio mentionem eorum, qui illis ſucceſſerunt. Sunt autem inter eos, qui in medicamentorum experientia rectiſſime ſe geſſiſſe videntur, Petronius Muſa, Heras, Andromachus, Aſclepiades et Crito. Jam vero Archigenis et Philippi ſtudioſi non pauca medicamenta prodidere. Quin etiam liber unus eſt Menecratis, cui nomen inditum eſt inſignium

Ed. Chart. XIII. [685.] Ed. Baſ. II. (335.)

μένον, αὐτοκράτωρ ὁλογράμματος ἀξιολόγων φαρμάκων. ὅσα τε οὖν τούτοις γέγραπται κάλλιστα φάρμακα καὶ πρὸς αὐτῶν ἐπαινούμενα καὶ ὅσων ἡμεῖς πεῖραν ἔχομεν, ἐξ αὐτῶν τε τούτων τῶν γεγραμμένων καὶ ὧν οἱ διδάσκαλοι ἡμῶν ἐχρῶντο, καὶ εἴ τι καὶ ἡμῖν προσεξεύρηται, τοῦτ' ἐν τοῖς ἑξῆς γράψω, τίνος ἐστὶ γένους ἕκαστον αὐτῶν ἐξηγούμενος. νυνὶ δὲ ἐπὶ τὰς χλωρὰς διῆλθον, ἐφεξῆς ταύταις γράψω τὰς μηλίνας.

Κεφ. στ'. [*Μήλιναι ἔμπλαστροι.*] Ὥσπερ τῶν χλωρῶν ἐμπλάστρων αἱ πλεῖσται διὰ τὸν ἰὸν ἐπικρατοῦντα γίγνονται τοιαῦται, καὶ μάλιστα αὐτῶν αἱ εὐχρούστεραι, κατὰ τὸν αὐτὸν τρόπον καὶ αἱ μήλιναι. ἀλλ' αἱ μὲν χλωραὶ τὸν ἰὸν ἀνέψητον ἔχουσιν, αἱ μήλιναι δὲ ἑψόμενον μὲν, ἀλλὰ μετρίως. ὡς ἐάν γε ἐπὶ πλέον ἕψῃς, τὰς καλουμένας ὑπ' ἐνίων μὲν διχρώμους, ὑπ' ἐνίων δὲ κιρρὰς ἐργάσῃ. καλεῖν δ' ἔθος ἐστὶ τοῖς ἰατροῖς ἁπλῶς μὲν χλωρὰς καὶ μηλίνας καὶ κιρρὰς, ὅσαι κολλῶσί τε τὰ μὴ πάνυ μεγάλα τραύματα καὶ ἕλκη συνουλοῦσιν, ἃ καλεῖν τοῖς ἰατροῖς ἔθος ἀπερίστατα, σαρκοῦσί τε τὰ κοῖλα τηκόμεναι διὰ ῥοδίνου. πολύχρηστοι δὲ

medicamentorum imperator integris literis deſcriptus. Quae ergo pulcherrima ipſis tradita ſunt medicamenta et commendantur, quorumque nos inter omnia relata experientiam habemus et quibus praeceptores noſtri uſi ſunt, ad haec, ſi quod et nobis inventum ſit, deinceps adducam, quo ſingula genere contineantur exponens. Nunc autem viridibus relatis melina protinus ſubjungam.

Cap. VI. [*Melina emplaſtra.*] Quemadmodum viridium emplaſtrorum plurima propter aeruginem praepollentem talia fiunt, praeſertim quae ſunt ex ipſis coloratiora, ita quoque melina. Sed viridia aeruginem incoctam habent, melina vero coctam quidem, ſed mediocriter, nam ſi amplius coquas, bicolora emplaſtra quibusdam appellata quibusdam gilva efficies. Solent medici viridia ſimpliciter melina et ruſa nominare, quae non adeo magna vulnera glutinant et ulceribus cicatricem obducunt, quae mos eſt medicis appellare aperiſſata, quaſi dicas aperta. Item ex roſaceo liquefacta cavis carnem gignunt. Multiplicis uſus ſunt inter ea

Ed. Chart. XIII. [685. 686.] Ed. Baſ. II. (335.)

ἐξ αὐτῶν, ἐφ' ὧν ἐπαγγελία πλείων ἐστίν. ἔνιαι δὲ πολλὰς μὲν οὐκ ἔχουσιν ἐπαγγελίας, ἀξιόλογον δὲ μίαν, ἤτοι πρὸς τὰ κακοήθη τῶν ἑλκῶν ἁρμόττειν ἢ διαφορεῖν πῦον ἢ μελικηρίδας ἢ μαλάττειν σκληρότητας ἤ τι τοιοῦτον τῶν οὐκ εὐκαταφρονήτων οὐδ' εὐθεραπεύτων. ὁ Ἀνδρόμαχος μὲν οὖν ἔγραψε ιδ'. μηλίνας, ὧν αἱ πέντε μὲν ἔχουσιν ἰὸν, αἱ δ' ἄλλαι χωρὶς ἰοῦ γεγόνασι. τῶν δὲ τὸν ἰὸν ἐχουσῶν μία μέν ἐστι πρώτη γεγραμμένη τῶν ιδ'. μία δ' ἄλλη τετάρτη καί τις ἐπ' αὐτῆς ἕκτη καὶ μετ' ἐκείνην ἥ τε ζ'. καὶ ἡ ι'. ὅσαις μὲν οὖν οὐδὲν ἐξαίρετον προσέγραφεν, αὗται πᾶσαι καὶ κολλῶσιν ἕλκη καὶ ἐπουλοῦσιν. εἰ δὲ βούλοιτό τις, καὶ τακεῖσαι μετὰ ῥοδίνου σαρκοῦσι. θεραπεύουσι δὲ καὶ μετρίας φλεγμονὰς, ὥσπερ γε καὶ σκληρότητας μετρίας μαλάττουσι. καὶ μᾶλλόν γε τοῦτο ποιοῦσιν, ὅσαι θυμιάματος ἔχουσιν ἀμμωνιακοῦ. [686] καὶ τούτων αὐτῶν μᾶλλον ὅσαι πλείονος, ὡς πρὸς τὴν τῶν ἄλλων ἀναλογίαν. ἔν τισι δὲ προσέθηκεν αὐτὸς ἁπαλὴ, τουτέστι πρὸς ἁπαλοὺς χρῶτας ἁρμόττουσα δηλονότι. καὶ καθ' ἣν πρόσκειται τὸ ἐπισπαστικὴ καὶ ἐξι-

quae plura pollicentur. Quaedam multa non promittunt, ſed unum mentione dignum, videlicet vel ulcera cacoëthe bene curare vel plus digerere vel meliceridas vel duritias emollire vel hujusmodi quid non contemnendum nec curatu facile. Andromachus itaque quatuordecim melina conſcripſit, ex quorum numero quinque aeruginem habent, reliqua ſine hac confecta ſunt. Porro ex iis quae aerugine conſtant unum quidem primum inter quatuordecim poſitum eſt, alterum vero quartum, poſt hoc aliud ſextum, inde ſeptimum et decimum. Quibus ergo nihil eximii appoſuit, omnia ſimul et conglutinant ulcera et cicatricem inducunt. Quae ſi ex roſaceo liquefiant carnem procreant, quin et mediocribus phlegmonis medentur, ſicut mediocres etiam duritias emolliunt, atque hoc faciunt evidentius quae guttam ammoniaci continent, his adhuc ipſis magis, quae copioſiorem reliquorum proportione eam aſſumpſernnt. In quibusdam vero appoſuit ipſe tenerum, hoc eſt tenerae cuti conveniens videlicet, et cui praefixit, epiſpaſticon et exi-

Ed. Chart. XIII. [686.] Ed. Baſ. II. (335.)

πωτικὴ, δηλῶν ὅτι πρὸς περιωδυνίαν καὶ συνάγχην καὶ πλευροῦ πόνον ἁρμόττει. ἢ ὅτι διαφορεῖ τὰ ἐντὸς ἀποστήματα, πλέον τι ταύταις μαρτυρεῖ τῶν ἁπλῶς γεγραμμένων. ἐφεξῆς οὖν αὐτὰς ἁπάσας ὑπογράψω.

Κεφ. ζ. [*Μήλιναι Ἀνδρομάχου.*] *Μηλίνη ἣ χρῶμαι.* ♃ λιθαργύρου ≺ ρδ'. ἐλαίου θέρους κοτύλην α'. χειμῶνος κοτύλης ἥμισυ, κηροῦ ≺ μή'. κολοφωνίας ≺ μή'. ἀμμωνιακοῦ θυμιάματος ≺ κδ'. ἰοῦ ξυστοῦ ≺ η'. χαλβάνης ≺ η'. σμύρνης ≺ η'. *ἄλλη.* ♃ λιθαργύρου ≺ ρ'. ἐλαίου κυάθους γ'. ἢ κοτύλης ἥμισυ, ῥητίνης κολοφωνίας ≺ ξδ'. ἀμμωνιακοῦ θυμιάματος ≺ μ'. ψιμυθίου ≺ κδ'. *ἄλλη.* ♃ λιθαργύρου ≺ μ' ἢ ν'. ψιμυθίου ≺ στ'. κηροῦ Τυῤῥηνικοῦ ≺ ιστ'. ῥητίνης πιτυΐνης ξηρᾶς ≺ ιστ'. ἀμμωνιακοῦ θυμιάματος ≺ β'. ἐλαίου κοτύλην α'. *ἄλλη.* ♃ λιθαργύρου ≺ ρ'. κολοφωνίας ≺ ξδ'. οἱ δὲ μή. κηροῦ ≺ πδ'. χαλβάνης ≺ η'. σμύρνης ≺ η'. ἰοῦ ≺ η'. ὀποπάνακος ≺ στ'. ἐλαίου θέρους κοτύ-

poticon, id eſt attrahens et eruens, innuit membrorum doloribus, ſynanchae et lateris cruciatui benefacere vel interiores abſceſſus diſcutere, magis quoddam teſtimonium his afferens quam ſimplici ſermone ſcriptis. Igitur omnia ipſa deinceps ſubjiciam.

Cap. VII. [*Melina Andromachi.*] *Melinum quo utor.* ♃ Spumae argenti drach. civ, olei aeſtate heminam j, hieme heminam dimidiam, cerae drach. xlviij, colophoniae drach. xlviij, guttae ammoniaci drach. xxiv, aeruginis raſae drach. viij, galbani ʒ octo, myrrhae ʒ octo. *Aliud.* ♃ Spumae argenti drach. c, olei tres cyathos aut heminam dimidiam, reſinae colophoniae ʒ lxiv, guttae ammoniaci drach. xl, cerusſae ʒ xxiv. *Aliud.* ♃ Spumae argenti drach. xl aut l, ceruſſae drach. vj, cerae tyrrhenicae drach. xvj, reſinae pityinae ſiccae drach. xvj, guttae ammoniaci drach. ij, olei heminam unam. *Aliud.* ♃ Spumae argenti drach. c, colophoniae drach. lxiv, alii xlviij, cerae drach. lxxxiv, galbani ʒ octo, myrrhae ʒ viij, aeruginis ʒ octo, opopanacis drach. vj, olei heminam unam aeſtate, hieme vero hemi

Ed. Chart. XIII. [686.] Ed. Baſ. II. (335.)

λην α΄. χειμῶνος κοτύλης S″ ἢ κυάθους γ΄. ἄλλη. ℞ λιθαργύρου ≺ ρ΄. πιτυΐνης ῥητίνης ≺ ρ΄. κηροῦ ≺ ιβ΄. ἐλαίου κοτύλης ἥμισυ ἢ κυάθους γ΄. οἴνου Φαλερίνου κοτύλης ἥμισυ. ἡ λιθάργυρος σὺν τῷ οἴνῳ λεαίνεται ἕως ξηρανθῇ, εἶτα ἕψεται. ἄλλη. ℞ λιθαργύρου ≺ ρ΄. ἐλαίου παλαιοῦ κοτύλας σ΄ ἢ β΄. κηροῦ ≺ ρ΄. ἰοῦ σκώληκος ≺ κε΄. χαμαιλέοντος μέλανος ≺ ιβ΄ καὶ ἥμισυ, χρυσοκόλλης ≺ μ΄. ἄλλη. ℞ λιθαργύρου ≺ σ΄. ἐλαίου παλαιοῦ κοτύλας γ΄. κηροῦ ≺ ρξη΄. ἀμμωνιακοῦ θυμιάματος ≺ ρ΄. σμύρνης ≺ δ΄. ἰοῦ ≺ η΄ ἢ κ΄. ῥητίνης κολοφωνίας ≺ ρκη΄. χαλβάνης ≺ κ΄. χαμαιλέοντος μέλανος ≺ η΄. οἱ δὲ προπόλεως ≺ η΄ ἢ κ΄. ἀντὶ χαμαιλέοντος. ἄλλη. ℞ ἐλαίου παλαιοῦ ἐναπεζεσμένου χαμαιλέοντος, ὡς ὅτι πλείονος ξέστην α΄. λιθαργύρου λίτραν α΄. ἀναζέσας ἔμπασσε λιθάργυρον καὶ ἕψε. ἄλλη πρὸς νομάς. ℞ σανδαράχης ≺ γ΄. στυπτηρίας σχιστῆς ≺ δ΄. λιβάνου ≺ δ΄. σμύρνης ≺ δ΄. ἀμμωνιακοῦ θυμιάματος ≺ ιη΄. κηροῦ ≺ ιη΄. τερμινθίνης ≺ στ΄. στέατος ὑείου ≺ β΄. μέλιτος κοτύλης ἑκκαι

nam dimidiam vel tres cyathos. *Aliud.* ℞ Spumae argenti drach. centum, reſinae pityinae drach. c, cerae ʒ xij, olei heminam ß vel tres cyathos, vini Falerni hemmae dimidium. Spuma argenti ex vino laevis ſit, donec ſiccata fuerit, deinde coquitur. *Aliud.* ℞ Spumae argenti ʒ c, olei veteris heminas lxx vel duas, cerae drach. c, aeruginis ſcoleciae ʒ xxv, chamaeleontis nigri drach. xij ß, chryſocollae ʒ xl. *Aliud.* ℞ Spumae argenti ʒ cc, olei veteris heminas tres, cerae ʒ clxviij, guttae ammoniaci drach. c, myrrhae ʒ iv, aeruginis ʒ viij vel xx, reſinae colophoniae ʒ cxxviij, galbani drach. xx, chamaeleontis atri ʒ viij, alii propoleos drach. octo vel xx, pro chamaeleonte. *Aliud.* ℞ Olei veteris, in quo chamaeleon ſervefactus ſit quam copioſiſſimus, ſextarium unum, ſpumae argenti lib. j, ubi ebullierit, argenti ſpumam inſpergito et coquito. *Aliud ad nomas.* ℞ Sandarachae ʒ iij, aluminis ſciſſilis ʒ iv, thuris ʒ iv, myrrhae ʒ iv, guttae ammoniaci ʒ xviij, cerae ʒ xviij, terebinthinae vj, adipis ſuilli ʒ ij, mellis decimam ſextam heminae

Ed. Chart. XIII. [686. 687.] Ed. Baſ. II. (335.)

δέκατον. ἄλλη. ♃ λιθαργύρου ≺ ρή ℈ ρκ'. κηροῦ ≺ ρή ℈ ρκ'. ἐν ἄλλῳ ρ'. ἀμμωνιακοῦ θυμιάματος ≺ ν'. τερμινθίνης ≺ μ'. ἀριστολοχίας ≺ κέ. ζειᾶς ῥίζης ≺ ή ℈ κ'. ἰοῦ σκώληκος ≺ ιστ'. στυπτηρίας σχιστῆς ≺ ιστ'. ἐλαίου παλαιοῦ κοτύλας β'. ἄλλη ἁπλῆ. ♃ λιθαργύρου ≺ ρ'. ἀξουγγίου ≺ οέ. ἐλαίου παλαιοῦ ≺ οέ. πρὸς ἀπαλοχρῶτας καὶ διαφορεῖ. ἄλλη ἄφρα λεγομένη μαλακτικὴ μηλίνη Διοφάντους, ἐπισπαστικὴ καὶ ἐξιπωτικὴ, ἐν ᾗ ἄρθρα ἐθεραπεύθη. ♃ ἰξοῦ εἰργασμένου λίτραν α'. κηροῦ λίτραν α'. ῥητίνης τερμινθίνης λίτραν α'. χαλβάνου οὐγγίας γ'. τήξας χρῶ. ἄλλη Σαλώμη πρὸς πᾶσαν περιωδυνίαν καὶ συνάγχην μετὰ σικύας καὶ πρὸς πλευρᾶς πόνον. ♃ λιθαργύρου λίτρας β'. ἐλαίου παλαιοῦ οὐγγίας ή'. ἕψε ὁμοῦ.

[687] [Ἄλλη μηλίνη παρὰ Ἡρακλείδου, διαφοροῦσα τὰ ἐντὸς ἀποστήματα ἀνωδύνως.] ♃ Λιθαργύρου ≺ ρ'. ψιμυθίου ≺ ρ'. κηροῦ ≺ π'. ῥητίνης ξηρᾶς ≺ ξ'. ἀμμωνιακοῦ θυμιάματος ≺ ν'. χαλβάνης ≺ ιστ'. ἐλαίου παλαιοῦ κοτύλας β'. ὡς δὲ Ῥούστικος ὁ γνώριμος Ἰσιδώρου, ♃ λιθαργύρου ≺ ν'.

portionem. *Aliud.* ♃ Spumae argenti drach. cviij vel cxx, cerae ʒ cviij vel cxx, alibi centum invenio, guttae ammoniaci ʒ l, terebinthinae ʒ xl, ariſtolochiae ʒ xxv, zeae radicis ʒ viij vel xx, aeruginis ſcoleciae ʒ xvj, aluminis ſciſſilis ʒ xvj, olei veteris binas heminas. *Aliud ſimplex.* ♃ Spumae argenti ʒ c, axungiae ʒ lxxv, olei veteris drach. lxxv. Ad molli carne praeditos facit et diſcutit. *Aliud melinum emolliens, Diophantis aphra nominatur, attrahens et eruens, quo articuli curantur.* ♃ Viſci elaborati lib. j, cerae lib. j, reſinae terebinthinae lib. j, galbani uncias tres, liquefactis utitor. *Aliud Salome ad omnem dolorem et anginam cum cucurbitula et ad lateris dolorem.* ♃ Spumae argenti lib. ij, olei veteris uncias viij ſimul coquito.

[*Aliud melinum Heraclidis interiores abſceſſus ſine dolore diſcutiens.*] ♃ Spumae argenti ʒ c, ceruſſae drach. c, cerae ʒ lxxx, reſinae aridae ʒ lx, guttae ammoniaci ʒ l, galbani drach. xvj, olei veteris heminas duas. Ut autem ruſticus ille familiaris Iſidori, ♃ Spumae argenti drach. l,

Ed. Chart. XIII. [687.] Ed. Baſ. II. (335. 336.)

ψιμυθίου ≺ ν'. ἀμμωνιακοῦ θυμιάματος ≺ ν' ἢ μ'. κηροῦ ≺ κέ'. ῥητίνης ξηρᾶς ≺ λ'. πτελέας τῆς ἐν θυλακίοις ≺ ιέ'. χαλβάνης ≺ η'. ἐλαίου παλαιοῦ κοτύλης ἥμισυ ἢ κοτύλην α' S''. τούτων τῶν ἐμπλάστρων οὐδεμιᾶς τὴν ἔψησιν ἔγραψεν ὁ Ἀνδρόμαχος, ἐγὼ δὲ τὸ μὲν συνέχον τῆς χρόας αὐτῶν ἔμπροσθεν εἶπον, ὅτι μήτε ὠμὸν εἶναι δεῖ τὸν ἰὸν, ὡς ἐν ταῖς χλωραῖς, μήτ' ἐπὶ πλεῖστον ἑψημένον, ὡς ἐν ταῖς διχρώμοις τε καὶ κιρρώαις ὀνομαζομέναις. ἀλλ' ἐγγὺς ἤδη τοῦ μέλλειν ἀναιρεῖσθαι τὴν κακκάβην ἀπὸ τοῦ πυρὸς, ἐπεμβάλλεσθαι τὸν ἰὸν, εἶθ' ὅταν μεταβάλλῃ καὶ γίγνηται μηλίνη, βαστάζειν ἀπὸ (336) τοῦ πυρὸς, ἐὰν ἀμολυντον ἤδη τὸ φάρμακον εἴῃ. εἰ δὲ μὴ, βραχὺ προσεπιμετρήσαντες ἐπὶ μαλακωτάτου πυρὸς, οὕτως αἴρειν. ἐν γὰρ τῷ λαβροτάτῳ, μεταβάλλει ῥᾳδίως ἐπὶ τὸ κιρρόν. ὑπογράψω δὲ διὰ τοῦτο καὶ δύο ἄλλας ἐμπλάστρους μηλίνας ἐνδόξους, τὴν μὲν ἑτέραν Μενοίτου λεγομένην, τὴν δ' ἑτέραν Σεραπίωνος, ὧν καὶ τὰς ἐψήσεις ἔγραψαν πολλοὶ καὶ ὑμεῖς ἕξετε παράδειγμα τῆς σκευασίας τῶν ὑπὸ τοῦ Ἀνδρομάχου γεγραμμένων.

ceruſſae drach. I, guttae ammoniaci drach. octo vel xl, cerae drach. xxv, reſinae aridae drach. l, liquoris folliculorum ulmi drach. xv, galbani drach. viij, olei veteris heminae dimidium vel heminam i ſ. Inter haec emplaſtra nullius coctionem ſcripſit Andromachus. Ego vero ad colorem ipſorum pertinere dixi, ſcilicet neque aeruginem crudam eſſe oportere ut in viridibus, neque nimis coctam, ſicut in iis, quae bicolora et gilva nominantur, verum ubi jam caccabus ab igne auferendus propemodum eſt, injici aerugo debet, deinde quum mutat colorem et melinum redditur, medicamentum tollere jam ab igne tempus eſt, ſi jam non inquinet, ſin minus, paululum ſuper ignem lentiſſimum remorati ſic tollemus, nam in admodum vehementi facile in gilvum degenerat. Cujus rei gratia quoque duo inſignia emplaſtra melina, alterum Menoeti, alterum Serapionis, ſubjungam, quorum coquendi rationem plerique tradidere et vos confecturae eorum quae Andromachus ſcripſit exemplum habebitis.

Ed. Chart. XIII. [687.] Ed. Baſ. II. (336.)

Κεφ. η'. [Μενοίτου μηλίνη.] ♃ *Λιθαργύρου λίτρας δ'. ἐλαίου λίτρας γ'. τερμινθίνης διαυγοῦς λίτρας β'. κηροῦ λίτραν α'. ἰοῦ, λιβανωτοῦ, χαλβάνης ἀνὰ οὐγγίας δ'. ἀμμωνιακοῦ θυμιάματος γο στ'. ἕψε λιθάργυρον καὶ ἔλαιον ἕως ἂν λίαν συστῇ, εἶτα βάλλε τὴν ῥητίνην καὶ τὸν κηρόν. καὶ ὅταν λυθῇ καλῶς ταῦτα, θὲς κάτω τὴν κακκάβην καὶ ἔα ψυγῆναι καλῶς, εἶτα βάλλε τὸν ἰὸν, καὶ κινήσας κάτω ἕψε πάλιν ἐπὶ μαλακοῦ πυρὸς, ἄχρις ἂν μηλοειδὲς γένηται, εἶτα τὴν χαλβάνην καὶ τὸν λιβανωτὸν λειώσας καὶ κατεράσας εἰς θυείαν, ἔνθα προλελείωται τὸ ἀμμωνιακὸν ἐν ὄξει, ὡς εἶναι γλοιῶδες, καὶ μαλάξας εὐθέως ἀναλάμβανε καὶ ἐπιχέας ὄξους ὀλίγον, ἔα μέχρι τῆς ἑξῆς ἡμέρας καὶ τότε πάλιν μαλάξας ἀπόθου.*

Κεφ. η'. [Μηλίνη Σεραπίωνος τραυματικὴ καὶ διαλυτικὴ, πυκτικὴ, πάγχρηστος.] ♃ *Λιθαργύρου ≺ρ'. ἀμμωνιακοῦ θυμιάματος ≺κή. κηροῦ ≺ νστ'. ἰοῦ κυπρίου ≺ϑ'. σμύρνης ≺ α'. κολοφωνίας ≺ νστ'. χαλβάνης ≺ ϑ'. ἐλαίου*

Cap. VIII. [*Menoeti melinum.*] ♃ Spumae argenti lib. iv, olei lib. iij, terebinthinae pellucidae lib. ij, cerae lib. j, aeruginis, thuris, galbani, ſingulorum ℥ vj. Argenti ſpuma ex oleo ad multam ſpiſſitudinem usque incoquitur, deinde reſina ceraque injicitur, quum pulchre ſoluta haec fuerint, caccabus deponitur et refrigerari bene ſinitur, poſt illa aerugo immittitur, et ubi infra motum fuerit, denuo ſuper ignem lenem coquitur, donec melinum colorem repraeſentet, poſtremo galbanum et thus laevia facta ac in mortarium demiſſa, ubi ammoniacum ex aceto in laevorem redactum eſt, ut ſordium imaginem habeat, ſtatimque manibus ſubacta excipiuntur, et aceto modico affuſo in ſequentem diem usque relinquuntur, ac tunc rurſus emollita reponuntur.

Cap. IX. [*Melinum Serapionis ad vulnera et ad reſolvendum, militare, prorſus utile.*] ♃ Spumae argenti ℥ c, guttae ammoniaci ℥ xxviij, cerae ℥ lvj, aeruginis cypriae ℥ ix, myrrhae ℥ j, colophoniae ℥ lvj, galbani ℥ ix, olei he-

Ed. Chart. XIII. [687. 688.] Ed. Baſ. II. (336.)

κοτύλης ἥμισυ, θέρους κο. α'. τέταρτον, ἔψε λιθάργυρον ἔλαιον. ὅταν μεταβαλῇ, ἀμμωνιακὸν, εἶτα κηρὸν, καὶ καθελὼν βάλλε χαλβάνην, ἰὸν καὶ τὰ λοιπὰ καὶ μαλακῶς ἕψε. τοιαύτας ἑψήσεις ἔγραψαν πολλοὶ τῶν πρὸ ἐμοῦ τῶν γεγραμμένων ἐμπλάστρων μηλίνων, ἀφ' ὧν καθ' ὁμοιότητα καὶ τὰς ἄλλας μηλίνας ἕψειν δυνήσεσθε. τὴν μὲν λιθάργυρον δεῖ πρῶτον ἐμβαλόντας, εἶτα ῥητίνας καὶ ἀμμωνιακὸν, εἶτα χαλβάνην καὶ ἰόν. εἶτα ἐὰν ἦτοι λιβανωτὸν ἢ σμύρναν ἢ ἀλόην λαμβάνῃ, ταῦτα γὰρ, ὅταν αἴρηται τὸ φάρμακον ἀπὸ τοῦ πυρὸς, ἐπεμβάλλεσθαι χρὴ μὴ φέροντα τὰς ἑψήσεις. [688] προείρηται δ' ὅτι καὶ μαλακῶς ἕψεσθαι χρὴ, μάλιστα ὅταν ὁ ἰὸς ἐμβληθῇ. καὶ μέντοι καὶ ὅτι βάλλειν αὐτὸν χρὴ καθέντα κατὰ γῆς τὴν κακκάβην καὶ μικρὸν ἀποψύχοντα καὶ μᾶλλον ἐὰν μικρὸν ᾖ τὸ ἀγγεῖον, ἐν ᾧ ἡ ἕψησις γίνεται. ζέοντι γὰρ τῷ προεψημένῳ, κατ' αὐτὸ προσεμβληθεὶς ὁ ἰὸς, ὑπερχεῖσθαι πολλάκις ἐποίησε τοῦ ἀγγείου τὸ φάρμακον. ἐν δὲ τῇ τοῦ Μενοίτου μηλίνῃ τῇ πρώτῃ τῇ πυκτικῇ καλουμένῃ, διότι μάλλιστα οἱ πύκται χρῶνται τῷ φαρμάκῳ, καὶ

minae dimidium, aeſtate heminae unius quartam partem. Argenti ſpumam ac oleum coquito, quum inalterata ſunt, ammoniacum, deinde ceram, poſtquam depoſueris caccabum, galbanum, aeruginem et reliqua addito atque molliter incoquito. Hujusmodi coquendi modos melinorum, quae ſcripſimus, emplaſtrorum multi me priores tradidere, juxta quorum ſimilitudinem etiam alia melina coquere poteritis. Argenti ſpumam ſane primum injicere convenit, mox reſinas et ammoniacum, deinde galbanum et aeruginem, poſtea ſi vel thus vel myrrham vel aloëm capiat, haec immittenda ſunt, quum medicamentum ab igne tollitur, quippe coctionem non ferentia. Praediximus autem lente coquenda eſſe, praeſertim quum aerugo indita fuerit, quin et ipſam miſcendam, ubi caccabum in terram depoſueris ac parum refrigeraveris, eique magis, ſi vas parvum ſit, in quo coquitur, nam effervescenti immiſſa aerugo frequenter ex ipſo vaſe diffundi medicamentum cogit. Porro in Menoeti primo melino, quod ideo pycticon, *pugillatorium*, vocatur, quoniam

Ed. Chart. XIII. [686.] Ed. Baſ. II. (336.)

ὅτι δι' ὄξους τὸ ἀμμωνιακὸν ἐν τῇ θυείᾳ δύναται λειοῦσθαι, τῶν ἄλλων ἁπάντων ἐν τῇ κακκάβῃ μιχθέντων, εἶτα καταχεομένου αὐτοῦ προμεμαθήκαμεν.

Κεφ. ι'. [*Μήλιναι Ἥρα ἔμπλαστροι.*] *Πρὸς χοιράδας* τοῦ Ἥρα. αἱ ὑφ' Ἥρα γεγραμμέναι κατὰ λέξιν οὕτως. *μηλίνη πρὸς τοὺς παλαιοὺς κόλπους, κἂν ὦσιν εἰς τὰ κενὰ συντετρημένοι. ἡ δ' αὐτὴ καὶ διαφορεῖ χοιράδας τὰς ἐπὶ τῶν παίδων ἄρτι συστάσας, ποιεῖ καὶ πρὸς τὰ ἐσπαραγμένα τῶν ἄρθρων. ℥ λιθαργύρου χρυσίτιδος ≺ ρ'. ῥητίνης πιτυΐνης ξηρᾶς ≺ ρ'. κηροῦ Ποντικοῦ ≺ ιβ'. καὶ τετρώβολον, ἐλαίου κοτύλης ἥμισυ, οἴνου Φαλερίνου κοτύλης ἥμισυ, ἡ λιθάργυρος μετὰ τοῦ οἴνου λεαίνεται ἕως ἂν ξηρανθῇ, εἶθ' οὕτως ἕψεται σὺν τῷ ἐλαίῳ ἕως μεταβαλῇ, καὶ τότε μίγνυται ῥητίνη καὶ ὁ κηρὸς καὶ ἕψεται ἕως ἂν μὴ μολύνῃ. ἡ Μενοιτίου χρυσίζουσα, ποιοῦσα πρὸς τοὺς ἁπαλοχρῶτας καὶ μάλιστα εὐνούχους. ἁρμόζει δὲ ἐπὶ ἀποσυρμάτων καὶ παντὸς ἕλκους παλαιοῦ καὶ προσφάτου καὶ κατακαυμάτων. ἔστι δὲ μάλαγμα, διαφορεῖ φύματα, παρωτίδας, χοιράδας, σκλη-*

pugiles potiſſimum medicamento eo utantur, ammoniacum quoque ex aceto laeve in mortario fieri poſſe, aliis omnibus in caccabo mixtis, deinde ex ipſo defuſis, prius inſtituti ſumus.

Cap. X. [*Melina Herae emplaſtra.*] *Ad ſtrumas Herae.* Quae ab Hera his verbis ita ſcripta ſunt. *Melinum ad veteres ſinus et ſi in vacua perforati ſint. Item etiam diſcutit ſtrumas, quae in pueris nuper ortae ſunt. Facit etiam ad artus e loco motos.* ℥ Argenti ſpumae chryſitidis drach. c, reſinae pityinae ſiccae ʒ c, cerae Ponticae drach. xij, obol. iv, olei dimidium heminae, vini Falerni heminae dimidium. Argenti ſpuma ex vino laevigatur, donec ſicceſcat, poſt una cum oleo ſic coquitur, quousque mutata fuerit, et tunc reſina laevis additur ac cera coquitur donec non inquinet. *Menoeti, coloris aurei ad teneros maxime enuchos facit. Aptum eſt Abraſis et omni inveterato et recenti ulceri, itidem combuſtis. Eſt etiam malagma, diſcutit phymata, parotidas, ſtrumas et omnes duri-*

Ed. Chart. XIII. [688.] Ed. Baſ. II. (336.)

ρίας πάσας, ποιεῖ καὶ πρὸς ῥαγάδας καὶ κονδυλώματα, λίαν καλή. ℞ λιθαργύρου ≺ ρ'. ἐλαίου παλαιοῦ ≺ ρ'. ῥητίνης πιτυΐνης ξηρᾶς ≺ ν' ἢ ρ'. κηροῦ ≺ ν'. ἔψε τὴν λιθάργυρον καὶ τὸ ἔλαιον ἕως ἂν ἄρξηται συστρέφεσθαι καὶ ἀπόδος ῥητίνην λείαν, τακείσης δὲ ταύτης κηρόν. καλῶς δὲ ἔχουσαν κατέρασον εἰς θυείαν προκεχρισμένην ἐλαίῳ καὶ ἀνατρίψας ἀνελοῦ. ἔστι δὲ ἐχέκολλος καὶ ἀμόλυντος. ἡ Ὑγιεινοῦ εἰς πολλὰ εὔχρους, ποιοῦσα ἐπὶ τῶν δυσεπουλώτων καὶ ἐπὶ παρωνυχιῶν. ταύτης καλλίων ἔμπλαστρος οὐκ ἔστι. λιθαργύρου χρυσίτιδος μνᾶ α'. κηροῦ μνᾶ α'. χαμαιλέοντος μέλανος ῥίζης ≺ λστ'. ἰοῦ ξυστοῦ ≺ ιη'. χρυσοκόλλης ≺ μ'. ἐλαίου παλαιοῦ κοτύλαι γ'. λιθάργυρον, ἔλαιον ἔψε μαλακῷ πυρὶ, ἕως ἄρξηται ἀναζεῖν, εἶτα ἔμπασσε τὸν ἰὸν, ἄρας ἀπὸ τοῦ πυρὸς καὶ κίνει πάλιν ἕψων, ἕως τὸ χρῶμα τὸ ἴδιον ἀπολάβῃ, εἶτα κηρόν. ὅταν δὲ καλῶς ἔχῃ, χρυσοκόλλαν καὶ χαμαιλέοντα, κατεράσας δὲ εἰς θυείαν ὄξος ἐπίῤῥαινε.

tias; valet etiam ad rhagadas et ad condylomata, valde generoſum eſt. ℞ Argenti ſpumae ʒ c, olei veteris ʒ c, reſinae pityinae aridae ʒ l vel c, cerae ʒ l. Argenti ſpumam cum oleo coquito, donec unitas fieri inceperit, mox reſinam laevem indito, hac liquata, ceram, ubi bene habuerit medicamentum, in mortarium oleo prius inunctum demittito et denuo tritum excipito. Eſt autem glutinans nec polluit. *Hygiini emplaſtrum ad multa boni coloris, curat ulcera vix cicatricem ducentia et paronychia, hoc melius emplaſtrum non extat* ℞ Argenti ſpumae chryſitidis minam unam, cerae minam unam, chamaeleontis nigri radicis drachmas triginta ſex, aeruginis raſae drachmas octodecim, chryſocollae drach. quadraginta, olei veteris heminas tres. Argenti ſpuma cum oleo igne non acri coquitur, usquedum effervescere inceperit, deinde aerugo inſpergitur caccabo depoſito, atque iterum repoſito emplaſtrum permovetur, quousque proprium colorem receperit, poſtea cera, quae ubi bene ſe habuerint, chryſocollam et chamaeleontem aſſumunt, demiſſo jam in mortarium acetum ſuperfun-

Ed. Chart. XIII. [688. 689.] Ed. Baſ. II. (336)

πρὸς μὲν οὖν τὰ προειρημένα ποιεῖ καὶ τῆς χρυσοκόλλης παραπεπλεγμένης. χωρὶς μέντοι ταύτης παρηγορικωτάτη ἐστὶ καὶ ἄκρως ποιοῦσα πρὸς τὰ τῶν νεύρων νύγματα καὶ ὅπου τι ἀναπλεῦσαι ἀπὸ μυῶν ἢ νεύρων δεῖ. τούτων τῶν τριῶν ἐμπλάστρων, ἃς ὁ Ἥρας ἔγραψεν, ἡ πρώτη δι' οἴνου σκευάζεταί τε καὶ λέγεται. καὶ πολλοὶ τῶν ἡμετέρων διδασκάλων τε καὶ φίλων αὐτῇ χρῶνται, χωρὶς ἰοῦ δηλονότι σκευαζομένῃ, γεγραμμένῃ δὲ καὶ ὑπὸ Ἀνδρομάχου καὶ σχεδὸν ὑπὸ πάντων τῶν συνθέντων ἐμπλάστρους ποικίλας. οἱ μὲν οὖν πολλοὶ σκευάζοντες αὐτὴν ἀμελῶς εὐκαταφρόνητον ποιοῦσι τὸ φάρμακον. ἔστι δὲ κάλλιστον, ἐὰν, ὡς γέγραπται, δι' οἴνου Φαλερίνου σκευασθῇ. μὴ παρόντος δὲ τούτου κιρρὸν οἶνον χρὴ βάλλειν παλαιὸν, λεπτὸν τῇ συστάσει, καθόλου ἐγχωρεῖ κιρρὸν τοῦτον [689] ὑπάρχειν. ἴδιον γὰρ τῶν λευκῶν τὸ διαφανές. εἰσὶ δὲ κιρροὶ κάλλιστοι παρ' ἡμῖν ἐν Ἀσίᾳ ὅ τε Τμωλίτης καλούμενος καὶ ὁ Λέσβιος καὶ ὁ ἐνδοξότατος παρὰ τοῖς παλαιοῖς Ἀριούσιος ὁ ἐν Χίῳ γεννώμενος, ᾧ πάντες ἐχρῶντο πρὸς τὰ κάλλιστα τῶν φαρμάκων καὶ μάλιστα

ditur. Itaque praedictis affectibus bene facit etiam chryſocolla admixta, attamen ſine hac mitigantiſſimum eſt et praecipue ad nervorum puncturas valet, itidem ubi a muſculis vel nervis abluere quid oportet. Horum trium emplaſtrorum, quae Heras conſcripſit, primum ex vino et confectionem et titulum habet, multique noſtri tam praeceptores, quam amici eo ſine aerugine videlicet praeparato utuntur, ſcripto autem ab Andromacho et fere omnibus, qui varia emplaſtra compoſuerunt. Proinde non pauci illorum negligenter ipſum conficientes, contemptum emplaſtro pariunt. Optimum vero eſt ſi, uti tradidimus, ex vino Falerno conficiatur, cujus penuria gilvum vetus tenue ſubſtantia, quatenus poteſt gilvum hoc eſſe, immiſcebimus, nam candida hoc peculiariter habent, ut pelluceant. Porro praeſtantiſſima apud nos ſunt in Aſia tria, Tmolite vocatum, Lesbium, ac celebratiſſimum apud veteres Ariuſium, in Chio proveniens, quo omnes ad optima medicamenta, praeſertim antidotos,

Ed. Chart. XIII. [689.] Ed. Baſ. II. (336. 337.)

τὰς ἀντιδότους, ὥσπερ νῦν τῷ Φαλερίνῳ. τοιοῦτον οὖν οἶνον ἐὰν βάλλωμεν εἰς τὴν λιθάργυρον ἐν τοῖς ὑπὸ κύνα καύμασιν ἢ ἄλλως ἐν ἡλίῳ θερμῷ, εἶτα τρίβωμεν, ἢ καὶ χωρὶς ἡλίου πολλῷ χρόνῳ τρίψωμεν, ὡς ξηρανθῆναι τὸ ὑγρὸν, αὐτήν τε καταλειφθῆναι τὴν λιθάργυρον ἢ παντελῶς ἄνικμόν τε καὶ ξηρὸν ἢ ἐγγύς τι ταύτης, ἄριστον γίγνεται τὸ φάρμακον. ἐσκεύαζε δὲ αὐτὴν εἷς τῶν ἐμῶν διδασκάλων μετὰ τὸ παρασκευασθῆναι ξηρὰν, ἐν οἴνῳ Φαλερίνῳ τετριμμένην, ὥδέ πως. τὸ μὲν ἔλαιον ἐν ἑτέρῳ, τὸν δὲ οἶνον ἐν ἑτέρῳ ἀγγείῳ θερμαίνων κατὰ βραχὺ κατέχει τῆς λιθαργύρου, ποτὲ μὲν ἐπὶ τὸν οἶνον καὶ καλῶς λειώσας καὶ ἀναμίξας ἐπέβαλε τοῦ ἐλαίου, ποτὲ δὲ ἀπὸ τοῦ ἐλαίου ἀρξάμενος ἐπὶ τὸν οἶνον μετέβαινεν. ἐναλλὰξ δὲ τοῦτο ποιῶν πολλάκις ἑκάτερον ἐξεδαπάνα καὶ οὕτως εἰς κακκάβην κατεράσας ἐκ τῆς θυείας ἐπέβαλλε τὴν πιτυΐνην ῥητίνην, ἣν ἰδίως καλοῦσι φύσημα, λελειωμένην ἀκριβῶς, εἶτα τὸν κηρὸν, καὶ ἥψει κατὰ βραχὺ μέχρις ἀμολύντου. ἐχρῆτο δ' αὐτῇ καὶ ἐπὶ κόλ(337)πων, προχρίων αἵματι περιστερᾶς, οὐ τῶν κα-

ſicut nunc Falerno, utebantur. Hujusmodi igitur vinum ſi in argenti ſpumam ſub caniculae aeſtu vel ſole alioqui calido mittamus, deinde teramus, vel ſine ſole etiam diu teramus, vt humor reſicceſcat, ipſaque argenti ſpuma relinquatur, vel omnino madoris expers et ſicca vel prope fiat, medicamentum optimum evadit. Unus ſane ex praeceptoribus meis, poſtquam in vino Falerno tritam exiccaſſet, hoc modo ipſam praeparabat, oleum alio, vinum item alio vaſe calefaciens, paulatim argenti ſpumam ſuperfundebat interdum vino in quo laevigatae probeque permixtae oleum adjiciebat, interdum ab oleo auſpicatus ad vinum tranſibat. Alternis autem vicibus hoc ſaepius agendo utrumque conſumebat et ſic ex mortario in caccabum demittens pityinam reſinam, quam proprie phyſema vocant, laevem adamuſſim factam addebat, mox ceram, et ſenſim, quoad non inſiceret, decoquebat. Utebatur eo et ad ſinus diuturnos, illinens prius ſanguine columbae non domeſticae, ſed ex eis, quae

Ed. Chart. XIII. [689.] Ed. Baſ. II. (337.)

τοικιδίων, ἀλλὰ τῶν βοσκάδων καλουμένων ὑπό τινων εἰς τοὺς πύργους, οὓς παρ' ἡμῖν κατασκευάζουσιν ἐν τοῖς ἀγροῖς. ἔνιοι δὲ ταύτας ἀγρίας ὀνομάζουσιν. ὡσαύτως δὲ κατὰ μεγάλα τραύματα πρόσφατα διαχρίων αἵματι περιστερᾶς τοιαύτης ἐπετίθει τὸ φάρμακον θαῤῥῶν αὐτῷ σφόδρα. τοῦ δὲ οἴνου κοτύλην ἐνέβαλλε μίαν καὶ ἡμίσειαν, οὐχ ὡς ὁ Ἥρας τε καὶ Ἀνδρόμαχος, ἥμισυ μόνον τῆς κοτύλης· καὶ κατὰ τοῦτο βέλτιον πολὺ τὸ φάρμακον ἐγίγνετο. βουληθεὶς δὲ εὐῶδες αὐτὸ ποιῆσαι, μίξεις ὀποπάνακος ἡμιούγγιον, ὅπερ ἐστὶ ≺ δ'. ἔμβαλλε δὲ χάριν τῆς εὐχροίας τὸν λευκὸν κηρὸν τὸν Ποντικόν. τὸ φάρμακον τοῦτο καὶ μέχρι συνουλώσεως ἄγει καλῶς τὰ ἕλκη.

Κεφ. ια'. [*Κρίτωνος μήλινα φάρμακα.*] Περὶ ὧν Κρίτων ἔγραψε μηλίνων, ἃς αὐτὸς πυξίνας ὀνομάζει. πυξίνη πρὸς τὰ νεότρωτα. ἡ δ' αὐτὴ ἐπουλοῖ καὶ ἐπισπᾶται. ℔ λιθαργύρου λίτρας δ'. κηροῦ λίτρας δ'. τερμινθίνης οὐγγίας ἡ'. ἰοῦ οὐγγίας ἡ'. ἐλαίου παλαιοῦ ξέστας β'. ὄξους ξέστου ἥμισυ, λιθάργυρον, ἔλαιον, ἰόν, ὄξος ἕψε ὁμοῦ ἐπὶ μαλα-

in turribus nidum collocant, boſcadas quidam nominant, quas apud nos in agris extruunt, nonnulli has agreſtes vocant. Pari modo magnis vulneribus recentibus hujusmodi ſanguine columbino illinens medicamentum imponebat non mediocri ejus confidentia. Vini autem ſeſquiheminam indebat, non ut Heras et Andromachus ſemiſſem tantum, atque hujus occaſione medicamentum longe melius factum eſt. Caeterum ubi ipſum voles boni odoris efficere, opopanacis ſemunciam, quod eſt denarios quatuor, miſcebis. Coloris gratia ceram candidam Ponticam adjicies. Hoc medicamentum ulcera vel ad usque cicatricem probe perducit.

Cap. XI. [*Critonis melina medicamenta.*] Quae Crito melina ſcripſit, buxea nominat. *Buxeum ad recentia vulnera, idem cicatricem obducit et extrahit.* ℔ Spumae argenti lib. iv, cerae lib. iv, terebinthinae uncias octo, aeruginis ℥ octo, olei veteris ſextarios ij aceti, ſextarii dimidium. Spumam argenteam, oleum, aeruginem, acetum, una

Ed. Chart. XIII. [689. 690.] Ed. Baſ. II. (337.)

κοῦ πυρός. ὅταν δὲ μέλλῃ συστρέφεσθαι, βάλλε ῥητίνην, κηρὸν, καὶ ἑνώσας χρῶ μάλιστα ἐπὶ νεοτρώτων. ἔγραψε δὲ καὶ ἄλλην ὁ Κρίτων πρὸ ταύτης, ἣν ὀνομάζει πυξίνην, ἁπλῆν μὲν, ὅσον ἐπὶ τῷ τῶν μιγνυμένων ἀριθμῷ, τῇ δ' ἐπαγγελίᾳ μεγάλην· γράφει γοῦν ἐπ' αὐτῇ κατὰ λέξιν οὕτως. ἡ διὰ χαμαιλέοντος ποιοῦσα τὰ αὐτὰ τῇ Τυρίᾳ. ἔστι δὲ ἐπουλωτικωτάτη τῶν δυσαλθῶν καὶ τυλωδῶν καὶ χρονίων ἑλκῶν, ἰᾶται δὲ καὶ τὰς ἐν τῷ δακτυλίῳ ῥαγάδας καὶ κονδυλώματα καὶ σκληρίας. ℔ λιθαργύρου μνᾶν α'. κηροῦ μνᾶς στ'. ἰοῦ μνᾶς δ'. χαμαιλέοντος μνᾶς η'. ἐλαίου μνᾶν α'. ἔλαιον, λιθάργυρον ἕψε κινῶν σπάθῃ ἕως οὗ συστῇ καὶ γένηται μηλίνη. τούτου δὲ γενομένου, ἰὸν ἐπίπασον, ἔπειτα πρόσβαλε κηρὸν, τήξας δὲ ἐπιμελῶς καὶ ἄρας ἀπὸ τοῦ πυρὸς ἐπίπασον τὸν χαμαιλέοντα. ὅταν δὲ ἑνωθῇ κατέρασον εἰς θυείαν καὶ μαλάξας ἀνελοῦ. [690] γέγραφε δὲ καὶ ἄλλας ὁ Κρίτων τινὰς ἐμπλάστρους ἐν τῷ τετάρτῳ τῶν φαρμάκων πυξίνας μὲν, ὡς αὐτὸς ὀνομάζει, μηλίνας δὲ κατὰ τοὺς

ſuper ignem lentum incoquito, ubi vero coitura ſunt, reſina ceraque adiungatur, et in unum redactis ad recentia vulnera potiſſimum utitor. Scripſit et aliud ante hoc Crito, quod buxeum vocat, ſimplex quidem quantum ad mixtorum numerum pertinet, magnum vero pollicitis. Scripſit igitur de ipſo ad verbum hoc modo. *Emplaſtrum ex chamaeleonte, eadem faciens, qua Tyria. Cicatricem ulceribus difficillimis, calloſis et inveteratis maxime inducit, medetur etiam rhagadis digitorum, condylomati et duritiis.* ℔ Spumae argenteae minam j, cerae minas vj, aeruginis minas iv, chamaeleontis minas viij, olei minam j. Oleo ſpumam argenteam coquito rudicula movens, donec conſiſtat et fiat melinum, poſt hoc aeruginem inſpergito, inde ceram adjicito. Porro ubi diligenter liquata ab igne tuleris, chamaeleontem indito, quum unitas facta eſt, in mortarium demittito, ubi ſubacta, excipito. Jam vero et alia quaedam emplaſtra Crito tradidit in quarto medicamentorum volumine, buxea quidem, ut ipſe nuncupat, melina vero, ut

Ed. Chart. XIII. [690.] Ed. Baf. II. (337.)

ἄλλους, ἀλλὰ τινὲς μὲν αὐτῶν χωρὶς ἰοῦ συντίθενται, τινὲς δὲ λαμβάνουσι μὲν ἰόν, ἀλλ' ἐν ἑτέρῳ γένει φαρμάκων εἰρήσονται, κατὰ τὰς τῆς δυνάμεως ὁμοιότητας, ἐν ταῖς ἐπουλωτικαῖς αἱ ἐπουλωτικαὶ, ἐν δὲ ταῖς διὰ χυλῶν αἱ διὰ χυλῶν, ἐν δὲ ταῖς μαλακτικαῖς ὅσαι μαλάττειν πεφύκασιν, ὥσπερ καὶ ἡ τοῦ Μνασαίου, πολυειδῶς ὑπ' αὐτοῦ σκευαζομένη κατὰ τὸ προκείμενον βιβλίον. νῦν οὖν ἤδη καιρὸς ἐπὶ τὰς κολλητικὰς μεταβῆναι διαφερούσας κατὰ χρόαν ἀλλήλων τε καὶ μηλίνων.

Κεφ. ιβ'. [*Περὶ τῶν κιρρῶν ἐμπλάστρων, ἃς διχρώμους ὀνομάζουσιν.*] Ἔνιαι μὲν ἐκ τῆς αὐτῆς ὕλης σύγκεινται ταῖς τὸν ἰὸν ἐχούσαις μηλίναις, ὡς καὶ πρόσθεν ἔφην, ἑνὶ μόνῳ διαφέρουσαι τῷ μέχρι πλείονος ἥψῆσθαι. πᾶσαι γὰρ διὰ τὸν ὠμὸν ἰὸν χλωραὶ μήλιναι μὲν γίγνονται μετρίως ἑψηθέντος αὐτοῦ, κιρραὶ δὲ πλέον. εὔδηλον οὖν ὅτι πλέον ἔλαιον ἀναγκαῖόν ἐστιν ἔχειν τὰς μηλίνας τε καὶ τὰς κιρρὰς τῶν χλωρῶν, εἰ καὶ πάντα τὰ ἄλλα ἔχοιεν ταὐτά. καὶ διὰ τοῦτο ἐμβάλλειν προσήκει τῇ κακκάβῃ πρῶτον μὲν

alii, attamen nonnulla ex iis extra aeruginem componuntur, nonnulla aeruginem quidem assumunt, sed in alio medicamentorum genere pro facultatis, seu virium similitudine dicentur in epuloticis epulotica, in iis quae succis constant, ex succis composita, in mollientibus illa, quae mollire nata sunt, quemadmodum et Mnasaei emplastrum multifariam ab eo in hoc opere conficitur. Nunc igitur ad glutinantia ire jam tempus est, colore invicem et a melinis differentia.

Cap. XII. [*De gilvis emplastris, quae et dichroma id est bicolora dicuntur.*] Quaedam ex eadem materia constant, qua aeruginem habentia melina, sicut prius quoque diximus, hoc solo differentia, quod diutius coquantur, omnia siquidem propter crudam aeruginem viridia, fiunt melina, ubi mediocriter ipsa cocta fuerit, gilva, ubi liberalius. Manifestum igitur melina gilvaque oleum copiosius quam viridia necessario habere, etsi reliqua omnia eadem recipiant. Atque hujus gratia primum spuma argenti caccabo inji-

Ed. Chart. XIII. [690.] Ed. Baſ. II. (337.)

τὴν λιθάργυρον ἀχρι γλοιώδους συστάσεως ἑψηθησομένην, ἐφεξῆς δὲ τὸν ἶον, καὶ μετ' αὐτὸν, εἴ τι τῶν μεταλλικῶν ἐμβάλλοιτο, καθάπερ ὁ κεκαυμένος χαλκὸς καὶ ἡ λεπὶς αὐτοῦ, κἂν πειδὰν παχυνθῇ, τηνικαῦτα κηρὸν καὶ ῥητίνην, εἰ καὶ ταῦτα λαμβάνοι τὸ φάρμακον, ἐπὶ τέλει δὲ λιβανωτόν τε καὶ σμύρναν καὶ ἀλόην ὅσα τ' ἄλλα τοιαῦτα, καθάπερ τὴν ἐνδοξοτάτην τῶν κιρρῶν, ἣν ὀνομάζουσι διὰ δικτάμνου τῶν ἱερῶν ὀνομαζομένων καὶ αὐτὴν, ὥσπερ ἡ ἶσις, ἐπειδὴ φασιν αὐτὰς ἐκ τῶν ἱερῶν τῶν ἐν Αἰγύπτῳ κομισθῆναι. πολύχρηστος μὲν οὖν ἐστιν αὕτη καὶ διὰ τοῦτο κατὰ τὸν ἑξῆς λόγον ἅμα τοῖς πολυχρήστοις γεγράψεται. νυνὶ δὲ περὶ τῶν ἄλλων κιρρῶν, ὅσαι τ' ἀκριβῶς ἁπλαῖ καὶ ὅσαι μεταξὺ τούτων τε καὶ τῶν πολυχρήστων εἰσὶ, τὸν λόγον ποιήσομαι. καθάπερ οὖν ἁπλαῖ χλωραὶ διὰ κηροῦ τε καὶ ῥητίνης ἐλαίου τε καὶ ἰοῦ συνετίθεντο, κατὰ τὴν εἰρημένην ἐπ' αὐτῷ συμμετρίαν, οὕτως αἱ κιρραὶ προσλαβοῦσαι λιθάργυρον ἐλαίου τε πλέον ἢ αἱ χλωραὶ τὴν σύνθεσιν ἔχουσιν. ἐὰν μὲν οὖν ἐπὶ πλέον ἑψηθῆναι βουληθῇς τὴν ἔμπλαστρον,

cienda eſt, in quo tantiſper coquetur dum ſordium craſſitudinem conſequatur, mox aerugo, deinde ſi metallicum aliquod ceu aes combuſtum ejusque ſquama immittatur. Ac quando ſpiſſitudinem acceperint, tunc ceram et reſinam, ſi haec etiam medicamentum recipiat, indere conveniet, poſtremo thus, myrrham, aloën, aliaque id genus, ſicut celeberrimum gilvum, quod ex dictamno vocatur, ſacrum et ipſum appellatum velut iſis, quoniam ajunt ea ex ſacris Aegypti locis eſſe allata. Uſum igitur hoc praeſtat multiplicem, proinde in ſequenti ſermone ſimul cum iis, quae ad plura valent, paulo poſt deſcribetur. In praeſentia de aliis gilvis tum omnino ſimplicibus, tum iis, quae inter haec et polychreſta, id eſt multipliciter utilia, conſiſtunt, verba facturi ſumus. Ut igitur viridia emplaſtra ſimplicia ex cera, reſina, oleo et aerugine conficiebantur juxta dictam illic ſymmetriam, ſic gilva ex argenti ſpuma et oleo copioſiore quam in viridibus ſumpto componuntur. Itaque

Ed. Chart. XIII. [690. 691.] Ed. Baſ. II. (337.)

αὐξήσεις τε τὸ ἔλαιον, ἕξεις τε τὸ φάρμακον ξηραντικώτερον, καὶ διὰ τοῦτο τῶν ἐναίμων τραυμάτων κολλητικώτερον· ἐὰν δὲ συμμέτρως, ἀρκεῖ τοσοῦτον εἶναι τὸ ἐλαίου μέτρον, ὅσον σταθμὸν τῆς λιθαργύρου. λίτραν γὰρ ἐλαίου τὴν Ῥωμαϊκὴν μετρήσαντες εἰς λίτρασ λιθαργύρου τὴν σταθμικὴν ἐμβαλοῦμεν. ἐὰν δὲ ἐπὶ πλέον ἑψηθῆναι βουλώμεθα τὸ φάρμακον, οὐ μόνον μίαν καὶ ἡμίσειαν ἐλαίου λίτραν ἐμβαλοῦμεν, ἀλλὰ καὶ δύο καὶ πλείους. ξηραντικώτεραι δὲ τῶν οὕτως σκευαζομένων κιρρῶν ἐμπλάστρων εἰσὶν ὅσαι μηδ' ὅλως ἔχουσι ῥητίνην καὶ κηρὸν, ἀλλὰ διὰ τῶν μεταλλικῶν καλουμένων μόνον σύγκεινται, καθάπερ ἄλλοι τέ τινες τῶν ἔμπροσθεν ἔγραψαν τοιαύτας, ᾗ τε ἐγὼ χρῶμαι διὰ παντὸς ὑπ' ἐμοῦ συντεθείσῃ, κατὰ τόνδε τὸν τρόπον ἑψομένῃ. τὴν λιθάργυρον μετὰ τοῦ ἐλαίου προεψήσας ἐπεμβάλλω τὰ μεταλλικὰ λελειωμένα μετὰ ὄξους καὶ οὕτως ἔψω ἄχρις ἀμολύντου. βάλλω δὲ τοῦ μὲν ἐλαίου λίτρας δ'. ὅσῳ δ' ἂν ᾖ παλαιότερον, τοσούτῳ ἔσται βέλτιον, καὶ μᾶλλον ἐὰν ᾖ Σαβῖνον. τῆς λιθαργύρου δὲ Λ γ'. [691] καὶ ὄξους δρι-

ſi emplaſtrum largius voles coquere augeasque oleum, medicamentum habiturus es quod magis ſiccet ideoque vulnerum cruentorum glutinantius, ſin autem mediocriter, tantam olei menſuram, quantum argenti ſpumae pondus eſſe ſufficit, libram enim olei menſuralem Romanorum in argenti ſpumae libram ponderalem injiciemus. Jam ſi medicamentum plenius incoquere placet, non ſolum lib. j ß, ſed etiam duas et plures immittemus. Porro inter haec gilva emplaſtra ſic praeparata plus ſiccant, quae nec reſinam nec ceram omnino habent, ſed ex ſolis ut vocant metallicis conficiuntur, quemadmodum alii quoque nonnulli ex prioribus alia ſcripſerunt. Caeterum quo ego ſemper mea induſtria compoſito utor, in hunc modum coquitur. *Gilvum ex metallicis.* Argenti ſpumae cum oleo prius coctae metallica ex aceto laevigata immitto et ſic coquo, donec non inficiat. Addo his olei libras quatuor, hoc autem quanto vetuſtius tanto erit melius, magisque ſi id fuerit Sabinum, argenteae ſpumae libras tres, aceti quam acer-

Ed. Chart. XIII. [691.] Ed. Baſ. II. (337.)

μυτάτου λίτρας β'. μεταλλικὰ δὲ τρία τάδε, λεπίδα χαλκοῦ μέλανος ἰοῦ τε καὶ χαλκίτιδος, ἴσον ἑκάστου σταθμὸν ἀνὰ οὐγγίας β'. ὅπερ ἐστὶ δραχμαὶ ἑκκαίδεκα. παλαιὸν δ' ὅταν ᾖ τὸ ἔλαιον καὶ παχὺ διὰ τὴν παλαιότητα, τέτταρας καὶ ἥμισυ λίτρας ἐμβάλλῃς, ἐγὼ δὲ καὶ ε'. ποτὲ καὶ διὰ τοῦτο ἐνέβαλον ὄντος χειμῶνος. ἴσμεν γὰρ ὅτι πλεῖον ἐν χειμῶνι βάλλεται τὸ ἔλαιον ἢπερ ἐν θέρει. προεψήσεις δὲ δηλονότι τὴν λιθάργυρον ἄχρι γλοιώδους συστάσεως. ἐὰν δὲ καὶ κίκινον ἔχῃς ἔλαιον, ἀντὶ τοῦ παλαιοῦ ἔμβαλλε αὐτό. τοῦτο τὸ φάρμακον ἕναιμα τραύματα κολλᾷ ῥᾳδίως καὶ μᾶλλον ἐπὶ τῶν σκληρῶν σωμάτων ἢπερ ἁπαλῶν τε καὶ γυναικωδῶν καὶ παιδίων, ὁποῖα καὶ τὰ τῶν εὐνούχων ἐστὶν, ἀνιέμενόν τε δι' ἐλαίου κικίνου ἢ παλαιοῦ, καὶ ἔμμοτον ἐπιτιθέμενον θαυμαστὸν ὅπως πέττει τὰ δυσιατότατα τῶν ἑλκῶν, ὅσα μηδ' ὅλως πῦον ἐργάζεται. κολλᾷ δὲ καὶ κόλπους καὶ σύριγγας προστέλλει καὶ ξηραίνει καὶ κλείει τελέως. καὶ ὅταν γε ταῦτα καλῶς ἐργάζεσθαι βουληθῇς αὐτὸ, δι' ὄξους δριμυτάτου τὰ μεταλλικὰ τρῖψον ἡμέραις πλείοσι καὶ μᾶλλον

rimi libras duas, horum trium metallicorum ſquamae aeris nigri, aeruginis, chalcitidis, ſingulorum aequale pondus, nimirum uncias duas, hoc eſt drach. ſedecim. At quum vetus oleum exiſtit craſſumque ex vetuſtate, quatuor libras et dimidiam immittito. Nos et quinque interdum idque per hiemem indidimus, non ignari hieme plus olei quam per aeſtatem immiſcendum. At argenti ſpumam prius videlicet coques, donec ſordium craſſitudinem recipiat. Quod ſi et oleum cicinum habeas, id pro vetere uſurpato. Medicamentum hoc cruenta vulnera facile glutinat magisque in duris corporibus quam mollibus, cujusmodi ſunt mulierum, puerorum et eunuchorum, dilutum quoque ex oleo cicino vel veteri ac linteo exceptum impoſitumque mirum eſt quam ulcera curatu difficillima concoquat, quae pus nequaquam faciunt. Ad haec ſinus conglutinat et fiſtulas aſtringit, exiccat et prorſus claudit. Atque ubi jam ipſum haec pulchre velis efficere, metallica pluribus diebus accto longe

Ed. Chart. XIII. [691.] Ed. Baſ. II. (337. 338.)

ἐν ἡλίῳ. καὶ τὴν λιθάργυρον δ' ὡσαύτως τρίψας καὶ ξηράνας, εἶτα μίξας τῷ ἐλαίῳ καθ' ὃν εἴρηται τρόπον ἔψε. πρὸς μέντοι τὰ δυσεπούλωτα τῶν ἑλκῶν οὐκ (338) ἀναγκαῖον οὕτως κατειργάσθαι τὰ μεταλλικὰ καὶ τὴν λιθάργυρον ἐν τῇ τρίψει. καὶ γὰρ καὶ χωρὶς τούτων ἐπουλωτικώτερον γίνεται. προσέμβαλλε δ' αὐτῷ τηνικαῦτα καὶ διφρυγοῦς οὐγγίαν καὶ χρυσοκόλλης οὐγγίαν. βάλλεται δὲ οὐχ ἅμα τῇ λεπίδι καὶ τῷ ἰῷ ταῦτα, καθάπερ οὐδ' ὅταν ἐφθὸν ἤδη τελέως ᾖ τὸ φάρμακον, ἀλλ' ἐν τῷ μεταξὺ καιρῷ. τοσαύτης γὰρ ἑψήσεως δεῖται τὰ τοιαῦτα τῶν φαρμάκων, ὡς ἀκριβῶς ἑνωθῆναι τοῖς προϋπάρχουσιν, ὃ διὰ συμμέτρου γίγνεται χρόνου μήτε λίαν πολὺ πρὸ τῆς ἅρσεως τῆς κακκάβης μήτ' ἐγγὺς αὐτῆς. καὶ μόνη μὲν οὖν ἡ ἔμπλαστρος αὕτη σύριγγάς τε καὶ κόλπους καὶ τὰ μεγάλα τραύματα κολλᾶν ἐστιν ἱκανή. συνεργεῖ δ' αὐτῇ καὶ σπόγγος καινὸς μὴ σκληρὸς, οἴνῳ παλαιῷ βεβρεγμένος. ἡ δ' ἐπίδεσις ἐπὶ τῶν κόλπων, ἀπὸ τοῦ πυθμένος γιγνέσθω πρὸς τὸ στόμιον ἀφικνουμένου τοῦ ἐπιδέσμου, καθότι δηλωθήσεται σαφέστερον ἐν τῷ περὶ συρίγγων λόγῳ.

acerrimo conterito ac potius in ſole, pari modo argenti ſpumam tritam exiccatamque et oleo poſtea mixtam eo quo dixi modo incoquito. Attamen ad ulcera, quibus cicatrix difficulter induci poteſt, metallica ſic elaborari et argenti ſpumam ita conterere non eſt neceſſum, etenim ſine his quoque cicatrici ducendae promptius illud evadit. Adjiciatur autem tunc ei diphrygis et chryſocollae ſingulorum uncia. At haec non ſimul cum ſpuma et aerugine committuntur, uti nec ubi jam coctum medicamentum fuerit omnino, ſed eo, quod intercedit, tempore. Tantam enim hujusmodi medicamenta coctionem requirunt, ut exacte cum prioribus in unum coeant, quod mediocri intervallo accidit, neque multo ante nec paulo minus quam caccabus ab igne tollatur. Solum itaque hoc emplaſtrum ſiſtulas, ſinus et magna vulnera glutinare poteſt. Juvat ipſum ſpongia recens non dura veteri vino reſperſa. Deligatura in ſinibus ab imo fiat ligamento ad oriſicium perveniente, ſicut in ſermone de ſiſtulis clarius oſtendetur.

Ed. Chart. XIII. [691.] Ed. Baf. II. (338.)

Κεφ. ιγ΄. [Περὶ τῶν ἐπουλωτικῶν.] Εἴτ' ἐπουλωτικὰς εἴτε συνουλωτικὰς ἐθέλεις ὀνομάζειν τὰς οὐλὴν ποιούσας ἐμπλάστρους, ὡσαύτως δὲ καὶ τἆλλα φάρμακα τά τ' ἐπίπαστα καὶ τὰ διὰ μοτῶν χρήσεως προσφερόμενα, διήνεγκεν ὡς οὐδὲν πρὸς τὰς ἰάσεις αὐτῶν, εἰ μεμνημένος εἴης τῆς δυνάμεως, ὁποίας εἶναι προσήκει τῶν τοιούτων φαρμάκων, εἰρημένης ἅμα ταῖς ἄλλαις ἁπάσαις ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν. ὅσῳ γὰρ αἱ κολλητικαὶ τῶν σαρκωτικῶν ἐδείχθησαν εἶναι ξηραντικώτεραι, τοσούτῳ τῶν κολλητικῶν αἱ ἐπουλωτικαί. πρόκειται γὰρ ἡμῖν ἐν αὐταῖς τὴν γεννηθεῖσαν ἐν τοῖς κοίλοις ἕλκεσι σάρκα δέρμα ποιῆσαι. διὸ καὶ στύφειν χρὴ τὸ τοιοῦτον γένος τῶν φαρμάκων, εἴτ' ἐπίχριστον εἴτ' ἐπίσπαστον εἴη. προκείμενον δ' ἡμῖν ἐνταῦθα τῶν ἐμπλάστρων ἐκείνων μόνον μνημονεῦσαι. καὶ γὰρ τὰ διὰ τῶν μοτῶν ἐπιτιθέμενα φάρμακα τούτων τηκομένων ἐν ῥοδίνῳ ἢ μυρσίνῳ γίγνεται. καὶ μᾶλλόν γε τὸ μύρσινον τοῦ ῥοδίνου χρησιμώτερον, ὅσῳ καὶ στυπτικώτερόν ἐστιν. εἰ δὲ μηδέτερον ἔχοις τούτων, διὰ κυπρίνου καὶ σχινίνου καὶ

Cap. XIII. [*De iis quae cicatricem obducunt.*] Emplaſtra cicatricem inducentia, ſive ſynulotica ſive epulotica nominare velis, ſicut etiam alia medicamenta epipaſta, id eſt quae inſperguntur et quae linamentorum uſu apponuntur, nihil ut ad curationes eorum differentiae affert, ſi qualis quodque facultatis medicamentum hujusmodi eſſe debeat memineris, quam ſimul cum reliquis omnibus in therapeutices methodi libris explicavimus. Quanto enim agglutinantia carnem generantibus ſiccare magis oſtenſa ſunt, tanto agglutinantibus epulotica, nam ipſorum beneficio carnem cavis ulceribus generatam cutem reddere ſtatuimus, ob quod etiam tale medicamentorum genus, ſive illinendum ſive inſpergendum ſit aſtringere oportet. Hic autem illorum duntaxat emplaſtrorum mentionem facere cogitamus, ſiquidem ea, quae linamentis excepta imponuntur medicamenta, ex his roſaceo vel myrteo liquatis fiunt. Atque myrteum roſaceo hoc magis conducit, quo vehementius aſtringit. At ſi neutrum habeas, ex cyprino, lentiſcino et melino, liquanda

Ed. Chart. XIII. [691. 692.] Ed. Baſ. II. (338.)

μηλίνου τηκτέον· εἰ δὲ μὴ τούτων ἔχοις τι, [692] δι' ὠμοτριβοῦς ἐλαίου ἢ τοῦ ἀπὸ τῆς Ἰβηρίας, ὃ καλοῦσιν Σπανόν. ὅταν δὲ μηδὲ τοῦτ' ἔχῃς, θαλλοὺς ἐλαιῶν ἁπαλοὺς θλάσας, ἐμβαλεῖς ἑτέρῳ τινὶ τῶν ἐπιτυχόντων ἐλαίων. εἰ δὲ καὶ τούτων ἀπορεῖς, ἄμεινον ἐλαίῳ παλαιῷ τήκειν. τὸ γοῦν ξηραντικώτερον γενέσθαι τὸ φάρμακον ἐκ τούτου ἔχοις. οἱ μὲν οὖν πολλοὶ τῶν ἰατρῶν ἀφίστανται τῶν ἐκ παλαιοῦ χρόνου πεῖραν ἱκανὴν δεδωκότων φαρμάκων ἅπασι τοῖς ἀρίστοις ἰατροῖς καὶ διὰ τοῦτο ἐνδόξων γεγονότων, ὅπως δοκῶσιν αὐτοὶ βέλτιόν τι παρὰ τοὺς ἔμπροσθεν ἔχειν. εἰδέναι δὲ χρὴ τῶν ἐνδόξων φαρμάκων ἃ παρὰ πᾶσιν ἐπῄνηται, τό τε διὰ καδμείας καὶ τὸ διὰ τοῦ λαδάνου φάρμακον ἄριστον εἰς ἐπούλωσιν. οὐ παρὰ πᾶσι δὲ τοῖς ἰατροῖς ἡ τῶν μιγνυμένων ἁπλῶν φαρμάκων ὁμολόγηται συμμετρία. διὰ τοῦτ' οὖν ἔδοξέ μοι γράψαι τὰς ἑκάστῳ τῶν γραψάντων αὐτὰς ἀρεσκούσας, ἀπὸ τῶν ὑπ' Ἀσκληπιάδου γεγραμμένων, ἀρξαμένῳ κατὰ τὸ τρίτον τῶν ἐκτὸς, ἃ Μαρκέλλας ἐπιγράφει.

ſunt, ſi his quoque careas, ex omphacino vel eo, quod ab Hiſpania portatur, Hiſpanum nominant, ubi nec hujus copia adſit, teneros olivarum ſurculos contuſos alii cuipiam vulgari oleo admiſcebis, quod ſi hos etiam deſideres, praeſtat oleo vetere liquefacere, hinc enim medicamentum ſiccandi virtute augebis. Proinde plerique medicorum a medicamentis, quae optimi quique medici longi temporis experientia ſatis probarunt, eoque nobilia reddiderunt, hac ratione ſolum abſtinent, ut ipſi melius quippiam praeter majores habere videantur. Attamen ſciendum eſt, his ipſis celebribus medicamentis, quae ab omnibus laudantur, haud facile aliorum ullum reperiri quod ſit praeſtantius. Ab antiquo igitur laudata ſunt, tum quod ex cadmia tum quod ex ladano inſcribitur, ad cicatricem ducendam utrumque eſſe praeſtantiſſimum. Quamquam apud omnes mixturae ſimplicium medicamentorum ſymmetriam eandem non ſit invenire. Quapropter viſum mihi eſt eas, quae cuique ſcriptori placent, deſcribere, auſpicati a proditis ab Aſclepiade in tertio de exterioribus commentario, quae Marcellas inſcribit.

Ed. Chart. XIII. [692.] Ed. Baſ. II. (338.)

Κεφ. ιδ'. [Περὶ τῶν ἐπουλωτικῶν ἐμπλάστρων Ἀσκληπιάδης οὕτως γράφει.] Τῶν δὲ κατὰ μέρος ἑλκῶν χωρὶς ἑτέρας διαθέσεως ἤδη πρὸς οὐλὴν ῥεπόντων χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις. ἡ διὰ καδμείας ἐπουλωτική. ταύτῃ ἐχρήσατο ὁ Καθηγητὴς Λεύκιος. ♃ καδμείας κεκαυμένης καὶ οἴνῳ κατεσκευασμένης, χαλκίτεως ὀπτῆς ἀνὰ ≺ ιστ'. κηροῦ ≺ π'. κολοφωνιακῆς πίσσης οὐγγίας η'. οἴνου Ἰταλικοῦ τὸ αὔταρκες, τρῖβε χαλκῖτιν καὶ τὴν καδμείαν μετ' οἴνου, ὥστε ὑγρᾶς κηρωτῆς ἔχειν τὸ πάχος. τὸν δὲ κηρὸν κατακλάσας καὶ τὴν ῥητίνην καὶ βαλὼν εἰς ἄγγος κεραμεοῦν καὶ τούτοις ἐπιβαλὼν μυρσίνου λίτραν α'. τίθει ἐπ' ἀνθράκων κινῶν συνεχῶς. καὶ ὅταν δὲ λυθῇ, ἆρας ἀπὸ τοῦ πυρὸς ἔα ψυγῆναι καὶ ἀναξύσας, ἐπίβαλλε τοῖς λεανθεῖσι καὶ μίξας ἀνελόμενος χρῶ, διαλύων μυρσίνῳ ἐλαίῳ. ἡ κρᾶσις ἔστω κατάλληλος τῇ διαθέσει. ἄλλη διὰ καδμείας. ♃ καδμείας ὀπτῆς, χαλκίτεως ὀπτῆς, διφρυγοῦς ἀνὰ ≺ ιστ'. κηροῦ, ῥητίνης φρυκτῆς, ἐλαίου μυρσίνου ἀνὰ ἡμίλιτρον, οἴνου Ἰταλικοῦ ὅσον ἐξαρκεῖ, σκεύαζε καθὰ προείρηται καὶ χρῶ ποτὲ

Cap. XIV. [*De epuloticis emplaſtris Aſclepiades ſic ſcribit.*] Poſteaquam ulcera particularia ſine alia diſpoſitione ad cicatricem jam tendunt, utendum eſt iis compoſitionibus, quae infra ſcribuntur *Emplaſtrum ex cadmia ad cicatricem ducendam. Hoc Lucius Cathegetes, id eſt praeceptor uſus eſt.* ♃ Cadmiae uſtae et ex vino praeparatae, chalcitidis toſtae, ſingulorum drach. xvj, cerae drach. lxxx, picis colophoniacae ʒ viij, vini Italici quod ſatis eſt. Chalcitis et cadmia ex vino terantur, ut humidi cerati ſpiſſitudinem habeant, ceram et reſinam perfractam in vas fictile immittito, atque his olei myrtei pondo libram adjicito, deinde carbonibus ſuperponito movens ſine requie, quum ſoluta fuerint ab igne tollito, ubi refrixerint, radito laevigatisque indito ac mixta excipito. In uſu oleo myrteo ſubigito, temperatura diſpoſitioni reſpondeat. *Aliud ex cadmia.* ♃ Cadmiae toſtae, chalcitidis toſtae, diphrygis, ſingulorum ʒ xvj cerae, reſinae frictae, olei myrtei, ſingulorum ſelibram, vini Italici quantum ſatis eſt. Praepara quo-

Ed. Chart. XIII. [692.] Ed. Baſ. II. (338.)

μὲν ἀνιεμένῳ, ποτὲ δὲ ἀκράτῳ τῷ φαρμάκῳ. ἄλλη. ℞ λιθαργύρου, ψιμυθίου, καδμείας, διφρυγοῦς, ῥητίνης ἀνὰ ⊲ η'. χαλκίτεως ⊲ β'. κηροῦ ⊲ η'. μυρσίνου τὸ αὐτάρκες, οἴνου Ἀμιναίου ὅσον ἐξαρκεῖ. ἄλλη Εὐφράνορος. ℞ διφρυγοῦς, μίσυος ὀπτοῦ ἀνὰ ⊲ η'. χαλκίτεως ὀπτῆς, μολυβδαίνης ἀνὰ ⊲ β'. καδμείας ⊲ α'. κηροῦ ⊲ στ'. κολοφωνίας οὐγγίας γ'. μυρσίνου λίτρας στ'. οἴνου Ἰταλικοῦ τὸ αὐτάρκες. ἄλλη ἣ διὰ τοῦ λαδάνου, φάρμακον ἐπιτετευγμένον, οὐ μόνον ἕπουλοῦσα, ἀλλὰ καὶ τύλους ἐκκόπτουσα καὶ τὰς λειτουργίας κατορθοῦσα. ℞ χαλκίτεως, λιθαργύρου, λαδάνου ἀνὰ ⊲ κδ'. ἀσφάλτου ⊲ η'. κηροῦ ⊲ οβ'. μυρσίνου κοτύλην μίαν. οἷς δὲ ⊲ ιη'. οἴνου κοτύλην μίαν σκεύαζε κατὰ τρόπον. ἐν δὲ τῇ χρήσει χρῶ καὶ σπληνίῳ καὶ ἀνιεμένῃ. ἄλλη. ℞ λιθαργύρου ⊲ ρ'. πίσσης ⊲ ν'. λαδάνου ⊲ κε'. ἰοῦ ξυστοῦ, χαλκοῦ κεκαυμένου ἀνὰ ⊲ η'. ἐλαίου μυρσίνου λίτρας β', λεπίδος χαλκοῦ ⊲ δ'. σκεύαζε καὶ χρῶ. ἄλλη ἡ πυρίκαυτος λεγομένη, ἐκ τῶν Ἀτταλικῶν δυνάμεων φάρμακον ἐπιτετευ-

modo dictum eſt, ac utitor nunc diluto, nunc mero medicamento. *Aliud.* ℞ Argenti ſpumae, ceruſſae, cadmiae, diphrygis, reſinae, ſingulorum ʒ viij, chalcitidis ʒ ij, cerae ʒ viij, myrtei olei quod ſufficit, vini Aminaei quod ſatis eſt. *Aliud Euphranoris.* ℞ Diphrygis, miſyos toſti, ſingulorum ʒ viij, chalcitidis toſtae, molybdaenae, ſingulorum ʒ ij, cadmiae ʒ j, cerae ʒ vj, colophoniae ʒ iij, myrtei libras vj, vini Italici quod ſatis eſt. *Aliud ex ladano accommodatum medicameutum, non ſolum cicatricem ducens, ſed etiam calles excindens et male curata inſtaurans.* ℞ Chalcitidis, argenti ſpumae, ladani, ſingulorum ʒ xxiv, bituminis ʒ viij, cerae ʒ lxxij, myrtei heminam unam, alii ʒ xviij, vini heminam j. Praeparato in modum praedictum, quum res exigit, et ſplenio et diluto utitor. *Aliud.* ℞ Argenti ſpumae ʒ c, picis ʒ i, ladani drach. xxv, aeruginis raſae, aeris uſti, ſingulorum ʒ viij, olei myrtei lib. ij, aeris ſquamae ʒ iv conficito ac utitor. *Aliud, quod pyricauton dicitur, ex Attalicis virtutibus medicamentum accommoda-*

Ed. Chart. XIII. [692. 691.] Ed. Baf. II. (338.)

γμένον. ℔ ἐλαίου κοτύλην α'. στυπτηρίας σχιστῆς, μάννης, λιβανωτοῦ, λιθαργύρου, χαλβάνης ἀνὰ ≺ α'. κηροῦ ≺ κδ'. ἀγχούσης ≺ η'. [691] μυελοῦ ἐλαφείου, στέατος ὑείου, ἰοῦ, ψιμυθίου ἀνὰ ≺ β'. ὠῶν τριῶν τὸ χλωρὸν, τὰ τηκτὰ κατὰ τῶν ξηρῶν, καὶ χρῶ ποτὲ μὲν ἀνιεμένῳ τῷ φαρμάκῳ, ποτὲ δὲ ἀκράτῳ. ἄλλη, φάρμακον ἐπιτετευγμένον, ποιεῖ πρὸς τὰ παλαιὰ καὶ δυσαλθῆ. ψιμυθίου, λιθαργύρου, στυπτηρίας σχιστῆς, μάννης, χαλβάνης, λιβάνου, μυελοῦ ἐλαφείου καὶ μοσχείου ἀνὰ ≺ δ'. κηροῦ, ἀγχούσης, ὠῶν λεκίθων ἀνὰ ≺ η'. ἐλαίου κοτύλας δ'. κόπτε τοὺς μυελοὺς ἐπιμελῶς καὶ τῆκε μετὰ τῶν τηκτῶν, κινῶν ἀγχούσῃ, ὥστε χρωσθῆναι, εἶτα ἄρας ἀπὸ τοῦ πυρὸς καὶ διϋλίσας εἰς ἕτερον ἀγγεῖον ἔα ψυγῆναι καὶ ἀναξύσας ἐπίβαλλε τοῖς ξηροῖς καὶ ἀνελόμενος χρῶ. λευκὴ μάγνη λεγομένη, φάρμακον ἐπιτετευγμένον. ποιεῖ δὲ καὶ πρὸς τὰ χρόνια τραύματα καὶ μόγις ἐπουλούμενα, ποιεῖ καὶ πρὸς ψωρώδεις διαθέσεις. ἔστι δὲ καὶ ἑδρικὴ ἀγαθὴ, ἀνιεμένη ῥοδίνῳ ἢ μυρσίνῳ. ℔ λιθαργύρου ≺ ρ'.

tum. ℔ Olei heminam j, aluminis ſciſſilis, mannae, thuris, argenti ſpumae, galbani, ſingulorum ʒ j, cerae ʒ xxiv, anchuſae ʒ viij, medullae cervinae, adipis ſuilli, aeruginis, ceruſſae, ſingulorum drach. duas, ovorum trium lutea. Quae liquari poſſunt, ſiccis immiſcentur. Hoc medicamento alias diluto, alias mero utitor. *Aliud medicamentum accommodatum. Facit ad vetera ac ſanatu difficilia.* ℔ Ceruſſae, argenti ſpumae, aluminis ſiſſilis, mannae, galbani, thuris, medullae cervinae et vitulinae, ſingulorum drach. iv cerae, anchuſae, ovorum luteorum, ſingulorum drach. octo, olei heminas iv. Medullas diligenter tundito et liquato cum iis, quae liquefieri poſſunt, movens anchuſa, ex qua poſſint ea colorari, deinde ab igne ſublata et in aliud vas conjecta refrigerari ſinito, deraſa ſiccis immiſceto, deinde in uſum excipito. *Candidum quod magnum dicitur medicamentum accommodatum. Valet et ad diuturna vulnera et quae vix cicatricem recipiunt, item ſcabioſos affectus, benefacit et ſedis vitiis roſaceo aut myrtino dilutum.* ℔ Argenti ſpu-

Ed. Chart. XIII. [691.] Ed. Baſ. II. (338. 339.)

κηροῦ ≺ ν'. ψιμυθίου ≺ ρ'. τερμινθίνης ≺ κέ. λιβανωτοῦ ≺ κέ. στυπτηρίας σχιστῆς ≺ ιβ'. ἐλαίου κοτύλας β'. συντίθει κατὰ τρόπον καὶ χρῶ, ὁτὲ μὲν ἐμπλάστρῳ, ὁτὲ δὲ ἀνιεμένῳ τῷ φαρμάκῳ. Ἄλλη Παμφίλειος λεγομένη, πρὸς τὰς προειρημένας διαθέσεις καὶ κόλπους παρακολλᾷ καὶ σύριγγας ἐκτυλοῖ. ποιεῖ πρὸς τὰ ῥευματικὰ τῶν ἑλκῶν καὶ πρὸς τὰ χρόνια καὶ δυσεπούλωτα, ψώρας τε (339) θεραπεύει καὶ ὑπώπια βαστάζει. ποιεῖ καὶ κεφαλαλγικοῖς καὶ πρὸς τὰς τῶν ὀφθαλμῶν ἐπιφορὰς ἐπιτιθεμένη κατὰ τοῦ μετώπου. ἔστι δὲ καὶ ἑδρικὴ ἀγαθὴ ἀνιεμένη ῥοδίνῳ ἢ μυρσίνῳ. τὰ δὲ τῆς σκευασίας ἔχει οὕτως. ℞ λιθαργύρου ≺ ρ'. κηροῦ ≺ ν'. τερμινθίνης ≺ κέ. λιβάνου ≺ κέ ψιμυθίου ≺ ρ'. στυπτηρίας σχιστῆς ≺ ιστ'. πεπέρεως λευκοῦ ≺ γ'. ἐλαίου παλαιοῦ κοτύλας β'. συντήκει κατὰ τρόπον ποτὲ μὲν ἀνιεμένῳ τῷ φαρμάκῳ, ποτὲ δὲ ἐμπλάσσων χρώμενος. ἐπὶ μὲν γὰρ τῶν κατὰ τὴν κεφαλὴν ἀχώρων ἢ τῶν περὶ τὴν ὄψιν τραχυτήτων ἢ τῶν λεγομένων ἐπινυκτίδων ἢ τῶν περὶ τὴν ἕδραν διαθέ-

mae drach. c, cerae drach. l, ceruſſae drach. c, terebinthinae drach. xxv, thuris ʒ xxv, aluminis ſciſſilis drach. xij, olei heminas duas. Componito ſimili modo, et utitor interdum emplaſtro, interdum diluto medicamento. *Aliud cui nomen eſt Pamphilion ad idem. Inſuper ſinus conglutinat et fiſtulis callum exterit. Valet ad ulcerum fluxiones tum ad diuturna et dyſepulota ſcabiemque ſanat, tollit ſugillata, benefacit caput dolentibus et oculorum epiphoris fronti impoſitum, nec minus ſedi convenit dilutum roſaceo vel myrteo. Caeterum in hunc modum componitur.* ℞ Argenti ſpumae drach. centum, cerae drach. quinquaginta, terebinthinae drach. vigintiquinque, thuris drach. vigintiquinque, ceruſſae drach. centum, aluminis fiſſilis drach. xvj, piperis albi ʒ iij, olei veteris heminas duas. Liquato, ut dictum eſt, nunc diluto medicamento nunc emplaſtri modo utens. Nam in capitis manantibus ulceribus, quae achores Graecis dicuntur et oculorum aſperitatibus, vel in iis, quas epinyctidas vocant, vel ani vitiis di-

Ed. Chart. XIII. [691.] Ed. Baſ. II. (339.)

σεων ἀνιεμένῳ τῷ φαρμάκῳ μυρσίνῳ ἢ σχινίνῳ ἐπιχριόμενον. ἄλλη Τελαμῶνος, φάρμακον ἐπιτετευγμένον, ποιεῖ καὶ πρὸς ἄνθρακας, ἀναξηραίνει κόλπους ἐνιεμένη καὶ ἐγχυματιζομένη, ἔστι δὲ καὶ ἐπουλωτικὴ ἀγαθή. ℞ πιτυΐνης, κηροῦ, ἀσβέστου, λιθαργύρου ἀνὰ ≺ ν'. ψιμυθίου ≺ κε. ἐλαίου κοτύλης ἥμισυ, ἕψε λιθάργυρον, ἔλαιον ἕως συστῇ, εἶτα κηρὸν, εἶτα ῥητίνην. τὴν δὲ ἄσβεστον καὶ τὸ ψιμύθιον λείωσον καὶ τούτοις ἐπίβαλλε τὰ τηκτά. ἐν δὲ τῇ χρήσει ἔλαιον ἐπὶ θερμοσποδίᾳ θεὶς ἐπίβαλλε καταθλάσας τοῦ φαρμάκου. καὶ ὅταν θερμανθῇ, εἰς θυείαν βαλὼν ἀνάκοπτε φιλοπόνως ἕως γλοιῶδες γένηται, καὶ ἀποθέμενος χρῶ, ὡς μεγίστῳ φαρμάκῳ, ὁτὲ μὲν ἐπιχρίων πτεροῖς, ὁτὲ δὲ ἐγχυματίζων. ἐπὶ δὲ τῶν λεγομένων ἀνθράκων εἰς ὀθόνιον ἐμπλάσσων ἐπιτίθει. ἄλλη Μοσχίωνος γνώριμος πρὸς ὅσα βούλει ἐκτυλῶσαι καὶ ἐπουλῶσαι, ἔστι δὲ καὶ ἑδρικὴ ἀγαθή. ℞ λιθαργύρου, ψιμυθίου, ἀσβέστου ἀνὰ ≺ ἡ. μυελοῦ ἐλαφείου, κηροῦ ἀνὰ ≺ ιστ'. ἐλαίου μυρσίνου τὸ αὐτάρκες. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν

τούτων ἐστὶ ξηραντικώτερα μετὰ τοῦ στύφειν ἱκανῶς, διωρίσθω καὶ τούτων τὰ κολλητικά τε καὶ συμφυτικά, τῷ μετριώτερον ξηραίνειν. ὅρος δὲ τῶν μὲν κολλητικῶν μηδεμίαν ἐᾶσαι μεταξὺ τῶν κολληθησομένων ὑγρότητα γενέσθαι· τῶν δ' ἐπουλωτικῶν οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὴν οὖσαν ἐν τοῖς ἐπουλωθησομένοις ἐκδαπανᾷν καὶ προσέτι τυλοῦν καὶ σκληρύνειν τῇ στύψει. τὰ σαρκωτικὰ δὲ τὸ μὲν εἰς ἀνάθρεψιν ἐπιτήδειον αἷμα φυλάττει, κατά τε ποσότητα καὶ ποιότητα, τοσοῦτόν τε καὶ τοιοῦτον, ὁπόσου καὶ ποίου δεῖται πρὸς τὴν τῆς σαρκὸς γένεσιν ἡ φύσις. καθαρὸν δὲ φυλάττει τὸ ἕλκος, εἰ μὲν παρέλαβεν αὐτὸ τοιοῦτον ἀδηκτότατον, εἰ δὲ [702] ῥύπον ἔχον, ἀναγκαῖον μὲν αὐτὸ ῥυπτικὸν εἰς τοσοῦτον εἶναι κατὰ τὴν ἑαυτοῦ δύναμιν, εἰς ὅσον ἥκει πάχους ὁ ῥύπος. ἀναγκαῖον δὲ καὶ δάκνειν καὶ διαβιβρώσκειν τὴν νεοπαγῆ σάρκα. δῆλον οὖν ὅτι τοιοῦτον ὂν οὐ σαρκώσει τὸ ἕλκος οὐδὲ πληρώσει τὴν κοιλότητα τῆς σαρκὸς, ἀλλὰ συντήξει τε καὶ μειώσει καὶ διὰ τοῦτο τὰ ῥύπου πολλοῦ

menta multo his, praeterquam quod abunde aſtringunt, ſicciora ſint, ſtatuamus demum, et quae glutinant et quae conjungunt moderatius iſtis exiccare. Finis autem glutinantium eſt nullum inter coitura ſubnaſci humiditatem permittere, cicatricem vero contrahentium, non hanc tantum impedire, ſed etiamnum conſiſtentem in iis quae mox cicatricem ducent conſumere, haec callum obducere et aſtringendo indurare. Quae carne implent, ſanguinem ad refectionem ideneum tum pro quantitate tum pro qualitate tuentur ac tantum talemque, quanto natura et quali ad carnis generationem indiget. Caeterum mordicationis prorſus expers medicamentum purum ulcus ſervat, ſi quidem tale acceperit, ſi vero ſordidum, neceſſe eſt tantum pro ſua ipſius poteſtate detergens ſit, quantum craſſitudinis ſordes habuerit, quin etiam carnem recens junctam mordere et exedere debebit. Unde palam colligitur id, quum tale exiſtat, ulceri carnem non eſſe inducturum nec cavitatem carnis repleturum, ſed quod potius colliquabit imminuetque. Atque

Ed. Chart. XIII. [702.] Ed. Baſ. II. (343.)

καθαρτικὰ φάρμακα, περὶ ὧν ἔμπροσθεν εἶπον, οὐκ ἀεὶ δύναται σαρκοῦν, ἀλλ' ὅταν ἤτοι δι' ἐλαίου πλείονος ἢ ῥοδίνου τακέντα, καθάπερ τό τε ἐλαιῶδες καὶ τὸ διὰ χάρτου, κολασθῇ τὸ σφοδρὸν τῆς ῥύψεως ἢ διὰ κηρωτῆς μίξεως ἄδηκτα γίγνηται. τοιαῦται δὲ πολλαὶ τῶν πολυχρήστων δυνάμεών εἰσιν, ὡς ἥ τε τοῦ Μαχαιρίωνος καὶ ἡ ἴσις. ὁ μὲν οὖν σκοπὸς ἑκάστου τῶν τοιούτων ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου λέλεκται γράμμασιν ἡ δὲ ὕλη τῶν δυνάμεων ἡ μὲν ἁπλῆ δι' ἑτέρας πραγματείας ἔμπροσθεν, ἡ σύνθετος δὲ διὰ τῆς νῦν ἐνεστώσης λέγεται. καὶ πρώτης γε ἐν αὐτῇ μεμνῆσθαι χρὴ τῆς τῶν θεραπευομένων σωμάτων φύσεως. τὰ μὲν ὑγρὰ καὶ διὰ τοῦτο μαλακὰ, καθάπερ τὰ τῶν γυναικῶν καὶ παιδίων εὐνούχων τε καὶ γυναικείως βιούντων, ἀσθενεστέρων δεῖται φαρμάκων, τὰ δὲ τῶν ἀνδρῶν, καὶ μάλισθ' ὅσοι δι' ἐνεργειῶν ἀνδρικῶν καὶ ἡλίου σκληρὰν εἰσήγοντο τὴν ἕξιν τοῦ σώματος, ὑπὸ τῶν ἀσθενῶν οὐδὲν ὠφελεῖται. διὰ τοῦτ' οὖν οὐδὲ τὰ κολλητικὰ κοινὰ τῶν σωμάτων ἑκατέρων ἐστὶν, ἀλλ' ὅσα μὲν διὰ λιθαργύρου καὶ ἐλαίου

hujus rei cauſa medicamentum, quod ſordibus copioſis repurgandis eſt, quod antea dixi, non ſemper carnem poteſt gignere, niſi vel ex uberiore oleo vel roſaceo liquatum, ſicut quod oleoſum et quod ex charta inſcribitur, deterſionis vehementiam remittat vel cerati mixtura mordicationem deponat. Hujusmodi ſunt plura multiplicis uſus medicamenta, quemadmodum Machaerionis emplaſtrum et iſis. Scopus igitur ſingulorum id genus in therapeuticae methodi libris declaratus eſt, ſimplex facultatum materia in alio opere priori, compoſita in praeſenti tractantur. Ac primum ſane in eo meminiſſe oportet naturae corporum, quae curanda ſuſceperis. Nam humida eoque mollia, quemadmodum mulierum, puerorum, eunuchorum et qui muliebriter degunt, imbecillioribus medicamentis indigent, virorum corpora, potiſſimum qui ex virilibus muniis et ſole durum corporis habitum conciliarunt, ab imbecillibus nihil praeſidii ſentiunt. Quapropter nec glutinantia utrorumque corporum communia ſunt, ſed quae ex argenti ſpuma, oleo

Ed. Chart. XIII. [702.] Ed. Baſ. II. (343.)

σκευάζεται καὶ ὄξους, περὶ ὧν ἐν τῷ πρώτῳ λόγῳ διῆλθον, ἀσθενοῦς καὶ μαλακῆς σαρκός ἐστι κολλητικά· τὰ δὲ δι' ἀσφάλτου καὶ ἰοῦ καὶ λεπίδος, ἀλόης τε καὶ σμύρνης, ἰσχυρᾶς τε καὶ σκληρᾶς. ἔστι μὲν οὖν ἡ ἄσφαλτος αὐτὴ καθ' ἑαυτὴν ἐν τῷ σκοπῷ τούτων τῶν δυνάμεων, ἀλλ' οὐχ οἷόν τε χρῆσθαι μόνῃ μετ' ἐλαίου τήξαντα, ψαθυρωτέρα γάρ ἐστιν ἢ ὡς ἐμπλαστρῶδες ἐργάσασθαι φάρμακον. ἵν' οὖν ἔμπλαστρος γένηται, κηροῦ καὶ ῥητίνης αὐτῇ μίγνυμεν, ὑφ' ὧν πάλιν ἐκλυθησομένην αὐτῆς δύναμιν εἰδότες, ἐνίοτε μὲν χαλκὸν ἢ λεπίδα χαλκοῦ, πολλάκις δὲ ἀλόην ἢ σμύρναν ἢ συνελόντι φάναι τῶν ξηραινόντων τι φαρμάκων οὐκ ἀγεννῶς μίγνυμεν.

Κεφ. κβ'. [Αἱ δι' ἀσφάλτου βάρβαροι.] Πρώτας κἀνταῦθα παραθήσομαι τὰς ὑπὸ Ἀνδρομάχου γεγραμμένας αὐτῇ τῇ ἐκείνου λέξει. βάρβαρος ἣ χρῶμαι. ℞ κηροῦ ≺ σ'. πίσσης ≺ σ'. ῥητίνης ≺ σ'. ἀσφάλτου ≺ σ'. λιβάνου ≺ κδ'. ἐλαίου κοτύλην α'. ἄλλη. ℞ πίσσης λίτρας β'. ἀσφάλτου λίτραν α'. κηροῖ λίτραν α'. ἀμμωνιακοῦ θυμιάματος γο στ'. μάννης γο στ'. ψι-

et aceto praeparantur, in priori libro de ipſis egimus, imbecillam mollemque carnem glutinant, quae bitumine aerugine, ſquama, aloë et myrrha conſtant robuſtam et duram. Itaque bitumen ipſum per ſe in harum facultatum ſcopo continetur. At nulla ratione ſolum ex oleo liquatum uſurpare poteris, ut quod friabilius ſit quam medicamento emplaſtri forma faciendo conveniat. Ut igitur emplaſtrum fiat, ceram et reſinam ei admiſcemus, a quibus denuo facultatem ejus ſolutum iri ſcientes, interdum aes vel ejus ſquamam, ſaepe aloën vel myrrham vel in ſumma ſiccans aliquod medicamentum non inepte adjicimus.

Cap. XXII. [*De bitumine barbara.*] Prima hic quoque ab Andromacho ſcripta apponam ipſis illius verbis. *Barbarum, quo utor.* ℞ Cerae ℥ cc, picis ℥ cc, reſinae ℥ cc, bituminis ℥ cc, thuris ℥ xxiv, olei heminam unam. *Aliud.* ℞ Picis lib. ij, bituminis lib. j, cerae lib. j, guttae ammoniaci ℨ vj, mannae ℨ vj, ceruſſae ℨ iij, olei heminae dimi-

Ed. Chart. XIII. [702. 703.] Ed. Baf. II. (343.)

μυθίου γο γ'. ἐλαίου κοτύλης S''. ὄξους κοτύλας δ'. ταύτην Ἀφροδᾶς ἐθαύμασεν. μέλαινα ἄλλη. ℞ πίσσης ξηρᾶς λίτραν α'. ῥητίνης ξηρᾶς λίτραν α'. ἀσφάλτου λίτραν α'. ψιμυθίου γο στ'. μάννης, χαλκάνθης, ἰοῦ ξυστοῦ ἀνὰ οὐγγίας γ'. ἐλαίου κοτύλης ἥμισυ, ὄξους κοτύλης ἥμισυ. ἄλλη ἐκ τῶν Γάλλου. ℞ στέατος αἰγείου ≺ λ'. ἰοῦ ≺ η'. κηροῦ ≺ ν'. ἀριστολοχίας ≺ κε'. ἀσφάλτου ≺ κε'. πίσσης ≺ κε'. ἀμμωνιακοῦ θυμιάματος ≺ ιβ'. χαλβάνης ≺ ιβ'. ἥμισυ, σιλφίου ≺ η'. ἄλλ. κ'. μάννης ιβ'. σκεύαζε. ἄλλη ἡ καλουμένη ἀνίκητος. ℞ κηροῦ ≺ ρ'. στέατος ταυρείου ≺ λ'. ἀσφάλτου ≺ κε'. πίσσης ≺ κε'. τερμινθίνης ≺ κε'. νίτρου ≺ κβ'. ἥμισυ, [703] ἀριστολοχίας ≺ ιβ'. χαλβάνης ≺ η'. σμύρνης δραχμὰς ιη'. λιβάνου ≺ ιβ'. ἥμισυ, ἀμμωνιακοῦ δραχμὰς η'. ἀμώμου δραχμὰς η'. καρδαμώμου ≺ ιβ'. ὀποπάνακος δραχμὰς η'. μυελοῦ ἐλαφείου ≺ ιε'. ἰοῦ ≺ ιβ' ἀλόης δραχμὰς η'. βδελλίου ≺ ιστ'. ἐλαίου κοτύλας β'. ἐγὼ δὲ ἔβαλλον προπόλεως δραχμὰς ιβ'.

dium, aceti heminas iv. Hoc aphrodas admiratus eſt. *Aliud nigrum.* ℞ Picis aridae lib. j, reſinae aridae lib. j, bituminis lib. j, cerussae ʒ vj, mannae, atramenti ſutorii, aeruginis raſae ſingulorum ʒ iij, olei heminae dimidium, aceti heminae dimidium. *Aliud ex emplaſtris Galli* ℞ Sevi caprini drach. triginta, aeruginis drach. octo, cerae drach. quinquaginta, ariſtolochiae drach. vigintiquinque, bituminis drach. xxv, picis ʒ vigintiquinque, guttae ammoniaci drach. duodecim, galbani ʒ xij ß, ſilphii ʒ viij, alias xx, mannae ʒ xij, praeparato. *Aliud quod invictum dicitur.* ℞ Cerae drach. centum, ſevi taurini drach. xxx, bituminis drach. xxv, picis drach. xxv, terebinthinae drach. vigintiquinque, nitri drach. xxij et dimidiam, ariſtolochiae drach. xij, galbani drach. octo, myrrhae drach. xviij, thuris drach. xij ß, ammoniaci drach. octo, amomi drach. octo, cardamomi ʒ xij, opopanacis drach. octo, medullae cervinae drach. quindecim, aeruginis drach. xij, aloës drach. viij, bdellii drach. xvj, olei heminas ij. Ego vero adjeci propoleos drach. duodecim.

Ed. Chart. XIII. [703.] Ed. Baſ. II. (343.)

[*Ἄλλη ἔναιμος Ἰουλιανοῦ.*] ℔ *Ἀιθαργύρου ≺ ν'. ἀσφάλτου δραχμὰς ν'. κηροῦ ≺ ν'. πίσσης βρυτίας δραχμὰς ν'. ῥητίνης φρυκτῆς ≺ ιε'. λεπίδος χαλκοῦ ≺ ιβ'. λιβάνου δραχμὰς ιδ'. χαλβάνης ≺ η'. χαλκίτεως δραχμὰς δ'. ἀλόης ≺ στ'. κηκίδος ≺ δ'. σμύρνης δραχμὰς δ'. ἀριστολοχίας μακρᾶς ≺ στ'. ἀριστολοχίας στρογγύλης δραχμὰς δ'. ἐλαίου παλαιοῦ κοτύλας δ'. ἐγὼ δὲ ἐλαίου κοτύλας γ'.*

[*Βάρβαρος Ἥρα.*] *Ἦν Ἥρας ἔγραψε βάρβαρον οὕτως. μέλαινα ἔμπλαστρος ἔναιμος πρὸς τὰς ἀξιολόγους διαιρέσεις καὶ μάλιστα πρὸς τὰς ἐν τῇ κεφαλῇ, πρὸς σύριγγας, κόλπους, κατάγματα. ἁρμόζει καὶ ἡπατικοῖς καὶ σπληνικοῖς, ἀφλεγμάντως κολλᾷ. ποιεῖ καὶ ἐπὶ νεύρων καὶ χόνδρων διακεκομμένων καὶ ὀστῶν, ἐπέχει δὲ παραδόξως καὶ αἷμα φερόμενον. ἔτι δὲ ποιεῖ πρὸς ὑποφορὰς καὶ κόλπους, κολλᾷ γὰρ μεγάλως καὶ ἐπὶ τῶν ἀποστημάτων κομισάμενος τὸ ὑγρὸν, ταύτην ἐπιτίθει. ἔστι καὶ ἴσχαιμος καλλίστη μάλιστα ἐπὶ τῶν αἷμα ἀναγόντων. ἐμπλάσας δὲ εἰς δέρματα δύο, ἓν μὲν*

[*Aliud quod cruentis vulneribus imponitur Juliani.*] ℔ Argenti ſpumae drach. I, bituminis ʒ I, cerae ʒ I, picis brutiae drach. I, reſinae frictae ʒ xv, aeris ſquamae drach. duodecim, thuris drach. quatuordecim, galbani drach. octo, chalcitidis drach. quatuor, aloës drach. vj, gallae drach. quatuor, myrrhae drach. quatuor, ariſtolochiae longae drach. ſex, ariſtolochiae rotundae drach. quatuor, olei veteris heminas quatuor, nos olei heminas tres.

[*Barbara Herae.*] Quod Heras conſcripſit barbarum ſic habet. *Nigrum emplaſtrum ad cruenta vulnera ad diviſiones notatu dignas, maxime capitis ad fiſtulas, ſinus, fracturas. Convenit etiam hepaticis et lienoſis, citra inflammationem glutinat. Beneſacit etiam nervis, cartilaginibus et oſſibus praeciſis. Cohibet etiam mirifice ſanguinem erumpentem. Inſuper valet ad tubos et ſinus, glutinat enim inſigniter. Item in abſceſſibus humore ablato hoc imponitur. Eſt etiam ad ſanguinem cohibendum praeſtantiſſimum, praeſertim in iis, qui ſanguinem rejiciunt,*

Ed. Chart. XIII. [703.] Ed. Baſ. II. (343.)

ἐπὶ τὰ στήθη καὶ τὰς πλευρὰς ἐπιτίθει, ἕτερον δὲ ἐπὶ τὸ μετάφρενον, παραδόξως ἐπέχει τὸ αἷμα. ποιεῖ καὶ πρὸς κυνόδηκτα καὶ ἀνθρωπόδηκτα, τὸ ὅλον ἀφλέγμαντος. αὕτη τὰς τραυματικὰς, ὡς ἡ πεῖρα δέδειχεν, ἐνίκησε. λῦε χειμῶνος δι' ἡμερῶν ἑπτὰ, θέρους διὰ ε'. ἐὰν δὲ ἐπείγῃ διὰ τριῶν. ℞ κηροῦ λίτραν μίαν, πίσσης λίτραν μίαν, ἀσφάλτου λίτραν μίαν, πιτυΐνης λίτραν μίαν, μάννης οὐγγίας στ'. ψιμυθίου οὐγγίας δ'. χαλκάνθης οὐγγίας δ'. ὀποπάνακος οὐγγίας β'. ἐλαίου ἡμιούγγιον, οἱ μὲν ἡμίμναν, οἱ δὲ ἡμίλιτραν, ὄξους κοτύλας β'. κηρὸν, ἄσφαλτον, ἔλαιον, ὄξος ὀλίγον ὑπολειπόμενος, εἰς χύτραν καινὴν βαλὼν τῆκε, εἶτα ἐπίβαλλε τὴν πίσσαν καὶ τὴν ῥητίνην λεπτοκοπήσας ἐπιμελῶς. ὅταν ἡμίεφθος ᾖ, ἄρας τὴν χύτραν καὶ διαψύξας ποσῶς ἔμπασσε διηθημένον τὸ χάλκανθον λειωθὲν ὄξει, ἐκ τῶν δύο κοτυλῶν κατὰ μικρὸν, ἵνα μὴ ὑπερζέσῃ. ἐπὰν δὲ ἐκχέῃς, ἐλαφρῶς ὀπόκαιε κινῶν. ὅταν ἀμόλυντος ᾖ, ἄρας ἀπὸ τοῦ πυρὸς, ἔγχει τὸν ὀποπάνακα πρὸ μιᾶς βεβρεγμένον εἰς μέρος τοῦ ὑπολει-

duas vero in pelles illinito, et unam pectori et lateribus imponito, alteram dorſo, praeter opinionem ſanguinem ſiſtit. Valet inſuper ad canum hominumque morſus, in totum phlegmonem arcet. Idem ea quae vulneribus adhibentur, ſuperat, ut experientia indicavit. Hieme diebus ſeptem ſolvitur, per aeſtatem quinque, ſi vero neceſſitas urgeat, tribus. ℞ Cerae libram unam, picis libram unam, bituminis lib. j, pityinae lib. j, mannae uncias ſex, ceruſſae uncias quatuor, chalcanthi uncias quatuor, opopanacis uncias duas, olei ſemunciam, alii ſeminam, alii ſelibram, aceti heminas duas Ceram, bitumen, oleum, acetum paululum relinquens in olla recenti liquato, deinde picem et reſinam adjicito, in minima fruſta diligenter concidito, ubi ſemicoctum fuerit, tollito ollam et aliquandiu refrigerato, atramentum ſutorium percolatum laevigatumque ex duabus aceti heminis paulatim inſpergito, ne efferveſcat, quando autem effundis, leviter ignem ſubminiſtrato movens, quum non inquinat, caccabum deponito, opopanacem in reliqui

Ed. Chart. XIII. [703. 704.] Ed. Baſ. II. (343. 344.)

πομένου ὄξους, ὥστε διαλυθῆναι, εἶτα ἔμπασον τὸ ψιμύθιον καὶ τὴν μάνναν ὁμοῦ ἐπιμελῶς λελειωμένα καὶ μικρὸν (344) χλιάνας, ὡς ἐνωθῆναι φυλασσόμενος μὴ προσκαῇ ὀποπάναξ καὶ ἡ μάννα, κατάχει εἰς θυείαν καὶ ἐάσας ψυγῆναι, ἀναμαλάξας ἀπίθου καὶ χρῶ. δῆλον δ' ὅτι καὶ τὰς ἄλλας βαρβάρους, ἃς ὅ τε Ἀνδρόμαχος ἔγραψε καὶ οἱ ἄλλοι, τὸν αὐτὸν τρόπον σκευάζειν προσῆκεν. ἔνιοι οὐκ ἐμβάλλουσι τῇ κακκάβῃ τὸν ὀποπάνακα, λειώσαντες δὲ μετ' ὄξους ἐν θυείᾳ καταχέουσι τὰ τηκτά. σὺν αὐτῷ δὲ ἔνιοι, καθάπερ κἀγὼ πολλάκις ἐποίησα, καὶ τὴν μάνναν καὶ τὸ ψιμύθιον ἐν τῇ θυείᾳ προλειώσας μετ' ὄξους ἐπιχέων τήξας τὰ τηκτά. πολλάκις δὲ τὸ χάλκανθον μόνον μετὰ τοῦ ὀποπάνακος λειώσας εἰς τὴν κακκάβην ἐμβαλὼν, τὴν μάνναν καὶ τὸ ψιμύθιον ἐμπάσσων. [704] ἄλλη βάρβαρος Ἥρα. ὁ μὲν Ἥρας ταύτης μόνης προὔγραψε τὸ βάρβαρος. ἐγὼ δὲ καὶ τὴν ἔμπροσθεν ὁμοίως ὠνόμασα, καίτοι μέλαιναν ὑπ' αὐτοῦ κεκλημένην, ἐπειδὴ τὰς δι' ἀσφάλτου βαρβάρους εἰώθασι καλεῖν οἱ πλεῖστοι τῶν νεωτέρων ἰατρῶν. αὐτὸς δὲ ὁ Ἥρας οὕτως

aceti parte pridie madefactum infundito, ut diſſolvatur, mox ceruſſam mannamque una pariter trita inſpergito, et paululum tepefaciens, ut in unum coëant, obſerva ne opopanax et manna adurantur, refuſa in mortarium ibi refrigerari ſinito, ac rurſus ſubacta reponito atque utitor. Porro manifeſtum eſt etiam, alia barbara, quae tum Andromachus tum reliqui tradiderunt, eodem modo confici oportere. Quidam opopanacem caccabo non injiciunt, ſed laevi ex aceto facto, liquata in mortario ſuperfundunt. Cum eo nonnulli miſcent mannam et ceruſſam, quemadmodum ego quoque ſaepius feci in mortario terens ex aceto et quae liquari poſſunt, liquefacta infundens. Subinde vero atramentum ſutorium duntaxat cum opopanace laeve factum caccabo indidi, mannam ceruſſamque inſpergens. *Aliud barbarum Herae.* Heras ſoli hnic praeſcripſit, barbarum, ego vero antecedens etiam ſimiliter appellavi, etſi nigrum ab ipſo nuncupatum, quoniam plerique ex recentioribus medicis emplaſtra ex bitumine barbara nominare conſueverunt.

Ed. Chart. XIII. [704.] Ed. Baſ. II. (344.)

περὶ αὐτῆς ἔγραψε κατὰ λέξιν. βάρβαρος πρὸς τὰ νεότρωτα, κόλπους, κυνόδηκτα, ἀνθρωπόδηκτα, κονδυλώματα φλεγμαίνοντα, πρὸς τὰ ἐν ἄρθροις πάντα ἐν ἀρχῇ καὶ πρὸς ποδάγραν. ℞ κηροῦ μνᾶν α′ πίσσης μνᾶν α′. ῥητίνης φρυκτῆς μνᾶν α′. ἀσφάλτου Ἰουδαϊκῆς μνᾶν α′. λιθαργύρου ≺ ι′. ψιμυθίου ≺ ε′. ἰοῦ ≺ ν′. ὀποπάνακος ≺ δ′. ἐλαίου κοτύλην α′. ὄξους κύαθον α′. ἔψε κηρὸν, πίσσαν, ἄσφαλτον, ῥητίνην ἕως τακῇ, εἶτα τὰ λοιπὰ μετὰ τοῦ ἐλαίου λελειοτριβημένα ἔμβαλλε, καὶ βαστάσας καὶ μικρὸν διαψύξας ἐκ τοῦ ὄξους κατ' ὀλίγον ἐπίσταζε. τοιοῦτος μέν τις ὁ τύπος τῶν βαρβάρων ἐμπλάστρων. ἐγὼ δέ τι προσθεὶς, ὡς αὐτὸς χρῶμαι, καταπαύσω τὸν περὶ αὐτῶν λόγον. εἰσὶ δὲ δύο, μία μὲν πρὸς τὰ μέγιστα τραύματα, ἄλλη δὲ πρὸς τὰ μικρότερα. τῆς μὲν οὖν πρὸς τὰ μέγιστα παραλαμβανομένης ἡ σύνθεσίς ἐστιν ἥδε.

[*Βάρβαρος Γαληνοῦ.*] ℞ *Πίσσης* λίτρας η′. κηροῦ λίτρας στ′. οὐγγίας η′. πιτυΐνης λίτρας ε′. οὐγγίας δ′. ἀσφάλτου λίτρας δ′. ἐλαίου λίτραν α′. οὐγγίας στ′. λιθαργύρου

Heras de ipſo ſic ad verbum ſcripſit. *Barbarum ad recentia vulnera, ſinus, canum hominumque morſus, condylomata inflammata ad articulorum vitia omnia in principio et podagram.* ℞ Cerae minam unam, picis minam unam, reſinae frictae minam unam, bituminis Judaici minam unam, argenti ſpumae drach. decem, ceruſſae drach. quinque, aeruginis drach. 1, opopanacis drach. quatuor, olei heminam unam, aceti cyathum unum. Cera, pix, bitumen, reſina incoquuntur, donec illiquata fuerit, deinde reliqua ex oleo trita injiciuntur, his ablatis ab igne et aliquantulum refrigeratis acetum paulatim inſtillatur. Talis ſane barbarorum emplaſtrorum formula eſt. Ego ubi paucis expoſuero quomodo ipſe utar, ſermonem de eis finiam. Sunt autem duo, unum ad maxima vulnera, alterum ad minora. Quod itaque ad maxima adhibetur haec recipit.

[*Barbarum Galeni.*] ℞ Picis lib. viij, cerae lib. vj et ℥ viij, pityinae lib. quinque et ℥ iv, bituminis lib. quatuor, olei libram unam et uncias vj, argenti ſpumae, ce-

Ed. Chart. XIII. [704.] Ed. Baſ. II. (344.)

καὶ ψιμυθίου καὶ ἰοῦ ἀνὰ ≺ κδ'. λιβανωτοῦ λίτρας ἥμισυ, στυπτηρίας ὑγρᾶς ≺ ιβ'. σχιστῆς οὐγγίας δ'. ὀποπάνακος, λεπίδος, χαλβάνης ἀνὰ ≺ ιβ'. ἀλόης καὶ ὀπίου καὶ σμύρνης ἀνὰ ≺ δ'. τερμινθίνης οὐγγίας κδ'. μανδραγόρου χυλοῦ ≺ στ'. ὄξους κοτύλας στ'. αἵ εἰσι λίτραι ε'. ἡ δὲ τῆς ἁπλουστέρας βαρβάρου συμμετρία τῇ συνθέσει ἐστὶν ἥδε. ℞ πίσσης, κηροῦ, ῥητίνης πιτυΐνης, ῥητίνης φρυκτῆς, ἀσφάλτου τῶν ε'. τούτων ἀνὰ λίτραν α'. λιθαργύρου ≺ ι'. ψιμυθίου ≺ ε'. ἰοῦ ≺ ε'. ὀποπάνακος ≺ γ'. ἐλαίου χειμῶνος οὐγγίας θ'. θέρους οὐγγίας στ'. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν καταχεῖται λελειωμένων ἐν θυείᾳ μετ' ὄξους δριμέος. ἐὰν δὲ ἀνωδυνώτερον εἶναι βουληθῇς τὸ φάρμακον, προσμίξεις ὑοσκυάμου χυλοῦ ≺ α'. ἥμισυ. καὶ ὀπίου ≺ α'.

ruſſae, aeruginis, ſingulorum drach. vigintiquatuor, thuris ſelibram, aluminis liquidi drach. xij, fiſſilis unc. iv, opopanacis, ſquamae, galbani, ſingulorum drach. duodecim, aloës, opii, myrrhae, ſingulorum drach. iv, terebinthinae ʒ xxiv, mandragorae ſucci drach. vj, aceti heminas ſex, quae ſunt librae quinque. *Simplicioris compoſitionis barbari ſymmetria eſt talis.* ℞ Picis, cerae, reſinae pityinae, reſinae frictae, bituminis, horum quinque ſingulorum libram unam, argenti ſpumae drach. x, ceruſſae drach. quinque, aeruginis drach. quinque, opopanacis drach. iij. olei hieme ʒ ix, aeſtate ʒ vj. Quae liquari poſſunt, ſiccis in mortario aceto acri laevigatis affunduntur. Quod ſi ſedando dolori aptius voles medicamentum reddere, hyoſcyami ſucci drach. unam et dimidiam, item opii drach. j admiſceto.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΓΕΝΗ ΒΙΒΛΙΟΝ Γ.

Ed. Chart. XIII. [705.] Ed. Baf. II. (344.)

Κεφ. α΄. Καὶ ταῦθ' ὑμῖν τοῖς ἑταίροις ὑπομνήματα γράφω δι' αὐτῶν τῶν ἔργων τῆς τέχνης ἐγνωκόσιν ὁπόσην ἔχει δύναμιν ἡ ἡμετέρα τῶν νευροτρώτων θεραπεία καὶ ὡς ἐσώθησαν ἅπαντες, οὔτε κυλλωθέντες οὔτε χωλωθέντες, ἃ τοῖς ἑτέρως θεραπευομένοις ἐθεάσασθε συμβαίνοντα, καθάπερ γε καὶ σπασθέντας ἐνίους ἢ σὺν ὀδύναις ἢ σηπεδόσιν ἢ πυρετοῖς ἀποθανόντας. εἰκὸς δὲ ἐκπεσεῖν καὶ εἰς ἄλ-

GALENI DE COMPOSITIONE MEDICAMENTORVM PER GENERA LIBER III.

Cap. I. Et haec, amici, commentaria vobis paro, qui jam ex ipſis medicinae operibus comperiſtis, quam efficax ſit noſtra nervorum vulneratorum curatio, nempe ex qua omnes ſervati ſunt, non autem manci nec claudi redditi, quae aliter curatis accidere conſpexiſtis, quemadmodum etiam nonnullos convulſione correptos vel cum dolore vel putredine vel febre mortuos. Par autem eſt, hoſce libros

Ed. Chart. XIII. [705. 706.] Ed. Baſ. II. (344.)

λους τὰ ὑπομνήματα ταῦτα μὴ δυναμένους καλῶς χρῆσθαι τοῖς ἐγγεγραμμένοις, ἢ διὰ τὸ μὴ μεμαθηκέναι παρὰ διδασκάλου τὴν θεωρίαν τῆς ἰατρικῆς τέχνης, ἀλλὰ ὅλως ἀνεισάκτους τε καὶ ἀγυμνάστους εἶναι τὸ παράπαν ἢ διὰ τὸ κακῶς μεμαθηκέναι παραμένοντας τοῖς ἄνευ λόγου διὰ μόνης πείρας εὑρῆσθαι λέγουσι τὰ σύνθετα φάρμακα. καὶ γὰρ οὗτοι προφανῶς ἁμαρτάνουσι φιλονεικοῦντες. ἕτερον δὲ τρόπον οὐδὲν ἧττον αὐτῶν οἱ νομίζοντες οὐδὲν φάρμακον ἐξ ἐναντίων χρῆναι ταῖς δυνάμεσι συντίθεσθαι τῶν ἁπλῶν. ἀλλὰ τούτους μὲν ἤλεγξε τὰ κατὰ τὸ πρῶτον ὑπόμνημα γεγραμμένα φάρμακα μεγάλας ἐπιδειξάμενα τὰς ἑαυτῶν δυνάμεις, ἐξ αὐτῶν τῶν τὴν σύνθεσιν ἐξ ἐναντίων ἐσχηκότων ἁπλῶν. οὐχ ἥκιστα δὲ καὶ κατὰ τὰ μέλλοντα γραφήσεσθαι μετὰ τοῦτο τὸ βιβλίον, ἐπιδείξομεν ἄριστα φάρμακα τὴν σύνθεσιν ἐξ ἐναντίων ταῖς δυνάμεσιν ἔχοντα. [706] νυνὶ δὲ περὶ τῆς ἡμετέρας ἀγωγῆς, ἣν ἐπενοήσαμεν ἐπὶ τοῖς νευροτρώτοις, ὁ καθ' ὅλον τουτὶ τὸ βιβλίον ἔσται μοι λόγος, ἐπιδεικνύντι πόσον πλῆθος φαρμάκων τὰς αὐτὰς δυνάμεις

ad aliorum quoque manus perventuros, qui ſcriptis bene uti non poſſunt, vel quia a praeceptore medicae artis ſpeculationem non didicerunt, ſed omnino rudes, quaſi vix initiati et prorſus inexercitati permanent, aut quia perperam edocti adhaeſerunt iis, qui composita medicamenta ſola experientia citra rationem eſſe inventa aſſerunt. Etenim ii manifeſto contentione ſua errant. Altero modo non minus praedictis errant ii, qui nullum medicamentum ex ſimplicibus facultate contrariis confici oportere arbitrantur. Verum hos medicamenta ſuperiore libro citata coarguunt, ut quae magnas ipſorum facultates ex contrariis invicem ſimplicibus compoſitis oſtentent, imo etiam in libris hunc ſubſecuturis praeſtantiſſima medicamenta ex contrariis virtutibus compoſita indicabuntur. Nunc de noſtra curandi ratione, quam in nervorum vulneribus excogitavimus, toto hoc libro diſſeremus, oſtendentes quantam ejusdem facultatis medicamentorum co-

Ed. Chart. XIII. [706.] Ed. Baſ. II. (344.)

ἐχόντων εὗρον, ἐκ τοῦ τόν γε καθόλου τρόπον τῆς θεραπείας ἐπινοῆσαι καὶ τὰς τῶν ἁπλῶν φαρμάκων ἐπίστασθαι δυνάμεις.

Κεφ. β'. [*Τίς ὁ καθόλου τρόπος ἐστὶ τῆς θεραπείας τῶν νευροτρώτων καὶ τίνα τὰ κατ' εἶδος φάρμακα.*] Ἐθεασάμην μὲν ἅπαντας τοὺς διδασκάλους τῇ καλουμένῃ συνήθως ἤδη τοῖς νεωτέροις ἰατροῖς ἐναίμῳ καὶ κολλητικῇ θεραπεύοντας ἀγωγῇ. κατ' ἀρχὰς γὰρ ἐπιτιθέντες τι φάρμακον τῶν ἐναίμων καλουμένων, ἐπειρῶντο κολλᾶν τὰ χείλη τοῦ τραύματος. εἰ δὲ φλεγμήνειεν, ὕδατί τε κατήντλουν θερμῷ δαψιλεῖ παραχέοντες ἔλαιον, ἐπίπασμά τε προσέφερον ἄλευρον πύρινον ἡψημένον ἐν ὑδρελαίῳ. καὶ μέντοι καὶ τοὺς μονομάχους, ὅσοι τε κατὰ τῆς μύλης ἐτρώθησαν ἀνωτέρω τε ταύτης κατὰ τὸν πλατὺν καὶ λεπτὸν τένοντα θεραπευομένους ὑπ' αὐτῶν ἑώρων ὡσαύτως. ἴσως δὲ ἄμεινον ἦ εἰπεῖν οὐ θεραπευομένους, ἀλλ' ἀπολλυμένους, ὀλιγοστοὶ γὰρ ἐξ αὐτῶν καὶ οὗτοι χωλούμενοι διεσώζοντο. καὶ μέντοι καὶ τῶν ἐν ἄκρᾳ τῇ χειρὶ τενόντων, δι' ὧν οἱ δάκτυλοι κάμ-

piam, tum ex generalis ſanandi ſcopi indeptione, tum ex ſimplicium virtutis cognitione invenerimus.

Cap. II. [*Quis communis vulneratorum nervorum curationis modus et quae medicamenta specialia.*] Spectavimus omnes praeceptores praeſidio, quod jam recentiores medici ſanguinarium ſeu cruentis opitulans, enaemon dicitur, et glutinatorium appellare ſolent, uti, nam initio medicamentum aliquod ex enaemis imponentes vulneris oras committere ſeu glutinare moliebantur. Si vero phlegmone eas obſederat, calida aqua liberaliter fovebant oleum affundentes, ac tritici farinam ex hydrelaeo decoctam epiplasma applicabant. Quin etiam gladiatores in patella vulneratos ſupraque hanc in lato tenuique tendine pari modo ab ipsis curatos vidi, forſan melius dicas non curatos, ſed perditos, pauciſſimi enim illorum et ii claudi ſupervixerunt. Et vero etiam permultos in manu ſumma tendones, per quos digiti flectuntur extenduntur-

Ed. Chart. XIII. [706.] Ed. Baſ. II. (344. 345.)

πτονται τε καὶ ἐκτείνονται, παμπόλλους ἐθεασάμην ἤτοι θλασθέντας ἢ νυγέντας ἐλαχίστῳ νύγματι, σηπομένους οὕτως, ὡς ἐοικέναι τοῖς ἑψομένοις ἐν ὕδασι καὶ μάλιστα ἐπὶ πλέον. ὁμοίως γὰρ αὐτοῖς ἐκλύονταί τε καὶ μαλακύνονται κατὰ τὴν σύστασιν οἱ διὰ τῆς προειρημένης ἀγωγῆς θεραπευόμενοι. κατέγνων οὖν αὐτῆς, ὡς σηπούσης τὸ τετρωμένον μόριον. ἐπεὶ δὲ τὰ σηπόμενα πάντα προσεγίγνωσκον, ὑφ' ὑγρότητός τε καὶ θερμότητος τοῦτο πάσχοντα, τὴν θεραπείαν ἔγνων χρῆναι διὰ τῶν ξηραινόντων καὶ ψυχόντων ποιεῖσθαι. πάλιν δ' ἐννοήσας, ὡς τὸ ψυχρὸν ἀληθῶς ὑφ' Ἱπποκράτους εἴρηται πολέμιον εἶναι τοῖς νεύροις, ἔγνων ἄριστον ἔσεσθαι φάρμακον ἐπὶ τῶν νευροτρώτων, ὅπερ ἂν ξηραίνῃ τε καὶ μέσως ἔχῃ τοῦ θερμαίνειν τε καὶ ψύχειν ἢ μὴ πολὺ τοῦ μέσου πρὸς τὸ θερμαίνειν ἀποκεχωρηκὸς εἴη. δύνασθαί γε μὴν καὶ θερμὸν ἱκανῶς εἶναι τὸ φάρμακον, ἐάν γε αὐτῷ (345) τὸ ξηραίνειν ὑπάρχῃ. χωρὶς γὰρ ὑγρότητος οὐχ οἷόν τ' ἐστὶ σήπειν τὸ θερμαῖνον. ἔτι δὲ πρὸς τούτοις κἀκεῖνο προσεννοήσας, ὡς πολὺ διαφέροι γυμνῷ τῷ πεπονθότι μορίῳ προσφέρειν τὸ φάρμακον ἢ διὰ σωμάτων ἑτέ-

que, vel contuſos vel minimo punctu laeſos, putrescentes adeo conſpexi, ut coctis praeſertim diutius in aqua ſimiles apparerent, non enim ſecus exolvuntur et conſiſtentia emolleſcunt, qui ſuperiorem ſanandi modum experiuntur. Itaque ipſum reprobavi, ut qui partem vulneratam putrefaceret. Quoniam vero putreſcentia omnia ab humiditate ac caliditate id pati praenoscebam, curationem per ſiccantia refrigerantiaque moliendam eſſe deprehendi. Rurſus apud me contemplatus, frigidum vere ab Hippocrate nervis inimicum dici, optimum fore nervorum vulneribus medicamentum intellexi quod et ſiccaret et medium esset inter calefaciens et refrigerans, vel non multum a medio ad calorem recederet, calidum vero etiam eſſe ſatis poſſe, modo ſiccandi poteſtate polleat, etenim calor citra humiditatem putrefacere nihil habet. Inſuper illud quoque cum cogitando adinveniſſem, multum referre, nudae parti affectae medicamentum

Ed. Chart. XIII. [706. 709.] Ed. Baſ. II. (345.)

ρων προκειμένων αὐτοῦ, προσήκειν ἔγνων ἑτέροις μὲν ἐπὶ γεγυμνωμένου τοῦ νεύρου χρῆσθαι φαρμάκοις, ἑτέροις δ' ὅταν ᾖ νενυγμένον, ἀπαθῶν τῶν προκειμένων αὐτοῦ σωμάτων ὑπαρχόντων. ἔνθα μὲν γὰρ γυμνῷ τῷ νεύρῳ προσφέροι τις τὸ φάρμακον, ἐνταῦθα τὴν εἰρημένην ἔνδειξιν τῶν ὠφελησάντων φαρμάκων εἰλικρινῆ παραλαμβάνεσθαι προσῆκεν. τῶν δὲ προκειμένων μορίων ἀπαθῶν ὄντων, λεπτομερέστερον εὑρίσκειν χρὴ φάρμακον, ὅπως ἡ δύναμις αὐτοῦ μὴ προεκλύηται διὰ τῶν ἐν μέσῳ σωμάτων, ἀλλ' εἰς τὸ βάθος ἀφίκηται. δύνασθαι δὲ τὸ τοιοῦτο φάρμακον, ἐὰν ἰσχυρῶς πεφύκῃ ξηραίνειν, ἔτι εἰ καὶ μὴ σύμμετρον εἴη, κατὰ θερμότητα καὶ ψυχρότητα μηδὲ ἀδικεῖν, ἀσθενεστέρας αὐτοῦ γιγνομένης τῆς κατὰ τὸ θερμαίνειν ἢ ψύχειν ἐνεργείας ἐν τῷ διεξιέναι τὰ προκείμενα μόρια τοῦ νευρώδους σώματος. εὑρημένου δὲ τοῦ σκοποῦ τῶν ὠφελησάντων φαρμάκων, ἐν τῷ λεπτομερεῖ τῆς οὐσίας αὐτῶν, ἐφεξῆς ἦν ἀνα[709]μιμνήσκεσθαι τῆς ὕλης. ἔγνωστο δ' ἐν τῇ τῶν ἁπλῶν φαρμάκων ἐπισκέψει τὰ μὲν πλεῖστα τῶν θερμαινόντων λεπτομερῆ, τὰ

offeras, an per alia corpora ei praeposita, convenire adverti aliis in nudato nervo uti medicamentis, aliis quum punctus fuerit, partibus quae ipsi praejacent illaesis. Ubi etenim nudo nervo medicamentum afferas, ibi praedictam auxiliorum integram indicationem assumi convenit, praepositis autem partibus salvis, tenuius medicamentum inveniendum est, cujus facultas interjacentes particulas permeando non dissolvatur, sed in altum penetret. Hoc autem efficere tale medicamentum posse, si valide siccet et si non calore et frigiditate medium sit ac symmetron, neque offendere, dum efficacia ipsius calefaciendi, vel refrigerandi in particulis, quae nervoso corpori propositae sunt, penetrandis, imbecillior est reddita. Atqui invento jam praesidiorum scopo in substantiae eorum tenuitate, deinceps materiae mentionem facere oportet. Plurima igitur, quae calefaciunt, tenuiorum esse partium, permulta rursus, quae refrigerant, crassiorum, in simplicium

Ed. Chart. XIII. [709.] Ed. Baſ. II. (345.)

δὲ πλεῖστα τῶν ψυχόντων παχυμερῆ. μόνως γὰρ ἐν αὐτοῖς μία ποιότης ἡ ὀξεῖα μετὰ λεπτομεροῦς οὐσίας γίνεταί ποτε, καὶ διὰ τοῦτο πάντων τῶν ψυχόντων λεπτομερέστερόν ἐστιν ὄξος τὸ δριμύτατον, ὃ καὶ θερμότητος βραχείας μετέχειν ἀποδέδεικται. τῶν δ' αὖ θερμαινόντων ὀποὶ καλοὶ λεπτομερέστατοι τυγχάνουσιν ὄντες καὶ πᾶσιν ἀνθρώποις ἤδη γινώσκεται πρωτεύων αὐτῶν ὁ Κυρηναῖος, ἀλλὰ τούτου μὴ παρόντος καὶ τῷ Μηδικῷ χρώμεθα καὶ τοῖς μετ' αὐτῶν ἀπὸ τῶν ἀνατολικῶν χωρίων κομιζομένοις, ὁποῖός ἐστι καὶ ὁ σαγαπηνὸς ὀνομαζόμενος. ἐκ ταὐτοῦ δὲ γένους ὑπάρχει τοῖσδε καὶ ὁ τοῦ εὐφορβίου κατὰ τὰ δυτικὰ μέρη τῆς οἰκουμένης γεννώμενος, εἴτ' ὀπὸν αὐτὸν εἴτ' ἄλλο τι καλεῖν ἐθέλοι τις. ἡμῖν δ' ἀρκέσει καθ' ὅλον τὸν λόγον εὐφόρβιον ὀνομάζειν τὸ φάρμακον τοῦτο, καθάπερ ἔθος ἤδη πᾶσίν ἐστιν. ἀλλὰ καὶ τῶν κατὰ τὴν ἡμετέραν χώραν γεννωμένων ὅ τε τοῦ πάνακος ὀπὸς καὶ οἱ τῶν τιθυμάλλων λεπτομεροῦς εἰσι δυνάμεως. καὶ μέντοι καὶ θερμαίνουσιν οἱ εἰρημένοι πάντες ὀποὶ γενναίως. ὁ δὲ τοῦ ὀποβαλσάμου λεπτο-

medicamentorum speculatione didicimus. Quippe una ſolum inter ea qualitas acida cum tenui ſubſtantia nonnunquam fit, eoque inter omnia, quae refrigerandi vim obtinent, tenuiorum partium aceto eſt acerrimum, quod etiam caloris exigui particeps esse demonſtravimus. Calefacientium vero liquores probi tenuiſſimam habent ſubſtantiam et apud omnes iam homines Cyrenaeus primas tenere cognoſcitur, qui ſi non adſit, etiam medico utimur et iis, quae cum ipſis ab orientalibus plagis afferuntur, cujusmodi eſt, quod ſagapenum appellamus. Hoc genere comprehenditur et liquor euphorbii in occiduis orbis regionibus natus, ſive liquorem ipſum ſive aliud quid nominare velis, nobis in toto commentario euphorbium hoc medicamentum vocare ſufficiet, quemadmodum jam omnes conſueverunt. Quin imo et inter ea quae in noſtra regione proveniunt et panacis et tithymallorum liquores ſubtili facultate praediti ſunt. Et vero etiam omnes nominati liquores generoſe calefaciunt. Opobalſami vero,

Ed. Chart. XIII. [709.] Ed. Baſ. II. (345.)

μερὴς ὢν καὶ αὐτὸς οὐ πάνυ θερμαίνει, λεπτομερῆ δ' οὐσίαν ἔχει. καὶ τῶν γεωδῶν ὅ τ' ἀφρὸς τοῦ νίτρου καὶ τὸ ῥᾳδίως ὕδατι λυόμενον ἀφρόνιτρον, ὡς ἐν γεώδεσι σώμασι δηλονότι ἀκουόντων ὑμῶν. ἐφεξῆς δ' αὐτῶν ἐστι τὸ Βερενίκιον ὀνομαζόμενον νίτρον ἥ τ' Ἀσία πέτρα. τὸ δ' ἄνθος αὐτῆς ἁπάντων ἐστὶ τῶν γεωδῶν λεπτομερέστατον. ἐκ δὲ τῶν μεταλλευομένων ἀρσενικόν τε καὶ θεῖόν ἐστι λεπτομερῆ τε καὶ θερμά. τούτων δ' ἐφεξῆς τὸ μίσυ καὶ ἡ τοῦ χαλκοῦ λεπὶς καὶ χαλκῖτις ἔχοντά τι καὶ στύψεως, διὸ καὶ καυθείσῃ τῇ χαλκίτιδι χρώμεθα τὰ πολλὰ πρὸς τὰς τῶν λεπτομερεστέρων φαρμάκων συνθέσεις. ἄνευ δὲ τοῦ θερμαίνειν ἐπιφανῶς λεπτομερῆ μεταλλικὰ φάρμακα, σπόδιόν τε καὶ πομφόλυξ ἐστὶ καὶ τὸ καλούμενον ψωρικόν. λεπτομερὴς δὲ ἱκανῶς ἐστι καὶ ἡ χρυσοκόλλη. ἐν δὲ τοῖς χυλοῖς ἐμάθομεν εἶναι λεπτομερῆ δάφνινον μὲν ἅμα τῷ θερμαίνειν ἰσχυρῶς, ὡς πρὸς τὴν αἴσθησιν. οὐδὲν γὰρ ἧττον αὐτοῦ θερμαῖνον τῇ δυνάμει τὸ κέδρινον ἀπολείπεται τῇ κατὰ τὴν αἴσθησιν θερμότητι διὰ τὴν λεπτομέρειαν. ἐκ τούτου δὲ γένους ἐστὶ τῷ

qui ſubtilis et ipſe eſt, non admodum calefacit. Ex terreſtribus autem nitri ſpuma tenuem ſubſtantiam habet, item quod ex aqua facile ſolvitur aphronitrum, ſi ad corpora terreſtria videlicet relationem fieri inaudiamus. Subſequitur nitrum nomine berenicium, et Aſia petra, cujus flos etiam omnium terreſtrium eſt ſubtiliſſimus. Porro ex metallis auripigmentum et ſulfur tum ſubtilia tum calida ſunt, quibus ſuccedit miſy, aeris ſquama et chalcitis, paululum ſimul adſtringentia. Quare uſta quoque chalcitide frequenter in ſubtiliorum medicamentorum compoſitionibus utimur. Citra calorem vero manifeſtum tenuium partium metallica ſunt ſpodium et pompholyx, adde quod vocatur pſoricum, ſubtilis abunde eſt et chryſocolla. Caeterum inter ſuccos laurinum ſimul cum eo, quod valide calefacit, ut ad ſenſum tenuem eſſe dicimus. Nihilo enim minus eo calefacit facultate cedrinus, calore tamen, qui ſenſibus subjicitur propter ſubſtantiae ſuae tenuitatem illi cedit. Ejusdem cum cedrino generis

Ed. Chart. XIII. [709.] Ed. Baſ. II. (345.)

κεδρίνῳ καὶ ἡ στακτὴ καλουμένη κονία. καὶ ταύτης αὐτῆς, ἥτις ἂν ἐξ ὕλης λεπτομεροῦς γένηται, καυθείσης, ὑπερβάλλει τῇ δυνάμει τὸ κέδρινον ἔλαιον. ἐκ μηλέας τε οὖν καὶ συκῆς καὶ μᾶλλόν γε τῆς ἀγρίας, ἣν ἐρινεὸν ὀνομάζουσιν, ἔκ τε τῶν τιθυμάλλων καιομένων τὴν τοιαύτην ἐργαζόμεθα κονίαν. ἄριστος δὲ τῶν τιθυμάλλων ὁ χαρακίας προσαγορευόμενος. ἐκ δὲ τῶν σιτηρῶν ὀνομαζομένων σπερμάτων λεπτομερέστατος μὲν ὁ ὄροβος, ἄνευ τοῦ θερμαίνειν ἐπιφανῶς. ἡ δ' αἶρα μετὰ τοῦ θερμαίνειν σαφῶς. ἡ κριθὴ δ' οὐδ' ὅλως θερμαίνει. μέσης δ' ὕλης ἐν αὐτοῖς ἐστι τὰ πικρὰ ταῖς ποιότησι, τῶν μὲν πάνυ λεπτομερῶν ἀπολειπόμενα, παχυμερὲς δ' οὐδὲν ἔχοντα. τινὰ δ' αὐτῶν ἀποκεχώρηκε βραχὺ τῶν μέσων, τὰ μὲν ὡς ἐπὶ τὸ θερμαίνειν, τὰ δὲ ὡς ἐπὶ τὸ ψύχειν, ὧν ἁπάντων τὰς ὕλας ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ διῆλθον, ὥσπερ γε καὶ τῶν ἀκροδρύων, ἐν οἷς ἐστι τὰ ἀμύγδαλα τὰ πικρὰ καὶ τὰ πιστάκια. τῆς δὲ ἀπὸ τῶν φυτῶν ὕλης οὐ μέμνημαι κατὰ τὸ παρὸν, ἀνελθεῖν γὰρ ἐπὶ τὴν ἀρχὴν βούλομαι καὶ διηγήσασθαι, πότε καὶ

eſt lixivia, quae ſtacte, id eſt *ſtillatitia* dicitur, atque inter hanc ipſam ea, quae ex materia ſubtili uſta ſit, cedrinum oleum virtute ſuperat. Ex malo igitur et ficu, eaque magis agreſti, quam vocant caprificum, item ex tithymallis combuſtis hujusmodi lixiviam conficimus. Praeſtantiſſimus eſt ex tithymallis, qui characias nuncupatur. Caeterum ex ſeminibus frumentariis, uti nominant, ſubtiliſſimum eſt ervum ſine inſigni calefaciendi poteſtate, lolium vero cum inſigni, hordeum nequaquam calefacit. Mediam inter ea materiam obtinent, qualitatibus amara, quae multum tenuibus ſubſtantia cedunt, craſſi licet nihil habentia. Nonnulla ipſorum a mediis tantillum declinarunt, alia ad calorem, alia ad frigiditatem; quorum omnium materias in opere de ſimplicibus medicamentis exequutus ſum, quemadmodum etiam nucum acrodryon, in quarum numero ſunt amygdalae amarae et piſtatia. At ſtirpium materiae in praeſentia non memini, redire enim ad principium cogito, atque exponere, quando quoque

Ed. Chart. XIII. [709. 710.] Ed. Baſ. II. (338.)

πῶς ἐχρησάμην ἑκάστῳ τῶν ἐπινοηθέντων. ἐκ τούτου γὰρ οἶμαι τοὺς εὐφυεῖς τῶν νέων προτραπήσεσθαι, γνῶναι τὴν ὕλην τῶν φαρμάκων αὐτόπτας αὐτῆς γενομένους οὐχ ἅπαξ ἢ δίς, ἀλλὰ πολλάκις. ἡ γὰρ τῶν αἰσθητῶν διάγνωσις ἐκ συνεχοῦς θέας ἀκριβοῦται, [710] καὶ τούτου μέγιστόν ἐστι τεκμήριον ἡ τῶν ἀπαραλλάκτων μὲν ἡμῖν εἶναι δοκούντων διδύμων, οὐκ ἀπαραλλάκτων δὲ τοῖς συνήθεσι μὴ παραδραμεῖν. τὴν μὲν οὖν ἀπό τε βοτανῶν καὶ θάμνων καὶ δένδρων ὕλην ἄριστόν ἐστι πρὶν ἐξαιρεθῆναι τῆς γῆς σκοπεῖσθαι κατὰ τὰς ἐγκαρπώσεις, μελλούσας τε καὶ ἀρχομένας καὶ προϊούσας καὶ ἀκμαζούσας. αὕτη γὰρ ἡ συνεχὴς αὐτῶν θέα διδάξει σε πηνίκα μάλιστα καλῶς ἄν τις αὐτὰ λαμβάνων καὶ ἐν οἴκοις ξηροῖς τιθέμενος φυλάττοι, μήθ' ὑπ' ἀκτίνων ἡλιακῶν ἐξοπτώμενα μήτε ὑπὸ νοτίδος ἐκ τῆς ὀροφῆς ἢ τοίχων ὑγραινόμενα. γένοιτο δ' ἂν τοῦτο τῶν οἴκων μήτε καταγείων ὄντων μήτε προσχόρων, μήθ' ὑπὸ κεράμων πρὸς μεσημβρίαν μέντοι τὰς θυρίδας ἐστραμμένας ἐχόντων. ἀλλὰ τά γε φάρμακα μὴ πλησίον αὐτῶν ἀποκείσθω. τοὺς δ' ἑταίρους προ-

modo ſingula per rationem nobis inventa uſurpaverimus. Hinc enim puto bonae indolis juvenes incitatum iri, ut medicamentorum materiam cognoſcant ipſimet inſpicientes non ſemel, aut bis, ſed frequenter, quoniam ſenſibilium rerum cognitio ſedula inſpectione confirmatur, cujus rei indicium eſt evidentiſſimum, quod gemini per omnia ſimiles eſſe nobis videantur, differentes autem iis, qui ipſos inſpicere conſueverunt. Itaque herbarum, fruticum et arborum materiam prius quam e terra eximantur contemplari pulcherrimum eſt, dum fructus videlicet futuri ſunt, dum eduntur, dum augeſcunt et dum vigent. Haec ſiquidem continua eorum ſpeculatio docebit te, quando potiſſimum ipſos commode decerpas, ac in ſiccis domunculis repoſitos cuſtodias, ne a ſolis radiis exurantur, neque ab humiditate ex tecto vel muris madeſiant. Id optime fiet, ſi domus neque ſubterraneae ſint, neque aliis vicinae, neque ſub tegulis, ſed oſtia ad meridiem ſpectantia habeant, prope quae tamen medicamenta reponi non debent,

Ed. Chart. XIII. [710.] Ed. Baſ. II. (345.)

τρέπω καὶ κατὰ τοῦτο μιμήσεσθαί με βουλομένους γε καλῶς ἐργάζεσθαι τὰ τῆς τέχνης ἔργα. γιγνώσκετε γὰρ, ὅπως ἐξ ἑκάστου τῶν ἐθνῶν τὰ κάλλιστά μοι διακομίζεται καθ' ἕκαστον ἔτος φάρμακα διὰ τὸ τοὺς ἐπιτρίπτους ῥωποπώλας, παντοίως αὐτοῖς λυμαίνεσθαι. βέλτιον δ' ἴσως οὐ τούτους μόνους, ἀλλὰ πολὺ μᾶλλον αὐτῶν τοὺς κομίζοντας ἐμπόρους μέμφεσθαι, κἀκείνων ἔτι μᾶλλον αὐτοὺς τοὺς ῥιζοτόμους μὲν ὀνομαζομένους, οὐδὲν δ' ἧττον τῶν ῥιζῶν ὀπούς τε καὶ χυλοὺς καὶ καρποὺς, ἄνθη τε καὶ βλάστας ἐκ τῶν ὀρῶν κατακομίζοντας εἰς τὰς πόλεις· οὗτοι γάρ εἰσιν οἱ πρῶτοι πάντων εἰς αὐτὰ πανουργοῦντες. ὅστις οὖν βούλεται παντα-χόθεν βοηθημάτων εὐπορεῖν, ἔμπειρος γενέσθω πάσης μὲν τῆς ἀπὸ τῶν φυτῶν ὕλης, πάσης δὲ τῆς ἀπὸ τῶν ζώων τε καὶ μετάλλων, ὅσα τε γεώδη σώματα χωρὶς μεταλλείας εἰς ἰατρικὴν χρῆσιν ἄγομεν, ὡς διαγινώσκειν αὐτῶν τά τε ἀκριβῆ καὶ τὰ νόθα, καὶ μετὰ τοῦτο γυμνασάσθω κατὰ τὴν ἐμὴν πραγματείαν, ἐν ᾗ περὶ τῆς δυνάμεως ἔγραψα τῶν ἁπλῶν φαρμάκων. εἰ μὴ γὰρ οὕτως παρεσκευασμένος ἥκει πρὸς τὴν

Amici vos admoneo ut in hoc quoque me ſequamini, ſi artis opera pulchre obire velitis, noviſtis enim, quomodo ex omni natione praeſtantiſſima quotannis medicamenta mihi afferantur, eo quod perditi illi quarumcunque rerum coëmptores ſcentarios variis modis ea contaminant. Praeſtiterat forſan non hos ſolum, ſed multo magis etiam mercatores, qui illa advehunt, incuſare, atque his multo magis ipſos herbarios, item nihil minus eos qui radicum liquores, ſuccos, fructus, flores et germina ex montibus in urbes conferunt, hi ſiquidem omnium primi in eis dolum exercent. Quisquis igitur auxiliorum undique copiam habere volet, omnis ſtirpium materiae, animalium, metallorum et absque metallica natura terreſtrium corporum, quae ad medicinae uſum ducimus, expertus eſto, ut ex eis et exquiſita et notha cognoſcat, deinde in commentario meo, quem de ſimplicium medicamentorum facultate prodidi, ſeſe exerceat. Niſi enim hoc modo inſtructus ad

Ed. Chart. XIII. [710.] Ed. Baſ. II. (345. 346.)

ἐκ τῶνδε τῶν ὑπομνημάτων ὠφέλειαν, ἄχρι λόγου μὲν εἴσεται τὴν μέθοδον, ἔργον δ' οὐδὲν ἄξιον αὐτῆς ἐργάσεται. φέρε γὰρ αὐτὰ μὲν ἃ προείρηκα περὶ τῶν νευροτρώτων ἐπίστασθαί τινα, δεδολωμένα δὲ φάρμακα δι' ἄγνοιαν ἐμβάλλειν τοῖς συντιθεμένοις, ἢ μηδὲ τὴν ἀρχὴν ἐπίστασθαι τὰς δυνάμεις ἀκριβῶς αὐτῶν, ἆρα οὐκ ἀναγκαῖον ἔσται πλεονάκις (346) τοῦτον διαμαρτάνειν ἢ κατορθοῦν; ἐμοὶ μὲν καὶ πάνυ δοκεῖ. τὸ δὲ ἀκριβῶς ἐπίστασθαι τὰς δυνάμεις τοῦ μὲν ἐπίστασθαι διαφέρει πάμπολυ. τὸ μὲν γὰρ μόνον ἐπίστασθαι γινώσκειν ἐστὶν, εἰ ξηραίνειν τὸ φάρμακον ἢ ὑγραίνειν ἢ ψύχειν ἢ θερμαίνειν ἡμᾶς πέφυκε. τὸ δ' ἀκριβῶς ἐπίστασθαι πρὸς τούτῳ καὶ τὸ ποσὸν τῆς δυνάμεώς ἐστιν ἐγνωκέναι. τινὰ μὲν γὰρ φάρμακα δύναμιν ἔχει χλιαρᾶς θερμασίας γεννητικὴν, ὅταν ὁμιλήσῃ τοῖς σώμασιν ἡμῶν, ἕνια δὲ συμμέτρου, καθάπερ ἄλλα βραχὺ ταύτης ἰσχυρότερα, ἕτερα δ' ἤδη ζεούσης οὕτως ἰσχυρῶς, ὡς καίειν δύνασθαι. χρὴ τοίνυν τὸν ἰατρὸν ἐστοχάσθαι, μὴ μόνον τοῦ ποιοῦ τῆς διαθέσεως, ἀλλὰ καὶ τοῦ κατ' αὐτὴν ὡς ἂν εἴποι τις ποσοῦ.

praeſentis operis praeſidia veniat, verbotenus quidem medendi methodum ſciet, opus vero nullum ipſa dignum perficiet. Fingat namque ipse, quae de nervorum vulneribus praedixi, quaedam aliquis cognoſcere, adulterata vero medicamenta per ignorantiam compoſitioni injicere, vel neque omnino exacte facultates ipſorum intelligere, an non erit neceſſarium frequentius hunc errare quam recte agere? mihi quidem vel admodum videtur. Iam vero accurate facultates cognoſcere ab eo multum differt quod eſt cognoſcere. Etenim ſolum cognoſcere ſcire eſt, an medicamentum ſiccare vel humectare vel refrigerare vel caleſacere ſuapte natura nos poſſit, accurate vero cognoſcere praeter hoc etiam facultatis quantitatem ſciviſſe eſt. Quaedam enim medicamenta calorem tepidum generant corporibus noſtris admota, quaedam moderatum, quemadmodum alia hoc paulo validiorem, nonnulla jam ſic ferventem ut urere poſſint. Convenit igitur medicum non modo affectus qualitatem, ſed etiam ipſius, ut ita

Ed. Chart. XIII. [710. 711.] Ed. Baſ. II. (346.)

λέγεται μὲν γὰρ οὐ πάνυ τι κυρίως τὸ ποσὸν ἐν τῇ ποιότητι. λέγεται δ' οὖν ὅμως, ὅπως καὶ πυρετὸς μέγας καὶ μικρός. καὶ τοσαύτη γε χρῆσίς ἐστι τῶν οὕτω λεγομένων, ὥστ' ἤδη κυρίου δύναμιν ἔχειν αὐτὰ παραπλησίως πυξίδι καὶ χαλκεῖ καὶ ζωγράφῳ καὶ δρυοτόμῳ καὶ συνελόντι φάναι τοῖς ἀρξαμένοις μὲν ἐκ τῆς ὑπο τῶν γραμματικῶν ὀνομαζομένης καταχρήσεως, ὕστερον δὲ κυρίοις λέγεσθαι πεπιστευμένοις. ταῦτα μὲν εἴρηταί μοι διὰ τοὺς οὐκ ἐν καιρῷ διαλεκτικευομένους. ὃ δὲ λέγων ἀπέλιπεν ἔστι τοιόνδε, ὅτι τὸ ξηραίνεσθαι δεόμενον οὐχ ἁπλῶς δεῖται τοῦ ξηραίνοντος, [711] ἀλλὰ σὺν τῷ προσήκοντι μέτρῳ· τὸ μὲν εἰς ὑγρότητα πολλὴν ἐπιδεδωκὸς τοῦ πάνυ ξηραίνοντος, τὸ δ' εἰς ὀλίγην τοῦ βραχέως τοῦτο δρῶντος, ὥσπερ γε τὸ εἰς πολλὴν τοῦ μεγάλως μὲν ξηραίνοντος, οὐ μὴν ἐσχάτως οὐδ' ἄκρως. ἀνάλογον γὰρ ἀεὶ τῷ ποσῷ τῆς ὑγρότητος εἶναι χρὴ τὸ ποσὸν τῆς ξηρότητος. ἐγωγ' οὖν ὁπότε πρῶτον ἐτόλμησα τὴν κοινὴν ἀγωγὴν τῆς τῶν νευροτρώτων θεραπείας ὑπαλλάττειν, ἐστοχασάμην εἰς ὁπόσην ὑγρότητά τε καὶ θερμότητα τὸ

dicam, quantitatem conjectaſſe, nam haud ipſa proprie quantitas in qualitate dicitur, quanquam dicatur tamen, ut febris magna et parva. Ac tantus uſus eſt eorum, quae ſic dicuntur, ut jam proprii vim obtineant ipſa, perinde ac pyxis, excuſor, pictor, quercus inciſor, in totum quae ex vocato a grammaticis abuſu inceperunt, deinde vero propria dici credita ſunt. Hoc quidem attulimus praeter eos, qui parum opportuno tempore de ſermonis proprietate argumentantur. Quod autem dicere deſiit, tale eſt, nempe quod exiccari deſiderat non ſimpliciter ſiccante indiget medicamento, ſed convenienti menſura, copioſa quidem humiditate auctum, inſigniter exiccante, parva, parum hoc faciente, quemadmodum multa, admodum reliccante, non tamen extreme, neque in ſummo, ſiccitatis enim quantitatem humiditatis copiae reſpondere convenit. Ego itaque dum communem nervorum vulnerum curationis modum immutare primum auſus ſum, conjeci, in quantam humiditatem caliditatemque affecta pars

Ed. Chart. XIII. [711.] Ed. Baſ. II. (346.)

πεπονθὸς ἥκει σῶμα. καί μοι δειχθέντος τινὸς νεανίσκου, κατὰ τὸ πρῶτον ἄρθρον τοῦ μέσου δακτύλου τῆς δεξιᾶς χειρὸς, ἐκ περιθλάσεως ὑγρὸν οὕτως ἐσχηκότος ἅπαν τὸ κατ' αὐτὴν περὶ τῷ νεύρῳ χωρίον, ὡς ἤδη σήπεσθαι, τὸ μὲν σηπόμενον αὐτὸ κατέπλασα διὰ κονίας στακτῆς καὶ ὠμῆς λύσεως, σῦτω δ' ἴσθι με καλοῦντα τὸ κρίθινον ἄλευρον, ἐλαίῳ δὲ πολλῷ θερμῷ καταντλήσας τὸ μὴ σηπόμενον μὲν, τεταμένον δὲ καὶ ὀδυνώμενον, εἶτα ἐκμάξας ἐρίῳ ξηρῷ περιέχρισα κηρωτὴν οὕτως ὑγρὰν, ὡς ἐπὶ τῶν καταγμάτων χρώμεθα, μεμιγμένον ἔχουσαν εὐφορβιον. ἐσκεύαστο δέ μοι καὶ ἥδε κατ' ἐμὴν ἐπίνοιαν ἐπὶ καιροῦ τοιοῦδε. παραγενόμενός τις χειμῶνι σφοδρῷ καὶ δείξας τὸ γόνυ ῥᾳδίως ἔφη πάσχειν αὐτὸ ῥιγῶσαν, ὀνίνασθαι δ' εὐθέως ὑπὸ τῶν θερμαινόντων ἠξίου δὲ λαβεῖν τι τοιοῦτον φάρμακον, ὁδοιπορήσαντα γὰρ ἐν κρύει κατεψύχθαι τε καὶ ὀδυνᾶσθαι σφοδρότερον ἢ ἄλλοτε. νῦν μὲν οὖν, ἔφη, λουσόμενος ἄπειμι, πέμψω δ' ἐπὶ τὸ φάρμακον ἐκ τοῦ βαλανείου. ὁ μεν ταῦτ' εἰπὼν ᾤχετο·

recidiſſet. Et quum adoleſcens quidam mihi oſtenſus eſſet, in primo articulo medii dextrae manus digiti totum circa nervum locum humentem adeo ex contuſione habens, ut jam computreſceret, partem ſane putreſcentem cataplaſmate ex lixivia ſtillatitia et cruda lyſi, ſic autem noſti me hordei farinam nominare, fovi, non putreſcentem vero, ſed tenſam dolentemque oleo calente liberaliter perfundi, inde quum lana ſicca madorem exhauſiſſem, ceratum tam humidum illevi, quam in fracturis utimur, cui euphorbium ſit admixtum. Confectum autem mihi fuerat hoc quoque mea induſtria hujusmodi occaſione. Profectus ad me quispiam hieme vehementi oſtendenque genu, facile dicebat rigore id affici, ſtatim vero caleſacientibus juvari. Rogabat igitur hujusmodi aliquod medicamentum darem, ut qui profectus in frigore inalgeret doleretque vehementius quam alias. Nunc igitur, inquit, loturus diſcedo, mittam autem ex balneo, qui medicamentum accipiat. Haec quum dixiſſet, abiit. At ego cum tale nullum medi-

Ed. Chart. XIII. [711.] Ed. Baſ. II. (346.)

μηδὲν δ' ἔχων ἕτοιμον τοιοῦτο φάρμακον, εὐφόρβιον ἐλείωσα μετ' ἐλαίου, καὶ τήξας κηρὸν ἔμιξα καὶ μικρὸν ὕστερον, ἡνίκα ἔπεμψεν ὁ φίλος αἰτῶν τὸ φάρμακον, ἔδωκα. τάχιστα δ' ἀνωδύνου γενομένου προὐτράπην ἐντεῦθεν ἐπ' ἄλλων μορίων ὁμοίως ποπονθότων χρήσασθαι, περὶ ὧν αὖθις εἰρήσεται. νυνὶ δ' ἐπὶ τὸν τοῦ νευροτρώτου λόγον ἐπάνειμι διὰ τοὺς μηδὲν μὲν τούτων ὧν ἐγὼ νῦν ὑφηγοῦμαι γινώσκοντας, ἐγκαλοῦντας δὲ λεξιδίοις· οὓς εὑρεῖν μαντεύομαι κακῶς ὀνομάζειν νευροτρώτους, ὅσοι τῶν τενόντων ἔτρώθησαν. τένοντας γὰρ αὐτοὺς οἶμαι καλεῖν τοὺς ἔξωθεν τῆς χειρὸς ἐπιτεταμένους, ὅλῳ τε τῷ καρπῷ καὶ τοῖς δακτύλοις. ἐγὼ δ' ὅτι μὲν σαφέστερον καὶ κυριώτερον ἦν αὐτοὺς ὀνομάζεσθαι τενοντοτρώτους οὐκ ἀγνοῶ· πάντων δ' ἀνδρῶν συνήθως καλούντων νευροτρώτους, ὅπως μή τις με νεωτεροποιεῖν ἐν ταῖς προσηγορίαις φῇ, τὴν συνήθη προειλόμην ἀντὶ τῆς ἀληθοῦς. εἶχε δὲ οὐδ' αὐτὴ συνήθης γεγονέναι, δίχα λόγου φθασάντων τῶν πλείστων ἰατρῶν καὶ τοὺς τένοντας ὀνομάζειν νεῦρα. ἀλλ' εἴτε νευροτρώτους ἐθέλοις

camentum ad manus haberem, euphorbium cum oleo trivi et ceram liquatam immiſcui, paulo poſt cum amicus medicamento ferendo puerum miſiſſet, exhibui. Dolore protinus ceſſante, inde in aliis partibus ſimiliter affectis uti praecepimus, de quibus mox dicetur. Nunc ad nervi vulnerati ſermonem redeo propter eos, qui nihil, quod ego nunc dico, intelligunt, vitio autem vertunt dictiunculas, quos invenire auguror nerviſaucios perperam eos nominari, qui in tendonibus vulnus acceperint, tendones enim ipſis puto vocari, qui extra manum toti carpo et digitis ſupertenſi ſunt. Quanquam ſane non ignorem manifeſtius magisque proprie tendiniſaucios ipſos nominari, tamen cum omnes neuriſaucios nuncupare ſoleant, et ego, ne quis innovare me appellationem dicat, conſuetam pro vera ſuscepi, etſi nec illa ſine ratione abire in conſuetudinem potuerit plerisque medicis tendones etiam nervorum nomine jam vocitantibus. Verum ſive in nervis ſive in tendonibus

Ed. Chart. XIII. [711. 712.] Ed. Baſ. II. (334.)

ὀνομάζειν αὐτοὺς, εἴτε τενοντοτρώτους, οι ε σωθήσονται διὰ τὰς φωνὰς ταύτας οὔτε σπασθήσονται, ιαθάπερ οὐδὲ κυλλωθήσονται καὶ τεθνήξονται. προσηγορία γαρ οὔτε ἔσωσέ ποτε ἄνθρωπον οὔτ᾽ ἀπέκτεινεν, ἀλλ᾽ ἡ τῶν φαρμάκων δύναμις ἑκάτερον τούτων ἐργάζεται. κἀγὼ ταῦθ᾽ ὑπαλλάττων τοὺς σηπομένους καὶ σπωμένους καὶ κεκυλλωμένους, ἐνίους δὲ καὶ διαφθειρομένους, ὑγιεῖς καὶ ζῶντας ἐργάζομαι. καὶ γὰρ αὖ καὶ τοὺς τεθλασμένους τὰ νεῦρα, καθάπερ ἐκεῖνος ἐτέθλαστο, νευροτρώτους ἐφθάκασι καλεῖν, οὐ νευροθλάστους. ἡ δὲ θεραπεία κοινὴ καὶ ὁ κίνδυνος ἴσος ἀμφοῖν ἐστι τῶν τεθλασμένων τι καὶ τρωθέντων ἤτοι νεῦρα ἢ τένοντας. ὁ γοῦν ἄνθρωπος ἐκεῖνος ὁ σηπόμενος μὲν ἤδη τὰ περὶ τὸ πρῶτον ἄρθρον τοῦ μέσου δακτύλου, τεινόμενός τε καὶ ὀδυνώμενος τὰ ὑπερκείμενα, πολὺ βελτίων ἑαυτοῦ κατὰ τὴν ὑστεραίαν ἐγένετο, καθ᾽ ἣν ἀντὶ τῆς ὠμῆς λύσεως ἔμιξα τὸ τῶν ὀρόβων ἄλευρον τῇ στακτῇ κονίᾳ, καὶ τῇ γε τρίτῃ τῶν ἡμερῶν ὁμοίως ἔτι θεραπευόμενος ἦν μὲν ἤδη τελέως ἀνώδυνος τὰ ἄλλα, [712] κατὰ δὲ τὸ θλάσμα, νευρῶδές τι σῶμα

vulneratos appellaſſe mavis, neque ob has voces incolumes erunt, neque convulſione laborabunt, quemadmodum neque manci fient, nec morientur, appellatio ſiquidem nec ſervavit hominem unquam, nec perdidit, ſed medicamentorum facultas utrunque efficit. Atque ego haec immutans putreſcentes, convulſos, mancos, nonnullos etiam pereuntes, ſanos vivosque reddo. Nam nervos contuſos habentes ſicut ille habuerat, nervoſaucios, non neurothlaſtos, id eſt in nervis contuſos, nuncupare anticiparunt. Caeterum curatio communis eſt et periculum aequale amborum, nempe contuſorum et vulneratorum vel nervis, vel tendonibus. Itaque homo ille putredine jam circa primum medii digiti articulum orta, quum ſuperjacentium tenſione doloreque infeſtaretur, multo melius habere coepit die poſtero, quo vice hordei farinae, ervorum farinam ſtactae lixiviae commiſcuimus. Ac tertio ſane quum conſimiliter etiam curaretur, jam quidem in aliis partibus dolorem omnino non percepit, ex contuſione vero nervoſum quoddam cor-

Ed. Chart. XIII. [712.] Ed. Baſ. II. (346.)

παραπλήσιον ὑμένι παχεῖ προὔκυψεν, ὃ μετρίως διακινήσαντός μου ῥᾳδίως ὅλον ἐξέπεσεν ἡμισαπὲς ὄν. ἐδόκει δὴ πᾶσι τοῖς θεασαμένοις τοῦτο τὸ σῶμα τὸ νεῦρον ὅλον εἶναι τὸ διασεσηπὸς, ὡς ἂν οὐκ εἰδόσιν ὅπως ἠμφιεσμένοι νευρώδεσιν ὑμέσιν οἱ τένοντες οὗτοι, διά τε τοῦ καρποῦ προέρχονται καὶ καθ' ὅλην ἐπιτείνονται τῶν δακτύλων. ἐμοὶ δὲ καὶ διαστείλαντι τὸ σεσηπὸς τοῦ θλάσματος ὁ τένων ἐφάνη σωζόμενος. ἀνιεὶς οὖν ἕνα τῶν τροχίσκων ἢ κυκλίσκων ἢ ὅπως ἂν ὀνομάζειν ἐθέλοι τις, ὧν εἷς ἐστι καὶ ὁ τοῦ Πολυείδου, δι' ἐψήματος ἢ σιραίου· καὶ γὰρ καὶ τοῦτο καλεῖν ὡς ἂν αὐτὸς βουληθῇς ἐξέστω σοι· καὶ προκαταχρίσας τὸ φαινόμενον τοῦ νεύρου, τῷ τε καταπλάσματι πάλιν ἐχρησάμην ὡσαύτως καὶ τῷ δι' εὐφορβίου χρίσματι κατὰ τῶν αὐτῶν τόπων, ὡς ἔμπροσθεν ἑκατέρῳ. θεασάμενος δὲ τῇ τετάρτῃ τῶν ἡμερῶν προσεσταλμένα πάντα, τὰ περὶ τὸ τεθλασμένον μὲν ἔμπροσθεν, ἠλκωμένον δὲ τότε τοῦ δακτύλου πρῶτον ἄρθρον, ἐσκοπούμην ἐφ' ὅ τι μεταβαίην ἀπὸ τοῦ καταπλάσματος. ἐνενόησα τοίνυν, εἰ μὲν ἀκριβῶς ἀφλέγμαντον εἴη

pus craſſae membranae perſimile exertum eſt, quod mediocriter me commovente facile totum ſemiputridum excidit. Videbatur omnibus contemplantibus hoc corpus nervus totus eſſe, qui computruiſſet, ut qui ignorarent, quo pacto tendones hi nervoſis membranis convelati per brachiale procedunt et ſuper totos digitos extenduntur, mihi vero putridum ex contuſione attollenti tendo ſalvus apparuit. Quum igitur vel paſtillo uno, vel trochisco, vel utcunque vocaſſe libet, quorum in numero eſt et Polyidae, ſoluto ex hepſemate, vel ſiraeo id eſt ſapa, nam et hoc pro arbitrio nominare liceat, apparentem nervi partem prius junxiſſem, rurſus eodem modo et cataplasmate et unctione ex euphorbio in iisdem locis ſicut prius utroque uſus ſum. Quarto jam die omnia compoſita circa contuſum quidem antea, ulceratum vero nunc primum digiti articulum intuitus conſiderabam, quorſum a cataplasmate transgrederer. Viſum igitur eſt, ſi nervus inflammatione prorſus va-

Ed. Chart. XIII. [712.] Ed. Baſ. II. (346. 347.)

τὸ νεῦρον, ἐπὶ τὰ συνουλοῦντα μεταβαίνειν· εἰ δέ τι τῆς φλεγμονῆς αὐτοῦ σκιῤῥῶδες ὑπολείποιτο, τῶν ἱκανῶς τι ξηραινόντων προσφέρειν. ἐπεὶ τοίνυν ἐφαίνετο λείπεσθαί τι τῷ διὰ τῆς ῥίζης τοῦ δρακοντίου φαρμάκῳ πρότερον ἐχρησάμην, ὃ τὰ μὲν ἄλλα ταὐτὰ ἔχει τῷ Αἰγυπτίῳ φαρμάκῳ, τῇ ἴσιδι καλουμένῃ, προσείληφε δὲ τὴν τοῦ δρακοντίου ῥίζαν. ἐφεξῆς δὲ τούτου τῇ Ἀθηνᾷ καλουμένῃ χρησάμενος ἀπ' ἐκείνης λοιπὸν ἐπὶ τὰ συνουλοῦντα παρεγενόμην. ἐφ' ἑτέρου δὲ τῷ διὰ τοῦ σιραίου λελυμένῳ τροχίσκῳ καταχρίων τὰ γεγυμνωμένα μέρη τοῦ τραύματος, ἔξωθεν ἐπέβαλλον τὸ εὐφόρβιον, ἀναμίξας κηρῷ καὶ ῥητίνῃ τοσούτοις τὸ πλῆθος ὡς ἐμπλαστρῶδές τε ἅμα γενέσθαι καὶ διασώζειν τὴν δύναμιν τοῦ εὐφορβίου. πῶς δ' ἄν τις ἀποβλέπων πρὸς τούτους τοὺς σκοποὺς συνθείη τὸ φάρμακον, ἐφεξῆς ἐρῶ. καὶ γάρ τοι καὶ διὰ τοῦ ὄξους ἄλλο φάρμακον ἐποίησα καὶ κατ' ἐκεῖνο σκοπὸν ἔχων τήν τε σύστασιν αὐτοῦ καὶ τὴν τοῦ ὄξους (347) λεπτομερῆ δύναμιν, ὅπως φυλάττοιτο μετὰ τοῦ τὴν ψυκτικὴν δύναμιν ἐκλύεσθαι. περὶ μέντοι τούτων ὅπως συν-

caret, ad cicatricem ducentia transire, ſi vero phlegmones ipſius ſcirrhoſum quidquam remaneret, aliquod ex abunde ſiccantibus exhibere. Quoniam igitur nonnihil ex ea reliquum eſſe videbatur, medicamentum ex dracunculi radice confectum prius uſurpavi, quod alia eadem cum Aegyptio medicamento, quae iſis vocatur, continet, aſſumpſit autem dracunculi radicem. Ab hoc vero deinceps Athene, id eſt Minerva, dicta uſus, inde ad ea quae cicatricem ducunt perrexi. At quum alium curarem paſtillo ſapa diluto nudatas vulneris partes illinens euphorbium extrinſecus imponebam, tantum cerae ac reſinae miſcens, unde emplaſtri craſſitudo ſimul fieret et euphorbii vires conſervarentur. Caeterum quomodo ad hos ſcopos reſpiciens medicamentum componas, deinceps declarabimus. Etenim aliud quoque ex aceto medicamentum confecimus, hoc ſpectantes ut ipſius ſpiſſitudo et ſubtilis aceti virtus cum refrigerantis facultatis exolutione incolumis permaneat. De his ſane,

Ed. Chart. XIII. [712.] Ed. Baſ. II. (347.)

ετέθη, μετ' ὀλίγον εἰρήσεται, νυνὶ δ' ἐπειδὴ τὴν ἀγωγὴν τῆς τῶν νευροτρώτων θεραπείας ἐπενόησα διὰ λογικῆς ἐνδείξεως, ἄνευ τῆς ληρώδους περιπτώσεως τῶν ἐμπειρικῶν ὅλην εἰπεῖν αὐτὴν βούλομαι, μηδένα παρ' ἐλείπων διορισμὸν, ἀπ' ἀρχῆς αὖθις ἀναλαβὼν τὸν λόγον. ὅταν γάρ τινα τετρωμένον εὐθέως παραλάβω, ποτὲ μὲν διὰ τῶν ὑγρῶν φαρμάκων ποιοῦμαι τὴν θεραπείαν, ἔστι δ' ὅτε διὰ τῶν ἐμπλάστρων, ἐπιβαλὼν ἔξωθεν ἔριον ὡς μαλακώτατον, ἐλαίῳ θερμῷ βεβρεγμένον. εἰ δὲ τῷ δι' ὄξους χρώμενος εἶην φαρμάκῳ, μιγνὺς ὄξος ὀλίγον τῷ ἐλαίῳ. καὶ λύω γε δὶς ἢ τρὶς ἡμέρας καὶ καταντλῶ δι' ἐλαίου θερμοῦ. μεγάλων δ' οὐσῶν τῶν νυκτῶν καὶ κατὰ ταύτας εἴωθα λύειν. καὶ μᾶλλόν γε ποιῶ τοῦτο δακνομένου τοῦ ἕλκους ὑπὸ τῶν φαρμάκων, ὡς ὅταν γε ἀπ' ἀρχῆς χρωμένῳ μοι τοιούτῳ φαρμάκῳ, μήτε δάκνεσθαι λέγῃ μήτε ὀδυνᾶσθαι μήτε τάσεως ὁ κάμνων αἴσθηται, δὶς τῆς ἡμέρας ἐπιλύω τε καὶ καταντλῶ, περὶ μὲν τὴν ἕω τὸ πρῶτον, εἰς ἑσπέραν δὲ τὸ δεύτερον. ἔστω δὲ καταντλώμενον ἔλαιον ἱκανῶς μὲν θερμὸν, ἀλλ' ἄχρι τοῦ μὴ λυπεῖν τὸ τετρωμένον. ὥσπερ γὰρ τὸ ψυχρὸν ἐναντιώ-

quomodo compoſita ſint, poſt paulum tractabitur. Nunc quia nervis vulneratis medendi modum ex rationali indicatione, nugatorio illo empiricorum caſu repudiato, inveni, totam cogito ipſam dicere, ita ut nullam diſtinctionem praeteream, ſermonem ab initio rurſus repetens. Quando igitur vulneratum aliquem protinus ſuſcipio, interdum per liquida medicamenta curationem molior, interdum emplaſtris, lanam extrinſecus quam molliſſimam oleo calente imbutam applicans. Quod ſi medicamentum ex aceto uſurpem, aceti parum oleo admiſceo ac bis terve quotidie ſolvo et oleo calente foveo. Si noctes longae fuerint, etiam his ſolvere conſuevi, idque magis facio, dum ulcus a medicamentis mordetur; nam ubi initio tali medicamento utenti aeger, nec ſe morderi, nec dolere, nec tenſionem percipere mihi dicat, die ſolvo et foveo mane ſemel et veſperi iterum. Oleum vero, quo fovemus, ſatis calens eſto, verum ita, ne vulneratam partem offendat; ſicut enim frigidum hujus-

Ed. Chart. XIII. [712. 713.] Ed. Baſ. II. (347.)

τατόν ἐστι ταῖς τοιαύταις διαθέσεσιν, οὕτω τὸ χλιαρὸν οὐ τελέως ὠφέλιμον. ἐμάθομεν γὰρ ἐν τῷ πρώτῳ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, ὥσπερ τὸ ὕδωρ ἐναντιώτατα πέφυκε ποιεῖν ἐν τῷ θερμὸν ἢ ψυχρὸν ὑπάρχειν, οὕτω καὶ τὸ ἔλαιον. ἐμπλάττει μὲν γάρ πως, μᾶλλον δὲ ἐπέχει τὰς διαπνοὰς τοῦ σώματος, ὅταν ψυχρὸν προσφέρηται, [713] διαφορεῖ δὲ καὶ λεπτύνει τὸ θερμόν. ἔνεστι δέ σοι τοῦτο κἀπὶ τῶν ἐψημένων κρεῶν ἐν αὐτῷ μαθεῖν. ὁμοίως γὰρ αὐτὰ τοῖς προειωλισθεῖσιν ἐργάζεται ψαθυρὰ, κἂν εὐθέως ἅμα τῷ τυθῆναι τὸ ζῶον ἕψῃς ἢ ταγηνίσῃς ἐν αὐτῷ. διὰ τοῦτο οὖν κἀγὼ τὴν διὰ τοῦ ἐλαίου κατάντλησιν εἱλόμην ἱκανῶς θερμοῦ φεύγων ἀεὶ τὸ χλιαρὸν, ἔτι δὲ μᾶλλον τὸ ψυχρόν. ὕδατος δὲ χρῆσιν ἐν ὅλῃ τῇ θεραπείᾳ φυλάττομαι μέχρι τοῦ μηδ' ἅψασθαι τοῦ ἕλκους, ὥσθ' ὅταν μὲν εὐθέως ἐν ἀρχῇ δέῃ τὸ αἷμα τοῦ τετρωμένου μέρους ἀποπλῦναι, δι' ἐλαίου τοῦτο πράττειν· ὅταν δ' ἤδη μετρίως ἔχοντες οἱ κάμνοντες λούωνται, μηδὲ τότε ἐμβάλλειν ἐπιτρέπειν αὐτοῖς εἰς τὸ ὕδωρ τὸν πεπονθότα τόπον, ὡς τὸ πολὺ γὰρ ἐν αὐταῖς ταῖς χερ-

modi affectibus maxime eſt contrarium, ſic tepens non omnino utile. Namque in primo de ſimplicibus medicamentis volumine didicimus, ut aqua in eo, quod calens, aut frigida ſit, maxime contraria facere nata eſt, ita quoque oleum, nam frigidum corpori admotum, perſpiratum quodammodo ipſius obſtruit, imo prohibet, calidum vero digerit ac extenuat. Quod tibi etiam ex carnibus in eo coctis licet condiſcere; ſimiliter etenim, ut praerancidas friabilis efficit, etſi protinus quum animans mactatum eſt, in eo coquas, aut ſartagine frigas. Propter quod et ego fomentum ex oleo ſatis calente uſurpare malui, tepidum ſemper vitans, adhuc autem magis frigidum. Porro ab aquae uſu in tota curatione ita tempero, ut ne attingat quidem ulcus; proinde cum ſanguis initio ſtatim a vulnerata parte eluendus eſt, ex oleo id facere expedit. Ubi autem jam aegri mediocriter habentes lavacro utuntur, neque tunc affectum locum in aquam demergere ipſis concedendum, magna ſiquidem ex parte nervi in manibus vulnerantur.

Ed. Chart. XIII. [713.] Ed. Baſ. II. (347.)

σὶν οἱ νευρότρωτοι γίνονται. μέμνημαι δέ τινα τῶν οὕτω τετρωμένων, ἐπειδὴ τετάρτην ἡμέραν ἄγων ἀνώδυνος τελέως ἦν ἀφλέγμαντόν τε τὸ πεπονθὸς ἑώρα μόριον, ἐν κρύει πολλῷ προελθόντα τῆς οἰκίας ἐπί τινα πρᾶξιν ἀναγκαίαν, ἐν ᾗ διατρίψας ἐπὶ πλέον ἦλθεν οἴκαδε τεινόμενος τὸ κῶλον ὅλον ἄχρι τοῦ τραχήλου καὶ μεγάλης ὀδύνης αἰσθόμενος. ὡς δ' ἀφικομένου τινὸς ἐπ' ἐμὲ παραγενόμενος ὡς αὐτὸν ἐθεασάμην ἐν οἷς ἦν, ἀπορῥῖψαι μὲν ἐκέλευσα τὸ κατὰ τὸ μόριον ἔλαιον ψυχρὸν ἐκ τῆς προόδου γεγονὸς, ἐλαίῳ δὲ θερμῷ καταντλήσας ὅλον τὸ κῶλον, εἶτα καὶ τοῦ τραχήλου τὸ κατ' εὐθὺ μέρος, ἐλαιοβρεχέσιν ἐρίοις πυριάσας ἐπιθείς τε τὸ διὰ τοῦ εὐφορβίου φάρμακον ὑγρὸν ἅμα κασιορίῳ, παρηγόρησα τὸν ἄνθρωπον αὐτίκα καὶ ὕπνου ἐπιγενομένου μέχρι τῆς ἑσπέρας ἐπέπαυτο πάντα τὰ συμπτώματα. περὶ παντὸς οὖν ποιεῖσθαι χρὴ θερμὸν διαμένειν τὸ ἔριον, εἴτ' οὖν ἐλαίῳ μόνῳ βεβρεγμένον εἴτε καὶ ὀξελαίῳ τύχοι. γένοιτο δ' ἂν τοῦτο περιβαλλομένων ἔξωθεν ἐρίων ἄλλων ξηρῶν, ἔνδον τε μένοντος, ὅταν ᾖ χειμὼν ἄχρι τῆς ε' ἢ τῆς ζ'.

Memini cujusdam ex hujusmodi vulneratis, qui quum diem quartum citra omnem dolorem ageret, partemque affectam absque phlegmone videret, multo in frigore domo egreſſus ad opus quoddam neceſſarium, eique diu immoratus, domum rediit membro univerſo ad cervicem usque tenſo, idque cum ingenti ipſius dolore. Poſtquam vero quodam me accerſente profectus ad eum vidi quibus in malis eſſet, oleum ex itinere refrigeratum a parte auferri juſſi, calente vero totum membrum fovi, deinde cervicis partem adverſam lanis oleo reſperſis et medicamento liquido ex euphorbio ſimul, cum caſtorio hominem ſtatim mitigavi et ſomno poſt haec accedente usque ad veſperam omnia ceſſarunt ſymptomata. Prae omnibus igitur danda opera eſt ut lana permaneat calida, ſive oleo tantum, ſive oxelaeo, hoc eſt aceto et oleo, quoque imbuta fuerit, fiet hoc ſi aliae lanae ſiccae extrinſecus circumponantur et aeger intra tectum, quum hiems fuerit, ad quintum usque vel ſeptimum morbi diem ſeſe

Ed. Chart. XIII. [713.] Ed. Baſ. II. (347.)

ἡμέρας τοῦ κάμνοντος. ἐὰν γὰρ ἄχρι ταύτης μήτε φλεγμονὴ φανεῖταί τις, ἀνώδυνός τε παντάπασιν ᾖ καὶ μηδεμιᾶς αἰσθάνηται τάσεως, ἐν ἀκινδύνῳ λοιπὸν ἔσται. φροντὶς δ' ἔστω σοι τοῦ μηδὲν οἰνώδες ἐμφαίνεσθαι τῷ ὄξει, καθάπερ γε καὶ κατὰ τοὔλαιον, ὡς ἀπηλλάχθαι στύψεως ἁπάσης. μήτε οὖν τὸ καλούμενον ὠμοτριβὲς ᾖ ὀμφάκινον ἔστω, διττῶς γὰρ ὀνομάζεται μήτε τὸ ἀπὸ τῆς Ἰβηρίας, ὃ καλοῦσι Σπανὸν, ἀλλὰ μηδ' ἄλλο τι τῶν θαλλοὺς ἐλαίας ἐχόντων. ἄριστον οὖν ἔλαιόν ἐστι τὸ λεπτομερὲς, ὁποῖον ἐν Ἰταλίᾳ μὲν τὸ Σαβῖνόν ἐστιν, ἄλλοθι δὲ τῶν ὑπὸ Ρωμαίοις ἐθνῶν, ὅσα μηδεμίαν ἐμφαίνει στύψιν. ὁποῖον δέ τι πρᾶγμά ἐστιν ἔνδειξις λογικὴ καὶ ὅσον πλουσιώτερον ἐμπειρίας ψιλῆς ἄνευ μεθόδου, κἀκ τῶνδε μαθήσῃ νευροτρώτων τε πολλοῖς πολλάκις ἐν ὁδοῖς τε καὶ κατὰ πλοῦν καὶ κατ' ἀγρὸν, ἢ ἐν πόλει μὲν, ἀλλὰ πόρρω τῆς ἐμῆς οἰκίας παραγενόμενος, οὔτε τοῦ δι' εὐφορβίου φαρμάκου παρόντος οὔτε τοῦ δι' ὄξους, ἀλλ' οὔτε ἄλλου τῶν ἐν ἐκείνῳ τῷ χωρίῳ κατὰ τύχην εὐπορηθέντων φαρμάκων ἐπιθεὶς τῷ τραύματι, διὰ παντὸς

contineat. Nam ſi eousque nec phlegmone aliqua tentetur, vacetque prorſus dolore et nullam ſentiat tenſionem, in poſterum tutus erit. Curabis autem, ne in aceto vinoſum aliquid appareat, quemadmodum oleum quoque, ut omni aſtrictione vacet. Neque igitur quod crudum vel immaturum dicitur adhibebis, neque id, quod ab Hiſpania vehitur ac vocant Hiſpanum, imo nec aliud quodlibet ex iis quae oleae ſurculos habent. Optimum oleum eſt tenue, quale in Italia Sabinum, alibi vero in nationibus Romano imperio ſubjectis, quae nullam aſtringendi vim obtinent. Jam vero qualis res ſit rationalis indicatio et quanto ditior quam nuda experientia citra methodum, vel hinc condiſces. Quum permultis nervorum vulneribus ſaepe in itinere, in navigio, in agro, vel in civitate, ſed procul a meis aedibus incidiſſem, nec medicamenti ex euphorbio copia adeſſet, nec illius, quod ex aceto conficitur, nec alterius, medicamenta, quorum forte fortuna eo loco facultas erat, vulneri impo-

Ed. Chart. XIII. [713. 714.] Ed. Baf. II. (347.)
ἔτυχον τοῦ σκοποῦ. κατ᾽ ἀγρὸν μὲν γὰρ ἐμαυτὸν οἶδα καὶ πρόπολιν πρόσφατον, ὑγρὰν καὶ λιπαρὰν, ἣν ὁ γεωργὸς εἶχεν, ἐπιθέντα κατὰ τοῦ τραύματος, καὶ ποτὲ ζύμην μόνην καὶ ποτὲ ἄμφω μίξαντα. χρὴ δὲ τὴν μὲν ζύμην ὅτι παλαιοτάτην εἶναι, τὴν πρόπολιν δὲ ἐναντίως ἔχειν αὐτῇ κατὰ χρόνον. εἰ δὲ εἴη παλαιοτέρα, μαλαττέσθω παρὰ τὸ πῦρ δι᾽ ἐλαίου ἢ ἐν ἡλίῳ. ἐπ᾽ ἄλλου δέ τινος ἀγροίκου τῇ ζύμῃ τὸν ὀπὸν τοῦ τιθυμάλλου μίξας ἐπέθηκα, πλησίον τῆς αὐλῆς αὐτοῦ θεασάμενος αὐτὸν πεφυκότα. κατέγνων γὰρ τῆς ζύμης ὡς προσφάτου. καὶ ποτὲ πρόπολιν μετ᾽ ἐλαίου τήξας ἀνέδευσα τῇ ζύμῃ, προφυράσας αὐτὴν ὄξει δριμυτάτῳ. κάλλιον δ᾽ ἐπὶ τῶν τοιούτων μίξεων τὸ ἔλαιον παλαιὸν εἶναι, δι᾽ ὀξυμέλιτός τε καὶ ἁλεύρου κυά[714]μων ἢ ὀρόβων ἢ αἰρῶν ἢ ἐρεβίνθων ἢ θέρμων πικρῶν ἢ πάλης ἀλφίτων ἢ κριθῶν ἀλεύρου, οἷς κατὰ τὰς πόλεις κέχρημαι καταπλάσμασιν οὐ μόνον ἐπὶ τῶν ἤδη φλεγμαινόντων, ἀλλὰ καὶ κατ᾽ ἀρχὰς εὐθέως. ἐν ἀγρῷ δὲ καὶ πίτταν εὑρὼν ὑγρὰν παρὰ τέκτονι,

nentes, propoſitum ſemper ſumus aſſequuti. Novi etenim me ipſum in agro propolim rec ntem liquidam et pinguem, quam agricola habebat, vulneri impoſuiſſe, interdum fermentum ſolum, interdum ambo commixta. At fermentum quam vetuſtiſſimum eſſe, propolim vero contra habere convenit, quantum ad tempus attinet, ſin autem vetuſtior ſit, ex oleo juxta ignem vel in ſole emolliatur. Rurſus in alio quodam ruſtico ſuccum tithymalli fermento mixtum impoſui, quem prope ipſius cortem ſuccreviſſe conſpexeram, quippe fermentum ut recens contemnebam. Nonnunquam et propolim ex oleo liquefactam fermento ſubegi, ſed prius aceto quam acerrimo diſſoluto. Praeſtat oleum eſſe vetus in hujusmodi mixtionibus, puta ex oxymelite et fabarum farina vel ervorum vel lolii vel ciceris vel lupinorum amarorum vel tenuiori polentae pulvere vel hordeacea farina, quibus in urbibus uſus ſum cataplaſmatis non ſolum in iis, quos jam phlegmone prehenderat, ſed etiam protinus ab initio. In agro cum et picem liquidam apud fabrum in-

Ed. Chart. XIII. [714.] Ed. Baſ. II. (347.)

τῇ ζύμῃ μίξας ἐπέθηκα, καὶ παρ' ἄλλῳ τὸ τῶν ὀρόβων ἄλευρον ἀναδεύσας αὐτῇ. μὴ παρόντος δὲ τούτου καὶ τῶν προειρημένων ὁτιοῦν ἔνεστι μιγνύειν. καὶ ὀξέλαιον δὲ μόνον ἀναλαβὼν ἐρίῳ θερμὸν ἐπέβαλον εὐθέως, ἄλλου μὴ παρόντος. ἐθάρσησα γὰρ τῷ ὄξει δριμεῖ τε ἱκανῶς ὄντι καὶ παλαιῷ. ἐφ' ἑτέρου δὲ προκατεψυγμένου, διὰ τὸ πρὸ μιᾶς ὥρας ἢ καὶ πλείονος ἔτι χρόνου τεθλᾶσθαι τὸ νεῦρον, ἄχρι τῶν ἐπιτηδείων τί μοι κομισθησόμενον ἀνέμενον, ἐλαίῳ καταντλεῖσθαι τὸ μόριον κελεύσας. καὶ τότε προμίξας ὄξος, ἐπειδὴ τὸ περιέχον θερμότατον ἦν ὥρᾳ θέρους τὸ μικτὸν ἐξ ἀμφοῖν ἄχρι πλείστου κατήντλουν, ἕως τῶν ἄλλων ἐκομίσθη τι φαρμάκων. ἕκαστον δὲ τῶν εἰρημένων ἀλεύρων καὶ τῆς στακτῆς διαμίξας πολλάκις, ἐπέπλασα καὶ κατ' ἀρχὰς εὐθέως καὶ μετὰ ταῦτα φθάσαντος ἀνθρώπου τῶν ἐναίμων τινὶ φαρμάκων οὐ καλῶς κεχρῆσθαι. πάντα δ' οὖν ταῦτα τὰ ὁπωσοῦν ἐπιτιθέμενα φάρμακα θερμὰ ταῖς ποιότησι προσφερέσθω. καὶ μέντοι κἀπὸ τῆς ἐμαυτοῦ ποτ' οἰκίας, οὐδενὸς τῶν συνθέτων φαρμάκων ἑτοίμου εὑρισκομένου, σπεύδων προελ-

veniſſem, fermento mixtam impoſui, item apud alium ervorum farinam illo ſubactam, cujus penuria etiam praedictarum quaevis miſceri poteſt. Quin etiam oxelaeum ſolum, quod calere, lana exceptum, ſtatim dum aliud nihil haberem, confiſus aceto abunde acri et vetuſto. In alio refrigerato, quod ante horam unam vel longius etiam tempus nervus contuſus eſſet, quousque mihi quoddam idoneum medicamentum afferretur, expectavi, partem oleo foveri praecipiens, interdum aceto prius admixto, quoniam aër per aeſtatem calidiſſimus erat, mixtura ex utroque diutiſſime fovi, donec aliud medicamentum allatum fuit. Singulis autem praedictis farinis permixtam quoque ſtacten ſaepe illevi et mox a principio et poſtea, quum homo medicamento quodam, quod cruentis imponitur, non probe uſus eſſet. Haec itaque omnia, quomodocunque applices, medicamenta calida qualitatibus offeras. Et vero etiam cum domo mea egredi feſtinans aliquando medicamentum nullum

Ed. Chart. XIII. [714.] Ed. Baſ. II. (347. 348.)

θεῖν, ἔδωκά τινι τῶν ἐμῶν παλαιὸν εὐφόρβιον, ἐκέλευσά τε λειώσαντα μετ' ἐλαίου παλαιοῦ, μέχρι πάχους ὑγρᾶς κηρωτῆς, ἐπιθεῖναι τῷ νύγματι τοῦ κατὰ τὴν χεῖρα τένοντος. ὡς δ' ἐπανελθὼν ἐπυνθανόμην τοῦ τρωθέντος, εἰ θερμασίας πολλῆς αἴσθησις αὐτῷ γίγνοιτο (348) κατὰ τὸν τόπον, ὁ δὲ συμμέτρου τινὸς ἔφησεν αἰσθάνεσθαι. πάλιν οὖν ἐπυθόμην εἰ δάκνοιτο κατὰ τὸ τραῦμα πρὸς τοῦ φαρμάκου. τοῦ δὲ εἰπόντος μὴ δάκνεσθαι μὲν, οἱονεὶ δὲ κνήσεώς τινος αἴσθησιν ἔχειν, συνεχώρησα μέχρι τῆς νυκτὸς ἐπικεῖσθαι τὸ φάρμακον. ἐπεὶ δὲ ἀφαιρεθέντων τῶν ἐπικειμένων θερμασία τέ μοι σύμμετρος ἐφαίνετο κατὰ τὸ πεπονθὸς χωρίον καὶ μὴ μεμυκὸς τὸ νύγμα, κάλλιον ἔδοξέ μοι εἶναι τῷ αὐτῷ χρῆσθαι φαρμάκῳ. καὶ μέντοι κατὰ τὴν ὑστεραίαν ἀμέμπτως ἔχοντος τοῦ νευροτρώτου καὶ κατὰ τὴν τρίτην τε καὶ τετάρτην ἄχρι τέλους ἐχρησάμην τῷ αὐτῷ φαρμάκῳ, καί τις τοῦτο θεασάμενος ἐφ' ἑτέρου τρωθέντος ὁμοίως ἐχρήσατο τῷ προσφάτῳ εὐφορβίῳ κατὰ τὸν αὐτὸν τόπον. ἐξ ἀνάγκης οὖν ἠκολούθησε τῷ τετρωμένῳ θερμασία τε πολλὴ καὶ δῆξις καὶ ὀδύνη κατὰ τὸ ἕλκος, ὥστε ἀχθῆναι πρὸς ἐμὲ

in promtu compoſitum haberem, dedi cuidam familiari vetus euphorbium, injunxique laeve factum ex oleo veteri, donec humidi cerati ſpiſſitudinem haberet, tendinis puncturae in manu admoveret. Reverſus igitur interrogavi vulneratum multumne caloris in parte affecta ſentiret, ille mediocrem quendam reſpondit ſe percipere. Rurſus igitur quaeſivi, an mordicationem a medicamento in vulnere ſentiret; ille quum ſe non morderi, ſed veluti pruritum quendam ſentire dixiſſet, medicamentum ad noctem usque adhaerere permiſi. Quoniam vero, quum impoſita abſtuliſſem, calor in affecto loco mediocris mihi apparuit, neque punctura hians, ſatius mihi viſum eſt eodem uti medicamento; et vero cum vulneratus altero die proſpere haberet, item tertio et quarto, ad finem usque idem medicamentum uſurpavi, quod contemplatus quidam in alio vulnerato ſimiliter recenti euphorbio in eundem modum uſus eſt: quare neceſſario calor aegrum multus et commorſus et dolor in ulcere ſubſecutus

Ed. Chart. XIII. [714.] Ed. Baſ. II. (348.)

τὸν ἄνθρωπον, ὡς ἐπὶ παραδόξῳ τῷ συμβεβηκότι. κἀγὼ συνεὶς αὐτίκα τοῦ γεγονότος ἀπέῤῥιψα μὲν τὰ ἐπικείμενα, καταντλήσας δ' αὐτὸν ἐλαίῳ τὸ διὰ τοῦ ὄξους ἐπέθηκα φάρμακον. εἰ δ' οὐκ ἦν τοῦθ' ἕτοιμον, ἐπετεθείκειν ἂν τὸ διὰ εὐφορβίου, πλέονα κηρὸν ἔχον. οὐκοῦν ἐχρῆν, καθάπερ ὀλίγον ἔμπροσθεν ἐλέγομεν μὴ ἀγνοεῖν τάς τε δυνάμεις καὶ τὰς ἰδέας τῶν δοκίμων φαρμάκων, οὐδὲ τίνα μὲν ἐν τάχει μεταβάλλει τὴν δύναμιν, τίνα δὲ ἕως παμπόλλου διαφυλάττει. τῶν γὰρ ταχέως ἐξίτηλον ἐχόντων τὴν θερμότητα τὸ εὐφόρβιόν ἐστι· γνωριεῖς δὲ αὐτὸ καὶ χωρὶς τοῦ διαμασήσασθαι τὸ χρῶμα θεασάμενος. οὐ γὰρ ὡς ἐν ἀρχῇ τεφρῶδες, ἀλλ' ὑπωχρόν τε καὶ ὑπόξανθον γίνεται παλαιούμενον. εὐθὺς δὲ καὶ ξηρὸν ἱκανῶς φαίνεται τηνικαῦτα καὶ διαλύεται μόγις ἐν τῷ λειοῦσθαι δι' ἐλαίου τοῦ νέου ταχέως χυλουμένου. χρὴ δ' οὐκ εὐθέως αὐτὸ μιγνύναι τῷ ἐλαίῳ, ἀλλὰ πρότερον ἐν τῇ θυείᾳ λειοῦν ἀτρέμα, ὅπως μὴ πλατυνθῇ. καὶ τί δεῖ λέγειν ὅτι καὶ γευσαμένῳ σοι τὸ μὲν πρόσφατον

eſt, adeo ut homo ad me deductus ſit, tanquam hoc praeter omnium opinionem accidiſſet. Atque ego, ſtatim re intellecta, quod impoſitum erat abjeci, fotu autem per oleum ipſi adhibito, medicamentum ex aceto impoſui, quod ſi non in procinctu fuiſſet, medicamentum ex euphorbio copioſioris cerae particeps admoviſſem. Quapropter non oportet, uti paulo ante diximus, probatorum medicamentorum facultates ac ſpecies ignorare, nec quae celeriter virtutem mutant, tum quae rurſus diutino tempore conſervant. Nam ex iis, quae caducam ac ſtatim evaneſcentem calorem habent, euphorbium eſt. Id autem cognoſces, etiam ſi non manduces, colorem contemplatus, quippe non ut ab initio cinereum, verum ſuppallidum et ſubflavum redditur inveteraſcens. Statim etiam ſiccum abunde videretur tunc et vix inter laevigandum ex oleo recenti protinus imbibito diſſolvitur. At ſubito ipſum oleo miſcendum non eſt, ſed prius in mortario ſenſim terendum, ne dilatetur. Quid item opus eſt dicam, quod etiam guſtanti tibi recens perci-

Ed. Chart. XIII. [714.715.] Ed. Baſ. II. (348.)

φαίνεται πυρωδέστατον, ὡς κατακαίειν τὴν γλῶσσαν, τὸ δὲ παλαιὸν ὀλίγην ἐργάζεται θερμασίαν; [715] συμβαίνει μὲν οὖν καὶ ἄλλοις πολλοῖς τῶν φαρμάκων ὀλίγοις ἔτεσιν ἐξίτηλον ἴσχειν τὴν δύναμιν, οὐδενὸς δ' ἧττον τὸ εὐφόρβιον μετά γε θαψίαν. αὕτη γὰρ μετ' ἐνιαυτὸν μὲν ἀσθενὴς ἱκανῶς γίνεται, τελέως δ' ἐκπνεῖ διετὴς γενομένη. τό γε μὴν εὐφόρβιον ὅταν ἐξ ἀρχῆς τε καλὸν ᾖ καὶ καλῶς ἀποκέηται, καὶ κατὰ τὸ τρίτον ἔτος διασώζει ἔτι τινὰ δύναμιν, ἔσθ' ὅτε δὲ καὶ κατὰ τὸ τέταρτον, ἐκλύεται δ' ἤδη καὶ κατὰ τὸ ε' καὶ ἕκτον, εἶτ' ἐπὶ προήκοντι τῷ χρόνῳ τελέως ἀμαυροῦται. ᾧ δ' ἔφην ἐγὼ σὺν ἐλαίῳ χρήσασθαί ποτε παλαιωθέντι χωρὶς κηροῦ ε' σχεδὸν ἐτῶν ἢ ἓξ ἦν. ὅθεν οὐδὲ περιλαβεῖν ἓν μέτρῳ δυνατόν ἐστι τὴν χρῆσιν αὐτοῦ. νέον μὲν γὰρ ὂν ἐλαίῳ δεκαπλασίῳ καὶ δωδεκαπλασίῳ μίγνυται μετὰ κηροῦ τριπλασίου, παλαιούμενον δὲ πλέον ἐμβάλλειν αὐτῷ χρή· τριετὲς δὲ καὶ τετραετὲς γενόμενον ἤτοι διπλάσιον τοῦ κατ' ἀρχὰς ἢ ἴσον τῷ κηρῷ. ὅταν μὲν οὖν τοῖς ἀκόποις ὀνομαζομένοις χρίσμασιν ὁμοίαν ἔχειν βουληθῇς, τὸ

piatur ferventiſſimum, ut linguam adurat, vetus autem exiguam efficiat caliditatem? Jam aliis quoque multis medicamentis evanidam potentiam pauculis annis habere contingit, attamen euphorbium poſt thapſiam, haec enim anno admodum imbecillis redditur, ut bimula prorſus expiret, euphorbium vero, quum principio bonum fuerit et probe repoſitum aſſervatumque, etiam anno tertio adhuc vim aliquam retinet, interdum et quarto, quinto autem et ſexto jam exolvitur, deinde procedente tempore in totum elangueſcit. Porro id, quo me aliquando cum inveterato oleo ſine cera uſum eſſe dixi, quinque annorum aut ſex erat euphorbium. Unde uſum ipſius menſura comprehendere nemo poteſt. Nam recens oleo decuplo et duodecim partibus ſuperante cum cera tripla commiſcetur, veteraſcens copioſius ei immittendum eſt, trimum vero et quadrimum vel duplicatum prioris pondus vel aequale cerae. Quum igitur medicamentum conſiſtentia ſimile acopis dictis

Ed. Chart. XIII. [715.] Ed. Baſ. II. (348.)

φάρμακον τὴν σύστασιν, ἥπερ δὴ καὶ τῆς ὑγρᾶς κηρωτῆς ἐστι, τετραπλάσιον εἶναι χρὴ τοῦ κηροῦ τὸ ἔλαιον. ὅταν δ' ἐμπλαστρώδης γένηται, τὸν κηρὸν ἴσον τοὐπίπαν τῷ ἐλαίῳ χρὴ μιγνύναι, μάλιστα ἐὰν ξηρὸς ᾖ καὶ παλαιὸς, ὡς ὁ πρόσφατός γε καὶ λιπαρὸς ὢν ἐλάττονος δεῖται τοῦ ἐλαίου πρὸς τὸ ποιῆσαι κηρωτὴν ἐμπλαστρώδη, καὶ μᾶλλον ἔτι θέρους ὥρᾳ. βουληθεὶς οὖν τις τὴν κηρωτὴν ἐμπλαστρώδη ποιῆσαι τὸν κηρὸν τήξας ἐν ἐλαίῳ, καθ' ἣν εἴρηκα συμμετρίαν, προσμίξει τὸ ἕκτον μέρος αὐτῷ τοῦ προσφάτου εὐφορβίου, ὡς εἶναι μὲν ≺ α'. ἐκείνου, τοῦ δὲ κηροῦ ἓξ, ἐλαίου δὲ ἓξ ἢ πέντε. ἀλλ' ἐπεὶ τὸ κολλῶδές τε καὶ γλίσχρον οὐχ ὑπάρχει τῷ κηρῷ, καθάπερ τῇ ῥητίνῃ τε καὶ τῇ πίττῃ, διὰ τοῦτο μιγνύω τῇ κηρωτῇ ῥητίνην ἢ πίτταν ἢ ἑκατέρου μέρος. εὔδηλον οὖν ὅτι τούτων μιγνυμένων οὐκέτι τὸ ἔλαιον ἴσον αὐτοῖς ἐμβλητέον. ὁ μὲν γὰρ κηρὸς εἰς ὑγρότητα πολλοῦ δεῖται τοῦ λίπους, αἱ ῥητίναι δὲ αἱ μὲν ξηραὶ παντάπασιν ὀλίγου χρῄζουσιν, αἱ δὲ ὑγραὶ καὶ προσλαβεῖν τινα ξηρὰν οὐσίαν ἐθέλουσιν εἰς ἐμπλαστρώδη σύστασιν. ἐν μὲν

unctionibus habere volueris, quae ſpiſſitudo liquidi etiam cerati eſt, oleum cerae quadruplum eſſe curabis. Ubi vero ad emplaſtri ſpeciem fiet, ceram omnino aequalem oleo miſcere oportet, maxime ſi ſicca fuerit et vetuſta, ſicut recens et pinguis pauciore oleo indiget, ut ceratum in emplaſtri modum efficiat, idque magis adhuc per aeſtatem. Itaque ſi ceratum emplaſtri formula facere ſtatueris, cerae ex oleo liquefactae qua dixi ſymmetria ſextam recentis euphorbii partem admiſcebis, ut illius una ſit drachma, cerae ſex, olei item ſex vel quinque. Sed quoniam cera glutinans ac viſcoſa non eſt, quemadmodum reſinae et pix, ideo hanc vel illam vel utriusque partem cerato admiſceo. Clarum igitur eſt dum haec miſcentur, non amplius oleum pari illis portione affundendum. Etenim cera ad liquiditatem multo pingui indiget, at reſinae, quae quidem aridae prorſus ſunt, pauco, liquidae et ſiccam quandam ſubſtantiam ad emplaſtri craſſitudinem aſſumere poſtulant. In ceris igi-

Ed. Chart. XIII. [715.] Ed. Baſ. II. (348.)

οὖν τοῖς κηροῖς οὐ πολλή τίς ἐστιν ἡ διαφορὰ καθ' ὑγρότητα καὶ ξηρότητα, ταῖς ῥητίναις δ' ἔμπαλιν, ὥσπερ καὶ τῇ πίττῃ, παμπόλλη ἡ διαφορὰ ταῖς ξηραῖς ἐστι πρὸς τὰς ὑγράς. ξηροτάτη μὲν οὖν τῶν ῥητινῶν ἐστιν ἣν ὀνομάζουσί τινες φρυκτὴν, τινὲς δὲ κολοφωνίαν· δευτέρα δ' ἡ ἐκ τῶν κεραμείων, ἀκάθαρτός τε καὶ ἄφρυκτος, ἐὰν δ' αὐτὴν καθάρῃ τις, εἰς τὴν φρυκτὴν μεταπίπτει. τούτων δ' ἀμφοτέρων ξηρότερόν ἐστι τὸ καλούμενον πιτύϊνον φύσημα. τοῦτο μὲν, ὡς ἂν αὐχμηρὸν, οὐκ ἐπιτήδειον νομίσας εἶναι εἰς τὴν τῆς προκειμένης ἐμπλάστρου σύνθεσιν ἀπωσάμην, ἐχρησάμην δὲ τῇ τε φρυκτῇ καὶ ταῖς ὑγραῖς. εἰσὶ δὲ καὶ τούτων ἔνιαι μὲν ἐπὶ πλέονα χρόνον ὑγραὶ διαμένουσαι, καθάπερ ἡ τερμινθίνη, τινὲς δὲ ταχέως ξηραινόμεναι, καθάπερ ἡ στροβιλίνη. μέση δ' ἀμφοῖν ἐστιν ἡ ἐλατίνη. καὶ μέντοι καὶ κατὰ τὰς δυνάμεις θερμοτέρα μὲν ἡ στροβιλίνη, δευτέρα δὲ ἡ ἐλατίνη, τρίτη δ' ἀμφοῖν ἡ τερμινθίνη. τὴν κυπαρισσίνην δὲ ὑπώπτευσα μὴ μιγνύειν, ὡς στύψεως ἔχουσάν τι. δόξει δέ τις ἡμῖν διαφέρεσθαι κατὰ τὸν περὶ ῥητινῶν λόγον Διοσκορίδην τὸν Ἀναζαρβέα γράψαντα τήνδε τὴν ῥῆσιν ἐν τῷ

tur non magna humiditatis ac ſiccitatis differentia eſt, in reſinis, ſicut etiam in picis genere, contra aridae ab humidis permultum differunt. Omnium ergo reſinarum ſiccisſima eſt quam nonnulli frictam, alii colophoniam appellant. Huic ſuccedit quae ex fictilibus impura nec fricta ſumitur, quam ſi purges, in frictam mutabitur. His ambabus ſiccior eſt, quae dicitur pityinon phyſema, ac ſi dicas picea germinatio. Hanc ſane ceu ſqualidam in praeſentis emplaſtri compoſitionem non eſſe idoneam ratus abjeci, uſus autem ſum fricta et liquidis. Jam vero ex his quoque nonnullae diutius liquidae permanent, quemadmodum terebinthina, aliae cito inareſcunt, ſicut ſtrobilina, media utriusque eſt abietina. Quin etiam facultate calidior eſt quidem ſtrobilina, mox vero abietina, deinde terebinthina. Cupreſſi reſinam miſcere non auſus ſum, ut quae nonnihil aſtringeret. Putabit forſan aliquis, nobiſcum diſſentire Dioſcoridem Anazarbeum in ſermone de reſinis haec verba ſcribentem primo

Ed. Chart. XIII. [715. 716.] Ed. Baſ. II. (348.)

πρώτῳ περὶ ὕλης. προάγει δὲ πασῶν τῶν ῥητινῶν ἡ τερμινθίνη καὶ μετὰ ταύτην ἡ σχινίνη, εἶτα πιτυΐνη καὶ ἐλατίνη, μεθ' ἃς ἀριθμοῦνται ἥ τε πευκίνη καὶ ἡ στροβιλίνη. φαίνεται γὰρ ἐν τούτοις ὁ Διοσκορίδης, ὡς περὶ φαυλοτάτης μὲν φρονῶν τῆς στροβιλίνης, ἀρίστης δὲ τῆς τερμινθίνης. ἐγὼ δὲ τῶν τριῶν ῥητινῶν τῶνδε, στροβιλίνης, ἐλατίνης, τερμινθίνης, πρώτην μὲν εἶπον ἀρίστην τὴν στροβιλίνην εἶναι κατὰ θερμότητα, δευτέραν δὲ τὴν ἐλατίνην, ὑστάτην δὲ τὴν τερμινθίνην. [716] ὥσπερ οὖν ὁ λέγων τῶν κατὰ τὴν Ἰταλίαν οἴνων αὐστηρῶν ἄριστον εἶναι τὸν Ἰταλικὸν οἶνον, ὁ μὲν γὰρ πρὸς μίαν ποιότητα τὴν ἀναφορὰν τοῦ λόγου ποιούμενος, ὁ δὲ ἁπλῶς ὑπὲρ ὅλης ἀποφαινόμενος αὐτῶν τῆς οὐσίας, ἀληθεύει, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν ῥητινῶν ἀρίστην μὲν ὡς πολυχρηστότατον φάρμακον εἰκότως ἄν τις εἴποι τὴν τερμινθίνην ὑπάρχειν, οὐ μὴν ἔν γε τῇ θερμότητι πρωτεύειν. ὥσπερ οὖν ἔλεγον, ἔνεστί σοι τῷ κηρῷ μιγνύντι τῶν ῥητινῶν ἣν ἂν ἐθέλῃς, εἰς σύστασιν ἐχεκολλοτέραν ἀνάγειν τὴν ἁπλῆν κηρωτήν, ἢ δι' ἐλαίου τε καὶ κη-

de medica materia commentario. *Ex omnibus reſinis principatus terebinthinae datur, poſt eam lentiſcinae, tum ei, quae de picea raditur et abiete, poſt quas pinea ſtrobilinaque numeratur.* In his enim Dioſcorides tanquam de infima ſtrobilina, optima vero terebinthina ſentire videtur. Verum ego ex his tribus reſinis ſtrobilina, abietina, terebinthina, principem certe ſtrobilinam calore, ſecundam abietinam, poſtremam terebinthinam eſſe dixi. Quemadmodum igitur qui inter Italiae vina auſtera optimum ponit vinum Italicum, alius ad qualitatem unam ſermonem referens, alius abſolute de tota ipſorum ſubſtantia pronuncians, verus deprehenditur, eadem ratione etiam inter reſinas optimam tanquam medicamentum in multiplices uſus accommodatum, merito terebinthinam affirmaveris, non tamen caliditate primas obtinere. Itaque ut ajebam, licet tibi quamlibet reſinam cerae miſcenti ſimplex ceratum glutinantius efficere, quod ex oleo et cera duntaxat componimus. Hic vero ex-

Ed. Chart. XIII. [716.] Ed. Baſ. II. (348. 349.)

ρου μόνον συντίθεμεν. ἐν τούτῳ δὲ καὶ τῆς πείρας ἐστι χρεία κρινούσης τὸν στοχασμὸν ἡμῶν. ἔξεστι γάρ σοι τριπλάσιον τοῦ κηροῦ τῇ τερμινθίνῃ μίξαντι γνῶναι πότερον ἤδη σύστασιν ἐμπλαστρώδη τὸ φάρμακον εἴληφεν ἢ αὐχμηρότερόν ἐστιν ἔτι καὶ δεῖται πλείονος ἔτι ῥητίνης, ὥσθ' ὅταν ποτέ σοι τὸν τρόπον τοῦτον πειρωμένῳ φανῇ συμμέτρως ἔχειν μιγνύναι τηνικαῦτα τῷ γιγνομένῳ φαρμάκῳ, τὸ δωδέκατον τοῦ εὐφορβίου. ἐὰν δὲ ἀγνοῇς πότερον ἀκριβῶς ἐστι θερμὸν τὸ εὐφόρβιον, ἢ ἀπολείπεται κατά τι τοῦ τοιούτου μετὰ τὴν σκευασίαν, ἐμπλάσας ὀθονίῳ βραχὺ τοῦ κατασκευασθέντος, ἐπίβαλλε κατὰ τῆς ἑαυτοῦ κνήμης ἢ (349) πήχεως ὥραις τισὶν, εἶτα ἐὰν μέν σοι δόξῃ μετρίως θερμαίνειν, εὐκράτως ἔχειν ὑπόλαβε τὸ σκευασθέν. εἰ δ' ἤτοι μηδεμίαν αἰσθητὴν ποιοῖτο θερμασίαν ἢ πυρωδέστερον εἴη τοῦ προσήκοντος, ἔξεστιν ἤτοι γ' ἐκλῦσαι τὸ φάρμακον ἢ ἐπιτεῖναι· ἐκλῦσαι μὲν μίξει κηρωτῆς, ἐπιτεῖναι δ' εὐφορβίου προσθέσει. ἐάν γε μὴν λιπαρὰν ἔχῃς πρόπολιν, ἐπιηδειοτέραν ἴσθι σοι πασῶν τῶν ῥητινῶν ἐσομένην αὐτὴν, ὡς ἂν ἐπισπᾶσθαί τε

perientiae quoque utilitas eſt, quae de conjectura noſtra decernat. Potes enim ubi triplicatam ceram terebinthinae commiſcueris, intelligere, emplaſtrine ſpiſſitudinem jam medicamentum acceperit, an adhuc ſiccius ſit ac copioſiorem inſuper reſinam deſideret. Quapropter ubi hunc in modum experienti tibi mediocriter habere viſum fuerit, miſcebis tunc medicamento, quod conficis duodecimam partem euphorbii. At ſi ignores, an euphorbium exacte ſit calidum, an nonnihil a tali diſcedat, poſt confectionem linteo paululum illius medicamenti illitum tuae ipſius tibiae vel cubito horis aliquot imponito, poſtea ſi modice caleſacere deprehendis, bene temperatum eſſe medicamentum arbitraberis, quod ſi vel nullum ſenſilem calorem dat vel juſto ferventiorem, integrum eſt aut medicamentum remittere aut intendere; remittere quidem mixtura cerati, intendere appoſito euphorbio. Atqui ſi propolim pinguem habeas, eam omnibus reſinis aptiorem fore tibi intelligito, ut quae va-

Ed. Chart. XIII. [716.] Ed. Baſ. II. (349.)

καὶ τοῦ βάθους ἕλκειν ἔξω πεφυκυῖαν ἀτμώδη τε πάχη πνεύματος, ὑγρότητάς τε περιττάς. αἱ μὲν γὰρ ῥητίναι μετὰ τοῦ κηροῦ τῆς ἐμπλαστρώδους συστάσεως ἕνεκεν, οὐχ ὡς ὑπὸ τὸν σκοπὸν τῆς θεραπείας πεπτωκυῖαι παραλαμβάνονται. τοῦ σκοποῦ δ' αὐτοῦ τῆς ἰάσεως ἡ πρόπολις ἔχεται. καί ποτε αὐτῇ μόνῃ προσφάτῳ καθ' ὑγρὸν ἐχρησάμην, ὡς ἔφην, ἐπί τινος γεωργοῦ σκληρὸν ἔχοντος σῶμα, καὶ θαυμαστὸν ὅπως ὤνητο μόνῃ χρησάμενος ἄχρι τέλους, ὡς μηδενὸς δεηθῆναι φαρμάκου, βαθύτερον ἔχοντος ἑτέρου τὸ νύγμα βραχύ τι προσέμιξα τῶν τιθυμάλλων τινὸς ὀποῦ. τοῖς μέντοι μαλακοῖς σώμασι σκληρότερον φαίνεται τὸ φάρμακον ἐν τῇ ψαύσει, πλὴν εἰ πάνυ τις αὐτὸ μαλακύνει ἐλαίου μίξει. καὶ μέντοι καὶ τἄλλα φάρμακα πάνθ' ὅσα προσφέρεται τοῖς νευροτρώτοις, ὑγρὰ καὶ μαλακὰ προσῆκεν εἶναι. τὴν μὲν οὖν μαλακότητα, πᾶν ἔλαιον δύναται παρασχεῖν, τὴν δ' ἰσχὺν τοῦ φαρμάκου φυλάξαι τὸ παλαιὸν ἔλαιον. ὥσπερ δὲ τὴν πρόπολιν ἐν ἀγρῷ ποτε ἐπέθηκα τῶν τότε παρόντων ὡς βέλτιον φάρμακον ἐκλεξάμενος, οὕτως καὶ τὴν ζύμην αὖθις

porosam spiritus crassitiem humoresque superfluos elicere ac exalto foras ductitare suapte queat natura. Siquidem resinae cum cera emplastri spissitudinis gratia, non tanquam curationis consilio assumuntur, propolis autem curationis ipsius scopo continetur. Atque haec aliquando sola, ut dixi, recenti, quantum ad humiditatem attinet, usus sum in agricola quodam duro corpore, ac mirum est, quomodo sola adusque finem adhibita adjuverit, adeo ut nullius medicamenti praeterea venerit necessitas. Alteri qui punctura profundiorem haberet tithymalli cujusdam exiguum quid liquoris admiscui. Mollioribus vero corporibus medicamentum tactu durius apparet, nisi olei mixtura vehementer ipsum mollias. Quin et alia medicamenta omnia, quae nervorum vulneribus adhibentur, liquida et mollia esse convenit. Mollitiem igitur quodvis oleum conciliare, robur vero medicamenti vetus oleum tueri potest. Ut autem propolim in agro nonnunquam accommodavi tanquam melius medicamentum iis, quae tum affuerant, eligens, ita fermentum

Ed. Chart. XIII. [716. 717.] Ed. Baſ. II. (349.)

ἐφ᾽ ἑτέρου, φαρμάκου μὴ παρόντος, ἐπειδὴ καὶ ταύτην τὰ ἐκ τοῦ βάθους ἠπιστάμην ἕλκουσάν τε καὶ διαφοροῦσαν. ὅσῳ δ᾽ ἂν ᾖ πλέονος χρόνου ἡ ζύμη, τοσούτῳ βελτίων ἐστίν. οὐ μόνον δὲ τὰ τοιαῦτα κατὰ τὰς ἀγροικίας εὑρίσκεται ῥᾳδίως, ἀλλὰ καὶ θεῖον ἄπυρον, ᾧ ποτε καὶ αὐτῷ ἐχρησάμην μίξας τῇ τετραφαρμάκῳ. ταύτῃ μὲν οὖν καὶ ἀφρόνιτρον καὶ Βερενίκιον λίτρον καὶ ἀφρόλιτρον τὸ μὴ λιθῶδες, ἀλλ᾽ ὄντως ἀφρόλιτρον, ὅπερ ἀφρώδη τὴν σύστασιν ἔχει, μίξας ἐχρησάμην πολλάκις, οὐ μόνον ἐπ᾽ ἀγροικίας ἀπορίᾳ τῶν ἄλλων, ἀλλὰ καὶ παρόντων τῶν εἰρημένων φαρμάκων, ἕνεκα τοῦ τῇ πείρᾳ βασανίσαι μου τὴν ἐπίνοιαν καὶ διὰ μόνης τῆς τοιαύτης χρήσεως ὁ τετρωμένος ἐθεραπεύθη, καταντλώμενος ὀηλονότι τῷ ἐλαίῳ. τοῦτο γὰρ κοινὸν ἐπὶ πάντων ἔστω σοι τῶν ἐνταῦθα λεγομένων φαρμάκων ἁρμόττειν τοῖς νευροτρώτοις. [717] καὶ τὸ καλούμενον δὲ ὑπὸ μὲν τῶν ἰατρῶν ἀρσενικόν, ὑπὸ δὲ τῶν ἀττικίζειν τὰ πάντα βουλομένων ἀῤῥενικόν, ἔμιξα τῇ τετραφαρμάκῳ δυνάμει, πειραθῆναί μου τῆς ἐπινοίας βουλόμενος. αὖθις δὲ μὴ παρόντος

rurſus in alio admovi medicamenti inopia, quoniam hoc quoque in alto fixa extrahere et diſcutere ſciebam. Quanto autem vetuſtius fermentum tanto eſt praeſtantius. Porro hujusmodi res non ſolum facile in aegris reperiuntur, ſed etiam ſulphur vivum, quo nonnunquam et ipſo ſum uſus miſcens cum tetrapharmaco. Huic igitur et ſpumam nitri et Berenicium litrum et aphrolitrum non lapidoſum, ſed vere aphrolitrum, quod ſpumae conſiſtentiam habet, adjiciens frequenter uſurpavi, non modo in agris aliorum penuria, ſed etiam praeſentibus enumeratis medicamentis hoc nomine, ut animi ſenſum experientia explorarem probaremque. At vulneratus talis rei ſolo uſu convaluit, fotus videlicet oleo. Hoc enim commune tibi eſto in omnibus medicamentis, quae hic dicuntur nervorum vulneribus conducere. Jam vero et quod a medicis vocatur arſenicum, ab iis autem, qui Attice omnia volunt proferre, arrhenicum, adjunxi tetrapharmaco, quod animo conceperam, experientia volens pertentare, rurſus quum id non adeſſet,

Ed. Chart. XIII. [717.] Ed. Baſ. II. (349.)

τούτου τὴν ὀνομαζομένην σανδαράχην, ὥσπερ γε καὶ τὴν τίτανον ἐσβεσμένην τε καὶ ἄσβεστον, ἄπλυτόν τε καὶ πεπλυμένην, ὀλίγον μὲν ἐμβαλὼν τῆς ἀσβέστου, τὸ πλέον δὲ τῆς ἐσβεσμένης καὶ πλέον ἔτι τῆς πεπλυμένης. εἰρήσεται δ' ὀλίγον ὕστερον ὑπὲρ τῆς καθ' ἑκάστην σύνθεσιν ἀκριβοῦς ποσότητος, ἐὰν πρότερον ἐπέλθω ταῦθ' ἁπλᾶ πάντα καὶ τοὺς διορισμοὺς τῆς χρήσεως αὐτῶν. ἐν γὰρ τούτῳ τῷ λόγῳ διὰ τοὺς ἐμπειρικοὺς ἐκ περιπτώσεως τὰ πλεῖστα τῶν συνθέτων φαρμάκων ἡγουμένους εὑρῆσθαι τὴν τῶν νευροτρώτων ἀγωγὴν ἔδοξέ μοι διελθεῖν, εὑρημένην ὑπ' ἐμοῦ χωρὶς περιπτώσεως, ἐκ τοῦ τόν τε σκοπὸν τῆς θεραπείας αὐτῶν γνῶναι καὶ τῶν ἁπλῶν φαρμάκων ἐπίστασθαι τὰς δυνάμεις. ἐκ μὲν γὰρ περιπτώσεως ἕν τι τῶν ἁπλῶν εὑρίσκεται φαρμάκων, ἡ λογικὴ δὲ μέθοδος ἀθρόα τε καὶ πολλὰ τῶν ἁπλῶν εὑρίσκει καὶ συνθέσεις παμπόλλας ἐπ' αὐτοῖς. ὅσα γοῦν ἐκ βάθους ἕλκειν ἔξω πέφυκε καὶ διαφορεῖν τὰς ὑγρότητας, ἐπιτήδεια τοῖς νευροτρώτοις ἐστίν. ἐπεὶ δέ τινα τούτων ἐζευγμένας ἔχει θερμότητας ἀμετροτέρας ἢ δακνώδεις ἰσχυρῶς δριμύτητας ἢ ὀξύτητας, εὔλογόν ἐστι μιγνύειν αὐ-

ſandaracham, uti vocant, ſicut calcem reſtinctam et vivam, lotam et illotam, minus autem vivae, plus reſtinctae et plus adhuc lotae adjeci. Caeterum de exacta cujusque componendae quantitate paulo poſt dicemus, ubi haec ſimplicia omnia uſusque ipſorum diſtinctiones retulerimus. In hoc enim ſermone propter empiricos, qui ex caſu plurima compoſitorum medicamentorum inventa eſſe putant, viſum mihi eſt commemorare nervorum vulnera curandi rationem a me citra caſum repertam, inde, quod ſanationis ipſorum ſcopum et ſimplicium medicamentorum facultates cognoſcerem. Etenim ex caſu unum aliquod ſimplex medicamentum invenitur, rationalis autem methodus plurima ſimul invenit et varias ipſorum compoſitiones. Quae igitur ex alto humores educere digerereque natura poſſunt, nervorum vulneribus ex uſu ſunt. Quandoquidem vero nonnulla caliditatem immoderatam vel mordacem vehementer acrimoniam vel acidam qualitatem conjunctas habent, alia ipſis

Ed. Chart. XIII. [717.] Ed. Baſ. II. (349.)

τοῖς ἕτερα φάρμακα δυνάμενα τὰς εἰρημένας ὑπεροχὰς μετριωτέρας ἐργάζεσθαι χωρὶς τοῦ μὴ βλάπτειν τὴν δύναμιν. οὐκ ἐνδέχεται δὲ τοῦτο πράττειν ὀρθῶς ἄνευ τοῦ γινώσκειν ἑκάστου τῶν φαρμάκων οὐ μόνον τὸ γένος τῆς ποιότητος, ἀλλὰ καὶ τὸ ποσὸν ἐν αὐτῇ. τινὰ μὲν γὰρ, ὡς ἐδείκνυμεν ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ, τῆς πρώτης τάξεώς ἐστι τῶν θερμαινόντων, ἀποκεχωρηκότα βραχύ τι τῶν εὐκράτων, ἕτερα δ' ἐπ' αὐτῆς τῆς δευτέρας ἐπὶ πλέον ἀφεστηκότα, καὶ τινὰ τῆς τρίτης καὶ τετάρτης, ἄλλ' ἄττα καίειν ἤδη δυνάμενα. κατὰ τὴν ἀναλογίαν οὖν τῆς κατὰ τὴν δύναμιν ἑκάστου φαρμάκου σφοδρότητος ἡ τῶν μιγνυμένων εὑρίσκεται δύναμις, ἐάν τις ἐπίστηται τῶν ἁπλῶν φαρμάκων ἁπάντων τὰς κράσεις. ἡ δὲ τῶν ἐμπειρικῶν, μόνα μιγνῦσα τὰ ὁμογενῆ, διά τε τὴν ἄγνοιαν ἑκάστου τῆς φύσεως φαρμάκου γίγνεται καὶ τοῖς ταύτην ἐπισταμένοις διὰ τὸ μὴ γινώσκεσθαι βεβαίως τὸ ποσὸν τῆς ὑπεροχῆς. ἐγὼ' οὖν αὐτὸς ὁ πρῶτον ἐσκεύασα φάρμακον ἐκ πολλῶν ὁμογενῶν συνέθηκα διὰ τὸ μηδέπω γινώσκειν ἑκάστου τὸ ποσὸν

medicamenta admiſceri ratio eſt, quae praedictos exceſſus ſine virtutis offenſa temperare queant. At hoc fieri recte non poteſt, niſi cujusque medicamenti non modo qualitatis genus, ſed etiam quantitatem in eo cognoſcas. Quaedam namque, ut oſtendimus in commentario de ſimplicibus medicamentis, in primo calefacientium ordine collocantur, a temperatis paululum abſcedentia, alia in ſecundo magis inde declinantia, alia tertio, nonnulla quarto, quae urere jam queant. Igitur pro vehementiae virtutis cujusque medicamenti proportione miſcendorum facultas invenitur, modo ſimplicium omnium temperamenta intelligas. Empiricorum haereſis ſola genere conſimilia propter uniuscujusque medicamenti naturae ignorantiam miſcet, et qui hanc noverunt ſola eadem miſcent, quia exceſſus quantitatem certo non cognoſcunt. Quod itaque ipſe primum praeparavi medicamentum, ex multis ejusdem generis compoſitum eſt, quoniam nondum cujusque virtutis quantitatem exacte per-

Ed. Chart. XIII. [717.] Ed. Baſ. II. (349.)

τῆς δυνάμεως ἀκριβῶς. ἐνέβαλον μὲν γάρ τι καὶ ἀρσενικοῦ καὶ θείου καὶ μίσυος καὶ τιτάνου τῆς ἀπλύτου τε καὶ πεπλυμένης καὶ πομφόλυγος, ὡσαύτως καὶ σποδίου. πρὸς τούτοις δὲ καὶ λεπίδος χαλκοῦ καὶ χαλκίτεως κεκαυμένης, ἀπλύτου τε καὶ πεπλυμένης καὶ προσέτι τῆς ἀκαύστου. ταῦτα μὲν οὖν ἐν ὄξει δριμυτάτῳ πολλαῖς ἡμέραις ἐν ἡλίῳ θερινῷ προελείωσα. τὰ δὲ μέλλοντα καταχεῖσθαι τούτων ὅ τε κηρὸς ἦν ἔξ ἀνάγκης καὶ μέλιτός τι βραχὺ προαπηφρισμένου καὶ αἱ ῥητίναι σχεδὸν ἅπασαι καὶ πρόπολις καὶ πίττα καὶ λάδανον. ὑγρὰ δὲ κύπρινόν τε καὶ σούσινον, ὀποβάλσαμόν τε καὶ ἀμαράκινον καὶ γλεύκινον καὶ κέδρινον, ἔλαιόν τε κίκινον καὶ παλαιόν. ἐξ ἑκάστου δέ τι σμικρὸν ὢν ὀλίγον ἔμπροσθεν εἶπον ὀπῶν. ὕστερον δὲ ἀφαιρῶν ἄλλοτε ἄλλο πείρας ἕνεκεν, οὐδὲν ἀπολειπόμενον εὕρισκον ἕκαστον τῶν ἁπλουστέρων, οἷς ἄχρι τοῦ δεῦρο χρῶμαι. λεχθήσονται δ' αὐτῶν ὀλίγον ὕστερον αἱ συμμετρίαι. δι' ὄξους μὲν οὖν ἐσκεύαζον τὰ τοιαῦτα διά τε τῶν ὀπῶν μιγνὺς αὐτοῖς τι κηροῦ καὶ τῶν εἰρημένων ῥητινῶν καὶ προπόλεως καὶ πίττης, ὡσαύτως δὲ καὶ διὰ κόπρου περιστερῶν καὶ τῶν λεπτομερῶν βο-

noſcebam. Injeci etenim nonnihil arſenici, ſulfuris, miſyos, calcis lotae et illotae et pompholygis, ſimiliter ſpodii, item ſquamae aeris, chalcitidis uſtae lotae et illotae, ad haec non uſtae. Haec igitur prius in aceto quam acerrimo diebus multis ſole aeſtivo laevia reddidi. Quae ſuperfundi his debebant, cera erat neceſſario et mellis nonnihil prius expurgati, reſinae propemodum omnes, propolis, pix et ladanum, liquida cyprinum, ſuſinum, opobalſamum, amaracinum, gleucinum, cedrinum et oleum ricininum et vetuſtum, ex ſingulis autem liquoribus, quos non multo ante recenſui, paulum aliquid. Poſtremo alias aliud auferens experientiae gratia, nihilo ſimpliciora ſingula, quibus in hunc diem utor, inferiora eſſe animadverti, ipſorum autem ſymmetriae mox ponentur Itaque ex aceto et liquoribus talia confeci, cerae, reſinarum, propoleos et picis nonnihil adjungens, pari modo ex columbarum ſtercore et herbis te-

Ed. Chart. XIII. [717. 718.] Ed. Baſ. II. (549 350.)

τανῶν. ἀλυπότερα μὲν οὖν ἐστι τὰ ὑγρὰ φάρμακα, [718] καὶ τοῖς ἄλλοις μὲν ἕλκεσιν, ἐξαιρέτως δὲ τοῖς κατὰ τὰ νεῦρα. χρώμεθα δὲ καὶ τοῖς ἐμπλαστρώδεσι διὰ τοὺς λούεσθαι βουλομένους. ἀφαιρεθέντων γὰρ τῶν ἐρίων, αὐτὸ μόνον ἐπικείμενον ἔχοντες τὸ τοιοῦτον φάρμακον ἀοχλητότερον λούονται. προείρηται γὰρ ὅτι μηδὲ τότε προσήκει βρέχειν ὕδασι τὸ τετρωμένον, ἐάν γε ἐν χειρὶ ᾖ. κατὰ μέντοι τὸν πόδα τῆς τρώσεως ἐπιγενομένης ἀδύνατον μέν ἐστι μὴ βρέχειν τὸ μόριον, ἀπέχεσθαι δὲ χρὴ τηνικαῦτα βαλανείου τὰς πρώτας τέτταρας ἡμέρας. ἐπεὶ δὲ ἀπόλωλεν ἐν τῷ νῦν βίῳ ἡ καρτερία πάντων ἀνθρώπων, ἤδη μέχρι καὶ τῶν ἐν τοῖς ἀγροῖς καθ' ἡμέραν εἰωθότων λούεσθαι, τοὺς μὲν μὴ πάνυ τρυφῶντας, εἶεν δ' ἂν οἱ πένητες οὗτοι, πειθομένους ἔχομεν ὡς τὸ πολὺ, τοὺς πλουσίους δὲ καὶ μάλιστα (350) αὐτῶν ὅσοι πολὺ δύνανται ἢ δυσπειθοῦντας ἢ τελείως ἀπειθοῦντας. ἄριστον μὲν οὖν ἦν μηδὲ θεραπεύειν αὐτούς. ἐπεὶ δ' οὐκ οἶδ' ὅπως καὶ ἄλλην ἄλλος αἰτίαν οἱ μὲν ἄκοντες ἡμῶν, οἱ δὲ ἑκόντες ἀναγκάζονται τῆς μαλακίας αὐτῶν ἀνέ-

nuium partium. Minus ergo moleſta ſunt liquida medicamenta cum aliis tum nervorum maxime vulneribus. Utimur etiam emplaſtri modo compoſitis propter eos, qui ſe lavare volunt, lanis enim ablatis ac tali medicamento ſolo adhaerente minore cum moleſtia lavant. Praedictum enim eſt, neque tunc vulnere affectam partem aquis reſpergendam, ſi in manu id contigerit, pes vero, ſi is laeſus ſit, ut non madefiat fieri non poteſt, ſed tunc a balneo primis quatuor diebus abſtinendum eſt. Quoniam vero omnium hujus tempeſtatis hominum et eorum jam etiam, qui ruri degunt, fortitudo periit, qui lavare ſe quotidie conſueverunt, equidem qui non adeo deliciis affluunt, ſunt hi maxime pauperes, ut plurimum obtemperantes nobis habemus, divites vero et praeſertim potentes admodum, illos vel aegre obtemperantes vel prorſus haud morigeros experimur. Optimum igitur fuerit nec ipſis mederi, verum quum neſcio quo modo alius ob aliam cauſam, quidam noſtrum inviti, quidam ultro ipſorum mollitiem tolerare

Ed. Chart. XIII. [718.] Ed. Baſ. II. (350.)

χεσθαι, τοιοῦτόν τι ποιεῖν εἰῶθα. κατὰ τοῦ τετρωμένου μέρους ἐπιτιθεὶς τῶν ἐμπλαστρωδῶν τι φαρμάκων, ἔξωθεν αὐτοῦ πάλιν ἐπιβάλλω πολυπτύχους ὀθόνας πλέονας ἐλαίῳ διαβρόχους, αἷς αὖθις ἔξωθεν ἐπίδεσμον ἐξ ὀθόνης ἐπιβάλλω, καὶ μετὰ ταῦτα πάλιν ἐν αὐτῷ τῷ βαλανείῳ προκαταχέω τὸ ἔλαιον τοῦ ἐπιδέσμου, μέλλοντος εἰς τὴν πτύελον ἐμβαίνειν τοῦ νευροτρώτου καὶ δηλονότι λουσαμένου, τὰ μὲν ἐπικείμενα πάντα ἀποβάλλω, χρῶμαι δὲ τῇ προειρημένῃ τῆς ὅλης θεραπείας ἀγωγῇ. εὔδηλον δ' ὅτι καὶ τῆς τῶν μορίων φύσεως ἔμπειρον εἶναι χρὴ τὸν μέλλοντα καλῶς προνοήσασθαι τῶν νευροτρώτων. εἴρηται γὰρ ἔμπροσθεν ὅτι καὶ οἱ τένοντες, εἰς οὓς οἱ πλεῖστοι τῶν μυῶν τελευτῶσι, συμπαθείας οὐ μικρὰς ἐπιφέρουσι, πρῶτον μὲν τοὺς σπασμοὺς γεννῶντες, ὕστερον δὲ σηπόμενοί τε αὐτοὶ καὶ τὰ πλησιάζοντα πάντα συνδιαφθείροντες. ἔνιοι δ' αὐτῶν ὡς ὑμένες εἰσὶ λεπτοὶ κα. πλατεῖς, ὁποῖοι κατά τε τὰ πρὸς τοῖς γόνασι τέλη τῶν μηρῶν ἔνδον τε τῶν χειρῶν καὶ κάτω τῶν ποδῶν ὑποτέτανται. πάντες γὰρ οὗτοι τοῦ δέρματος ψαύ-

coguntur, tale quippiam factitare conſuevi, vulneratae parti medicamentum aliquod in emplaſtri modum imponens, extrinſecus iterum multiplices pannos oleo tinctos plures ſuperinjicio, quibus rurſum extrinſecus faſciam ex linteis accommodo, quam deinde in ipſo rurſus balneo, quum aeger in ſolium eſt ingreſſurus, oleo prius perfundo et loto videlicet jam omnia impoſita aufero utorque praedicto totius curationis genere. At vero patet omnibus eum, qui pulchre nervorum vulneribus proſpecturus eſt, etiam partium naturae peritum eſſe oportere. Nam antea comprehenſum eſt, tendines pariter, in quos muſculi plurimi deſinunt, non mediocriter condoleſcere, primum quidem convulſionem generantes, dein putreſcentes et ipſos vicinas ſimul partes univerſas inficere. Nonnulli autem eorum, ceu membranae tenues latique ſunt, quales in femorum terminis ad genua ſpectantibus, tum intra manus infraque pedes ſubtenſi ſunt. Omnes enim, qui in manibus pedibusque ſunt, ſatis qui-

Ed. Chart. XIII. [718.] Ed. Baſ. II. (350.)

ουσι, συμφυεῖς μὲν ἱκανῶς οἱ κατὰ τὰς χεῖρας καὶ τοὺς πόδας ὄντες αὐτῶν, κατὰ δάρσιν δὲ ἀπολυόμενοι τοῦ περικειμένου δέρματος οἱ καθήκοντες εἰς τὴν μύλην. ἐμοὶ δὲ καὶ τοῦτο συνέβη κατὰ τύχην, ἐπενόησα μὲν γὰρ τὴν ἀγωγὴν τῶν νευροτρώτων ἔτι νέος ὤν, ἡνίκα πρῶτον ἐκ τῆς Ἀλεξανδρείας ἐπανῆλθον εἰς τὴν πατρίδα γεγονὼς ἔτος ὄγδοον ἐπὶ τοῖς εἴκοσι. ἐπεὶ δ' ἕκαστον ὧν ἐπενόησα φαρμάκων ἔδωκα τοῖς φίλοις ἰατροῖς, οὐ μόνον τοῖς πολίταις, ἀλλὰ καὶ τοῖς ἀστυγείτοσιν ἕνεκεν τοῦ βεβαιωθῆναι πάντα τῇ πείρᾳ· δόξαν δ' οὐκ οἶδ' ὅπως τῷ κατὰ τὴν πόλιν ἡμῶν ἀρχιερεῖ, τὴν θεραπείαν ἐγχειρῆσαί μοι μόνῳ τῶν μονομάχων καίτοι νέῳ τὴν ἡλικίαν ὄντι. τοῦ γὰρ ἑνατου καὶ εἰκοστοῦ ἔτους ἠρχόμην, τηνικαῦτα τοὺς τρωθέντας κατὰ τὸ πρόσω τε καὶ κάτω μέρος τοῦ μηροῦ διὰ τῆς ἐπινενοημένης ἀγωγῆς ἐθεράπευσα, τῶν μὲν ἐγκαρσίαν ἐχόντων τὴν πληγὴν τὸ τοῦ τένοντος ὑπόλοιπον ἐντέμνων αὐτὸς, ὡς ἀκίνδυνον εἶναί μοι τὴν θεραπείαν, τῶν δὲ τὸ μικρὸν ἢ ὄρθιον ἐχόντων τὸ τραῦμα, σὺν ἀσφαλείᾳ τε ἅμα καὶ δέει τὴν ὅλην ἀγωγὴν ποιούμενος. τῶν γὰρ πρὸ ἐμοῦ πάντων

dem coëuntes cutem contingunt, qui vero in patellam perveniunt a circumpoſita cute, per excoriationem abſcedunt. Mihi etiam hoc forte fortuna contigit, etenim nervorum vulnerum curationem juvenis adhuc, quum primum ex Alexandria in patriam reverterer, annos vigintiocto natus, excogitavi. Quia vero ſingula medicamenta, quae adinveneram medicis amicis non ſolum civibus, ſed etiam vicinis exhibueram, ut omnia uſu ac experimentis firmarentur, viſumque erat, haud novi quomodo, civitatis noſtrae pontifici gladiatorum curationem mihi ſoli tradere, quamvis juveni adhuc, vigeſimum nonum enim tum primum attingebam, tunc vulneratos in priore infernaque femoris parte invento praeſidio curavi, in iis ſane qui per transverſum percuſſi erant, reliquum tendinis ipſe amputans, ut tuta eſſet mihi curatio, qui vero parvum vel per directum vulnus acceperant, cum ſecuritate ſimul et metu totam ſanandi deductionem exercens. Nam quum omnes ante nos

Ed. Chart. XIII. [718, 719.] Ed. Baſ. II. (350.)

ἰατρῶν, ἐπὶ πλεῖστόν τε καταντλούντων αὐτοὺς ὕδατι θερμῷ καὶ καταπλαττόντων ἀλεύρῳ πυρίνῳ, δι' ὑδρελαίου συμμέτρως ἐψημένῳ, τὸ μὲν ὕδωρ οὐδ' ὅλως προσήνεγκα, τῷ δὲ ἐλαίῳ πολλάκις καταιονῶν ἅμα τοῖς εἰρημένοις φαρμάκοις, ὑγιεῖς πάντας ἐν τάχει εἰργασάμην. κατὰ τύχην δὲ πολλῶν τεθνεώτων ἐν τοῖς ἔμπροσθεν ἔτεσιν, ἐμοῦ δὲ οὔτε τῶν ὡς εἴρηται τετρωμένων ἀποθανόντος τινὸς [719] οὔτ' ἐξ ἄλλου τραύματος, ὁ μετὰ τὸν ἐγχειρίσαντά μοι τότε τὴν θεραπείαν δεύτερος ἀρχιερεὺς, ὁμοίως καὶ αὐτὸς ἐπίστευσε τὴν ἐπιμέλειαν τῶν μονομάχων μετὰ μῆνας ἑπτὰ μέσους. ὁ μὲν γὰρ πρῶτος περὶ τὴν φθινοπωρινὴν ἰσημερίαν, ὁ δὲ δεύτερος ἀκμάζοντος τοῦ ἦρος ἠρχιερεύσατο. πάλιν δ' ἐπὶ τούτῳ σωθέντων ἁπάντων ὁ τρίτος καὶ ὁ τέταρτος καὶ πέμπτος ὡσαύτως ἐνεχείρισάν μοι τὴν θεραπείαν τῶν μονομάχων, ὥστε πολλὴν βάσανον ἔχειν τῆς ἀγωγῆς. ἐν δὲ δὴ χρόνῳ τούτῳ καὶ τοιοῦτον ἐπενοήθη μοί τι, καὶ μάλιστα αὐτῷ προσέχειν χρὴ τὸν νοῦν ἐκείνους τῶν ἰατρῶν, ὅσοι τραυμάτων θεραπείαν ὀρθῶς βούλονται μεταχειρίζεσθαι. θεασάμε-

medici plurimum aqua calente ipſos foverent et tritícea farina ex hydrelaeo modice decocta illinirent, ego ſane aquam omnino non obtuli, oleo autem frequenter reſpergens ſimul cum praedictis medicamentis ſtatim omnes ſanitati reſtitui. Quandoquidem vero multi ſuperioribus annis fortuito perierunt, mihi tamen ne quidem unus vel ex nervorum vulnere vel alio mortuus eſt, alter pontifex ſuccedens illi, qui mihi tum medendi officium commiſerat, ſimiliter et ipſe a ſeptem menſium intervallo gladiatorum curationem fidei meae concredidit, ſiquidem primus autumnali ſolſtitio, ſecundus vigente vere, pontificatum geſſit. Rurſus poſt hunc omnibus a me ſervatis, tertius, quartus et quintus, pari modo gladiatores mihi curandos tradiderunt, ut jam permultum illam medendi curationem exploratam habeam. Quin etiam hoc tempore tale quid induſtria invenimus, cui animum advertere maxime illos medicos convenit, qui vulnerum curationem recte adminiſtrare cupiunt. Contem-

Ed. Chart. XIII. [719.] Ed. Baſ. II. (350.)

νος γάρ τινα μονομάχων τῶν καλουμένων ἱππέων ἐγκαρσίαν ἔχοντα διαίρεσιν, ἄχρι βάθους πολλοῦ κατὰ τὰ πρόσω τε καὶ κάτω τοῦ μηροῦ καὶ τὸ χεῖλος ἰδὼν τοῦ τραύματος, ἄνωθεν μὲν τὸ ἕτερον ἀνεσπασμένον, κάτω δὲ θάτερον, ὡς ἐπὶ τὴν μύλην κατεσπασμένον, ἐτόλμησα τῆς κατὰ πλάτος ὀνομαζομένης ἀγωγῆς ἀποστὰς, συναγαγεῖν ῥαφαῖς πρὸς ἄλληλα τὰ διεστῶτα μέρη τῶν μυῶν. εὐλαβηθεὶς οὖν συνδιαῤῥάπτειν αὐτοῖς τοὺς τένοντας, ἀποδείρας πρότερον ἐκείνους, οὕτως ἐχρησάμην διὰ πολλοῦ βάθους ταῖς ῥαφαῖς, εἰδὼς ἀκίνδυνον μὲν εἰς αὐτὸ τὸ σαρκῶδες μυῶν, τὸν κίνδυνον δὲ ἐκ τῶν τενόντων γινόμενον, οὐδὲ τοῦτό τινα τῶν διδασκάλων ἑωρακὼς ποιοῦντα. τινὲς μὲν γὰρ αὐτῶν ἐν ταῖς τοιαύταις τρώσεσι τὰ τοῦ δέρματος χείλη μόνα συνέῤῥαπτον, ἔνιοι δὲ κατὰ τὰ σαρκώδη τοὺς μῦς αὐτοὺς τολμῶντες ῥάπτειν, ἐπιπολῆς αὐτῶν ἐποιοῦντο τὴν συναγωγήν, ὥστε εἴ ποτε μέχρι βάθους συχνοῦ τὸ τραῦμα διῆκον ἐγεγόνει μὴ κατὰ τὸ μῆκος τοῦ κώλου, τὸ μὲν ἐπιπολῆς τοῦ μυὸς κολλᾶσθαι, τὸ δ' ἄλλο πᾶν ἀκόλλητον μένειν. ἐπὶ μὲν γὰρ

platus enim gladiatorum quendam ex iis, quos equites nominant, transverſam diviſionem in priore ac inferiore femoris parte habentem eamque ſatis altam, ac vulneris labrum intuitus, ſurſum alterum revulſum, infra alterum quaſi ad patellam detractum, non dubitavi diſtantes invicem muſculorum partes futuris contrahere, curatione illa, quae per latitudinem dicitur, neglecta. Itaque veritus tendines ipſis conſuere, denudatis prius illis ſic altioribus futuris uſus ſum, haud ignarus carnoſam ipſam muſculorum partem periculo vacare, tendines vero non item, quamvis hoc nullum ex praeceptoribus facientem viderim. Quidam ſiquidem ipſorum in hujusmodi vulneribus ſolas cutis oras conſuebant, nonnulli in carnoſis partibus muſculos ipſos ſuere auſi, id in ſuperficie ipſorum facere ſolebant, proinde ſi quando vulnus inſigniter altum non ſecundum membri longitudinem contigerit, ſummam quidem muſculi partem glutinabant, reliquam vero totam inglutinatam relinquebant.

Ed. Chart. XIII. [709] Ed. Baſ. II. (350.)

τῶν κατὰ τὸ μῆκος τοῦ κώλου τραυμάτων ἡ ἐπίδεσις ἱκανὴ συναγαγεῖν ἀλλήλοις τὰ μέρη τοῦ τετρωμένου μυός· ἐφ' ὧν δὲ ἐγκάρσιον γίγνεται τὸ τραυμα, τῆς ἐπιδέσεως οὐδὲν ὠφελῆσαι δυναμένης, ἐκ μόνης τῆς ῥαφῆς τὸ σύμπαν περαίνεται. ταῦτ' οὖν ἐὰν μὴ διὰ βάθους ποιῆταί τις, ἀκόλλητα διαμένει τὰ κατὰ τόδε μέρη τοῦ μυός. ἐπιτευχθέντος δέ μοι τοῦ ἔργου, μιγνύμενοί τινες ταὐτὸ τῶν ἀπείρων ἀνατομῆς ἁπάντων μυῶν ὑποδέρουσι τοὺς ὑποκειμένους ὑμένας, οὐκ εἰδότες ἀκινδύνως μὲν τούτους ἅμα τοῖς μυσὶ συῤῥάπτεσθαι, κινδυνωδέστατα δὲ τοὺς ὁμοίως αὐτοῖς πεπλατυσμένους τένοντας. ἀλλ' ὅπως ἂν αὐτοὶ πλατυνθῶσιν, ὅμως ἔτι παχύτεροί τε τῶν ὑμένων εἰσὶ καὶ σκληρότεροι. λεπτοὺς δ' ἱκανῶς τένοντας ὄψει κἀν τοῖς κατ' ἐπιγάστριον μυσὶν ἅπασι πλὴν δυοῖν τῶν ὀρθίων, οἷς αἱ τῶν λοξῶν ὑμενώδεις ἀπονευρώσεις ἐπιβέβληνται. ἄλλος δὲ τένων οὐδεὶς παρὰ τοὺς εἰρημένους ὑμενωδῶς πλατύνεται. διασώζουσι γὰρ ἅπαντες οἱ πλατυνόμενοι πάχος ἱκανὸν, ὡς μηδένα λαθεῖν. ἤ γε μὴν συμπάθεια τῶν ὑπερκειμένων μερῶν ἄχρι τῆς ἀρχῆς τῶν

Etenim in vulneribus juxta membri longitudinem factis deligatura vulnerati muſculi partibus invicem contrahendis ſufficit, per transverſum vulneri accepto, cum deligatura nihil prodeſſe poſſit, ex ſola futura totum abſolvitur, has igitur niſi quis altas faciat, muſculi in profundo partes inglutinatae permanent. Caeterum nonnulli opus a me confectum imitantes anatomes imperiti ab omnibus muſculis ſubjectas membranas avellunt, neſcientes has ſimul cum muſculis tuto conſui, tendines autem ſimiliter ipſis dilatatos non mediocri cum periculo. Verum quomodocunque illi dilatati fuerint, tamen craſſiores adhuc durioresque membranis ſunt, tenues abunde illos videbis et in omnibus juxta abdomen muſculis, praeterquam duobus rectis, quibus obliquorum membranoſae aponeuroſes, ii ſunt nervoſi ex musculis exortus, incumbunt. Alius tendo nullus praeter enumeratos membranae modo dilatatur, quippe ſervant omnes, qui dilatantur craſſitudinem magnam ſatis, ut neminem latere queant. Atqui conſenſus ſuperpoſitarum partium usque

Ed. Chart. XIII. [719. 720.] Ed. Baſ. II. (350.)

νεύρων αὐτῆς οὐδὲν ἧττον τοῖς κατὰ τὸ πέρας τοῦ μηροῦ τοῖς τε εἰς τὸν ἀγκῶνα τοῦ πήχεως ἐνδυομένοις μυσὶ καὶ τοῖς εἰς τὴν πτέρναν γίγνεται. πλατύνονται μὲν οὖν ἑκατέροις οἱ τένοντες, ἀλλὰ μετὰ τοῦ φυλάττειν πάχος ἀξιόλογον, ἐπὶ δὲ τῆς πτέρνης ἔτι μᾶλλον, ὁ καθήκων ἐκ τῆς γαστροκνημίας τένων εὔρωστός τε φαίνεται καὶ παχὺς, ὡς ἂν ἐκ τριῶν ἀπονευρώσεων συγκείμενος. ἐλελήθει δὲ καὶ τοῦτο τοὺς ἐμοῦ πρεσβυτέρους ἀνατομικοὺς, ὥσπερ καὶ ἄλλα πολλὰ κατά τε τοὺς μῦς ὅλους καὶ πολὺ μᾶλλον ἔτι κατὰ φλέβας τε καὶ ἀρτηρίας καὶ νεῦρα. πολλοὶ δὲ καὶ ἤδη τῶν ἐμῶν ἑταίρων ἴσασιν ἅπαντα ταῦτα καὶ δεικνύουσι τοῖς μαθηταῖς, ἀναγινωσκομένων τῶν ἐμῶν ἀνατομικῶν βιβλίων. ἐμνημόνευσα δὲ τῶν ἐξ ἀνατομῆς φαινομένων οὐδὲν, ὡς ἄν τις ὑπολάβοι, [720] κοινὸν ἐχόντων τῇ περὶ συνθέσεως φαρμάκων πραγματείᾳ, διὸ δ' ἐκ τῆς τοιαύτης ἀγνοίας ἁμαρτάνοντας ἤτοι γε ὑποπτεῦσαι τὴν ἀγωγὴν ὅλην ἢ μάτην ἀποδέρειν τοὺς ὑμένας εὐλαβουμένους τὴν ἐξ αὐτῶν ὧν ὑπονοοῦσι ψευδῶς ἐσομένην βλάβην· ὥσπερ ἕτεροί τινες οὐκ

ad ipſum nervorum principium non minus quam iis, qui juxta femoris articulum, muſculis tum in cubiti gibberum tum in calcaneum inſertis, accidit. Dilatantur itaque utriusque tendines, ſed ita, ut craſſitudinem notandam retineant, calcis tendo ex ſura deſcendens magis adhuc robuſtus craſſusque ceu ex tribus nervoſis exporrectionibus compoſitus apparet. Latuit autem hoc aetate nobis majores anatomicos, ſicut et pleraque alia in totis muſculis, ac multo etiam magis in venis, arteriis et nervis. Multi vero jam ex meis ſodalibus etiamnum haec omnia noverunt et diſcipulis oſtendunt, libris meis anatomicis perlectis. Memini ſane ex anatome evidentium nihil, ut quis putaverit, commune cum opere de medicamentis componendis habentium, timens ne ex hujusmodi inſcitia errantes vel univerſam curandi rationem ſuſpectam haberent vel fruſtra membranas avellerent fugientes inde, ſicut falſo exiſtimant, noxam futuram. Quemadmodum alii quidam, quum non valeant ligamenta

Ed. Chart. XIII. [720.] Ed. Baſ. II. (350. 351.)

εἰδότες γνωρίζειν τοὺς συνδέσμους, ὁμοίως ὑποπτεύουσι τοῖς νεύροις τε καὶ τένουσι τιτρωσκομένοις, (351) ἀκινδύνους ὄντας αὐτοὺς, ὅτι ἂν πάσχωσιν, ὡς ἀναισθήτους τε ὄντας, ἐξ ὀστῶν τε τὴν γένεσιν ἔχοντας, οὐκ ἐκ μυῶν, ὥσπερ οἱ τένοντες, ἢ ἐξ ἐγκεφάλου καὶ νωτιαίου, καθάπερ τὰ νεῦρα. κάλλιστα τοίνυν ὥσπερ ἄλλα πολλὰ καὶ ἐπὶ τούτων εἰρήκασιν ἰατροὶ πολλοὶ τῶν δοκιμωτάτων, ὡς ἀλλήλων δεῖται τὰ μέρη τῆς ἰατρικῆς, τό τε χειρουργικὸν λέγω καὶ φαρμακευτικὸν καὶ διαιτητικὸν, καὶ μάλιστά γε τὸ κατὰ χειρουργίαν ἀμφοτέρων τῶν ἄλλων. ἐὰν οὖν ἐπὶ τῶν πιθήκων ἴδῃς πολλάκις ἑκάστου τένοντος καὶ νεύρου θέσιν τε καὶ μέγεθος, ἀκριβῶς μνήσῃ, κἂν ἀνθρώπου ποτὲ σώματος ἀνατομῆς εὐπορήσῃς, ἕκαστον ὡς ἐτεθέασο ταχέως εὑρεῖν. ἀγύμναστος δὲ παντάπασιν ὢν οὐδὲν ἂν ἐκ τῆς τοιαύτης εὐπορίας ὠφεληθείης, ὥσπερ οὐδ' οἱ κατὰ τὸν Γερμανικὸν πόλεμον ἰατροὶ ἔχοντες ἐξουσίαν ἀνατομῆς σωμάτων βαρβαρικῶν ἔμαθόν τι πλέον ὧν οἱ μάγειροι γινώσκουσιν. ἡ μὲν γὰρ τῶν ἐμπειρικῶν κατὰ περίπτωσιν ἀνατομὴ λῆρός ἐστι μακρὸς, ὅμοιος

cognoſcere, ea tanquam nervos et tendines vulneratos ſuſpecta habens, a periculo alioquin remota, quomodocunque afficiantur, utpote inſenſilia et ex oſſibus, non ex muſculis ſicut tendines orta vel ex cerebro ſpinalique medulla, ut nervi. Optime igitur velut alia pleraque etiam in his permulti medici clariſſimi dixerunt, medicinae partes mutuam opem requirere, eam dico chirurgicem quae manu, pharmaceuticen quae medicamentis et diaeteticen quae victu medetur, ac ſane maxime illam, quae manu curat reliquis duabus indigere. Itaque ſi frequenter in ſimiis cujusque tendinis et nervi poſitum ac magnitudinem contempleris, exacte poteris, etiam ſi humani corporis incidendi copia tibi unquam ſuppetet, ſingula ut vidiſti celeriter invenire; quod ſi inexercitatus omnino facias, nihil inde promovebis. Quemadmodum nec medici bello Germanico, barbarorum corporum inſectionis poteſtatem habentes amplius quippiam didicerunt iis quae coqui intelligunt. Etenim empiricorum anatome caſu contingens prolixum nugamentum eſt, ſimile

Ed. Chart. XIII. [720] Ed. Baſ. II. (351.)

ταῖς παρακεντουμέναις αἰξὶν ὁλοσχοίνοις ὀξείαις. ἔτι δὲ ληρωδεστέρα ταύτης ἡ διὰ τῶν ἀνατομικῶν συγγραμμάτων μάθησις ἐοικυῖα τοῖς κατὰ τὴν παροιμίαν λεγομένοις ἐκ βιβλίου κυβερνήταις. ὅπου γὰρ οἱ θεασάμενοι σαφῶς ὑπὸ διδασκάλου δεικνύμενα τὰ κατὰ τὸ σῶμα νεῦρα καὶ τοὺς τένοντας αὐτῶν, εἰ μὴ καὶ δεύτερον ἴδοιεν αὐτὰ καὶ τρίτον καὶ πολλάκις ἐφεξῆς, οὐ μνημονεύουσιν ἀκριβῶς τὸν τόπον ἐν ᾧ κεῖνται, σχολῇ δ' ἄν τις ἀναγνοὺς δυνηθείη μαθεῖν. ὁ γοῦν τῶν καθ' ἡμᾶς ἐμπειρικῶν ἄριστος ἀνεγνωκὼς τὰ πάντα τῶν ἀνατομικῶν βιβλία, νύξαντός ποτε γραφείῳ παιδίου ἐν διδασκαλείῳ κατὰ τὴν ἐντὸς τοῦ βραχίονος χώραν, ὑπεράνω τῶν μέσων αὐτοῦ μερῶν, ἐπιθεὶς τῶν ἐμπλάστρων φαρμάκων οὖ πεῖραν ἔναγχος ἐσχήκει τεθεραπευκότος νευρότρωτον ἀφλέγμαντόν τε καὶ ἀνώδυνον ὁρῶν ἐπ' αὐτῷ τὸ παιδίον, ᾤετο τεθεραπεῦσθαι τελέως, ἀλλ' ἐξαίφνης γε κατὰ τὴν ἑβδόμην ἡμέραν ἀπέθανε σπασθέν. ὡς οὖν ὡς δυσαιτιολόγητόν τε καὶ ἄπορον διηγεῖτό μοι τὸ γεγονὸς, ἀξιωσαντός μου τὴν γραφὴν ἀναγνῶναι τῆς τοῦ φαρμάκου

capris quae juncis manualibus conpunguntur. Hac nugacior eſt ex libris anatomicis inſtitutio non abſimilis iis, qui ſecundum paroemiam ex libro gubernare dicuntur. Quandoquidem enim contemplati palam a praeceptore oſtenſos in corpore nervos et tendines ipſorum, niſi denuo eos videant et tertium et ſaepius deinceps, loci accurate, in quo poſiti ſunt non meminere, multo minus ex lectione poterunt addiſcere. Itaque hujus tempeſtatis empiricorum optimus, quum libros omnes anatomicorum perlegiſſet, puerum ſtilo in interiore brachii regione, ſupra medias ipſius partes, in ſchola quandoque punctum medicamento emplaſtico curare aggreſſus eſt, cujus experientiam ex nervi vulnere curatio paulo ante acceperat, puerumque ob id ab inflammatione ac dolore immunem videns, in totum curatum putabat, verum repetente ſeptimo die convulſus periit. Ille igitur quum factum, quaſi cujus ratio aut cauſa dari non facile poſſet, nobis recenſeret, ego vero medicamenti com

Ed. Chart. XIII. [720.] Ed. Baſ. II. (351.)

συνθέσεως, ὁ μὲν ἑτοίμως τοῦτ' ἔπραξεν, ἐγὼ δ' εὐθέως ἔφην αὐτῷ ταῦτα. μήτι μοι διηγούμενος ἄρτι τὰ συμβάντα τῷ νεοτρώτῳ παιδίῳ, πλέον ἄλλο τι τῇ διηγήσει προσέθηκας ἢ ὅτι πεῖραν ἐσχήκεις ἔναγχος τοῦ φαρμάκου θαυμαστῶς ἐκθεραπεύσαντος παῖδα νεότρωτον; ὡς δ' ὡμολόγει μηδὲν ἄλλο προστεθεικέναι τῷ λόγῳ, πάλιν οὖν, ἔφην, ἄκουσον παρ' ἐμοῦ λέγοντός σοι τὸ γεγενημένον. ἀξιόλογον ἦν τὸ τραῦμα τοῦ τὸ νεῦρον βαλόντος, ὃ φῂς ὑπὸ τοῦ φαρμάκου θεραπευθῆναι τούτου, καὶ θαῤῥῶν γε καὶ αὖθις αὐτῷ χρῶ κατὰ τῶν τοιούτων τραυμάτων. νύγματα δὲ νεύρων στενὴν ἔχοντα τὴν τοῦ δέρματος διαίρεσιν οὐχ οἷόν τε θεραπεύειν ἐστὶ φάρμακον τοιοῦτο, ὥσπερ οὐδὲ τὸ τὰ νύγματα θεραπεῦον αὐτῷ τῷ νεύρῳ γυμνῷ προσαγόμενον. ἔστι γὰρ πολὺ θερμότερόν τε καὶ δακνωδέστερον ἢ ὡς γυμνὸν νεῦρον ἀνασχέσθαι τῆς ὑπ' αὐτοῦ δήξεώς τε καὶ φλογώσεως. ἔνθα μέντοι καὶ δέρμα καὶ ὑμὴν ἐπ' αὐτῷ καί που καὶ σὰρξ πρόκειται τὸ δακκῶδες φάρμακον, ἐὰν καὶ λεπτομερὲς ᾖ, τὴν αὐτὴν θεραπείαν ἐργάζεται πρὸς τὸ νεῦρον, ἣν τὸ σὸν φάρ-

poſitionis ſcripturam recitaret poſtulaſſem, ei quum id ſtatim egiſſet, haec protinus ſubjeci, nunquid recenſendo, quae puero nervum vulnerato contigerunt, plus aliquid narrationi adjeciſti quam quod medicamenti mirifice puerum recens vulneratum curatis experimentum habueras? Ut autem ille conſeſſus eſt, nil ſe aliud ſermoni addidiſſe, rurſus igitur, inquam, audi a me quid geſtum ſit. Notabile vulnus erat nervi percuſſi, quod medicamento hoc curatum eſſe dicis, et quidem audacter in id genus vulneribus iterum eo utitor, puncturas autem nervorum anguſtam cutis diviſionem habentes tale medicamentum ſanare non poteſt, ſicut nec id quod puncturis medendis dicatum eſt, ipſi nervo nudo adhibitum, quippe multo calidius eſt magisque mordet quam ut nudus nervus mordicationem ejus et ardorem ſuſtineat. Ubi vero et cutis et membrana ſuper ipſo, item caro praepoſita eſt, mordax medicamentum, ſi tenuium etiam partium ſit, eadem ratione nervo medetur,

Ed. Chart. XIII. [720. 721.] Ed. Baſ. II. (351.)

μακον, ὅταν αὐτοῦ μόνου ψαύῃ γυμνοῦ τοῦ πεπονθότος νεύρου. χρὴ δὲ περὶ παντὸς ποιεῖσθαι τὸ στόμιον ἀνεῳχθαι τῶν στενῶν τυγμάτων, [721] ἵνα ἐξατμίζῃ δι' αὐτοῦ τὸ ἔξωθεν ἐπικείμενον θερμὸν φάρμακον, ἑλκτικὸν ὑπάρχον τῶν ἐν τῷ βάθει, τὴν περὶ τὸ πεπονθὸς νεῦρον ὑγρότητα, ὥστε καὶ προσεπιτέμνειν ἐπὶ τῶν τοιούτων προσήκει τὸ στόμα τοῦ νύγματος, δύο τομαῖς κατὰ τὸ δέρμα τεμνούσαις ἀλλήλας κατ' ὀρθὰς γωνίας. ταῦτά τε οὖν εἶπον καὶ ἄλλα πολλὰ τῶν ἔμπροσθεν ἡμῖν εἰρημένων, τῷ κατὰ τὴν θεραπείαν τοῦ νευροτρώτου παιδίου σφαλέντι τοσοῦτον, ὡς διὰ τὴν μοχθηρὰν ἀγωγὴν σπασθῆναί τε καὶ ἀποθανεῖν αὐτό. πρόδηλον οὖν ὅτι καὶ ἡ τοῦ νενυγμένου μορίου φύσις ἐνδείξεται ποτὲ μὲν ἀκίνδυνον εἶναι τὸ νύγμα, ποτὲ δ' ὕποπτον, ὅταν ἴδωμεν ὑποκείμενον νεῦρον, ὡς ἐπὶ τοῦ κατὰ τὸν βραχίονα νυγέντος παιδός. οὐ γὰρ οἷόν τε λόγῳ τὸν τόπον ἑρμηνεῦσαι, καθ' ὃν ἐπιβαίνει τῷ βραχίονι τὰ διὰ τῆς μασχάλης εἰς ὅλην ἀφικνούμενα τὴν χεῖρα, καὶ θαυμάσαι γ' ἐστὶ κἂν τούτῳ τὴν τῶν ἐμπειρικῶν φιλονεικίαν, ἐπὶ μὲν τῶν ἄλλων ἁπάν-

qua medicamentum tuum, quando ipſum ſolum nudum nervum affectum contigerit. Praecipua autem danda opera eſt ut orae anguſtiorum punctuum apertae ſint, ut calidum medicamentum extrinſecus applicatum per eas vapores educat, attrahens humiditatem circa affectum locum in alto latentem. Ob quam rem in id genus puncturis orificium duabus in cutem ſectionibus ſecundum rectos angulos dividere oportet. Atque tum haec, tum alia multa prius relata dixit ei, qui in pueri nervo vulnerati curatione erraverat adeo, ut ex prava medendi ratione ipſe convulſus interierit. Itaque omnes norunt etiam punctae partis naturam indicare nonnunquam vulnus absque periculo, nonnunquam ſuſpectum eſſe, quum nervum ſubjectum viderimus, ut in puero ad brachium puncto, non enim ſermone locus poteſt expri mi, ubi quae per alam in totam manum pertendunt, brachio inſeruntur. Et ſane hic quoque demirari eſt empiricorum litigandi ſtudium, qui quidem in aliis omnibus medicinae

Ed. Chart. XIII. [721.] Ed. Baſ. II. (351.)

των τὸν πολλάκις ἑωρακότα τῶν κατὰ τὴν ἰατρικὴν ἔργων ὁτιοῦν ἄμεινον αὐτὸ μιμεῖσθαι φασκόντων ἢ εἴπερ ὀλιγάκις ἑωρακὼς ἔτυχεν. ὡσαύτως δὲ καὶ τὸν ὁτιοῦν ποιοῦντα βέλτιον ἐνεργεῖν εἰ πολλάκις εἴη πεπραχὼς αὐτὸ, μόνα δὲ τὰ διὰ τῆς ἀνατομῆς εἰς γνῶσιν ἥκοντα, δύνασθαί τινα τὴν τῶν ἀνατομικῶν ἀνδρῶν ἱστορίαν ἀναγνόντα βεβαίως ἐπίστασθαι, ὅπου γε καὶ τῶν ἑωρακότων ὑπὸ διδασκάλου δεικνύμενα τὰ μόρια τοῦ σώματος οὐδείς ἐστιν ἱκανὸς ἅπαξ ἢ δὶς ἰδὼν ἀκριβῶς διαμνημονεύειν, ἀλλὰ χρὴ πολλάκις ἰδεῖν. οὐ μόνον δὲ μεγάλα νεῦρα διὰ τοῦ βάθους ὁδοιποροῦντα κατὰ πολλὰ μόρια τοῦ σώματός ἐστιν, ἀλλὰ καὶ τῶν εἰς μόνον τὸ δέρμα διανεμομένων οἷον ῥίζαι τινές εἰσιν, ἃς οἱ νυγέντες, ἐὰν μὴ καλῶς θεραπευθῶσι, συμπάθειαν ἴσχουσι τῶν ὑποκειμένων νεύρων μεγάλων, ἀφ' ὧν ἀποφύεται ταῦτα, περὶ ὧν ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσιν ἀκριβῶς ἔγραψα, παραλελειμμένων ἅπασι τοῖς πρὸ ἐμοῦ. καὶ ταύτας τὰς ῥίζας ἐὰν μὴ πολλάκις ἐπὶ τῶν πιθήκων ἴδῃ τις, ἀδύνατον αὐτῷ, κἂν εὐπορήσῃ ποτὲ ἀνθρωπείου σώματος εἰς ἀνατομὴν, ἀκριβῶς

opus quodlibet ſubinde contemplatum melius ipſum imitari concedunt, quam ſi raro viderit, itidem melius eum quolibet opere perfungi, ſi frequenter illi aſſueverit. Sola vero quae ex corporum inciſione cognoſcuntur poſſe quempiam firmiter aſſequi, modo anatomicorum virorum hiſtoriam perlegerit, quum vel ex iis, qui a praeceptore oſtenſas corporis partes conſpexerunt, nemo ſemel vel iterum ſpeculatus adamuſſim memoria tenere poſſit, ſed frequenter illum conſpicere convenit. Nervi autem non modo magni in alto partes multas corporis permeant, ſed in cutem quoque ſolam diſtributorum tanquam radices quaedam ſunt, in quibus vulnerati, niſi probe curentur, ſubjacentium nervorum magnorum conſenſus affectum obtinent, unde ii prodeunt, quos in anatomicis adminiſtrationibus accurate pertractavimus, ab omnibus, qui me praeceſſerunt, omiſſos. Atque has radices, niſi crebro in ſimiis ſueris intuitus, fieri non poteſt, ut quum humanum corpus in diſſectionem nactus ſueris, ex-

Ed. Chart. XIII. [721.] Ed. Baſ. II. (351.)

ἐξευρεῖν, ὥσπερ γε πολὺ μᾶλλον ἐπὶ τῆς κατὰ περίπτωσιν ἀνατομῆς, ἣν καὶ τραυματικὴν θέαν ὀνομάζουσιν, οὐχ οἷόν τε τόπον εὑρεῖν ἐκ μόνης ἀναγνώσεως. οὐ μὴν οὐδ' αὐτόπτην γενέσθαι τραυμάτων παμπόλλων οἷον τέ τινα, χωρὶς τῶν ἐν πολέμοις γινομένων, ἐφ' ὧν οὐδ' αὐτῶν οὐδεὶς ὑπεριδὼν τοῦ τάχιστα θεραπεύειν τὸν τετρωμένον ἐπισκέπτεται, ποῦ μὲν ὑπόκειται τοῖς τετρωμένοις μέρεσι νεῦρα, ποῦ δ' ἀρτηρίαι καὶ φλέβες. ὁρῶνται τοιγαροῦν ἐν ταῖς τῶν τοιούτων παθῶν θεραπείαις οἱ ἄπειροι τῶν ἐξ ἀνατομῆς φαινομένων, ἐοικότες τοῖς μετὰ σκίμποδος ὁδοιποροῦσι τυφλοῖς, καὶ διὰ τοῦτο σφάλλοντες μέγιστα. συνθεὶς δέ τις ἐξ αὐτῶν εἰς ταὐτὸν τήν τε τῶν μορίων ἐμπειρίαν ἐξ ἀνατομῆς ἐγνωσμένην καὶ τὴν ἐπὶ τῇ συνθέσει τε καὶ χρήσει τῶν φαρμάκων μέθοδον, ἀεὶ θεραπεύσει τοὺς νευροτρώτους, ὥσπερ ἡμεῖς ἄνευ κινδύνου παντὸς, ὡς μήτε συμπαθῆσαί τι τῶν κυριωτέρων μήτε φλεγμῆναι τὸ τετρωμένον ἢ τεθλασμένον νεῦρον. ὅπου δὲ ταῦτα, πολὺ μᾶλλον οὔτε σῆψιν οὔτε κύλλωσιν οὔτε σπασμὸν οὔτε θάνατον ἐπακολουθῆσαι.

acte deprehendas. Quemadmodum multo minus in anatome fortuita, quam et ſpeculationem vulnerariam nominant, locum ex ſola lectione invenire queas; quanquam nec aliquis permulta vulnera ipſemet inſpicere poterit, ſi ea excipias, quae in bello contingunt, in quibus et ipſis nemo, dum faucium cito curare ſtudet, contemplatur, ubi vulneratis partibus nervi, ubi arteriae venaeque ſubiaceant. Videntur itaque in hujusmodi affectuum curationibus anatomes imperiti ſimiles iis, qui iter in lectica caeci faciunt eoque vehementer errant. Verum qui inter ipſos et partium experientiam ex inciſione cognitam et methodum confectionis uſusque medicamentorum conjunxerit, is ſemper nervorum vulnera, uti nos, ſine omni periculo curaturus eſt, ut nec principalior ulla pars condoleat, nec vulneratus nervus aut contuſus inflammatione laboret, ubi jam haec ſunt, multo minus vel putredo vel claudicatio vel convulſio vel ipſa mors comitabitur.

Ed. Chart. XIII. [721. 722.] Ed. Baſ. II. (351. 352.)

Κεφ. γ'. [Αἱ διὰ τῶν μεταλλικῶν φαρμάκων συνθέσεις πρὸς νευροτρώτους.] Τῶν μεταλλικῶν φαρμάκων τὰ μὲν στύφοντα φευκτέον ἐστὶ καὶ μάλισθ' ὅταν ἐπὶ νύγματος ἡ χρῆσις γίγνηται τοῦ [722] *συντεθέντος φαρμάκου, τὰ δὲ ῥυπτικὴν ἔχοντα δύναμιν ὥσπερ ἡ λεπὶς τοῦ χαλκοῦ χρήσιμα. παχυμερῆ* (352) *δ' ὄντα πάντα τὰ μεταλλικά, πολὺ γὰρ ἐν ἑαυτοῖς ἔχει τῆς γεώδους οὐσίας, χρῄζει τινὸς ἐπιτεχνήσεως ἐν τῷ σκευάζεσθαι πρὸς τὸ λεπτομερέστερα γενέσθαι. ταύτην οὖν ἐπενόησα δι' ὄξους δριμυτάτου ποιεῖσθαι, καὶ μάλιστα ἐξ οἴνου μὴ αὐστηροῦ τὴν γένεσιν ἐσχηκότος, κἂν ἐκ μὴ τοιούτου δὲ γεγονὸς ᾖ, χρόνου δὲ ὑπάρχῃ συχνοῦ, χρηστέον αὐτῷ. πρόσεχε δὲ ἀκριβῶς ἐν τῇ γεύσει μή τί σοι δόξῃ κἂν ἐλάχιστον οἴνου ποιότητος ἐμφαίνειν. οὐ γὰρ ἔχει τὸ τοιοῦτον ὄξος ἰσχυρὰν τὴν διαβρωτικὴν καὶ τμητικὴν τῶν πλησιαζόντων δύναμιν. ἐν δὲ τῷ δριμυτάτῳ καὶ ὡς οἷόν τε παλαιοτάτῳ καὶ λεπτοτάτῳ κατὰ τὴν σύστασιν ὄξει λειοῦν χρὴ τὰ μεταλλικὰ τὸ παχὺ τῆς συστάσεως παραιτούμενον, ἄμεινον δὲ ἐν ἡλίῳ θερινῷ γίγνεσθαι*

Cap. III. [*Confectiones medicamentorum ex metallicis ad nervorum vulnera.*] Ex metallicis medicamentis aſtringentia vitare conſultum eſt, praeſertim ubi compoſiti medicamenti uſus in punctura eveniat, quae vero detergendi vim obtinent, ſicut aeris ſquama, ex uſu ſunt, caeterum omnia metallica, quum craſſiorum partium exiſtant, multum enim terreſtris ſubſtantiae in ſe continent, artificii nonnihil in praeparando requirunt, quo tenuiora fiant. Hoc igitur ex aceto facere quam acerrimo excogitavi, praeſertim quod ex vino non auſtero confectum eſt. Ac ſi ex tali non ſit, ſed admodum vetus, eo utitor. Attende tamen diligenter in guſtu, ne tibi minimam vini qualitatem referre videatur, tale quippe acetum validam exedendi incidendique vicina facultatem non habet. Jam vero metallica ex acerrimo et quam fieri poteſt vetuſtiſſimo ſubſtantiaque tenuiſſimo laevigare oportet eum, qui conſiſtentiae craſſitudinem devitat. Praeſtat autem id in ſole aeſtivo perfioere. Sunt

Ed. Chart. XIII. [722.] Ed. Baſ. II. (352.)

τὴν λείωσιν τῶν φαρμάκων. ἔνια μὲν οὐδὲ κοπῆναι δεῖται τῶν μεταλλικῶν οὔτε σεισθῆναι, λυόμενα ῥᾳδίως ὑπὸ του ὄξους, ὥσπερ ἡ χαλκῖτίς τε καὶ τὸ μίσυ, τινὰ δὲ χρήζει καὶ κοπῆναι καὶ σεισθῆναι, καθάπερ ἡ τοῦ χαλκοῦ λεπίς. ὁπότε μὲν οὖν τὸ πρῶτον ἐσκεύασα τὸ φάρμακον, ἐνέβαλον αὐτῷ καὶ ἀῤῥενικοῦ, μετὰ ταῦτα δὲ ἔδοξέ μοι περιττὸν εἶναι. καὶ γὰρ διὰ τῆς λεπίδος τοῦ χαλκοῦ καὶ τοῦ μίσυος καὶ τῆς χαλκίτεως αὐτάρκως ἐφαίνετό μοι συντεθήσεσθαι τὸ φάρμακον. ἔμιξα δὲ κατὰ τὴν πρώτην σύνθεσιν καὶ τὸν κεκαυμένον ἰὸν, ὑπώπτευσα γὰρ τὸν ἄκαυστον ὡς περαιτέρω τοῦ προσήκοντος δάκνοντα. μετὰ ταῦτα μέντοι καὶ ἄκαυστον ἔβαλον ὀλίγον, ὡς πρὸς τὴν τῶν ἄλλων ἀναλογίαν οὕτως δὲ καὶ τὴν χαλκῖτιν εἰ μὲν ὠμὴν ἐνέβαλλον, ὀλιγίστην ἔμισγον, εἰ δὲ καὶ κεκαυμένην, ἴσην τῷ μίσυϊ καὶ λεπίδι τοῦ χαλκοῦ. κάλλιον δ' ἁπάντων τῶν σκευασθέντων ἤλπισά τε καὶ διὰ τῆς πείρας εὗρον, ἐν ᾧ πλείστη μὲν ἡ τοῦ χαλκοῦ λεπὶς ἦν, δευτέρα δὲ ἡ κεκαυμένη χαλκῖτις, εἶτα μίσυ. λειούσθω δ' οὖν, ὡς ἔφην, ἐν ἡλίῳ θέρους ὥρᾳ πολ-

quidem ex metallicis, quae nec comminui nec cribrari poſtulant, quum facile ab aceto ſolvantur, ſicut chalcitis et miſy, nonnulla et contundi et cribrari et poſtea laevigari deſiderant, quemadmodum aeris ſquama. Quum igitur primum praepararem medicamentum, immiſcui ei et arſenicum, poſtea ſuperfluum eſſe putavi, etenim ex aeris ſquama et miſy et chalcitide medicamentum compoſitum iri abunde mihi ſatis videbatur. Miſcui autem prima confectione etiam aeruginem combuſtam, nam quae ignem experta non erat, tanquam juſto mordaciorem ſuſpicatus ſum, deinde tamen non uſtae pauxillum ſimul adieci, quantum aliorum portio ferebat. Pari modo chalcitidem ſane pauciſſimam, uſtam vero aequalem miſy et aeris ſquamae, indidi. Praeſtantius autem omnibus compoſitis fore ſperavi, imo etiam experientia deprehendi, in quo plurima aeris ſquama ineſſet, dein chalcitis combuſta, poſtea miſy. Quaecunque igitur miſcebis medicamenta, ad ſolem, ut dixi, aeſtivo

Ed. Chart. XIII. [722.] Ed. Baſ. II. (352.)

λαῖς ἐφεξῆς ἡμέραις ἅττ' ἂν μίξεις φάρμακα δι' ὄξους δριμυτάτου. ὅσῳ γὰρ ἐν πλείονι χρόνῳ λειωθῇ, τοσούτῳ γίγνεται λεπτομερέστερα καὶ διὰ τοῦτο χρησιμώτερα πρὸς τὰς στενὰς τρώσεις, ὡς ἐπί γε τῶν γεγυμνωμένων νεύρων φυλάττεσθαι χρὴ τὰ λίαν λεπτομερῆ τε καὶ διαβρωτικά. διὰ τοῦτο δὲ οἱ εἰρημένοι τροχίσκοι πᾶσι τοῖς τοιούτοις χρήσιμοι, προσειλήφασι γάρ τινα καὶ τῶν στυφόντων. ἔνδοξοι δ' αὐτῶν εἰσὶν ὅ τε τοῦ Ἀνδρωνος καὶ ὁ τοῦ Πολυείδους καὶ ὁ τοῦ Πασίωνος. ἔστι δὲ καὶ ἄλλος τις τέταρτος καὶ πέμπτος, οἷς ἐγὼ συνήθως χρῶμαι, τούτων ἰσχυρότερος. ῥηθήσονται δ' αὐτῶν αἱ ἀκριβεῖς συμμετρίαι προήκοντος τοῦ λόγου. νυνὶ μέντοι τοσοῦτον εἰρήσθω περὶ τῆς χρήσεως αὐτῶν, ὡς χρὴ λειωθέντας αὐτοὺς ξηροὺς μετὰ ταῦτα πάλιν ἐπιβαλόντα σίραιον οὕτως λειοῦν, ἄχρι τοῦ γλοιῶδές τε γενέσθαι τὸ φάρμακον καὶ λεῖον ὁμαλῶς. ὀνομάζουσι δὲ νῦν καὶ σίραιον τοῦτο παρ' ἡμῖν ἅπαντες, ἕψημα τοῦ γλεύκους ἑψομένου γινόμενον. ἔστω δὲ καὶ τοῦτο μηδὲν οἰνῶδες ἔχον. γίγνεται δὲ καὶ τοιοῦτον μήτε ἐξ αὐστηρῶν σταφυλῶν ὄντος τοῦ γλεύ-

tempore multis deinceps diebus in pulverem ex aceto quam acerrimo redigantur, quanto enim longiori tempore trita fuerint, hoc tenuiorem ſubſtantiam conſequentur. Ideoque anguſtis vulneribus aptiora, ſicut in nervis denudatis admodum tenuia exedendiaque cavenda ſunt, ob quod praedicti paſtilli omnibus id genus conveniunt, ſiquidem nonnulla aſtringentia quoque aſſumpſerunt. Porro celebres ex illis ſunt qui ad Andronem, Polyidam et Paſionem auctores referuntur. Sunt et alii quidam quartus et quintus, illis valentiores, quibus ego ſubinde utor. Symmetriae vero ipſorum perfectae ſermonis proceſſu dicentur. Nunc de eorundem uſu tantum explicaſſe ſufficiat, quod tritos ipſos aridos poſtea rurſus ſapa adiecta, ita terere convenit, donec ſordium ſpiſſitudinem recipiat medicamentum et aequaliter laeve ſiat. Vocant autem nunc omnes apud nos et ſiraeon, ex muſto decocto natum, id autem nihil vinoſum habeat, quale non ex auſterarum uvarum, ſed quam maxi-

Ed. Chart. XIII. [722. 723.] Ed. Baſ. II. (352.)

κους, ἀλλ' ὡς ἔνι μάλιστα γλυκειῶν, μήτε ἐκ τοῦ πρώτου ῥέοντος, ἀλλ' ἐκ τοῦ τελευταίου. εἰ μὲν οὖν εἴη τὸ γλεῦκος τοιοῦτον, ἔψειν αὐτὸ χρὴ μέχρις ἂν ἥμισυ λειφθῇ τοῦ κατὰ τὴν ἀρχὴν ἐμβληθέντος· εἰ δὲ μὴ τοιοῦτον, μέχρι τοῦ τὸ τρίτον ἀπολειφθῆναι καθεψητέον ἐστί. τοιούτῳ μὲν ἐψήματι διαλύειν χρὴ τοὺς τροχίσκους, ὥστε μελιτώδη σύστασιν ἔχοντας ἀναληφθέντας μοτοῖς, ἐπιτίθεσθαι τοῖς γεγυμνωμένοις νεύροις καὶ μάλιστα τοὺς μετριωτέρους αὐτῶν, ὁποῖός ἐστιν ὁ τοῦ Πολυείδους, καὶ πολὺ δὴ μᾶλλον, ἐὰν ἀπαλόσαρκον ᾖ τὸ σῶμα, καθ' ὃ καὶ τελέως ἀποχωρεῖν ἀσφαλέστερόν ἐστι τῆς τῶν τροχίσκων χρήσεως, ἑτέροις χρώμενον φαρμάκοις, ὑπὲρ ὧν ἤδη τε προείρηται καὶ αὖθις εἰρήσεται. [723] σκεπασθέντος δὲ τοῦ γεγυμνωμένου νεύρου τοῖς μοτοῖς ἔξωθεν ἐπιβλητέον ἔν τι τῶν πρὸς τὰς στενὰς τρώσεις ἁρμοττόντων, ὧν ἐστι τέτταρα γένη, τουτὶ μὲν ἓν τὸ διὰ τῶν μεταλλικῶν, ὑπὲρ οὗ πρόκειται λέγειν, ἕτερον δὲ τὸ διὰ τῶν ὀπῶν, ἐν οἷς ἐστι καὶ τὸ δι' εὐφορβίου, καὶ τρίτον τὸ διὰ τῆς κόπρου τῶν περιστερῶν, καὶ τέταρτον, ὃ καλῶ τὸ πρᾶον, ᾧ καὶ πρὸς τὰ τελέως γεγυμνωμένα νεῦρα τῶν

me dulcium muſto praeparatur, neque ex primo fluentes, ſed poſtremo. Si igitur tale muſtum extiterit, coquendum eſt dum ad dimidiam partem menſurae conſumatur, ſin minus tale, ad tertias coquendum eſt. Huiusmodi quidem decocto paſtillos ſolvere expedit, ut mellis craſſitudine linamentis excepti, nervis denudatis imponantur, maximeque ex ipſis temperatiores, qualis Polyidae eſt. Ac multo ſane magis, ſi corpus ſit tenerum ac molliuſculum, in quo et prorſus a paſtillorum uſu te abſtinere tutius eſt aliis utentem medicamentis, de quibus jam ſermo factus eſt, iterumque fiet. Nervo autem nudo linamentis cooperto, extrinſecus unum aliquod ex iis, quae ad anguſta vulnera conveniunt, ſuperdandum eſt. Quorum ſunt quatuor genera, unum hoc quod ex metallicis conficitur, alterum quod ex liquoribus, inter quae refertur et illud, quod ex euphorbio conſtat, tertium ex columbarum ſtercore, et quartum praon id eſt mite a me appellatum, quo etiam ad nervos tenerorum corporum

Ed. Chart. XIII. [723.] Ed. Baſ. II. (352.)

ἁπαλοσάρκων σωμάτων χρῶμαι. τούτων τῶν τεττάρων ἕν τι περιβάλλειν χρὴ παντὶ τῷ πεπονθότι μορίῳ συνεπιλαμβάνοντα πολὺ καὶ τῶν ὑγιεινῶν μερῶν καὶ μάλιστα τῶν ὑπερκειμένων, οἷς καὶ τὴν κατάντλησιν ποιεῖσθαι χρὴ δὶς τῆς ἡμέρας ἢ τρὶς, ἐὰν ἐπείγῃ. καὶ μέντοι καὶ τῆς νυκτὸς ἐνίοτε τῶν μὲν μοτῶν ἐπικειμένων κατὰ τοῦ γεγυμνωμένου νεύρου, τοῦ δ' ἐπιβεβλημένου κατ' αὐτῶν ἔξωθεν αἰρομένου. παμπόλλης δ' οὔσης διαφορᾶς τῶν ἀνθρωπίνων σωμάτων κατά τε τὰς ἐξ ἀρχῆς αὐτῶν κράσεις καὶ τὰς τῶν ἡλικιῶν μεταβολὰς, ἔτι τε πρὸς τούτοις τὰ ἐπιτηδεύματα τὸ συντιθέμενον φάρμακον ἀδύνατον ἅπασιν ἁρμόττειν. ἔστω τοίνυν διὰ τοῦτό σοι δύο παρεσκευασμένα, τὸ μὲν ἕτερον ἰσχυρότερον τῶν ὁμογενῶν, τὸ δὲ ἕτερον πραότερον, ἃ μιγνὺς ἀλλήλοις ἐπὶ τῆς χρείας, ἐργάσῃ πάμπολλα τὰ μεταξὺ παρὰ τὸ ποσὸν τῆς μίξεως. ἐὰν γὰρ ἴσον ἑκατέρου μίξῃς, ἔσται σοι τὸ μιχθὲν ἀκριβῶς ἀμφοῖν μέσον. ἐὰν δὲ θατέρου πλέον, ἐπὶ τοσοῦτον ἀποκεχωρηκὸς τοῦ μέσου πρὸς ἐκεῖνο τῶν ἄκρων, ἐφ' ὅσον ἡ μίξις ὑπερέσχεν. ἔστω τοίνυν τὸ μὲν ἰσχυ-

omnino denudatos utor, ex his quatuor unum quoddam toti affectae parti circumdandum eſt ita ut ſanarum quoque partium multum una comprehendat, praeſertim ſuperpoſitarum, quas bis die vel ter, ſi neceſſitas incidit, perfuſione fovere oportet. Quin etiam nocte interim linamentis quidem denudato nervo impoſitis, caeterum eo, quod extrinſecus admotum erat, ablato. Porro quum permagna humanorum corporum ſit differentia, tum in nativis ipſorum temperamentis, tum aetatum mutationibus, inſuper vitae ſtudiis, nulla ratione, quod componitur medicamentum, omnibus convenire poteſt. Quamobrem duo in promptu habeto, alterum valentius ejusdem generis reliquis, alterum mitius, quibus invicem mixtis, dum uſus poſtulat, permulta inter haec media juxta mixturae quantitatem conſtituas. Si namque parem utriusque portionem conſuderis, mixtum exacte medium amborum erit, quod ſi alterius plus adiicias, tantum a medio ad illud ſummum recedet, quanto mixtura ſuperaverit. Eſto igitur valentiſſimum metallicum ex his

Ed. Chart. XIII. [723.] Ed. Baſ. II. (352.)

ρότατον τῶν μεταλλικῶν ἐκ τούτων συγκείμενον· ἓν μὲν ἐχέτω μέρος τῆς ὠμῆς χαλκίτεως, δύο δὲ τοῦ μίσυος ὡσαύτως ὠμοῦ, τρία δὲ τῆς τοῦ χαλκοῦ λεπίδος· τὸ δ' ἀσθενέστατον, ἓν μὲν ὡσαύτως μίσυός τε καὶ χαλκίτεως, ἀλλὰ κεκαυμένων ἀμφοτέρων, τῆς δὲ λεπίδος τέτταρα. καὶ μέντοι καὶ μέσον ἀμφοῖν, ᾧ κέχρημαι πολλάκις, ἔστω τοιόνδε. μίσυος καὶ χαλκίτεως καὶ ἰοῦ, κεκαυμένων ἁπάντων ἓν ἑκάστου μέρος, τῆς δὲ λεπίδος τοῦ χαλκοῦ μέρη τρία. τούτοις οὖν ὡς προείρηκα λειωθεῖσι μιγνύσθω κηροῦ κατὰ μὲν τὸ ἰσχυρότατον τὸ διπλάσιον, κατὰ δὲ τὸ ἀσθενέσταιον δύο καὶ ἥμισυ μέρη, κατὰ δὲ τὸ μέσον ὃ μεταξὺ τούτων ἐστὶ μέρη δύο καὶ τέταρτον οἷον ἐπὶ τοῦ πρώτου γεγραμμένου τῶν τριῶν, ὅπερ ἰσχυρότατον ἔφην εἶναι, τὰ πάντα μέρη γίγνεται τὸν ἀριθμὸν ἐκ μίσυος καὶ χαλκίτεως καὶ λεπίδος ἀθροιζόμενα ἕξ. τούτοις οὖν ἐπιβαλεῖς κηροῦ μέρη ιβ'. κατὰ δὲ τὸ ἀσθενέστατον, ἐὰν ἕξ ᾖ μέρη τῶν μεταλλικῶν, μέρη ιβ'. βάλλῃς κηροῦ, τὸ μεταξὺ δὲ ἐπὶ τοῦ μέσου. μεταξὺ δ' ἔτι τῶν ὀκτωκαίδεκα καὶ δώδεκα τὰ πέντε καὶ δέκα. ἐάν τε οὖν ⊀ α'. ὑποθῇς τὸ ἓν εἶναι μέρος ἁπάντων δηλονότι, το-

conſtructum, unam partem crudae chalcitidis habens, duas miſyos ſimiliter crudi, tres aeris ſquamae, invalidiſſimum unam itidem miſyos et chalcitidis, ſed utriusque combuſti, ſquamae quatuor. At vero amborum medium, quo ſubinde uſus ſum, tale eſto, miſyos, chalcitidis, aeruginis, cujusque uſti pars una, aeris ſquamae partes tres. His ſicut praedixi contritis, cerae in valentiſſimo duplum, in altero duae partes et ſ. miſcentur, in medio, quod intra haec conſtitit, partes duae et quarta, ſicut in primo trium, quod valentiſſimum eſſe dixi, omnes partes numero ſex, ex miſy, chalcitide et ſquama collectae, naſcuntur. His ergo duodecim cerae partes adjicientur. At in medicamento invalidisſimo ſi metallicorum ſex partes exiſtant, cerae duodecim apponas, in mediocri amborum medium, ſunt autem inter octodecim et duodecim media quinque et decem. Sive igitur drach. j ſtatuas unam eſſe partem, omnium videlicet,

Ed. Chart. XIII. [723.] Ed. Baſ. II. (352. 353.)

σαύτας βάλλῃς δραχμὰς, ὅσα περ τὰ μέρη, ἐάν τε οὐγγίαν ἢ λίτραν, οὕτω γὰρ εἴθισται παρὰ τοῖς Ῥωμαίοις ὀνομάζεσθαι, τοσαύτας οὐγγίας ἢ λίτρας. ἔστι δὲ παρ' αὐτοῖς μέτρον, ᾧ τὸ ἔλαιον μετροῦσιν ἐντετμημένον γραμμαῖς διαιρούσαις τὸ σύμπαν εἰς μέρη ιβ'. καὶ καλεῖται μὲν τὸ ὅλον μέτρον ὑπ' αὐτῶν λίτρα, τὸ δωδέκατον δ' αὐτῆς οὐγγία. τὰ μὲν οὖν μεταλλικὰ καὶ ὁ κηρὸς ἐπὶ ζυγοῦ δι' ἑτέρας οὐγγίας ἵσταται, τὸ δ' ἔλαιον τῷ κέρατι μετρεῖται. βαλλέσθω τοίνυν εἰς τὰ προειρημένα φάρμακα πάντα κατὰ τὴν ἀναλογίαν τοῦ κηροῦ τὸ ἔλαιον, ἐν ἅπασιν αὐτοῖς τὸ ἥμισυ πλεονάζον, ὥστε ἐὰν ὁ κηρὸς ᾖ γο η'. τὸ ἔλαιον βάλλεται γο ιβ'. τουτέστιν ὅλην τὴν λίτραν. ἔστω δὲ (353) τὸ ἔλαιον ὅμοιον τῷ Σαβίνῳ λεπτομερές τε καὶ στύψεως ἥκιστα μετέχον. ἄμεινον δ' εἰ καὶ παλαιὸν εἴη. τὸ δ' ὠμοτριβὲς ὀνομαζόμενον καὶ τὸ μετὰ θαλλῶν ἐλαίας ἐσκευασμένον οὐκ ἐπιτήδειον. ἅπασι δὲ τοῖς εἰρημένοις φαρμάκοις, ὅταν ἐν τῇ θυείᾳ τὰ μεταλλικὰ πλείοσιν ἡμέραις τριφθῇ μετ' ὄξους, ἐπεμβαλλέσθω λιβανωτὸς ὁ λευκότατός τε καὶ λιπαρὸς,

tot denarios adjicito, quot partes, ſive unciam, ſive libram, ſic enim apud Romanos conſuetudo eſt nominari tot uncias vel libras. Porro menſura quidem apud ipſos eſt, qua oleum metiuntur, inſecta diſcretaque lineis totam in duodecim partes dividentibus, atque integra menſura ab eis libra nominatur, duodecima vero ejus portio uncia. Metallica igitur et cera in lance aliis unciis ponderantur, oleum cornu metiuntur. Itaque praedictis medicamentis omnibus juxta cerae proportionem oleum immittatur, ſuperetque in ſingulis ipſis dimidio, ut ſi cera uncias viij. compleat, oleum duodecim, hoc eſt integram libram pendat. Eſto autem id ſabino ſimile, partium tenuiorum, minimeque aſtringens, at etiam ſi vetus ſit, praeſtat, acerbum vero et quod ex oleae ſurculis confectum eſt, nequaquam convenit. Caeterum omnibus medicamentis commemoratis, ubi metallica ex aceto pluribus diebus in mortario trita fuerint, thus candidiſſimum et pingue admiſceatur, deinde rurſus una cum

Ed. Chart. XIII. [724.] Ed. Baſ. II. (353.)

[724] εἶτα πάλιν ἅμα τοῖς μεταλλικοῖς λειούσθω τινὰς ἡμέρας, πρὶν τὴν κηρωτὴν αὐτοῖς ἐπιμίγνυσθαι. ὅσον δ' ἂν ἐξ ἁπάντων τῶν μεταλλικῶν ἀθροίζηται πλῆθος, τούτου τὸ ἥμισυ μέρος ὁ λιβανωτὸς ἐχέτω. εἰ δὲ μαλακώτερον ἐθέλοις ποιῆσαι τὸ φάρμακον, ἐμβάλλειν πλέον ἢ κατὰ τὸ ἥμισυ, καθάπερ εἰ καὶ δριμύτερον, ἔλαττον ἢ τὸ ἥμισυ. καὶ μέντοι καὶ τηκομένῳ τῷ κηρῷ μετὰ τοῦ ἐλαίου τῶν εἰρημένων ῥητινῶν τινος ἐπιβάλλειν ἔξεστιν, εἰδότος σου δριμύτερον μὲν αὐτὸ γενέσθαι τῆς στροβιλίνης ἐμβληθείσης, μαλακώτερον δὲ τῆς τερμινθίνης, μέσον δ' ἀμφοῖν τῆς ἐλατίνης. ἐκ δὲ τοῦ γένους τῶν ῥητινῶν ἐστι καὶ ἡ λάριξ ὀνομαζομένη τοὐπίπαν μὲν ὑγροτέρα τῶν προειρημένων οὖσα, παραπλησία δὲ κατὰ τὴν σύστασιν τῇ ὑγρᾷ πευκίνῃ, ἣν ἀντὶ τῆς τερμινθίνης πιπράσκουσιν οἱ ῥωποπῶλαι τοῖς οὐκ εἰδόσι διακρίνειν αὐτάς. ἔστι δ' ἡ τοιαύτη ῥητίνη καὶ τῇ ὀσμῇ καὶ τῇ γεύσει καὶ τῇ δυνάμει δριμυτέρα τῆς τερμινθίνης. ταύτῃ τε οὖν τῇ ῥητίνῃ καὶ τῇ τερμινθίνῃ παραπλησίαν ἔχει δύναμιν ἡ λάριξ ὀνομαζομένη, λεπτομερεστέρα δ' αὐτῶν ἐστι καὶ διαφορητικωτέρα. μίξεις οὖν τῷ κηρῷ τῶν εἰρημένων ῥητινῶν

metallicis diebus aliquot laevigetur, priusquam ceratum eis immiſceas. Quanta vero ex omnibus metallicis copia colligitur, hujus partem dimidiam thus contineat, quod ſi mollius medicamentum facere poſtulas, amplius quam dimidiam, ſicut ubi acrius expetis, minus dimidio adjungas. Et vero etiam cerae cum oleo liquatae reſinam quandam ex iis, quas recenſuimus, miſceas licet, ſciens acrius ipſum adiecta ſtrobilina, fieri, mollius terebinthina, medium utriusque abietina. Ex harum genere larix quoque eſt, praedictis plane humidior, conſiſtentia vero ſimilis liquidae piceae, quam loco terebinthinae inſtitores vendunt ignorantibus eas diſcernere, eſt autem talis reſina odore, guſtu et facultate, quam terebinthina acrior. Cum hac igitur et terebinthina perſimilem potentiam larix obtinet, ſed tenuioribus partibus majoreque diſcutiendi virtute praedita eſt. Miſcebis igitur cerae ſextam ſuperiorum reſinarum partem, volens

Ed. Chart. XIII. [724.] Ed. Baſ. II. (353.)

βουλόμενος ἐμπλαστρῶδες γενέσθαι τὸ φάρμακον ἕκτον μέρος, ὡς ἐὰν τοῦ κηροῦ βάλῃς λίτραν α'. τῆς ῥητίνης ἐμβαλεῖς γο β'. εἰ δ' εἴη λίαν ὑγρὰ, καὶ μίαν ἀρκέσει μόνην μῖξαι. μὴ φροντίζων μέντοι τοῦ γενέσθαι τό φάρμακον ἐμπλαστρῶδες, οὐ πάνυ τι δεήσει τὴν ῥητίνην μιγνύναι αὐτῷ. καὶ χαλβάνης δὲ μίγνυε πάντως, ἔνθα μέντοι πρόκειται πρᾳότατον ἐργάσασθαι τὸ φάρμακον, ἴσον τῷ κατὰ τὸν λιβανωτὸν σταθμῷ. ἔνθα δ' ἰσχυρότερον, τὸ ἥμισυ. κατὰ δὲ τὸ μέσον ἀμφοῖν, τὸ μεταξὺ τοῦ τ' ἴσου καὶ τοῦ ἡμίσεως, οἷον εἰ τέτταρες εἶεν αἱ τοῦ λιβανωτοῦ δραχμαὶ, δύο μὲν ἐμβαλεῖς τῆς χαλβάνης ἰσχυρὸν διαμεῖναι τὸ φάρμακον βουλόμενος, πρᾷον δὲ τέσσαρας, τρεῖς δὲ μέσον. ὥσπερ γὰρ ἔχει τι μαλακὸν καὶ ἀνώδυνον, οὕτω καὶ σηπτικόν. τοῦτο δὲ ὑπάρχει καὶ τοῖς πλείστοις τῶν μαλακτικῶν. διὸ καὶ γεγυμνωμένῳ τῷ νεύρῳ προσφέροντός σου τὸ φάρμακον οὐ πάνυ τι μεμίχθαι χρὴ τὴν χαλβάνην, ἄνευ δὲ γυμνώσεως οὐ σμικρῶς χρησιμος ἡ μίξις αὐτῆς, εἰς ἀνωδυνίαν συντελοῦσα. καὶ τοίνυν ἔνεστοί σοι καὶ τοιοῦτον φάρμακον ἔχειν ἕτοιμον ἐπὶ τῶν εὐαισθήτων τε καὶ ἀπαλοσάρκων καὶ κακοχύμων, ἐν ᾧ πλέον

medicamentum emplaſtri ſiguram induere, nam uni cerae libram, reſinae uncias duas adjicias, ſin autem liquida inſigniter fuerit, vel unam tantum miſcere ſatis eſt. Attamen ſi, ut in modum emplaſtri medicamentum fiat, nihil curas, reſinam addere non admodum opus eſt, galbani vero aequale thuri pondus indes, ubi mitiſſimum reddere medicamentum ſtatuis, dum valentius, dimidium, quando ipſorum medium, id quod inter aequale et dimidium eſt. Verbi gratia, ſi quatuor thuris drachmae fuerint, duas galbani impones, validum permanere medicamentum poſtulans, mite, quatuor, medium, tres. Ut enim molle et dolorem levans quippiam habet, ita quoque putrificum, quod ſane et plurimis mollientibus accidit. Quare quum nervo denudato medicamentum adhibes, non adeo galbanum eſſe commixtum oportet, quod ſi nudus ille non eſt, haud mediocriter ipſius admixtio dolori auferendo convenit, ideoque tale etiam medicamentum acuto ſenſu praeditis, teneris et cacochymis paratum habere

Ed. Chart. XIII. [724.] Ed. Baſ. II. (353.)

ἐστὶ τῆς χαλβάνης. ἅπαντα γὰρ τὰ μεταλλικὰ τραχυντικά τ' ἐστὶ καὶ ὀδυνηρά. καὶ τῶν ὑγρῶν ὄξος. εἰκότως οὖν τὰ δι' αὐτῶν σκευαζόμενα φάρμακα τραχέα τε φαίνεται καὶ ὀδυνηρά. καὶ διὰ τοῦτο αὐτοῖς ἐπιτήδειός ἐστιν ἥ τε δι' ἐλαίου κατάντλησις ἥ τε μίξις τῆς χαλβάνης ὁμοίως. ἔστι δ' οὐδὲν ἧττον χαλβάνης ἀνώδυνον τὸ λεπτομερὲς στέαρ. ἔχειν οὖν ἀξιῶ σέ τι καὶ διὰ τούτων ἐσκευασμένον ἕτερον φάρμακον, ὃ μιγνύναι δυνήσῃ τῷ διὰ τῶν μεταλλικῶν, ἐπί τε τῶν εἰρημένων σωμάτων, ὅσα τε ἄλλα τραχέος τε καὶ ὀδυνηροῦ τοῦ φαρμάκου λάβῃ ποτὲ αἴσθησιν. ἐκλέγεσθαι δὲ καὶ τούτων ὅσα λεπτομερέστερα, τοιαῦτα δ' ἐστὶ τά τε τῶν ἀγρίων ζώων καὶ μάλιστα λέοντός τε καὶ παρδάλεως καὶ ὑαίνης καὶ ἄρκτου, τά τε τῶν πτηνῶν καὶ μάλιστα τῶν χηνῶν. εἰ δὲ μὴ παρείη τοῦτο, τῶν ἀγροίκων ἀλεκτρυόνων τε καὶ ἀλεκτορίδων. οὕτω δὲ καὶ τὸ τῶν ἀγροίκων χηνῶν στέαρ προαιρεῖσθαι. τῶν γὰρ ἐν ταῖς πόλεσι τρεφομένων ζώων, ὡς ἂν ἀργῶν κατακεκλεισμένων, ὑγρότερόν τέ ἐστι καὶ παχυμερέστερον τὸ στέαρ. ὅταν δ' ἡ σύστασις τοῦ φαρμάκου κηρωτοει-

expedit, in quo plus galbani adjectum ſit. Omnia ſiquidem metallica exaſperant, doloremque concitant, et ex liquidis acetum, unde merito ex illis confecta medicamenta aſpera videntur et dolorifica, ob quam rem et fotus ex oleo et galbani mixtura ſimiliter ipſis idonea eſt, nihilo autem minus tenuium partium adeps galbano dolorem ſedat. Quare velim te aliud quoque medicamentum ex his aliquod praeparatum habere, quod ex metallicis compoſito miſcere poſſis, tum in dictis corporibus, tum in iis, quae aſperum et dolorificum quandoque medicamentum perceperint. Deligendus autem adeps, qui tenuiorum partium exiſtat, cujusmodi ſunt agreſtium animantium, maxime leonis, pardi, hyaenae et urſi, ad haec volatilium, maxime anſerum, horum inopia agreſtium gallorum gallinarumque, ita vero anſerum quoque ſilveſtrium, nam animalium, quae in urbibus aluntur et tanquam in ocio concluſa ſunt, humidior eſt adeps et craſſior. Caeterum quo medicamenti conſiſtentia cerati ſpiſſitu-

Ed. Chart. XIII. [724. 725.] Ed. Baf. II. (353.)

δὴς ἧ, μιγνύσθω κηροῦ τὸ τρίτον ἢ τέταρτον ἢ, εἰ λίαν ὑγρὸν εἶναί σοι φαίνοιτο τὸ στέαρ, ἐγχωρεῖ καὶ τὸ ἥμισυ τοῦ κηροῦ μίξαι, ὥσπερ γε εἰ καὶ ξηρὸν εἴη, τὸ τέταρτον. εἰ δὲ μέσος ἔχει, τὸ τρίτον. εἰς πολλὰ δὲ χρήσιμος ἡμῖν ἡ τοιαύτη κηρωτὴ μέλλουσα γενήσεσθαι διὰ στεάτων ὀνομαζέσθω.

[725] Κεφ. δ'. [*Περὶ τοῦ δι' εὐφορβίου συντιθεμένου φαρμάκου.*] Δέλεκταί μοι καὶ πρόσθεν ὡς ἀπολείπεται πάμπολυ τοῦ νέου τὸ παλαιὸν εὐφόρβιον. ἂν μὲν οὖν αὐτοετὲς ἧ, καὶ τοῦ Κυρηναίου μᾶλλον ὀποῦ θερμαίνει καὶ μάλιστα τοῦ νῦν, ἐξ ὅτου δι' ὕδατος ἀρδεύσεως αὐξάνουσί τε τὰ φυτὰ καὶ πρὸς πλῆθος ὀποῦ γενέσεως παρασκευάζουσι μετ' ἐνιαυτὸν γὰρ ἕνα θερμὸν ἱκανῶς ἐστι, λείπεται δὲ ἤδη συχνῷ τοῦ προσφάτου. δυοῖν δὲ ἐτῶν γενόμενον, ἔτι δὴ καὶ πλέον ἀπολείπεται τοῦ νέου, καθάπερ γε τριῶν ἢ τεττάρων ἔτι μᾶλλον. εἰ δέ τι τούτων χρονιώτερον εἴη, παντάπασιν ἡ δύναμις αὐτοῦ καταλύεται. γνωριεῖς δ', ὡς ἔφην, ὅπως ἔχει χρόνου καὶ δυνάμεως, εἴς τε τὴν χρόαν ἀφορῶν αὐτοῦ καὶ τὴν σύστασιν. τῇ μὲν γὰρ χρόᾳ ξανθότερον καὶ ὠχρό-

dinem habeat, cerae tertia vel quarta pars admiſceatur, vel ſi adeps humidus nimium eſſe tibi videatur, licet et cerae dimidium adjicere, quemadmodum et ubi ſicca fuerit, quartam, quum mediocriter habeat, tertiam. Porro hujusmodi ceratum, quod utile nobis futurum eſt, ex ſevis nominetur.

Cap. IV. [*De medicamento quod ex euphorbio componitur.*] Dictum mihi eſt et antea vetus euphorbium recentiori multo inferius. Si igitur anniculum ſit, etiam Cyrenaeo magis liquore calefacit, praeſertim eo, quem nunc habemus, ex quo per aquae irrigationem ſtirpes augent et ad liquoris copiam generandam praeparant. Nam poſt annum unum abunde calidum eſt, deficit autem jam non mediocriter a recenti, bimum adhuc magis a novo degenerat, quemadmodum trium aut quatuor annorum etiam hoc magis, vetuſtioris virtus omnino reſolvitur. Cognoſces autem, ut dixi, quam aetatem, quamque vim obtineat et colorem et conſiſtentiam ejus reſpiciens. Colore quidem vetus novo

Ed. Chart. XIII. [725.] Ed. Baſ. II. (353.)

τερον φαίνεται τοῦ νέου τὸ παλαιὸν, τῇ συστάσει δὲ σκληρόν τε καὶ ξηρότερον. εἰ μέντοι γευόμενος ἐθέλοις διακρίνειν, οὐ στοχαστικὴν, ἀλλὰ βεβαίαν ἕξεις τὴν διάγνωσιν αὐτοῦ. ὃ δὲ ἔφην αὐτοσχεδιάσαι δι' αὐτοῦ χρίσμα θερμαντικὸν, ἀκριβέστατά σοι δηλώσει τὴν δύναμιν τοῦ φαρμάκου. σύγκειται δὲ κατὰ τήνδε τὴν συμμετρίαν. ἓν μέν ἐστι μέρος τοῦ εὐφορβίου, τρία δὲ τοῦ κηροῦ, τοῦ δὲ ἐλαίου ιβ'. τριπλάσιον μὲν εἶναι χρὴ τοῦ εὐφορβίου τὸν κηρόν. αὐτοῦ δὲ πάλιν τοῦ κηροῦ τετραπλάσιον τὸ ἔλαιον. ὅταν οὖν οὕτω συνθῇς τὸ φάρμακον, ἀνατρίψας τι μέρος αὐτῷ δυνήσῃ γνῶναι σαφῶς ὁπόσην δύναμιν ἔχει. μάλιστα δὲ ἐν τῷ βαλανείῳ καταφανὲς γίγνεται. δάκνονται γὰρ καὶ ὑπὸ τοῦ ἀέρος μὲν, ἀλλ' ἔτι καὶ μᾶλλον ὑπὸ τοῦ ὕδατος ἰσχυρῶς, ὅταν ᾖ θερμὸν καὶ νέον καὶ ἰσχυρὸν τὸ εὐφόρβιον. ἐὰν μὲν οὖν ἔχῃς τοιοῦτον καὶ αὐτὸ τοῦτο τὸ εἰρημένον χρῖσμα, θαῤῥῶν ἐπιτίθει τοῖς νύγμασιν, ἐφ' ὧν εὐλαβῇ μύσαι τὸ στόμιον. ἐὰν δὲ ἀσθενέστερον ᾖ, προστίθει τῷ σταθμῷ τοῦ εὐφορβίου κατὰ τὴν ἀναλογίαν τῆς ἀσθενείας, ἐνίοτε μὲν ἓν ἥμισυ μέρος

flavius pallidiusque apparet, conſiſtentia durius et ſiccius. Jam ſi guſtu voles diſcernere non conjecturalem ejus dignotionem, ſed firmam habiturus es, quod vero dixi calefactoriam unctionem ex eo me confeciſſe ex temporali uſu exigente, exactiſſime medicamenti facultatem tibi indicabit. Conſtat autem hac ſymmetria. Una pars eſt euphorbii, tres cerae, olei duodecim, ceram quidem euphorbio triplo copioſiorem, oleum vero quam ipſa cera, quadruplo eſſe convenit. Ubi igitur in hunc modum medicamentum compoſueris, fricata eo parte aliqua, manifeſto licebit dignoſcas quantam virtutem obtineat, maxime autem in balneo innoteſcit, ſiquidem ab aëre quidem mordentur, ſed magis adhuc valide ab aqua, quum euphorbium ſit calidum, recens et vehemens. Tale igitur conſequutus et hanc ipſam commemoratam unctionem audacter puncturis imponito, ubi oras connivere metus eſt. Si imbecillius fuerit, auge menſuram euphorbii pro imbecillitatis ratione, interdum partem

Ed. Chart. XIII. [725.] Ed. Baſ. II. (353. 354.)

ἐμβάλλων, ἔστι δ' ὅτε δύο, καὶ ποτὲ ἴσον τῷ κηρῷ καὶ πλεῖον, ἐὰν λίαν ᾖ παλαιόν. ἥ γε μὴν πρώτη χρῆσις ἐπὶ τοῦ νεννυμένου τὸ νεῦρον ἢ τὸν τένοντα ποδηγήσει σε πρὸς τὴν δευτέραν. ἐὰν μὲν γὰρ αὐτός τε ὁ τετρωμένος φησὶ δεδῆχθαι, σοί τ' αὐτῷ φαίνηται τὰ περὶ τὸ νύγμα θερμὰ καὶ αὐτὸ τὸ νύγμα πλέον ἢ δεῖ ἐπηρμένον, ὑποφλεγμαῖνόν τε τοῖς χείλεσιν, ἤτοι γε ἐκλύσεις τοῦ φαρμάκου τὴν δύναμιν ἐλαίου μίξει πλέονος ἢ συνθεὶς ἄλλο κατὰ προτέραν συμμετρίαν ἢ δι' εὐφορβίου παλαιοτέρου σύμμετρον οὕτως ἐργάσῃ. ἐὰν δὲ τὰ ἐναντία τῶν εἰρημένων παρῇ, παραυξήσεις τοῦ φαρμάκου τὴν δύναμιν. ἐὰν δὲ συμμέτρως ἔχειν ἅπαντα φαίνηται, φυλάξεις. ἡ μὲν οὖν τριπλάσιον ἔχουσα τὸν κηρὸν τοῦ εὐφορβίου σύνθεσις ἰσχυροτάτη τῶν ἄλλων ἐστὶν, ὅταν γε, ὡς εἴρηται, νέον ᾖ τὸ εὐφόρβιον· ἡ δὲ πενταπλάσιον ἀσθενεστάτη, μέση δ' ἀμφοῖν ἡ τετραπλάσιον ἔχουσα τὸν κηρὸν τοῦ εὐφορβίου. τὸ δὲ ἔλαιον εἰ μὲν (354) οἷα τὰ καλούμενα πρὸς τῶν ἰατρῶν ἄκοπα χρίσματα βούλοιο ποιῆσαι, τετραπλάσιον ἐμβαλεῖς τοῦ κηροῦ· εἰ δ' οἵαν ἐπὶ τῶν καταγμά-

unam ac dimidiam injiciens, interdum duas, nonnunquam etiam pares cerae et plures, ſi vetus nimium extiterit. Primus ſane uſus in puncto nervum vel tendonem ad ſecundum te deducet. Si namque et vulneratus ipſe mordicationem ſenſiſſe dicat, tibique ipſi partes puncturam ambientes calidae appareant, tum ipſa punctura magis ac par eſt elata et orae inflammatione ſubafficiantur vel olei copioſioris mixtura vim medicamenti remittes, vel compones aliud ad priorem ſymmetriam aut euphorbio vetuſtiore moderatum ita efficies. Quod ſi contrario quam dixi eveniat, virtutem medicamenti adaugebis. Sin mediocriter omnia habere videbuntur, ſervabis. Itaque confectura ceram triplo euphorbio copioſiorem continens aliarum eſt valentiſſima, quum illud, quemadmodnm diximus, recens additur, quincuplo autem habens invalidiſſima, quadruplo capiens medio inter utrasque ordine conſiſtit. At ſi unguenta proponis efficere, qualia a medicis acopa, id eſt laſſitudinem levantia, nuncupantur, oleum cerae quadruplum immiſcebis, ſi vero

Ed. Chart. XIII. [725. 726.] Ed. Baſ. II. (354.)

των τὴν ὑγρὰν κηρωτὴν ἐργαζόμεθα διπλάσιον· εἰ δὲ καὶ ξηρὸς καὶ ἀλιπὴς ὁ κηρὸς εἴη, καὶ πλέον τοῦ διπλασίου. τοὐπίπαν δ' ἀρκέσει προσθεῖναι μέρους ἑνὸς τὸ ἥμισυ τῷ διπλασίῳ, ὡς γενέσθαι τὸ πᾶν μέτρον τοῦ κηροῦ δυοῖν καὶ ἡμίσεων μερῶν. ἐμπλαστρῶδες δὲ ποιῆσαι βουληθεὶς τὸ φάρμακον τῷ κηρῷ μίξεις τὸ ἴσον ἔλαιον. ἐὰν δὲ τὸ περιέχον ᾖ σύμμετρον κατὰ θερμότητα, ὅ τε κηρὸς παλαιὸς καὶ αὐχμηρὸς τό τε περιέχον ψυχρὸν, ὀλίγῳ πλέον, ὥσπερ γε καὶ ἐὰν ὅ τε κηρὸς ᾖ λιπαρὸς τό τε περιέχον θερμὸν, ἔλαττον ὀλίγῳ. [726] *τὸ δ' ὀλίγον τοῦτο δωδέκατόν ἐστι μέρος ἑφ' ἑκάτερα τοῦ μέσου. καὶ γὰρ καὶ ἕνδεκα καὶ δεκατρεῖς ἐλαίου οὐγγίας ποτὲ ἔμιξα τῇ λίτρᾳ τοῦ κηροῦ κατὰ τὸ ποσὸν τῆς τε συστάσεως αὐτοῦ καὶ τῆς τοῦ περιέχοντος θερμότητός τε καὶ ψύξεως. σπανίως δὲ βραχεῖ πλέον ἢ ἔλαττον· ἵνα δ' ἐπίδεσιν ἔχῃ καὶ λιπαρότητα καὶ γλισχρότητα καὶ μὴ ψαθυρὸν ᾖ, μηδ' εὐδιάλυτον μηδ' εὐαπόπτωτον τοῦ χρωτὸς τὸ σκευασθὲν, ἐπέμιξα ῥητίνης αὐτῷ, μάλιστα μὲν εἰ παρείη τερμινθίνης ἀληθοῦς, εἰ δὲ μὴ, τῆς γε εὐποριστοτάτης, ἣν ὀνο-*

ut in fracturis liquidum ceratum parare, duplum, quando cera et ſicca et pinguitudinis expers fuerit, etiam amplius quam duplum, plerumque vero ſufficit unius partis dimidium duplo apponere, ut tota cerae menſura duarum partium et dimidiae fiat. Atqui in modum emplaſtri medicamentum cupiens componere, oleum pari menſura cerae miſcebis, ſiquidem ambiens fuerit calore temperatus, ſin cera vetus et arida et ille frigidus ſit, paulo amplius, ſicut quum cera eſt pinguis, ambiens calidus, paulo minus. Id autem minus duodecima utroque verſum medii portio eſt, etenim et undecim et tredecim nonnunquam olei uncias cerae librae miſcui tum pro ejus conſiſtentiae quantitate tum aëris circumfluí caloris frigorisque. Raro autem paulo plus vel minus, verum ut colligationem, pinguedinem lentoremque haberet nec friabile eſſet aut facile diſſolveretur aut a cute decideret, adjunxi reſinam ei potiſſimum, ſi aderat, terebinthinam veram, ſin minus paratiſſimam ubique, quam frictam

Ed. Chart. XIII. [726.] Ed. Baſ. II. (364.)

μάζουσι φρυκτήν τε καὶ κολοφωνίαν. ἔστω δ' ἴσος αὐτῆς ὁ σταθμὸς τῷ κηρῷ. φυλάττει γὰρ οἷς ἂν ἐμβληθῇ φαρμάκοις τὴν προϋπάρχουσαν σύστασιν, ὅταν γε καὶ αὕτη συμμέτρως ἔχῃ. πρόδηλον γὰρ ὅτι καθάπερ ἐν ἅπασι τοῖς ἄλλοις, οὕτω κἀν τῇ ῥητίνῃ τὸ μᾶλλον καὶ ἧττόν ἐστιν. ἐὰν οὖν ποτὲ φαίνηται λιπαρωτέρα τε καὶ ὑγροτέρα, γινώσκειν χρὴ τὴν ἐκ τοῦ κηροῦ τετηκότος ἐλαίῳ γενησομένην κηρωτὴν ἑαυτῆς ὑγροτέραν ἐσομένην. ὅλως δ' ἐπὶ νευροτρώτων, ὅταν ἁμαρτάνηταί ποτε τῆς ἀκριβοῦς τε καὶ μέσης συστάσεως τῶν ἐμπλαστρωδῶν φαρμάκων, ἐπὶ τὸ μαλακώτερον ἄμεινον ῥέπειν, εἰ καὶ μολῦνον ἔσεσθαι μέλλοι τὸ σκευασθέν. ὡσαύτως δὲ καὶ ἡ σύμμετρος τῇ συστάσει. πίττα δὲ φυλάττει τὴν τῆς κηρωτῆς σύστασιν. ἀρίστη δ', ὡς ἔφην, εἰς τὴν τοιαύτην μίξιν ἡ λιπαρά, καθάπερ γε καὶ ἡ ῥητίνη. ἐὰν δ' ὑγρὰν ἐμβάλλῃς ῥητίνην, ὁποία κατὰ τὴν σύστασίν ἐστιν ἡ τερμινθίνη, τρίτον αὐτῆς μέρος εἶναι τοῦ κηροῦ προσήκει, καὶ αὐτῆς δὲ τῆς τερμινθίνης ἡ νέα πολὺ τῆς παλαιᾶς ἐστιν ὑγροτέρα. μέμνησθε τοίνυν ὅπερ ἐπὶ κηροῦ καὶ ῥητίνης ἠκού-

et colophoniam appellant, eamque pari cum cerae pondere. Conſervat enim medicamentis quibus injecta eſt priorem conſiſtentiam, ubi et ipſa mediocriter habeat, quippe notum eſt, ut in omnibus aliis, ſic in reſina quoque majoris minorisque rationem conſiſtere. Itaque ſi pinguior liquidiorque nonnunquam appareat, ſciendum eſt ceratum, quod ex cera cum oleo liquata proveniet, liquidius multo quam fuiſſet evaſurum, ſummatim in nervorum vulneribus, quum interim ab exacta mediaque medicamentorum emplaſtri modo confectorum conſiſtentia erratum fuerit, ad molliorem potius tendere, ſi inquinaturum quoque ſit, quod confectum eſt, ſimili ratione et quod conſiſtentia mediocri eſt. Pix autem cerati conſiſtentiam ſervat, optima vero ſicut dictum eſt, in talem mixturam pinguis exiſtit, quemadmodum et reſina. Si liquidam reſinam injicias, quali conſiſtentia eſt terebinthina, tertiam ipſius partem cerae eſſe oportet. Atque ipſa terebinthina recens veteri longe eſt liquidior. Mementote igitur, quod de cera et reſina audiviſtis, id in omnibus ob-

Ed. Chart. XIII. [726.] Ed. Baſ. II. (354.)

σατε, τοῦτο ἐπὶ πάντων φυλάττειν. οὐ γὰρ τῶν ξηρῶν καὶ αὐχμηρῶν ἢ διὰ χρόνον ἢ διὰ τὴν ἐξ ἀρχῆς φύσιν, ἀλλὰ τῶν συμμέτρων τῇ συστάσει τοσοῦτον ἑκάστου μικτέον ἐστὶν ἐν τῇ συνθέσει τῶν φαρμάκων, ὅσον ἂν ὑπ' ἐμοῦ γεγραμμένον εὑρίσκηται. ἔστω δὴ τὸ συμμέτρως ἔχον δυνάμεώς τε καὶ συστάσεως τοῦ προκειμένου φαρμάκου, κηροῦ μὲν καὶ ῥητίνης φρυκτῆς καὶ ἐλαίου τὸ ἴσον ἔχειν, αὐτοῦ δὲ τοῦ εὐφορβίου τὸ ἕκτον, ὡς εἶναι λίτραν μὲν ἐκείνων ἑκάστου, τοῦ δὲ εὐφορβίου δύο οὐγγίας. εἰ δὲ μαλακώτερον αὐτὸ ποιῆσαι βουληθείημεν, ἀρκεῖ τὸ ὄγδοον μέρος ἐμβάλλειν τοῦ εὐφορβίου, τουτέστιν γο α'. καὶ ἡμίσειαν, ἐπὶ τοῦ νέου καὶ θερμοτάτου, καθότι προεῖπον εὐφορβίου τῆς συμμετρίας ταύτης ὡρισμένης, ὡς ἐάν γε παλαιότερον ᾖ, καὶ διὰ τοῦτο ἀσθενέστερον, εἴρηται πρόσθεν ὡς πλέον εἶναι προσήκει τοῦτο τῆς τῶν ἄλλων ἀναλογίας. εἰ δὲ μὴ μόνης ῥητίνης, ἀλλὰ καὶ πίττης ἐμβάλλειν ἐθελήσαιμεν, ἡμίλιτρον ἑκατέρας μίξομεν, ὡς εἶναι ἴσον τὸν σταθμὸν τῷ κηρῷ. πολὺ δὲ κάλλιόν ἐστι τὸ φάρμακον, ἐὰν ἀντὶ τῆς ῥητίνης τε καὶ πίττης πρόπολιν μίξῃ τις ἴσην τῷ κηρῷ. τὸ λιπαρὸν δ' οὐκ ἐχού-

ſervare, nec enim ex ſiccis et aridis vel tempore vel ex primaria natura, verum ex mediocribus conſiſtentia, tantum cujusque miſcendum eſt in medicamentorum compoſitione, quantum a me ſcriptum inveniatur. Eſto igitur quod vim et ſubſtantiam praedicti medicamenti mediocrem habet, cerae, reſinae frictae et olei pares portiones continere, ipſius euphorbii ſextam, ut ſingulorum ſit illorum libra, euphorbii unciae duae. Quod ſi mollius ipſum reddere voluerimus, octavam euphorbii partem injicere ſufficit, hoc eſt unciam et dimidiam, in recente et calidiſſimo, velut praecenſui, euphorbio ſymmetria hac definita, nam ſi vetuſtius ſit eoque imbecillius, copioſius hoc aliorum portione eſſe debere prius indicavimus. At ſi non reſinam duntaxat imo etiam picem injicere eſt animus, ſelibram utriusque miſcebimus, ut modus cerae ſit aequalis, quamquam multo praeſtat medicamentum, ſi reſinae picisque loco propolim cerae parem adjungas. Quod ſi ipſa pinguedinem non ha-

Ed. Chart. XIII. [726. 727.] Ed. Baſ. II. (354.)

σης αὐτῆς ὁμοίως ταῖς ῥητίναις, ἐὰν μὲν ἀνεπίδετον ἐθελήσωμεν εἶναι τὸ φάρμακον, ἐμβαλοῦμεν τῆς τερμινθίνης ἢ τῆς λάρικος ὀνομαζομένης ἢ καὶ τῆς συγκομιστῆς πευκίνης. ὀνομάζω δὲ συγκομιστὴν μὲν ἣν ἐν τοῖς γλωσσοκομείοις τε καὶ κεραμείοις κομίζουσι, ξύλα τε πολλὰ καὶ λιθώδη σώματα καθ' ἑαυτὴν ἔχουσαν. ἐὰν δὲ τήξας αὐτὴν διηθήσῃς, καθαρὰ τότε γίνεται, ὁμοίως αὐτῇ τῇ κολοφωνίᾳ καὶ φρυκτῇ καλουμένῃ. καὶ τῶν αὐτορρύτων δὲ καλουμένων ῥητινῶν ἐγχωρεῖ μιγνύναι. καλοῦσι δ' αὐτὰς ἐν Λακεδαίμονι μὲν καί τισιν ἄλλοις χωρίοις πρωτορρύτους, ἐν Κιλικίᾳ δὲ καπνέλαιον ὀνομάζουσι τὴν τοιαύτην ῥητίνην, ἁπασῶν τῶν ὑγρῶν ῥητινῶν ὑγροτέραν τε καὶ θερμοτέραν καὶ λεπτομερεστέραν οὖσαν, ὥσθ' αὕτη μὲν συντελέσει τῇ τοῦ συντιθεμένου φαρμάκου δυνάμει, καὶ μάλιστ' αὐτὴν ἐμβάλλειν προσήκει, ὅταν ἄτονον ᾖ τὸ εὐφόρ[727]βιον. ἔστι δὲ καὶ τῶν ἄλλων ῥητινῶν εὐωδεστέρα, καθάπερ ἡ τερμινθίνη καὶ ἡ ἐλατίνη. λέλεκται δ' ἔμπροσθεν ὅτι θερμοτέρα ἐστὶ τῆς τερμινθίνης ἡ ἐλατίνη, ταύτης δὲ ἡ στροβιλίνη. διαφέρει δὲ τῶν εἰρημένων ῥητινῶν

beat ſimiliter reſinis, ſi adhaerens medicamentum, ut faſciis ligari non opus ſit, eſſe curemus, terebinthinam vel laricem nominatam vel etiam ſyncomiſten pineam indemus, voco ſyncomiſten, quam in alveis et doliis comportant ligna multa ac lapidoſa corpora in ſe habentem, quae liquata dum percolatur, pura tunc ſicut colophonia et fricta dicta redditur. Quin et reſinas autorrhytos, *ſponte fluentes* dictas admiſcere licet, nominant ipſas in Lacedaemone ac aliis regionibus nonnullis protorrhytos *primiſluas*, in Cilicia vero nuncupant talem reſinam capnelaeon, liquidis omnibus reſinis tum liquidiorem tum calidiorem tum partibus tenuioribus praeditam, quare potentiae quidem haec medicamenti, quod componis, conferet ac maxime injicienda, quum euphorbium roboris expers fuerit. Porro et inter alias reſinas odoratior eſt ſicut terebinthina et abietina. Enimvero dictum eſt antea terebinthina abietinam eſſe calidiorem, hac vero ſtrobilinam. Differt autem a praedictis

Ed. Chart. XIII. [727.] Ed. Baf. II. (354.)

τό τε στροβίλινον ὀνομαζόμενον φύσημα καὶ τὸ πιτύϊνον, ξηρὸν καὶ ἁλιπὲς καὶ αὐχμηρὸν ἑκάτερον ἐν τάχει γιγνόμενον, ὡς ἐν ὅλμῳ τε κόπτεσθαι καὶ διαττᾶσθαι κοσκίνῳ. διὰ τοῦτ᾽ οὖν ἄχρηστα μέν ἐστι ταῦτα πρὸς τὴν τοῦ προκειμένου σύνθεσιν φαρμάκου, συνεχέστατα δ᾽ ἐχρησάμην, ὅταν ᾖ τὸ εὐφόρβιον αὐτοετές. τῇ δὲ συνθέσει τοῦ ἐλαίου καὶ τοῦ κηροῦ καὶ τῆς φρυκτῆς ῥητίνης ἑκάστου λίτραν μίαν, ἡμίλιτρον δὲ τῆς λιπαρᾶς πίσσης. καὶ τούτοις τακεῖσιν εὐφορβίου μίγνυμι δύο οὐγγίας· εἰ δ᾽ ἀσθενέστερον εἴη, τρεῖς· εἰ δὲ τερμινθίνην ἐθέλοις μίξαι τῷ κηρῷ, μόνην· εἰς σύμμετρον αὐξήσεις τοῦ φαρμάκου σύστασιν, ἐὰν τριπλάσιος ὁ κηρὸς ᾖ, τῆς τερμινθίνης ὑγρᾶς καὶ νέας οὔσης. ἐξηρασμένης δ᾽ ὑπὸ χρόνου μίξεις ἐλαίου τὸ ἥμισυ του σταθμοῦ τῆς τερμινθίνης. ὅλον δὲ τοῦτο τὸ ἐκ τῶν τριῶν μιχθὲν, τοῦ τ᾽ ἐλαίου λέγω καὶ τοῦ κηροῦ καὶ τῆς τερμινθίνης, ὅταν γένηται λίτρας μίας καὶ ἡμισείας τοῦ εὐφορβίου τοῦ αὐτοετοῦς προσλήψεται μίαν οὐγγίαν· εἰ δὲ μὴ τοιοῦτον εἴη, μίαν καὶ ἡμίσειαν. ἐξ ὧν γ᾽ ἔμπροσθεν εἶπον ἤδη πολλάκις, ἔνεστιν ἡμῖν τὸ εὐφόρβιον αὔξειν ἀνάλογον τῷ χρόνῳ. καὶ

refinis quod vocatur ſtrobilinum phyſema et pityinum, adeo ſiccum, pinguedinis expers areſcensque utrumque celeriter, ut in pila contundatur et cribro ſecernatur, quare ad propoſiti medicamenti compoſitionem neutiquam haec conveniunt. Uſus tamen ſum frequentiſſime, quum euphorbium anniculum exiſteret. Porro dum componitur, olei, cerae, reſinae frictae ſingulorum libram j miſceto, picis pinguis ſelibram, et his liquefactis euphorbii uncias duas, ſi imbecillius ſit tres, ſi terebinthinam cerae adjicere voles, unam. Mediocrem medicamenti conſiſtentiam facies, ſi cera terebinthinam liquidam et recentem triplo ſuperet. Hujus vero exiccatae temporis ſpatio reſinae dimidium pondus oleo adaequato. Totum autem ex tribus mixtum, oleo inquam, cera et terebinthina, quum ſit librae unius ac ſemiſſis, euphorbii anniculi unciam unam accipiet, ſi tale non extiterit, unam et ſemiſſem. Unde, ſicut jam ſubinde dictavimus, euphorbium pro temporis ratione augere nobis eſt

Ed. Chart. XIII. [727.] Ed. Baſ. II. (354.)

μέντοι κἂν ἐπιτεθὲν τῷ τετρωμένῳ τὸ φάρμακον ἐν τῇ πρώτῃ χρήσει φαίνηταί πως ἀσθενέστερον, ἔνεστιν ἐλαίῳ τὸ εὐφόρβιον λειώσαντα μιγνύειν αὐτὸ τῷ ἐμπλαστρώδει φαρμάκῳ προμεμαλαγμένῳ κατὰ τὰς χεῖρας, οὕτως γὰρ ποιούντων, ἑτοίμως ἑνοῦται. κατ' αὐτὴν δὲ τὴν πρώτην σύνθεσιν τοῦ φαρμάκου κάλλιόν ἐστιν τὴν κηρωτὴν ἐξυσμένην, ἰδίᾳ προκατασκευάσαντα μιγνύειν οὕτω τῷ λελειωμένῳ μετὰ τοῦ ἐλαίου εὐφορβίῳ. καταχυθέντων γὰρ αὐτοῦ τῶν τετηκότων ἐν τῇ θυείᾳ, αἷς καλούμεναι πολλάκις ἐγκηρίδες γίγνονται καὶ μάλισθ' ὅταν ᾖ τὸ περιέχον ψυχρόν. ὕδατος δὲ βάλλειν τηκομένῳ τῷ κηρῷ μετὰ τῆς ῥητίνης οὐκ ἀναγκαῖον, ὡς ἐγὰ κατ' ἀρχὰς ἐποίουν ἐπιμιγνὺς αὐτῷ τοσοῦτον, ὅσον ἔμελλεν ἀναλίσκεσθαι κατ' αὐτὴν τὴν ἕψησιν.

Κεφ. ε'. [Τὸ διὰ τῶν τηκτῶν συντιθέμενον φάρμακον.] Τηκτὰ καλῶ φάρμακα τά τε διὰ πυρὸς ὁμιλίας τηκόμενα καὶ τὰ δι' ὑγρῶν τινῶν, οἷον ὕδατος, ὄξους, οἴνου. δι' ὄξους μὲν οὖν τήκεται πυρὸς χωρὶς ἀμμωνιακὸν θυμίαμα καὶ σαγαπηνὸς ὀπὸς, ὅτε τοῦ πάνακος ὁμοίως, ὃν ἐν συν-

integrum. Quin etiam ſi vulneri impoſitum medicamentum primo uſu videatur quodammodo imbecillius, euphorbium oleo laevigatum medicamento emplaſtroſo manibus ante ſubacto licet admiſcere; ſic enim nobis facientibus prompte unitatem accipit. Caeterum in prima medicamenti compoſitione ſatius eſt ceratum raſum, ſeorſum ubi praeparaveris, ita laevi facto euphorbio ex oleo admiſcere, quippe iis, quae liquata ſunt, ipſi ſuperfuſis in mortario plerumque fiunt cncerides nominatae, praeſertim ambiente frigido. Aquam vero cerae liquefactae cum reſina committere non eſt neceſſarium, ſicut ego ab initio factitabam tantum ei admiſcens, quantum in ipſa coctione conſumendum erat.

Cap. V. [*Medicamentum ex liquabilibus confectum.*] Liquabilia voco medicamenta tum quae ignis commercio colliquantur, tum quae ex humidis quibusdam, velut aqua, aceto et vino. Ex aceto itaque citra ignem liqueſcit gutta ammoniaci, ſagapeni liquor et panacis ſimiliter, quem ap-

Ed. Chart. XIII. [727. 728.] Ed. Baſ. II. (354. 355.)

θέτῳ προσηγορίᾳ καλοῦσιν ὀποπάνακα. διὰ πυρὸς δὲ πρόπολις, κηρὸς, ῥητίνη, λάδανον, στέαρ, χαλβάνη. βέλ(355)τιον δὲ ταύτην ἐπὶ διπλοῦ σκεύους τήκειν. ὀνομάζομεν δὲ οὕτως, ὅταν ἐν κακκάβῃ θερμὸν ὕδωρ ἐχούσῃ σκεῦος ἕτερον ἐνίσταται μετὰ τῶν τηκτῶν ἔχον καὶ τὴν χαλβάνην, ὑποκαιομένης τῆς κακκάβης. ἔστω δέ σοι καὶ τοιοῦτον ἐσκευασμένον τι φάρμακον, ἓν μὲν πάντως, ἄμεινον δὲ καὶ δύο. ἔσται δ' αὐτῶν τὸ μὲν ἰσχυρότερον τοιόνδε. ὀποπάνακα διαλύσας ὄξει λείωσον ἐπὶ πλέον, εἶτα τήξας ἐπὶ πυρὸς πρόπολίν τε καὶ χαλβάνην καὶ ῥητίνην τερμινθίνην μῖξον τῷ ὀποπάνακι. τῶν μὲν οὖν ἄλλων ἑκάστου μέρος ἓν ἔστω, τῆς δὲ προπόλεως ἓξ νέας τε καὶ λιπαρᾶς οὔσης. εἰ δὲ ξηρὰ καὶ παλαιὰ τύχοι, βέλτιον μὲν μηδ' ὅλως χρῆσθαι τῇ τοιαύτῃ· εἰ δὲ ἀπορίης τῆς ἑτέρας, δύο μέρη μίξεις οὐχ ἕν. εἰ δὲ μὴ παρείη σοι πρόπολις, ἀντ' αὐτῆς ἔμβαλλε λιπαρὰν πίτταν, οἵα ἐστὶν ἥ τε Βρυτία καὶ ἡ ἐκ τῶν κατὰ τὸν [728] Πόντον χωρίων κομιζομένη λιπαρά τε ἅμα καὶ εὐώδης, ἣν εἰς τὸ μέλαν ἀμαράκινον ἐμβάλλουσιν ὁποῖον ἔμπροσθεν ἅπαν ἐσκευ-

pellatione compoſita opopanacem vocant. Igni vero liqueſcunt propolis, cera, reſina, ladanum, ſevum, galbanum, verum hoc in duplici vaſe colliquare melius eſt. Nominamus autem ſic, quum in cacabo, qui aquam calidam habeat, prunis enim incumbit, vas alterum conſiſtit, praeter liquabilia etiam galbanum continens. Habeto autem tale quoddam confectum medicamentum ſaltem unum, etſi duo habere praeſtaret, quorum validius erit hujusmodi. Opopanacem ex aceto diſſolutum diutius conterito, huic poſtea liquefacta ſuper igne propolim, galbanum, reſinam terebinthinam miſceo. Singulorum itaque aliorum pars una eſto, propolis vero recentis pinguisque ſex, quod ſi ſicca vetusque contigerit, praeſtat omnino tali non uti, at ſi aliam non habes, duas portiones, non unam, miſcebis. Sin abſit propolis, ejus loco picem pinguem immitte, qualis eſt brutia, et quae ex regionibus circa Pontum apportatur, pinguis ſimul et odorata, quam in nigrum amaracinum injiciunt.

Ed. Chart. XIII. [728.] Ed. Baſ. II. (355.)

ἄζετο. νυνὶ γὰρ καὶ χωρὶς αὐτῆς ὑπόλευκον ἀμαράκινον συντιθέασιν. εἰ δὲ καὶ τῆς τοιαύτης ἀποροίης, τῇ ἄλλῃ χρῶ, μετὰ τοῦ καὶ τὴν τερμινθίνην ὡς εἴρηται διπλασιάζειν. ἐγὼ δέ ποτε καὶ μόνον ἐπέθηκα τὸ διὰ τῆς λιπαρᾶς πίττης φάρμακον, ᾧ καὶ πρὸς τοὺς λυσσοδήκτους χρῶμαι. μόνην γὰρ τοῦτο τὴν λιπαρὰν ἔχει πίτταν ἡψημένην ἐν ὄξει δριμεῖ κατὰ συμμετρίαν τοιάνδε. ξέστης εἷς Ῥωμαϊκὸς τοῦ ὄξους, μία δὲ λίτρα τῆς πίττης, τοῦ δ' ὀποπάνακος τὸ τέταρτον μέρος τῆς λίτρας, ὅπερ ἐστὶν γο γ'. τοῦτο τὸ φάρμακον οὐκ ἐᾷ τῶν λυσσοδήκτων συνουλωθῆναι τὸ ἕλκος. ἐπιτήδειον δ' ἐστὶ καὶ τοῖς νενυγμένοις νευρῶδές τι μόριον, οὐκ ἐῶν μύσαι τὸ στόμιον τοῦ νύγματος. ἀλλ' ἐπεὶ σκληρόν ἐστιν, ἐπὶ μόνων τῶν σκληρῶν σωμάτων αὐτῷ χρηστέον, ὁποῖα τά τε τῶν σκαπανέων εἰσὶ καὶ θεριστῶν. εἰ δὲ μόνον ὑμῶν τινι παρείη τοῦτο, τοῦ νενυγμένου παιδὸς ὄντος ἢ γυναικὸς ἢ ἁπαλοσάρκου τινὸς, ἔνεστι τήκειν αὐτὸ, μετά τινος τῶν διαφορητικῶν μύρων, ἀμαρακίνου τε καὶ ὀποβαλσάμου μάλιστα, δευτέρου δὲ ἰρίνου καὶ κομμαγηνοῦ, μὴ παρόντων

quale prius omne conficiebatur, nunc enim et ſine ea ſubalbidum amaracinum componunt. Quod ſi tali etiam careas alia utitor terebinthina ſicut praediximus duplicata. Ego nonnunquam vel ſolum medicamentum ex pingui pice confectum impoſui, quo etiam ad canum morſus utor. Hoc namque ſolam picem pinguem ex aceto acri coctam hujusmodi ſymmetria continet. Sectarium unum Romanum aceti lib. j, picis, opopanacis quadrantem, quod eſt unc. iij. Hoc medicamentum ulcus ex rabioſi morſu cicatricem ducere non ſinit, ſed punctis in nervoſa aliqua particula idoneum eſt, quippe quod puncturae oras connivere nequaquam permittat. Quoniam vero durum eſt, in duris ſolum corporibus eo utemur, qualia ſunt foſſorum et meſſorum. Sin autem puero vel muliere vel molliore corpore puncto, hoc tantum quispiam veſtrum praeſens habeat, idem cum unguento aliquo diſcuſſorio, amaracino maxime et opobalſamo, colliquare licet, deinde cum irino et comageno, haec ſi non

Ed. Chart. XIII. [728.] Ed. Baſ. II. (555.)

δὲ τούτων, λευκίνου τε καὶ σουσίνου καὶ κυπρίνου. καὶ τούτων δ' ἀπορῶν, ἐλαίῳ τῆξον αὐτὸ παλαιῷ, ἢ εἴπερ ἐν Ἀλεξανδρείᾳ τύχοις ὤν, κικίνῳ τε καὶ ῥαφανίνῳ, πλεῖστα γὰρ ταῦτα κατ' ἐκείνην τὴν πόλιν ἐστὶν, ὥσπερ γε καὶ καθ' ὅλην τὴν Αἴγυπτον. οὐ χαλεπῶς δ' εὐπορούμενον ἐν τοῖς χωρίοις ἐκείνοις ἐστὶ καὶ τὸ σινάπινον ἔλαιον, οὗ καὶ αὐτοῦ μίξας ποτὲ μέρος εὔδηλον ὅτι δριμύτατον ἐργάσῃ φάρμακον ὡς πρὸς τὸ διανοίγειν τὰ μεμυκότα νύγματα. πρόδηλον δ' ἔστιν ἐκ τῶν εἰρημένων, κἂν σαγαπηνὸν ἀντὶ ὀποπάνακος ἐν θυείᾳ δι' ὄξους προλειώσας, ἐπιχέοις αὐτῷ τετηκυῖαν ῥητίνην καὶ πρόπολιν καὶ στέαρ τι τῶν δριμυτέρων, ἐκ ταὐτοῦ γένους ἔσται τὸ φάρμακον. ἕτερον δὲ μαλακώτερον γένος τῶν τηκτῶν ἐστι φαρμάκων, ὄξους δ' οὐκ ἔχον, ὃ διὰ τῶν ῥητινῶν καὶ προπόλεως καὶ στεάτων σκευάζεται μόνον, ἐπεμβαλλομένου καὶ κηροῦ διὰ τὴν σύστασιν, εὐαφέστερον γὰρ ἐκ τῆς μίξεως αὐτοῦ γίγνεται τὸ φάρμακον. ἔστω δὲ λεπτομερές τε καὶ δριμὺ τὸ στέαρ, ὁποῖόν ἐστι τὸ λεόντειον καὶ παρδάλειον, ὑαίνης τε καὶ ἄρκτου μετὰ ταῦτα. περὶ δὲ

adſint, gleucino, ſuſino et cyprino, his quoque deſideratis, oleo veteri liqueſaciat, vel ſi in Alexandria forte fuerit, ricinino et raphanino, haec ſiquidem copioſiſſima in illa civitate habentur, ſicut etiam in univerſa Aegypto. Atqui in illis regionibus ſinapinum oleum haud aegre reperiri poteſt, cujus et ipſius parte aliquando mixta medicamentum acerrimum fore nemo ambigit, ut ad puncturas conniventes aperiendas conducat. Patere autem cuilibet arbitror ex praedictis, ſi et loco opopanacis ſagapeno prius in pila ex aceto trito liqueſactam reſinam, propolim et adipem quampiam acriorem adjicias, ejusdem generis medicamentum futurum. Alterum vero mollius eſt genus medicamentorum liquabilium, ſed acetum non habet, quod reſinis et propoli et ſevis tantum praeparatur, cera quoque propter ſpiſſitudinem adjecta, ex cujus mixtura medicamentum tactui commodius redditur. Adeps porro tenuium partium acrisque eſto, ſicut leoninus et pardalinus et poſt hos hyaenae et

Ed. Chart. XIII. [728.] Ed. Baſ. II. (355.)

τοῦ χηνείου τί δεῖ καὶ λέγειν, καὶ μάλιστα ὅταν ἐξ ἀχροικίας ὦσιν οἱ χῆνες; ἀλλὰ καὶ τὸ τοῦ ταύρου παλαιωθὲν ἐπιτήδειον εἰς ταῦτα καὶ τὸ τοῦ τράγου. μικτῆς γὰρ ὄντα φύσεώς τε καὶ δυνάμεως, ἐπειδὴ γεώδη τέ ἐστι καὶ δριμέα, τῷ χρόνῳ πρὸς τὸ δριμύτερον ἀποκλίνει παραπλησίως δηλονότι τοῖς πλείστοις τῶν παλαιουμένων. οὕτω γάρ τοι καὶ αὐτὸ τὸ χοίρειον στέαρ ἁπάντων ὂν μαλακώτατον ἐν τῷ χρόνῳ δριμύτητα προσκτᾶται. ταὐτὸν δὲ τοῦτο καὶ οἶνος καὶ ὄξος καὶ μέλι πέπονθεν, ἐν δὲ τῷ γένει τῶνδε τῶν φαρμάκων εἰσὶ καὶ οἱ μυελοί. κάλλιστος δ' αὐτῶν ὅ τ' ἐλάφειός ἐστι καὶ ὁ μόσχειος, πιτυναὶ δριμύτεραι τῶνδε. καὶ πλησίον ἤδη τοῦ σφοδροτέρου γένους τῶν φαρμάκων εἰσίν. ἔχειν οὖν ὑμᾶς ἀξιῶ καὶ τῶν τοιούτων τι φαρμάκων, ἵνα ὅταν ὑπό τινος τῶν ἰσχυρῶν φαρμάκων ἀμετρότερον δηχθὲν ἀγανακτήσῃ τὸ τετρωμένον μόριον, ἐλαίῳ προκαταντλήσαντες αὐτὸ τῶν τοιούτων τινὶ σκεπάζητε. παρηγορηθέντος γὰρ οὕτως αὐτοῦ, πάλιν ἐπὶ τὴν ἀγωνιστικὴν ἀγωγὴν ἐπανελθεῖν ἔξεστιν. ἐγὼ γοῦν, ἐπιλυθέντος ποτὲ τοῦ νευροτρώτου μορίου,

urſi. Sed de anſerino quid attinet dicere, praeſertim quum anſeres ruſticae fuerint? Quin et tauri vetuſtus adeps et hircinus huc convenit, nam quum mixtae naturae ac facultatis exiſtant, temporis intervallo, quia terreſtres acresque ſunt, ad majorem acrimoniam declinant, ſimiliter videlicet plurimis quae vetuſteſcunt, ſic namque et ipſe porcinus adeps, omnium quum ſit molliſſimus, temporis proceſſu acrimoniam acquirit. Idem vino, aceto et melli accidit. In horum autem medicamentorum genere ſunt etiam medullae, longe vero praeſtat cervina et vitulina. Horum acrius coagulum et jam vehementiori medicamentorum generi propinquum exiſtit. Itaque et hujusmodi aliquod medicamenti habere te conſulo, ut quum a forti aliquo medicamento ſupra modum morſam partem vulneratam indignatam offenderis, oleo prius fotam hujusmodi quopiam contegas, ſic namque placata ea, rurſus ad acrem curandi modum redire poteris. Ego itaque dum partem in nervo vulneratam quan-

Ed. Chart. XIII. [728. 729.] Ed. Baſ. II. (355.)

θεασάμενος ἠρεθισμένον τὸ τραῦμα παρόντος κατὰ τύχην ὑγροῦ φαρμάκου, τοῦ διὰ τῶν στεάτων ὠτικοῦ, θερμήνας ἐπ' ἀγγείου διπλοῦ, τοῦτο κατὰ τοῦ πεπονθότος ἐπιθεὶς μορίου, ταχίστην ὠφέλειαν ἐξ αὐτοῦ γενομένην εἶδον αὐτῇ τῇ τοῦ κάμνοντος αἰσθήσει, παραχρῆμα γὰρ ἀνώδυνος ἐγένετο καὶ μετὰ ταῦτα λυσάντων ἡμῶν αὐτὸ κατὰ φύσιν ἔχειν ἐφαίνετο.

[729] Κεφ. στ'. [*Περὶ τοῦ διὰ κόπρου περιστερῶν συντεθειμένου φαρμάκου.*] Τῶν ἐν τοῖς ἀγροίκων πύργοις περιστερῶν ἡ κόπρος ἐστὶ δριμεῖα καί ποτε αὐτῇ κατ' ἀγρὸν ἐχρησάμην ἐπὶ νευροτρώτου νεανίσκου. καὶ τοῦτο θεασάμενος ὁ προνοούμενος τοῦ χωρίου τούτου γεωργὸς, ἦν γὰρ οὐκ ἀσύνετος, ἀπομιμησάμενος ἀεὶ χρῆται καὶ θεραπεύει τοὺς τρωθέντας τὰ νεῦρα. ἔστι δὲ ἥ τε σύνθεσις καὶ ἡ χρῆσις ἡ αὐτὴ τῷ διὰ εὐφορβίου φαρμάκῳ. τῶν ἄλλων ὡσαύτως ἐχόντων, ἀντὶ δὲ τοῦ εὐφορβίου τῆς κόπρου βαλλομένης. λείπεται δὲ ἡ κόπρος αὕτη τοῦ εὐφορβίου τῇ λεπτομερείᾳ καὶ διὰ τοῦτο ἐν ἀγροῖς ἐπὶ σωμάτων σκληρῶν ἐστι χρήσιμος. ἔμιξα δέ ποτε αὐτὴν καὶ τοῖς μεταλλικοῖς ἕνεκα πείρας, εὐ-

doque ſolviſſem, vulnus irritatum contemplatus medicamentum liquidum ſorte fortuna praeſens, quod ex adipe conſtat, ad aures inſcriptum, in vaſe duplici caleſactum affectae particulae illevi ac ſubito inde auxilium ipſo aegrotantis ſenſu acceſſiſſe percepi, quippe ſtatim omnis dolor quievit, atque inde a nobis ſoluta ſecundum naturam habere viſa eſt.

Cap. VI. [*De medicamento ex columbarum ſtercore confecto.*] Columbarum in ruſticorum turribus agentium ſtercus acre eſt, quo interdum ruri uſus ſum in adoleſcente nervi vulnere affecto. Atque hoc agricola quum vidiſſet, qui ſundi curam gerebat, erat enim non imprudens, imitatus ſemper uſurpat et nervis vulneratis medetur. Porro compoſitio et uſus idem eſt medicamento ex euphorbio, aliis nimirum eodem modo habentibus, ſed euphorbii loco ſtercore indito. Verum ſtercus hoc ſubtilitate euphorbio cedit, eoque duris corporibus in agris ex uſu eſt. Miſcui aliquando ipſum et metallicis experiundi gratia, ſtatim a

Ed. Chart. XIII. [729.] Ed. Baſ. II. (355.)

Θὺς ἀπ' ἀρχῆς συντρίβων αὐτοῖς δι' ὄξους ἐν ἡλίῳ, καθάπερ ἀρτίως εἶπον. καὶ πολὺ δριμύτερον ἐγένετο τὸ φάρμακον, ὥσπερ καὶ ὅταν ἰὸν ἄκαυστον λάβῃ.

Κεφ. ζ'. [*Περὶ τοῦ διὰ βοτανῶν συντιθιμένου φαρμάκου.*] Καὶ διὰ τῶν λεπτομερῶν βοτανῶν πρὸς τοὺς νευροτρώτους συνέθηκα φάρμακον, ἐν ἀρχῇ μὲν διὰ δικτάμνου καὶ ἀμαράκου καὶ ἀριστολοχίας μόνον, ὕστερον δὲ καὶ διὰ ἄλλων ἐμαυτοῦ πειρώμενος, εἰ καλῶς στοχάζομαι τῆς συνθέσεως αὐτῶν, καὶ πάντα τοῦ τέλους ἔτυχον. αἱ δ' ἐπιτήδειοι πρὸς τοῦτο βοτάναι πικραὶ γευομένῳ ἔστωσαν ἄνευ στύψεως, ἢ δριμεῖαι μὲν, οὐ μὴν ἀμέτρως γε. τοιαῦται δ' εἰσὶ πρὸς ταῖς εἰρημέναις τό τε μάρον καὶ τὸ ἀμάρακον καὶ τὸ πόλιον, ἀργεμώνη τε καὶ χαμαιπίτυς καὶ κενταύριον, ὅσας τ' ἄλλας ἐν τῇ τῶν ἁπλῶν φαρμάκων διδασκαλίᾳ διῆλθον, ὥσπερ καὶ αἱ ῥίζαι τῶν τε ἀριστολοχιῶν ἁπασῶν καὶ δρακοντίου καὶ σικύου ἀγρίου καὶ βρυωνίας καὶ ἀλθαίας καὶ ἴριος, ἀκόρου τε καὶ μήου καὶ ἀσάρου καὶ φοῦ καὶ γεντι-

principio cum eis terens ex aceto ad ſolem, ſicut nuper docui, multoque acrius medicamentum evaſit, quemadmodum et quum aeruginem vivam, id eſt non combuſtam, acceperit.

Cap. VII. [*De medicamento ex herbis compoſito.*] Inſuper ex herbis tenuium partium ad nervos vulneratos medicamentum compoſui, initio quidem ex dictamno, amaraco et ariſtolochia tantum, poſtea vero et ex aliis, mei ipſius periculum faciens, an recte compoſitionem ipſorum conjectura aſſequerer, atque omnia quo volebam perduxi. Idoneae vero ad id herbae amaritudinem ſine aſtrictione guſtu referant vel acrimoniam quidem, non tamen immodicam; tales ſunt praeter praedictas maron, amaracum, polium, argemone, chamaepitys, centaurium, quaeque ejus notae in ſimplicium medicamentorum doctrina commemoratae ſunt, quemadmodum etiam radices omnium ariſtolochiarum, dracunculi, cucumeris agreſtis, bryoniae, althaeae, iridis, acori, mei, aſari, phu, gentianae et panacis, omnium

Ed. Chart. XIII. [729.] Ed. Baſ. II. (355. 356.)

ανῆς καὶ πάνακος, πάντων γὰρ ἔχετε τῶν τοιούτων τὴν ὕλην ἐν τοῖς τῶν ἁπλῶν φαρμάκων ὑπομνήμασιν. οὐ μόνον δ' ἐπίστασθαι χρὴ τάς τε ῥίζας καὶ ὅλας τὰς βοτάνας κόπτοντας ἀκριβῶς διαττᾷν λεπτοτρήτοις κοσκίνοις, ἀλλὰ καὶ λειοῦν αὖθις ἐπιμελῶς, ὡς τὰ ξηρὰ κολλύρια μέχρι τοῦ χνοώδη γενέσθαι. τὸ παχυμερὲς γὰρ οὐδὲν ὀνίνησι τοὺς νευροτρώτους δεομένους φαρμάκων, ὡς εἴρηται, λεπτομερῶν. ἀνα(356)λαμβανέσθω δὲ κηρωτοειδεῖ τινι τὸ διατμηθέν τε καὶ λειωθὲν συμμετρίᾳ τὴν ἀναλογίαν ἐχούσῃ τὴν προειρημένην κατὰ τὸ εὐφόρβιον. ὅσον γὰρ ἐν ἐκείνῳ τοῦ διετοῦς εὐφορβίου, τοσοῦτον ἐν τούτοις δικτάμνου τε καὶ μήου καὶ ἀκόρου βλητέον, ὅσα τ' ἄλλα τούτοις ὁμοίως ἐστὶ θερμὰ γενομένοις. ὅσον δ' ἐν ἐκείνοις ἐστὶ τοῦ τριετοῦς, τοσοῦτον ἐν τούτοις ἀριστολοχίας, ἴριός τε καὶ δρακοντίου καὶ γεντιανῆς, ὅσα τ' ἄλλα παραπλησίως τοῖσδε πικρά ἐστιν.

Κεφ. η'. [Περὶ τῶν πολυτελῶν σκευασιῶν τῶν πρὸς τοὺς νευροτρώτους φαρμάκων.] Οὐκ ἄχρηστον ἂν εἴη καὶ τὰ τοιαῦτα ἐπίστασθαι φάρμακα. χρεία γὰρ αὐτῶν ποτε γίγνε-

enim id genus materiam in ſimplicium medicamentorum commentariis expoſui. At radices herbasque totas non modo ſcire oportet accurate contuſas tenuibus cribris ſecernere, ſed etiam denuo exacte laevigare, ut arida collyria quousque in pulverem redigantur. Nam quod craſſis conſtat partibus, nervos vulneratos nihil juvat, qui ſubtilia, ut diximus, medicamenta requirunt. Caeterum conciſum medicamentum laevigatumque liquido aliquo excipiatur cerati ſpeciem habente ea ſymmetria, quae in euphorbio prius indicata eſt. Quantum enim in illo bimuli euphorbii, tantum iis dictamni, mei et acori injiciendum eſt et quae his ſimiliter calida guſtu percipiuntur, quantum vero illis trimuli, tantum his ariſtolochiae, iridis, dracuncnli, gentianae, aliorumque id genus, quae perinde atque haec amara ſunt, immittemus.

Cap. [*De ſumptuoſis medicamentorum confecturis ad nervos vulneratos.*] Non ab re fuerit etiam ejusmodi medicamenta cognoſcere, uſus enim ipſorum quandoque

Ed. Chart. XIII. [729.730.] Ed. Baſ. II. (356.)

ται σπανιώτερον, ὥσπερ τῶν εὐτελῶν πολλάκις. ὅπου γάρ τις οὐ πλείους ἔχων πεντακοσίων μυριάδων ἀνὴρ φιλοφάρμακός τε καὶ φιλίατρος [730] οὐδενὶ τῶν εὐτελῶν ἠξίου χρῆσθαι, πρὶν μᾶλλον ἤτοι πλούσιός τις ἢ καὶ μόναρχος, εὐῶδές τε ἅμα καὶ πολλοῦ σκευαζόμενον ἀργυρίου βουληθήσεται τοιοῦτον ἔχειν φάρμακον. τοῦ δὲ ἱστορηθέντος μοι πλουσίου κατὰ τὸ πρῶτον τῶν περὶ τῆς διὰ τῶν σφυγμῶν προγνώσεως μέμνημαι χωρὶς ὀνόματος, ὥσπερ καὶ νῦν, ὁποῖός τις ἦν, ἐκ δυοῖν αὐτοῦ τοιῶνδε μαθήσῃ πράξεων. ἕλκος οἰκέτου κακόηθες ἐπειρᾶτο θεραπεύειν αὐτός. ὡς δὲ οὐδὲν ἤνυσεν, ἐνεχείρισεν ἐμοὶ τὸν ἄνθρωπον, ἰδών τε θεραπευθέντα τοῦ φαρμάκου τὴν γραφὴν ἤτει μὴ γιγνώσκων πολλὰς μὲν εἶναι διαφορὰς τῶν κακοήθων ἑλκῶν, πολλὰς δὲ τῶν φαρμάκων, ἀλλ' οἰόμενος ἓν φάρμακον δύνασθαι θεραπεύειν ἅπαντα. μὴ γοῦν μήτε τεχνικῶς αὐτῷ χρωμένου τοῦ προσφέροντος, ὡς ἤκουσεν ἐκ τίνων συνέκειτο, καὶ ἦν ἅπαντα εὔωνα, τοῦτο μὲν, ἔφη, τοῖς προσαίταις φύλαττε, τῶν πολυτελεστέρων δέ τι δίδαξόν με. καὶ μέντοι καὶ παιδαρίου χρονίαν ἐν ὠσὶ διά-

ſed rarius incidit, quemadmodum ſimpliciorum frequenter. Ubi enim quispiam medicamentorum medicinaeque ſtudioſus, non plura quingentis myriadibus habens, ullo ſimpliciore uti dedignabatur, multo magis vel dives aliquis vel monarcha odoratum ſimul et quod multa conſtet pecunia, volet habere medicamentum. Porro dives citatus, cujus in primo de praecognitione ex pulſibus ſuppreſſo nomine memini, quemadmodum et nunc, qualis erat ex duabus ipſius actionibus hujusmodi condiſces. Ulcus famuli malignum ipſe ſanare conabatur, ubi autem nihil promovit, mihi hominem tradidit ac quum videret curatum, medicamenti ſcripturam poſtulabat, neſciens multas quidem malignorum ulcerum eſſe differentias, multas item medicamentorum, ſed arbitratus unum medicamentum omnibus poſſe mederi. Quum igitur qui applicabat neque artificioſe ipſo uteretur, poſtquam audivit quibus conſtaret, eſſentque omnia vilis pretii, hoc, inquit, mendicis ſerva, me autem ſumptuoſius aliquod doceto. Quin etiam puellum diu ex auribus labo-

Ed. Chart. XIII. [730.] Ed. Baſ. II. (356.)

θεσιν ἔχοντος, ὡς αὐτὸς ἐπὶ πολλοῖς οἷς ἐχρήσατο φαρμάκοις ἄνευ μεθόδου μηδὲν ὠνησεν, ἐμοὶ κἀκεῖνο τὸ παιδάριον ἐκέλευσε προσαχθῆναι θεραπευθησόμενον. ὕστερόν τε γνοὺς αὐτὸ διά τινος τῶν ἐπιτυχόντων θεραπευθὲν, οὐκ ἠξίωσε λαβεῖν τοῦ φαρμάκου τὴν γραφήν. οὗτος τοίνυν αὐτὸς ἑωρακὼς πολλὰς τῶν νευροτρώτων, ἀποκοπέντας τε δακτύλους καὶ σαπέντας, ἐνίους δὲ καὶ τελευτήσαντας ἢ κυλλωθέντας, εἶτα γνοὺς ὅτι μηδεὶς ἐκινδύνευσε τῶν ὑπ' ἐμοῦ θεραπευθέντων, ἅπαντες δὲ διὰ ταχέων ὑγιεῖς ἐγένοντο, φάρμακον ἠξίου τι παρ' ἐμοῦ λαβεῖν εὔπνουν τε ἅμα καὶ πολυτελὲς, ᾧ τοὺς νευροτρώτους δυνήσεται θεραπεύειν. ἐγὼ δὲ πολλὰς ἤδη πολλάκις ἐδεδώκειν ἑταίροις τε καὶ φίλοις ἰατροῖς γραφὰς αὐτοσχεδίους κατὰ τὴν προγεγραμμένην μέθοδον, ὅπως ὑπὸ τῶν ἐκβάσεων ὁ τῆς συνθέσεως αὐτῶν λόγος βεβαιῶται. πολυτελὲς δ', οἷον ἐκεῖνος ἐβούλετο, πένησιν ἀνθρώποις οὐκ ἄν ἔδωκα νομίζων ἄμεινον εἶναι διὰ τῶν εὐπορίστων γίγνεσθαι τὰς ἰάσεις. ὡς οὖν ὁ πλούσιος ἠξίωσεν εὔπνου τε καὶ πολυτελοῦς φαρμάκου λαβεῖν τινα σύνθεσιν, ἔδωκα πλείους

rantem, ubi ipſe multis, quibus uſus erat medicamentis citra methodum, nihil attuliſſet praeſidii, nobis quoque curandum adduci praecepit, poſteaque audiens re quadam vili puerum ſanatum, non poſtulavit a me medicamenti ſcripturam. Hic igitur ipſe contemplatus, multis, quibus nervi vulnerati erant, digitos et abſciſſos et putrefactos, quosdam vero periiſſe vel mancos redditos, deinde intelligens nullum ex eis, qui a me curati eſſent, periclitatum, omnes vero celeriter ſanos evaſiſſe, medicamentum cupiebat aliquod a me accipere odoratum ſimul et ſumptuoſum, quo nervorum vulnera poſſet ſanare. Ego ſane multas jam ſaepe tum familiaribus tum amicis medicis ſcripturas juxta praedictam methodum ex tempore compoſitas tradideram, ut experimentis compoſitionis ipſorum ratio confirmaretur, ſumptuoſum vero, cujusmodi ille volebat, pauperculis hominibus nullum utique dedi ratus melius eſſe remedia ex paratu facillimis componi. Cum igitur dives ille odori ſumptuoſique medicamenti compoſitionem aliquam ſibi dari peti-

Ed. Chart. XIII. [730.] Ed. Baſ. II. (356.)

αὐτῷ γραφὰς κατὰ τὴν προειρημένην μέθοδον ποιήσας, ὧν πειραθῆναι σπεύδων ἐκεῖνος ἐκέλευσε τοῖς ἐλευθέροις τε καὶ δούλοις ἀναζητεῖν αὐτῷ νευροτρώτους. ἐνεργησάντων δὲ τῶν φαρμάκων ὑπὲρ ἅπασαν ἐλπίδα, πρῶτον μὲν ἐπήνεσεν ὡς ἀφθόνως αὐτῷ κοινωνήσαντά με τῶν γραφῶν, εἶτα καὶ δωροις ἐτίμησε, καὶ γὰρ ἦν ἕτοιμος καὶ εἰς τὰ τοιαῦτα. τῶν δοθέντων δ' αὐτῷ φαρμάκων ἡ σύνθεσις ἦν τοιάδε. ℥ κιννα-
μώμου, δικτάμνου καὶ μάρου ἀνὰ ἑκάστου δραχμὰς μ'. καὶ γὰρ εὐώδη καὶ λεπτομερῆ ταῦτ' ἔστι. τὸ δὲ ἀμάρακον ὡς οὐκ εὐῶδες ἐνενόησα μηδ' ὅλως μιγνύειν. εἶτ' ἐπεὶ δυσ-
πόριστον ἦν ἐν Ῥώμῃ, καθάπερ καὶ τὸ μάρον, ἑώρων δὲ ἐκεῖνον χαίροντα τοῖς δυσπορίστοις ὥσπερ γε καὶ τοῖς πολυ-
τελέσι, προσέθηκα τῇ γραφῇ κἀκείνου βραχύ τι μέρους ἑνὸς, ὡς οἶμαι τέταρτον ἢ πέμπτον. ταῦτα κοπέντα καὶ σηθέντα λεπτοτρήτῳ κοσκίνῳ μιγνύειν ἐκέλευσα κηρωτῇ δι' ὀποβαλ-
σάμου τοῦ ἀρίστου καὶ κηροῦ Τυῤῥηνικοῦ. σύμμετρον δ' ἐστοχασάμην εἶναι τοῦ κηροῦ μὲν ὀκτὼ ποιήσασθαι μέρη,

iſſet, plures ei ſcripturas donavi praedicta methodo factas, quas ille cum experiri feſtinaret tum liberis tum ſervis, nervis vulneratos ſibi conquirere injunxit, medicamentis autem ſupra omnem ſpem operatis primum ſane me laudavit, ut qui citra invidiam ac liberaliter ſcripturas ei communicaverim, poſtea etiam donis proſequutus eſt, etenim ad hujusmodi quoque officia promptus erat. Porro medicamentorum, quae ei dederam, confectura eſt talis. ℥ Cinnamomi, dictamni, mari, ſingulorum drach. xl. Haec namque odorata ſunt et tenuium partium. At amaracum quaſi non boni odoris nequaquam miſcere cogitavi, deinde quoniam Romae aegre poterat inveniri ſicut et marum, videbam autem illum aegre parabilibus gaudere, quemadmodum et ſumptuoſis, appoſui ſcripturae etiam illius pauxillum quiddam partis unius, ut puto quartam vel quintam portiunculam. Haec contuſa cribroque ſubtiliſſimo ſecreta miſcere juſſi cerato ex opobalſamo optimo et cera Tyrrhenica facto, commodum vero eſſe conjeci, ſi cerae partes octo,

Ed. Chart. XIII. [730. 731.] Ed. Baſ. II. (356.)

τοῦ δὲ ὀποβαλσάμου δέκα. χάριν δὲ τοῦ μὴ ψαθυρὸν εἶναι τὸ φάρμακον, ἀλλ' ἡνωμένον πως ἑαυτῷ, καὶ τῆς τερμινθίνης ῥητίνης ἔμιξα μέρος ἓν οὔσης καὶ αὐτῆς εὐώδους, ὅταν ᾖ καλλίστη. γενναιότερον δ', ὡς ἔφην, εἰ βούλοιο ποιῆσαι τὸ φάρμακον, οὐχ ἓν μέρος ἑκάστης τῶν εἰρημένων βοτανῶν ἐμβάλλῃς, ἀλλὰ πλέον, ὡς ἓν καὶ ἥμισυ γενέσθαι. τοῦτ' οὖν ὑπὸ τῆς πείρας ἐμαρτυρήθη τὸ φάρμακον. [731] ἕτερον δὲ δεύτερον ἐπ' αὐτῷ διὰ τῆς αὐτῆς κηρωτῆς καὶ ὀποῦ τοῦ Κυρηναίου συντεθέν, κατὰ τὴν αὐτὴν ἀναλογίαν τῷ εὐφορβίῳ τῆς μίξεως γενομένης, ἄλλο τε τρίτον ἐκ τῆς μίξεως ἀμφοῖν συντεθὲν καὶ τὸ τέταρτον ἐπ' αὐτοῖς τῆς στακτῆς σμύρνης προσλαβόν. ἐφ' ὧν δὲ γυμνόν ἐστι τὸ νεῦρον, ἐπὶ τούτων τὴν μὲν κηρωτὴν ἐκ κηροῦ τοῦ καλουμένου μυρεψικοῦ καὶ μύρων τῶν παρὰ Ῥωμαίοις ὀνομαζομένων σπικάτου καὶ φουλιάτου συνέθηκα. δωδέκατον δ' αὐτῆ μέρος ἔμιξα πομφόλυγος, εἴτε πεπλυμένου λέγειν ἐθέλοις ἀῤῥενικῶς, εἴτε πεπλυμένης θηλυκῶς· οὐδὲν γὰρ ὁπωτέρως ἂν εἴποις οὔτ' ὠφελήσεις οὔτε βλάψεις τὸ φάρμακον. ἔστι δέ σοι καὶ διὰ

opobalſami decem receperit. At ne friabile medicamentum foret, ſed ſibi cohaerens unitumque, etiam reſinae terebinthinae, quae et ipſa eſt odorata, modo ſit optima, partem unam adjeci. Verum ſi generoſius, ut dixi, medicamentum facere proponas, non unam cujusque herbae commemoratae partem immittas, ſed amplius, ut una et ſemis fiat. Hoc igitur ab experientia probatum eſt medicamentum. Alterum praeterea ex eodem cerato et liquore Cyrenaeo compoſitum, mixtura proportione euphorbii facta. Tertiumque aliud ex ambobus mixtis confectum. Quartum deinde quod ſtacten myrrham accepit. In quibus autem nervus nudus eſt, ibi ceratum ex cera, quae myrepſice, id eſt *unguentaria* vocatur, et unguentis apud Romanos dictis ſpicato et foliato compoſui, duodecimam partem pompholygis ei admiſcens ſive eloti maſculino genere ſive elotae foeminino malis dicere, nihil enim quomodocunque dicas vel praeſidii vel nocumenti medicamento afferes. Licet autem tibi et ex

Ed. Chart. XIII. [731.] Ed. Baſ. II. (556.)

τοῦ Τυῤῥηνικοῦ κηροῦ σκευάζειν αὐτό. πάρεστι δὲ καὶ χωρὶς τῶν εἰρημένων μύρων τὸν μὲν Τυῤῥηνικὸν κηρὸν τῆξαι διὰ νάρδου καλῆς ἐπὶ διπλοῦ δηλονότι σκεύους, κοινὸν γὰρ τοῦτο ἐπὶ πάντων τῶν μύρων. ξυσθείσῃ δὲ τῇ κηρωτῇ μίξεις νάρδου στάχυος καὶ ἀμώμου καὶ φύλλου μαλαβάθρου καὶ πομφόλυγος πεπλυμένου τὸ ἴσον ἑκάστου. ἐπὶ μὲν γὰρ τῶν νύξεων, ὡς εἴρηται, δριμυτέρων ἐστὶ χρεία φαρμάκων ἀνεῳγμένον ἀεὶ φυλαττόντων τὸ τραῦμα. τοῖς γεγυμνωμένοις δὲ τὰ μετρίαν στύψιν ἔχοντα μετὰ διαφορητικῆς ἀδήκτου δυνάμεως προσφέρεσθαι χρή. στύψεως δὲ μέτεστι μέν τι καὶ τῷ ἀμώμῳ, μᾶλλον δ' αὐτοῦ τῷ τε τῆς νάρδου στάχυϊ καὶ τῷ τοῦ μαλαβάθρου φύλλῳ.

Κεφ. θ'. [*Περὶ τῶν τοῖς ἄλλοις ἰατροῖς εἰρημένων φαρμάκων ἐπὶ τῶν νευροτρώτων.*] Τὴν μὲν ὅλην ἀγωγὴν τῆς θεραπείας τῶν νευροτρώτων, ἣν ἐγὼ κατά τινα πρόνοιαν θεῶν ἐποίησα, τῶν πρὸ ἐμοῦ πρεσβυτέρων οὐδεὶς ἔγραψε. φάρμακα μέντοι τινὰς νευροτρώτους θεραπεύειν ἐπαγγελλόμενα συνέθεσαν ἄνευ διορισμοῦ τε καὶ τρόπου χρήσεως ποι-

Tyrrhenica cera ipſum praeparare. Nec prohibet quicquam ſine praedictis unguentis Tyrrhenicam ceram ex nardo proba liqueſacere, in duplici nempe vaſculo, quod in omnibus unguentis commune eſt. At raſo cerato, ſpicae nardi, amomi, ſolii malabathri et pompholygis eloti pares ſingulorum portiones miſcebis. Etenim in puncturis, ſicut praedictum eſt, acrioribus medicamentis eſt opus, quae vulnus apertum perpetuo ſervent, denudatis autem mediocri aſtrictione cum digerendi virtute absque morſu praedita afferre convenit. Quamquam et amomum aſtrictionis ſit aliquatenus particeps, magis autem ipſo nardi ſpica et malabathri folium.

Cap. IX. [*De medicamentis ab aliis medicis adverſus nervorum vulnera proditis.*] Univerſam nervorum vulnera curandi rationem, quam ego deorum quadam providentia compoſui, nullus ante me conſcripſit, medicamenta tamen, quae nervorum vulnera quaedam curare promitterent, compoſuerunt ſine diſtinctione et vario utendi modo

Ed. Chart. XIII. [731.] Ed. Baſ. II. (356. 357.)

κίλου μήτε τὴν ἐπὶ τῶν στενῶν νυγμάτων ἀγωγὴν, ὁποία τις ἔσοιτο δηλώσαντες μήτε τὴν ἐπὶ τῶν εὐρυτέρων τρώσεων ἢ γεγυμνωμένου νεύρου ἢ τένοντος ἢ τεθλασμένου. πολὺ δὲ μᾶλλον, οὐδ' εἰ φλεγμαῖνον ἤδη τὸ πεπονθὸς εἴη μόριον ἢ καὶ πλησίον ἥκει γαγγραινώσεως. ἕνα δέ τινα τῶν καθ' ἡμᾶς ἰατρῶν εὗρον χρώμενον φαρμάκῳ, παραπλησίως τοῖς ὑπ' ἐμοῦ διὰ τῶν μεταλλικῶν σκευαζομένοις, ἀδιορίστως μὲν καὶ αὐτόν. ἀλλ' ἐπεὶ δι' ὀλίγων τῶν αὐτοφυῶν ἐπυθόμην αὐτὸ συγκεῖσθαι, τὸ δ' ἐκ τῶν πολλῶν σύνθετον ἐγὼ κατ' ἐκεῖνον τὸν καιρὸν ἤμην ἐσκευακὼς, ἐνενόουν ἀφελὼν τὰ πλείω καὶ δι' ὀλίγων ἄλλο συνθεὶς αὖθις ἐπισκέψασθαί τε καὶ βασανίσαι διὰ τῆς πείρας, εἴτε πολλῷ τινι τοῦ πολυμιγμάτου φαίνοιτο λειπόμενον εἴτε ὀλίγῳ. περὶ παν(357)τὸς οὖν ἐποιησάμην καὶ τοῦ παρὰ τοῦ καθ' ἡμᾶς ἰατροῦ λαβεῖν τὴν γραφὴν καὶ παραχρῆμα σκευάσας παραπλήσιον ἔχον εὗρον ἐπαγγελίαν τε καὶ δύναμιν αὐτὸ τῷ ποικίλῳ. τούτου μὲν οὖν ἡ γραφὴ ἡ τῆς συνθέσεώς ἐστι τοιάδε. ℞ κηροῦ οὐγγίας στ'. ἐλαίου οὐγγίας θ'. μίσυος ≺ στ'. χαλκί-

neque in anguſtis punctibus ſanandi rationem, qualis futura eſſet, indicantes, neque in latioribus vulneribus vel denudato nervo vel tendine vel contuſo, multo minus ſi pars affecta phlegmone infeſtaretur vel etiam gangraena propemodum. Porro unum quendam noſtrae aetatis medicum medicamento utentem vidi, perinde ac meis ex metallicis praeparatis, indiſtincte quidem et ipſum, quoniam vero ex paucis ſponte naſcentibus ipſum componi audieram, quod autem multis conſtat, ego illo tempore praeparaveram, cogitavi pluribus ademptis aliud rurſus ex paucis compoſitum inſpicere ac experientia inquirere, multone ab eo, quod varia mixtura paratur, inferius eſſe videretur an paulo. Quovis igitur modo curavi etiam medicamenti, quod medicus noſtrae aetatis habebat, ſcripturam accipere et ſtatim ſimile praeparatum eadem et ipſum polliceri et praeſtare, quae varium illud, comperi. Hujus igitur compoſitio in hunc modum ſcripta erat. ℞ Cerae ʒ vj; olei ʒ ix,

Ed. Chart. XIII. [731. 732.] Ed. Baſ. II. (357.)

τεως ⊲ α'. λεπίδος χαλκοῦ οὐγγίας β' S''. λιβανωτοῦ οὐγγίαν α' S''. χαλβάνης οὐγγίαν α'. ἐν ὄξει δριμεῖ προλελειωμένοις τοῖς μεταλλικοῖς ἐπιμελῶς τακέντα καταχύσαι τὰ τηκτά, τουτέστι τὸν κηρὸν καὶ τὴν χαλβάνην. τοῦτο τὸ φάρμακον οὐκ οἶδα τίς ὁ συνθήκας ἐστίν. οὔτε γὰρ παρ' Ἀσκληπιάδῃ τῷ φαρμακίωνι τὴν γραφὴν εὗρον οὔτε παρὰ Πετρωνᾷ οὔτε παρ' Ἀνδρομάχῳ, καίτοι πάντων τῶν πρεσβυτέρων ἰατρῶν ἄριστα φάρμακα γραψάντων. εὔδηλον δ' ὅτι μήτε παρὰ Ἥρᾳ τῷ Καππαδόκι, μηδὲ Μαντίᾳ, μηδὲ Ἡρακλείδῃ τῷ Ταραντίνῳ, [732] πολλὴν ἐμπειρίαν φαρμάκων ἐσχηκόσιν· ἀλλ' οὐδὲ τοῖς περὶ τὸν Ἀρχιγένην, Φίλιππον ἤ τινα τῶν μαθητῶν αὐτοῦ. καὶ Σωρανῷ δὲ τὰ περὶ φαρμάκων γεγραμμένα ἀναγνοὺς ἅπαντα καὶ Μενεκράτει καὶ Κρίτωνι καὶ Δαμοκράτει καὶ τοῖς ἄλλοις ὅσοι δόξαν ἴσχουσιν ἐπὶ τῇ γνώσει τῶν φαρμάκων παρ' οὐδενὶ τουτὶ τὸ γεγραμμένον ἄρτι φάρμακον εὗρον. ἃ δ' ἐστὶ παρὰ τοῖς ἀνδράσιν οἷς εἶπον ἐφεξῆς γεγραμμένα δηλώσω, τὴν ἀρχὴν δὲ ἀπὸ τοῦ φαρμακίωνος Ἀσκληπιάδου ποιήσομαι κατὰ τὸ τρίτον τῶν ἐντὸς

miſyos drach. vj, chalcitidis drach. j, ſquamae aeris ℥ ij ß, thuris unciam j ß, galbani unciam unam. Quae liquari poſſunt, hoc eſt cera et galbanum, liqueſacta metallicis in aceto acri prius accurate tritis ſuperfunduntur. Hoc medicamentum haud ſcio quis compoſuerit, neque enim apud Aſclepiadem pharmacionem ſcripturam inveni, nec apud Petronam nec Andromachum, etſi omnes antiquiores medici optima medicamenta conſcripſerint. Plane autem conſtat nec apud Heram Cappadocem nec Mantiam nec Heraclidem Tarentinum reperiri qui magnam medicamentorum experientiam habuerunt, imo nec apud Archigenem aut Philippum aut apud aliquem ejus diſcipulum. Inſuper Sorani libris de medicamentis perlectis omnibus, item Menecratis, Critonis, Damocratis et aliorum, qui medicamentorum cognitione claruerunt, apud nullum hoc modo citatum medicamentum comperi. Quae vero apud viros jam dictos habentur, deinceps ſcripta indicabo ac initium a pharmacione Aſclepiade facturus ſum, qui in tertio interiorum medica-

Ed. Chart. XIII. [732.] Ed. Baf. II. (357.)

φαρμάκων, ἃ καὶ Μαρκέλλας ἐπιγράφει κατὰ λέξιν οὕτως γράψαντος. Ἀνδρομάχου Αἰγυπτία ἔναιμος τραυματικὴ, ὡς Ἀσκληπιάδης ἀναγράφει. ποιεῖ πρὸς νεύρων διακοπὴν καὶ μυῶν, ποιεῖ πρὸς νύγματα, περιθλάσεις, παρατρίμματα, λυγίσματα, ποιεῖ πρὸς ἀποστήματα. ἔστι δὲ καὶ ὀφθαλμιώντων παρακόλλημα. ποιεῖ κεφαλαλγικοῖς καὶ πρὸς πολλὰς διαθέσεις χρήσιμόν ἐστι τὸ φάρμακον. ℞ λιθαργύρου, κηροῦ ἀνὰ ⊲ ρμδ'. ἀμμωνιακοῦ θυμιάματος ⊲ οβ'. τερμινθίνης ⊲ λστ'. ἐρίων οἰσυπηρῶν κεκαυμένων ⊲ ιβ'. λεπίδος χαλκοῦ ⊲ η'. λεπίδος στομώματος ⊲ η'. λιβάνου ⊲ η'. ἀριστολοχίας στρογγύλης ⊲ η'. ἐλαίου κικίνου κο. γ'. ἔψε λιθάργυρον, ἔλαιον, καὶ ὅταν μεταβάλλῃ, ἐπίβαλλε κηρὸν, ῥητίνην καὶ ὅταν ἀμόλυντον γένηται, ἐπίβαλλε ἀμμωνιακὸν πλατύνας, καὶ τότε τὰ οἰσυπηρὰ ἔρια καὶ τὰ λοιπά. τοῦτο τὸ φάρμακον ὅσῳ πολυχρηστότερον ἐγένετο, προσλαβὸν τὴν λεπίδα τοῦ στομώματος, οὕτω φαυλότερον ἐπὶ τῶν νευροτρώτων ἐγένετο. εἰ μὲν γὰρ νύγμα μόνον εἴη, καὶ ἡ τοῦ χαλκοῦ λεπὶς περιττή. χωρὶς γὰρ τοῦ προλελειῶσθαι χρόνῳ

mentorum, quas etiam Marcellas inſcribit, hunc in modum docet. *Andromachi Aegyptia ad vulnera cruenta, ut Aſclepiades praeſcribit. Facit ad nervos, muſculosque praeciſos, item ad punctus, contuſiones, attritus, artus fractos. Valet etiam ad abſceſſus, eſt item lippientibus collyrium, juvat capite dolentes et ad multas diſpoſitiones utile eſt remedium.* ℞ Argenti ſpumae, cerae, ſingulorum drach. cxliv, guttae ammoniaci drach. lxxij, terebinthinae drach. xxxvj, lanae ſuccidae combuſtae drach. xij, ſquamae aeris drach. viij, ſquamae ſtomomatis drach. viij, thuris drach. viij, ariſtolochiae rotundae drach. viij, olei ricinini heminas ij. Argenti ſpuma et oleum incoquuntur, ac ubi mutata fuerint, cera reſinaque adjicitur, quum non inquinant, ammoniacum indas dilatando et tunc lanas ſuccidas ac reliqua. Hoc medicamentum quanto utilius ex ſtomomatis ſquama evaſit, tanto deterius ad nervorum vulnera factum eſt; ſi namque punctus ſolum fuerit, etiam aeris ſquama ſupervacua eſt. Quippe nullum metallicum his conducit.

Ed. Chart. XIII. [732.] Ed. Baſ. II. (357.)

πλείονι δι' ὄξους δριμέος, οὐδὲν τῶν μεταλλικῶν ἐπὶ τούτων χρήσιμον. ἐπὶ μέντοι τῶν γεγυμνωμένων νεύρων καὶ τενόντων ἀγαθὸν ἂν εἴη φάρμακον. εἰ δὲ καὶ ἤδη φλεγμαίνει, τήκειν αὐτὰ προσήκει διὰ ῥοδίνου καὶ οὕτως ἐμμότῳ χρῆσθαι. χωρὶς δὲ τοῦ φλεγμαίνειν εὐθέως ἐν ἀρχῇ βελτίω τὰ μαλακώτερα καὶ ὑγρότερα τῶν φαρμάκων ἐστὶ τῶν σκληροτέρων τε καὶ ξηροτέρων. καὶ βέλτιόν ἐστι χρῆσθαι τετηκόσιν αὐτοῖς ἔν τινι τῶν διαφορητικῶν ἢ παρηγορικῶν. λέγω δὲ διαφορητικὰ μὲν τό τε παλαιὸν ἔλαιον καὶ τὸ κίκινον καὶ τὸ σικυώνιον, παρηγορικὰ δὲ τό τε ῥόδινον καὶ τὸ χαμαιμήλινον καὶ τὸ διὰ τῆς ἀλθαίας. ἰσχυρότερα δὲ τούτων καὶ διὰ τοῦτο σώμασι σκληροτέροις ἁρμόττοντα τό τε διὰ τοῦ σικύου τοῦ ἀγρίου τῆς ῥίζης ἐναφεψημένης τῷ ἐλαίῳ καὶ τὸ διὰ τῆς ἴρεως καὶ βρυωνίας καὶ ἄρου, καὶ τούτων ἰσχυρότερόν ἐστι τὸ διὰ τοῦ δρακοντίου καὶ ἀριστολοχίας καὶ πάνακος. ἐγὼ δὲ πολλάκις ἐχρησάμην καὶ τῷ διὰ τῆς ἐλάτης σπέρματος ἐλαίῳ καὶ τῷ διὰ τοῦ τῶν αἰγείρων ἄνθους, ἀποβρέχω γὰρ ἐν ἐλαίῳ Σαβίνῳ ταῦτα χρόνῳ πλείονι. ταῦτα μὲν οὖν ὅσα νῦν εἴρηκα περὶ τῆς χρήσεως τῶν τοιούτων

niſi prius ex aceto acri pluribus diebus laeve factum fuerit, quamquam in nudis nervis et tendonibus bonum fuerit remedium. At ſi jam phlegmone conjuncta eſt, liquare ea ex roſaceo convenit et ſic illito linamento uti; ubi vero non adeſt phlegmone, molliora humidioraque ſtatim ab initio potiora ſunt medicamentis durioribus ac ſiccioribus, praeſtatque liquata ipſa in digerente quodam vel mitigatorio medicamento uſurpare. Voco digerentia quidem vetus oleum et riciniuum et ſicyonium, mitigatoria autem roſaceum, chamaemelinum et quod ex althaea conficitur. His fortiora eoque durioribus corporibus magis idonea ſunt, quod ex cucumeris agreſtis radice in oleo decocta et quod ex iride, bryonia et aro paratur. His valentius eſt ex dracunculo, ariſtolochia et panace factum. Porro nos frequenter etiam ex abietis ſemine, oleo, item ex populi flore confecto uſi ſumus, nam haec diutius ſabino oleo intingimus Quae igitur de ejusmodi medicamentorum uſu dicta ſunt

Ed. Chart. XIII. [732. 733.] Ed. Baſ. II. (357.)

φαρμάκων, ἀξιῶ μεμνημένους ὑμᾶς ἐπὶ τἄλλα τὰ ῥηθησόμενα μεταφέρειν. ἐγὼ δὲ ὅπερ ὡρμήθην πρᾶξαι ποιήσω. προσθήσω γὰρ καὶ ἄλλα φάρμακα τῆς αὐτῆς δυνάμεως, ὁποῖόν ἐστι καὶ τὸ ἐφεξῆς τῷ προειρημένῳ γεγραμμένον ὑπὸ τοῦ Ἀσκληπιάδου κατὰ λέξιν οὕτως ἔχον. Κλαυδίου Φιλοξένου χειρουργοῦ Αἰγυπτία πρὸς τὰς προειρημένας διαθέσεις. ℥ λιθαργύρου, κηροῦ ἀνὰ ≺ ρξ΄. ἀμμωνιακοῦ θυμιάματος ≺ π΄. προπόλεως ≺ μ΄. ῥητίνης ξηρᾶς, τερμινθίνης, λεπίδος χαλκοῦ, λιβάνου ἀνὰ ≺ ιστ΄. ἐρίων οἰσυπηρῶν κεκαυμένων, λεπίδος στομώματος ἀνὰ ≺ η΄. ὀποπάνακος ≺ δ΄. κίκεως κο. γ΄. πρόδηλον οὖν ὅτι καὶ τοῦτο τὸ φάρμακον ὅμοιόν τέ ἐστι τῷ προγεγραμμένῳ καὶ τρόπον τῆς χρήσεως ἕξει τὸν αὐτὸν τῷ μικρῷ πρόσθεν ὑπ᾽ ἐμοῦ γεγραμμένῳ. καὶ μέντοι καὶ κατὰ ταύτας τὰς δύο ἐμπλάστρους, ἄλλην [733] τρίτην ἔγραψεν ὁ Ἀσκληπιάδης οὕτως εἰπὼν κατὰ λέξιν. κιδρὰ ἡ τοῦ Ἁλιέως. ποιεῖ πρὸς τὰ ἕναιμα τῶν τραυμάτων καὶ νεύρων διακοπάς. ποιεῖ δὲ καὶ πρὸς τὰ παλαιὰ καὶ δυσεπούλωτα καὶ ῥευματικὰ τῶν ἑλκῶν. ἔστι δὲ καὶ μαλακτικὴ ἀγαθὴ,

vos memoriter ſervantes ad alia, quae explicanda veniunt, traducere operae pretium eſſe arbitror. Quod autem nobis inſtitutum erat facere, aggrediemur; apponemus enim et alia ejusdem facultatis medicamenta, quale eſt et quod ab Aſclepiade poſt praedictum his verbis ſcriptum eſt: *Claudii Philoxeni chirurgi Aegyptium ad praedicta vitia.* ℥ Argenti ſpumae, cerae, ſingulorum drachmas centum ſexaginta, guttae ammoniaci drachmas octoginta, propoleos drachmas quadraginta, reſinae ſiccae, terebinthiuae, ſquamae aeris, thuris, ſingulorum drach. xvj, lanae ſuccidae combuſtae, ſquamae ſtomomatis, ſingulorum drach. viij, opopanacis ʒ iv, ricini heminas iij. Hoc igitur medicamentum ſuperiori eſſe ſimile omnibus apparet et utendi modum eundem cum nuper a me citato habebit. Quin etiam ad haec duo emplaſtra aliud tertium Aſclepiades ſic ad verbum inquiens tradidit: *Gilvum Haliei. Hacit ad cruenta vulnera et nervos praeciſos, item ad vetera cicatricem aegre ducentia et fluentia ulcera. Quin et probe emollit duritias, maxime in*

Ed. Chart. XIII. [733.] Ed. Baſ. II. (359.)

μάλιστα δὲ τῶν περὶ τοὺς μασθοὺς γιγνομένων σκληρῶν. χρώμεθα δὲ αὐτῇ καὶ ἐπὶ τῶν κυνοδήκτων καὶ ἀνθρωποδήκτων. ἄκρως ποιεῖ καὶ πρὸς τρυγόνων θαλασσίων καὶ δρακόντων καὶ τῶν ἄλλων χαλεπῶν ἰχθύων πληγάς. καὶ καθόλου ἐστὶν ἡ δύναμις θαυμαστή. ℔ λιθαργύρου, κηροῦ ἀνὰ ≺ ρ'. τερμινθίνης, μάννης, λιβάνου, χαλβάνης, μίλτου Σινωπίδος ἀνὰ ≺ ἡ'. ἐλαίου ξε. α'. οὔτε αὐτὸς οὖν Ἀσκληπιάδης ἐπὶ νυγμάτων τῶν εἰς τένοντας καὶ νεῦρα ἐπαγγέλλεται τὸ φάρμακον εἶναι χρήσιμον, ἀλλὰ πρὸς τὰς τῶν νεύρων φησὶ διακοπάς, ὅταν δηλονότι μεῖζον γένηται τὸ τραῦμα καὶ γυμνὸν φαίνηται τὸ νεῦρον. ἐπιτηδειότερα γάρ ἐστι τηνικαῦτα τὰ μετρίας τε καὶ παρηγορικῆς δυνάμεως φάρμακα. τοιοῦτον δέ ἐστι καὶ τὸ νῦν εἰρημένον ὑπ' αὐτοῦ. ταύτας μὲν οὖν τὰς τρεῖς ἐμπλάστρους ὁ Ἀσκληπιάδης ἔγραψεν ἐγγύς τι τῆς μέσης χώρας τοῦ βιβλίου. πρὸ αὐτῶν δὲ ἀνωτέρω πολύχρηστον καὶ ἄλλο ἔμπλαστρον ἔγραψεν, ἄμεινον δὲ τῶν τριῶν τούτων, ὡς πρὸς τὰς τῶν νεύρων διακοπὰς καὶ διαφθοράς. ἡ δὲ λέξις αὐτὴ, καθ' ἣν ὁ Ἀσκληπιάδης ἔγραψεν, ἔστιν ἥδε. *Μοσχίωνος καταγματική. φάρμακον ἐπι-*

mammis oborientes. Utimur eo ad canum hominumque morſus. Summe facit ad paſtinacae, draconis, aliorumque ſaevorum piſcium ictus. In totum virtutem habet mirabilem. ℔ Argenti ſpumae, cerae, ſingulorum drachmas centum, terebinthinae, mannae, thuris, galbani, minii ſinopici, ſingulorum drachmas octo, olei ſextarium unum. Nec ipſe ergo Aſclepiades hoc medicamentum ad punctus tendinum ac nervorum, ſed ipſis praeciſis utile eſſe promittit, quum videlicet majus vulnus extiterit et nervus nudus appareat, quippe aptiora tunc ſunt medicamenta, quae mitigatoriam et mediocrem vim obtinent, cujus generis eſt nuper ab ipſo citatum. Itaque haec tria emplaſtra in medio fere libro Aſclepiades produxit, ſuperius etiam aliud multiplicis quidem uſus emplaſtrum, melius autem iis tribus ceu ad nervos praeciſos corruptosque tradidit. Verba Aſclepiadis ita habent. *Moſchionis catagmaticum. Valet ad recentia vul-*

Ed. Chart. XIII. [733.] Ed. Baſ. II. (357, 358.)

τετευγμένον πρὸς τὰ νεότρωτα καὶ διακοπὰς τῶν νεύρων καὶ τὰς μετὰ θλάσεως διαιρέσεις. ποιεῖ καὶ πρὸς τὰ μετὰ τραύματος κατάγματα· καὶ γὰρ τοῖς τραύμασι βοηθεῖ καὶ πωροῖ τὰ ὀστέα μετὰ τῆς δεούσης ἐπιδέσεως ἐπιτιθεμένη καὶ τοῖς ἀρχομένοις ὑδρωπικοῖς. ποιεῖ δὲ καὶ πρὸς τὰς διδύμων περιθλάσεις. σταφιδοῖ καὶ τὰς περὶ τὴν ἕδραν ἐξοχάς. ποιεῖ καὶ πρὸς ῥαγάδας βουτύρῳ ἐνιεμένη. ποιεῖ καὶ πρὸς βρογχοκήλας, διαλύει πᾶσαν σκληρίαν, ποιεῖ πρὸς παρατρίμματα καὶ λυγίσματα. ποιεῖ πρὸς τὰς ἐπὶ τῶν ποδῶν καὶ χειρῶν τυλώδεις ἐπαναστάσεις, ἃς ἥλους καλοῦμεν, ὥστε καὶ χωρὶς ἑλκώσεως ἀφαιρεῖν· καὶ καθόλου ἐστὶ πολυχρησότατον τὸ φάρμακον. ποιεῖ δὲ πρὸς ἀρχομένους ὑδρωπας. τὰ δὲ τῆς σκευασίας ἔχει οὕτως. ℞ λιθαργύρου μνᾶν α'. ἢ δὲ μνᾶ ἔχει ≺ ρξ'. πίσσης ξηρᾶς ≺ ρξ'. στέατος μοσχείου ≺ ρξ'. (358) ῥητίνης τερμινθίνης ≺ π'. μάννης λιβάνου ≺ π'. κηροῦ ≺ μ'. ἰοῦ ≺ η'. ὀποπάνακος ≺ η'. χαλβάνης ≺ η'. ἐλαίου κικίνου κο. α'. ὄξους τὸ ἴσον, ὀποῦ συκαμίνου κο. α'. πίσσης ὑγρᾶς ἡμικοτύλιον. τὴν λιθάργυρον λειοτάτην καὶ τὸ κίκινον ἔλαιον

nera, nervos praeciſos et cum contuſione diviſiones. Facit etiam ad fracturas cum vulnere, etenim vulneribus auxiliatur et oſſa callo obducit convenienti deligatura impoſitum. Prodeſt hydropicis incipientibus, item facit ad teſticulorum contuſiones, tollit circa anum eminentias, ſanat rhagadas butyro dilutum, facit ad bronchocelas, ſolvit omnem duriciem. Curat attritos et fractos articulos, item pedum manuumque calloſas excreſcentias, quos clavos vocamus, ut eos etiam citra exulcerationem auferat. Summatim medicamentum eſt utiliſſimum. Confectio haec ita ſe habet. ℞ Argenti ſpumae minam unam, mina continet drachmas centum ſexaginta, picis aridae drachmas centum ſexaginta, ſevi vitulini drachmas centum ſexaginta, reſinae terebinthinae drach. lxxx, mannae thuris drach. lxxx, cerae drach. xl, aeruginis drach. octo, opopanacis drach. octo, galbani drach. octo, olei ricinini heminam unam, aceti parem menſuram, liquoris ſycamini heminam unam, picis liquidae heminae dimidium. Argenti ſpuma tenuiſſima et ci-

Ed. Chart. XIII. [733.] Ed. Baſ. II. (358)

βαλὼν εἰς ἄγγος κεραμεοῦν ἢ χαλκοῦν καὶ θεὶς ἐπὶ πυρὸς ἕψε, καὶ ὅταν ἀναβράσῃ, ἐπίβαλλε στέαρ καὶ τὸ μάννινον, κινῶν συνεχῶς. καὶ ὅταν συστραφῇ, ἐπίβαλλε πίσσαν, κηρὸν, ῥητίνην καὶ ἕψε. μέχρις ἀμολύντου ἐπίπασσε χαλβάνην, εἶτα ἰὸν καὶ ὀποπάνακα ὄξει διαλυθέντα. τὸν δὲ ὀπὸν τοῦ συκαμίνου καὶ τὴν πίσσαν τὴν ὑγρὰν εἰς ἕτερον ἀγγεῖον βαλόντες ἕψομεν. καὶ ὅταν συστραφῇ, ἐπιβάλλομεν τῷ πρώτῳ φαρμάκῳ, καὶ πάλιν θέντες ἐπὶ τὸ πῦρ ἕψομεν μέχρις ἀμολύντου, καὶ εἰς οἶνον ἐξεράσαντες ἐῶμεν ἐπὶ τρεῖς ἡμέρας, ἔπειτα μαλάξαντες χρώμεθα εἰς ὀθόνιον ἐμπλάσσοντες· δεῖ δὲ μετὰ τὴν ἐπίθεσιν τοῦ φαρμάκου οἴνῳ δεύσαντα ταινίδιον ἐκθλίβειν καὶ τότε περιτιθέναι τῷ φαρμάκῳ. ὡς δὲ ὁ ἡμέτερος καθηγητὴς Λεύκιος ἐσκεύασεν ἔχει οὕτως. τὸ στέαρ καὶ τὸ ἔλαιον πρότερον τήκομεν, καὶ ὅταν διαλυθῇ, καταπλάσσομεν λειοτάτην μάνναν καὶ τὴν λιθάργυρον, καὶ ὅταν συστραφῇ, τὰ ἑπόμενα ποιοῦμεν. ἐπαινέσαι δὲ δίκαιόν ἐστι καὶ κατὰ τοῦτο τὸν Ἀσκληπιάδην, ὅτι τὸν τρόπον τῆς σκευ-

cinum cleum in vas fictile vel aereum conjecta ignique ſuprapoſita coquuntur, quum efferbuerint, ſevum et manna thuris adjiciuntur moventurque aſſidue, ubi confluxerint, pix, cera, reſina induntur et donec non amplius inquinent, incoquuntur, deinde galbanum, poſt aerugo et opopanax ex aceto ſoluta inſperguntur. Liquor ſycamini et pix liquida, in aliud vas transfuſa coquuntur et cum commixta fuerint ſeu confluxerint, priori medicamento immittuntur et rurſus ſupra ignem poſita, quousque non inquinent, incoquuntur, ac in vinum demiſſa triduo relinquuntur, poſtea ſubactis manu in linteolumque illitis utimur. Oportet autem poſt medicamentum impoſitum, linteum vino madefactum exprimere et tunc medicamento circumdare. Porro noſtri praeceptoris Lucii confectio ſic habet. Sevum ac oleum prius liquefacimus, ac ubi ſoluta fuerint, mannam leviſſimam factam et ſpumam argenti inſpergimus, poſtquam confluxerint, reliqua facimus. Caeterum laude dignus eſt hic quoque Aſclepiades, qui confecturae medicamentorum mo-

Ed. Chart. XIII. [733. 734.] Ed. Baſ. II. (358.)

ασίας γράφει τῶν φαρμάκων, οὐχ ὥσπερ ὁ Ἀνδρόμαχος παραλείπει μήτε τίνα [734] δύναμιν ἔχει προστιθείς. ἀμέλει τὴν ὑπὸ Ἀσκληπιάδου πρώτην τῶν τριῶν ὑπ' ἐμοῦ γεγραμμένην ἔμπλαστρον Αἰγυπτίαν, ἣν καὶ αὐτὸς τοῦ Ἀνδρομάχου φησὶν ὑπάρχειν, οὔτε δὲ τίνος ἐστὶ δυνάμεως ὁ Ἀνδρόμαχος ἔγραψεν, οὔθ' ὅπως σκευαστέον αὐτὴν, οὔθ' ὅπως χρηστέον, ἀλλ' ἁπλῶς ἔῤῥιπται, καθάπερ τι τῶν ἐπιτυχόντων φαρμάκων ἐν τῷ βιβλίῳ τῶν ἐκτὸς δυνάμεων ὑπ' αὐτοῦ γεγραμμένη δευτέρα. πρώτην μὲν γὰρ ἁπασῶν ἔγραψεν ἣν αὐτὸς ὀνομάζει Πανταγάθιον, ἑξῆς δὲ τὴν Αἰγυπτίαν ταύτην, οὐδὲν, ὡς ἔφην, ἄλλο προσθείς. ἔχει γὰρ ἡ λέξις αὐτοῦ τόνδε τὸν τρόπον. Αἰγυπτία. ℔ λιθαργύρου ≺ ρμδ'. κίκεως κο. στ'. κηροῦ ≺ ρμδ'. ἀμμωνιακοῦ θυμιάματος ≺ οβ'. τερμινθίνης ≺ λστ'. ἐρίων κεκαυμένων ≺ ιη'. λεπίδος στομώματος ≺ η'. λεπίδος χαλκοῦ ≺ η'. λιβάνου ≺ η'. ἀριστολοχίας ≺ η'. ἔνιοι σμύρνης ≺ δ'. ὀποπάνακος ≺ η'. ἄλλ. ιβ'. τούτοις ἐπὶ τέλει ἐπιγέγραπται, θαλάσσης εἰς ἐμβροχὴν κηροῦ κο. η'. τί παρ' αὐτῷ σημαίνει τὸ εἰς ἐμβροχὴν κηροῦ,

dum adſcribat, non ut Andromachus omittat, qui nec quam virtutem habet apponit. Denique primum e tribus ab Aſclepiade traditis a me ſcriptum emplaſtrum Aegyptium et ipſe Andromachi eſſe confirmat, neque cujus ſit virtutis nec quomodo praeparandum ſit aut utendum, Andromachus indicavit. Verum ſimpliciter tanquam vulgare quoddam medicamentum libro de exterioribus facultatibus, quem ipſe ſecundum inſcripſit, projecit. Primum enim omnium ſcripſit, quod ipſe nominat Pantagathium, id eſt, *ad omnia valens*, deinde hoc Aegyptium, aliud, ut dixi, nihil adjungens. Habet enim ejus dictio in hunc modum. *Aegyptium.* ℔ Argenti ſpumae drach. cxliv, ricini heminas vj, cerae drach. cxliv, guttae ammoniaci drach. lxxij, terebinthinae drach. xxxvj, lanae combuſtae ℥ xviij, ſquamae ſtomomatis drach. octo, ſquamae aeris drach. viij, thuris drach. viij, ariſtolochiae ℥ viij, nonnulli myrrhae drach. iv, opopanacis drach. ij, alias duodecim. His ad finem adſcripta ſunt marinae aquae ad irrigandam ceram heminas octo. Quid ſibi velit,

Ed. Chart. XIII. [734.] Ed. Baſ. II. (358.)

σαφῶς οὐκ ἴσμεν, ἐπινοεῖν γάρ ἐστι πλείω. θαυμάσαι δ' ἐστὶ πῶς ἅπαντα τἄλλα γράψας Ἀσκληπιάδης ὡσαύτως τῷ Ἀνδρομάχῳ τὸ μέτρον τοῦ κίκεως οὐκ ἴσον ἔγραψεν. ὁ μὲν γὰρ Ἀνδρόμαχος κο. στ'. ὁ δὲ Ἀσκληπιάδης κο. γ'. ἔγραψεν. οὐ προσέθηκε δὲ οὐδὲ τὸ κατὰ τὴν τελευτὴν τῆς γραφῆς ὑπὸ Ἀνδρομάχου προσκείμενον· ἔνιοι σμύρνης ≺ δ'. ὀποπάνακος ≺ β'. πάλιν δὲ προσέθηκεν αὐτὸς ἐπὶ τῶν κεκαυμένων ἐρίων τῶν οἰσυπηρῶν, ὅπερ οὐ πρόσκειται κατὰ τὴν Ἀνδρομάχου γραφήν. ἐφεξῆς δὲ τῆς εἰρημένης Αἰγυπτίας ἔγραψεν ὁ Ἀνδρόμαχος θηριακὰς ἐμπλάστρους έ. καὶ μετὰ ταύτας ἑτέραν πάλιν φαιὰν, ἣν Εὐβούλου φησὶν εἶναι. καὶ μετὰ ταύτην αὖθις ἑτέραν φαιὰν, ἣν Ἀθηνᾶν ὀνομάζει, κἄπειτα ἐφεξῆς πάλιν ἑτέρας φαιὰς ἁπλῶς δύο, καὶ μετὰ ταύτας ἑτέραν ἐφ' ἧς κατὰ λέξιν οὕτως γέγραπται· φαιὰ νυγματικὴ Ἀνδρομάχου. ℞ ἀμμωνιακοῦ θυμιάματος ≺ ή. κηροῦ νέου ≺ ή. τερμινθίνης ≺ ή. χαλκοῦ κεκαυμένου ≺ ή. πίσσης ξηρᾶς ≺ μ'. ὡς δὲ Ζήνων, μνᾶς ἥμισυ τέταρτον, λιθαργύρου ≺ δ'. ἀλόης Ἰνδικῆς ≺ β'. ἀριστολοχίας ≺ β'.

quum dicat ad irrigationem cerae, manifeſto non ſcimus, intelligere enim plura licet. Mirandum vero quomodo in aliis omnibus cum Andromacho conveniat, menſuram ricini parem non ponat, Andromachus enim heminas ſex, Aſclepiades tres ſcripſit. Neque vero etiam appoſuit, quod in fine ſcripturae ab Andromacho adjectum eſt, nonnulli myrrhae drach. iv, opopanacis drach. ij. Rurſus adjunxit ipſe, in combuſtis lanis ſuccidis, quod in Andromachi ſcriptura non habetur. Poſt dictum Aegyptium theriaca emplaſtra quinque retulit Andromachus, deinde aliud fuſcum, quod ad Eubulum auctorem refert, poſtea rurſus aliud fuſcum, quod Minervam nominat. Poſt haec iterum alia fuſca ſimpliciter duo, quibus ſubnectit aliud, ubi ſic ad verbum ſcriptum eſt: *Fuſcum nygmaticum ad nervorum puncturas utile Andromachi.* ℞ Guttae ammoniaci drach. viij, cerae novae drach. viij, terebinthinae drach. viij, aeris uſti drach. viij, picis aridae drach. xl, ut autem Zeno ait, minae dimidium et quartam partem, argenti ſpumae ʒ iv, aloës Indicae ʒ ij,

Ed. Chart. XIII. [734.] Ed. Baſ. II. (358.)

χαλβάνης ≺ β'. ἰοῦ ≺ α'. οἱ δὲ ≺ β'. λιβάνου ≺ β'. ἐλαίου χειμῶνος κο. δ'. θερείας ὄγδοον, ὄξους κοτύλης ἥμισυ εἰς ἄνεσιν τοῦ ἀμμωνιακοῦ. ταύτην εἰκός ἐστιν αὐτὸν ὀνομάζειν νυγματικὴν πρὸς τὰ τῶν νεύρων νύγματα δυναμένην εἶναι χρησίμην.

ariſtolochiae ʒ ij, galbani ʒ ij, aeruginis ʒ j, alii ʒ ij, thuris ʒ ij, olei hieme quartam heminae partem, aeſtate octavam, aceti heminae dimidium ad ammoniaci diſſolutionem. Hoc veriſimile eſt ab ipſo nominari nygmaticum, ut quod nervorum puncturis ex uſu eſſe queat.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΓΕΝΗ ΒΙΒΛΙΟΝ Δ.

Ed. Chart. XIII. [735.] Ed. Baſ. II. (358.)

Κεφ. α'. Ὁ μὲν πρῶτός μοι λόγος ἐτελεύτησεν εἰς τὰς τῶν λευκῶν ἐμπλάστρων συνθέσεις τάς τε ἄλλας καὶ ὅσα πρὸς τὰ δυσεπούλωτα τῶν ἑλκῶν ἁρμόττουσιν, διορισαμένων ἡμῶν τὰ κοινῶς δυσεπούλωτα καλούμενα, τῶν ἰδίως κακοήθων ὀνομαζομένων, ὄντων μὲν αὐτῶν δηλονότι δυσεπουλώτων. ἐπεὶ δὲ τινὰ μὲν ἐκ τῶν ἐπιῤῥεόντων τοῖς ἡλκωμένοις μέρεσιν ἰχώρων τε καὶ χυμῶν δυσεπούλωτα γίγνεται,

GALENI DE COMPOSITIONE MEDICAMENTORVM PER GENERA LIBER IV.

Cap. I. Primus ſane liber in alborum emplaſtroconfecturis tum aliis tum eorum, quae ulceribus cicatricem aegre ducentibus conveniunt, finitus eſt, ubi diſtinximus communiter appellata dyſepulota, *cicatricem difficulter admittentia*, ab iis, quae proprie maligna dicuntur et ipſa nimirum dyſepulota. Quoniam vero quaedam ſaniei humorumque ulceratis partibus influentium vitio cicatricem aegre

Ed. Chart. XIII. [735. 736.] Ed. Baf. II. (358.)

τινὰ δ' αὐτοῦ τοῦ πεπονθότος μορίου διαφθείροντος τὸ ἐπιῤῥέον, εἰ καὶ χρηστὸν εἴη, τὰ κατὰ τὸν δεύτερον τρόπον ἕλκη, δυσεπούλωτα καὶ κακοήθη καλοῦσιν ἰδίως ἐφ' ὧν ἐνίοτε πᾶν ἐκκόπτειν τὸ πεπονθὸς ἢ καίειν ἀναγκάζονταί τινες, ἤτοι φαρμάκοις ἐσχαρωτικοῖς ἢ πυρὶ χρώμενοι. πλάτους δ' ὄντος συχνοῦ καθ' ἑκάτερον τὸν τρόπον ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἕτερον ἑτέρου δυσεπούλωτόν τε καὶ κακόηθες εἶναι, τοσοῦτον ἀριθμὸν ὑπάρχειν τῶν ἰωμένων φαρμάκων ἀναγκαῖόν ἐστιν, ὅσος ἂν ᾖ καὶ αὐτῶν τῶν ἑλκῶν. εἰκότως οὖν ἕκαστον τῶν ἓν ἐχόντων φάρμακον ἐπαγγελλόμενον ἐπουλοῦν ἕλκη κακοήθη, πολλάκις ἀποτυγχάνει. δύο γὰρ ἡτοιμάσθαι χρὴ τοὐλάχιστον, ᾧ πρόκειται πάντα θεραπεύειν τὰ τοιαῦτα, τῆς αὐτῆς μὲν ἐπαγγελίας καὶ δυνάμεως ὑπάρχοντα, διαφέροντα δὲ ἀλλήλων οὐχ ἁπλῶς τῷ μᾶλλόν τε καὶ ἧττον, ἀλλ' ὡς ἄν τις εἴποι σαφέστατα τῷ μάλιστα τε καὶ ἥκιστα. [736] καθάπερ οὖν ἐπὶ πάντων τῶν παθῶν ἐδείκνυμεν ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν εὑρίσκεσθαι πρώτην μὲν ἁπασῶν τὴν καθόλου δύναμιν τῶν

admittunt, quaedam ipſa affecta ſede influentem ſuccum qualibet probum corrumpente, ulcera ſecundo modo habentia, dyſepulota et cacoëthe proprie nominant, in quibus interdum totam partem affectam excidere vel adurere nonnulli coguntur aut medicamentis cruſtam inducentibus aut igne utentes. At quum ampla ſit latitudo utrinque in eo, quod alterum altero magis minusve dyſepulotum malignumque eſt, tantum medicantium medicamentorum eſſe numerum oportet, quantus ipſorum quoque ulcerum extiterit. Merito igitur omnes, qui unum duntaxat medicamentum ulceribus malignis cicatricem inducere promittens habent, ſucceſſu crebro fruſtrantur. Nam duo minimum, quae idem pollicentur eandemque facultatem oſtendunt, diverſa alioquin inter ſe non ſimpliciter majoris minorisque, verum, ut apertiſſime dicam, maximi ac minimi ratione, in promptu adeſſe illi convenit, qui omnia id genus vitia curare propoſuerit. Quemadmodum igitur commentario therapeutices methodi in univerſis affectibus primam omnium communem auxilio-

Ed. Chart. XIII. [736.] Ed. Baſ. II. (358. 359.)

βοηθημάτων, ἐφεξῆς δὲ τὰς ὕλας, ἐν αἷς αὐτὴ περιέχεται, κατὰ τὸν αὐτὸν λόγον καὶ νῦν ἐπὶ τῶν δυσεπουλώτων ἑλκῶν ἥ καθόλου δύναμις ἥτις ποτέ ἐστι τῶν θεραπευσόντων αὐτὰ φαρμάκων εὑρῆσθαι χρὴ πρότερον. ἐδείχθη δέ μοι καὶ ἥδε κατ' ἐκείνην τὴν πραγματείαν, ἐφ' ὧν μὲν οὐδεμία κακοχεξία περὶ τοῖς ἡλκωμένοις μέρεσι, δύο τούτους ἔχουσα σκοπούς, ἕνα μὲν ἀποκρούσασθαι τὸ ἐπιῤῥέον, ἕτερον δὲ διαφορῆσαι τὸ ἐστηριγμένον ἐν τῷ πεπονθότι μορίῳ. γίγνεται δὲ ταῦτα δι' ἐναντίων δυνάμεων. ἀναστέλλει μὲν γὰρ τὸ ἐπιῤῥέον ὅσα στύφειν πέφυκε φάρμακα, διαφορεῖ δὲ τὸ περιεχόμενον ἐν τῷ πεπονθότι τὰ δύναμιν ἑλκτικὴν ἔχοντα. τοὐπίπαν δὲ τὰ μὲν στύφοντα τραχύνει καὶ κατὰ τοῦτ' ἔστιν ἀνιαρά. τὰ δὲ ἕλκοντα καὶ διαφοροῦντα τὰς ἐκ βάθους ὑγρότητας οὐκ ἄνευ δριμύτητος ἐργάζεται τοῦτο. τῇ δριμύτητι δ' ἐξ ἀνάγκης ὀδύνη τις ἕπεται δάκνουσα τὸ ἡλκωμένον. καὶ οὕτως συμβαίνει διὰ τὴν ἐκ τῶν τραχυνόντων καὶ δακνόντων ἀνίαν, ἐρεθίζεσθαι (359) τὴν ἐπιῤῥέουσαν ὑγρότητα τοῖς ἡλκωμένοις μέρεσι. τούτου δὲ γιγνομένου, φλε-

rum facultatem inveniri docebamus, dein materias, quibus illa continetur, ita nunc quoque in ulceribus dyſepulotis generalem medicamentorum, quibus illa curabuntur, facultatem, quae tandem ſit, prius inventam eſſe oportet. Indicata vero mihi eſt et haec in illo opere, quum quidem nullus vitioſus habitus ulceratas partes inſeſtat, duos ſcopos habens, unum, ut id quod inſluit repellat, alterum, ut quod affectae parti inhaeret infixumque eſt diſcutiat. Haec autem contrariae vires praeſtant, ſiquidem influxum reprimunt, quae ſunt aſtringentia medicamenta, diſcutiunt impacta jam exceptaque trahendi poteſtate praedita. Porro quae aſtringunt ut plurimum exaſperant atque hac occaſione moleſta ſunt, trahentia vero ac digerentia ex alto humiditates non citra acrimoniam id efficiunt. At acrimoniam dolor quidam neceſſario ſequitur ulceratam partem mordens. Atque ſic propter dolorem, quae exaſperantia mordentiaque concitant, humores ulceratis partibus influentes irritari contingit, unde quoque ulcus phlegmone obſideri

Ed. Chart. XIII. [736.] Ed. Baf. II. (359.)

γμαίνειν τε ἅμα καὶ διαβιβρώσκεσθαι τὸ ἕλκος, ὥσθ' ὅσον ἐπὶ τοῖς εἰρημένοις ἄπορός ἐστιν ἡ τῶν βοηθησόντων φαρμάκων εὕρεσις τοῖς δυσεπουλώτοις ἕλκεσι, καὶ πολύ γε μᾶλλον ἔτι τοῖς κακοήθεσιν. εὑρεῖν οὖν χρὴ καθόσον οἷόν τε τοιαύτην ὕλην φαρμάκων, ἐφ' ἧς ξηρανθήσεται τὸ ἕλκος ὀδύνης χωρὶς, ὅπερ ἀδύνατόν ἐστιν ἀκριβῶς γενέσθαι μὴ γνωρίζοντος τοῦ θεραπεύοντος, ὅπως ἐνεργήσῃ τὸ προβληθὲν φάρμακον. ἔστι μὲν γὰρ ἐξ ἀνάγκης ἰσχυρὸν κατ' ἄμφω τὰ συντεθέντα τό τε δάκνον καὶ τὸ στῦφον. ἀλλ' ὅ τε ῥύπος ὁ ἐπικείμενος τοῖς τοιούτοις ἕλκεσι τό τε τῆς ὑγρότητος πλῆθος οἷον προβλήματά τινα τοῖς ἡλκωμένοις μέρεσι γιγνόμενα τὴν ἀπὸ τῶν ἰσχυρῶν φαρμάκων δῆξιν ἐκλύει. προσέχειν οὖν χρὴ πόσον ἡ πρώτη χρῆσις ἐξήρανε τῆς κατὰ τὸ ἕλκος ὑγρότητος, ἢ εἰ καὶ ῥύπον ἔχοι, πόσον ἀπέῤῥιψε καὶ τούτου. καὶ οὕτως ἐκ δευτέρου τε καὶ τρίτου χρῆσθαι μέχρι περ ἂν φανῇ καθαρόν τε καὶ ξηρόν. ὁπόταν δὲ πρῶτον ἴδῃς αὐτὸ τοιοῦτον, μεταβαίνειν ἐφ' ἕτερον φάρμακον ὁμοειδὲς μὲν, ἀσθενέστερον δὲ τοῦ προτέρου. τὰ γὰρ ἰσχυ-

exedique. Ex quibus dictis colligitur ulceribus dyſepulotis praeſidia inveniri difficulter poſſe, multo magis adhuc malignis. Quare talis medicamentorum materia, quoad ejus fieri poſſit invenienda eſt, unde ulcus citra dolorem ficceſcat, quod accurate fieri nulla ratione licet medico ignorante quem effectum medicamentum exhibitum oſtenderit. Quippe ambobus componentibus, mordente puta et aſtringente, neceſſario validum exiſtit, verum ſordes et humiditatis copia id genus ulceribus incumbens veluti propugnacula quaedam ulceratis partibus facta, mordicationem medicamentis valentibus exolvunt. Itaque attendendum eſt quantum primus uſus humiditatis in ulcere deſiccaverit, vel ſi etiam ſordes habeat, quantum harum quoque abſterſerit, ac ita ſecundum tertiumque uti illo debemus donec purum et ſiccum ulcus apparuerit. Ubi vero primum id tale conſpexeris, ad aliud medicamentum te conferes ejusdem quidem ſpeciei, ſed priore imbecillius; nam validiora dum

Ed. Chart. XIII. [736.] Ed. Baſ. II. (359.)

ρότερα τῷ δάκνειν τὸ ἕλκος ὀδυνηρὰ γινόμενα, ῥεύματά τε κινεῖ καὶ φλεγμονὰς ἐγείρει. ἀλλ' ἐὰν πάλιν ἀσθενέστερον πολὺ τοῦ πρώτου φαρμάκου προσενέγκῃς, ὑγρὸν καὶ ῥυπαρόν ἔσται τὸ ἕλκος. τούτῳ τοίνυν ὁ τεχνωθεὶς ἰατρὸς τοῦ διὰ μόνης ἐμπειρίας ἕλκος θεραπεύοντος ἀμείνων ἐστὶν, ὡς ἂν ἐπιστάμενος οὐκ ἄλλῃ δυνάμει θεραπεύεσθαι τὸ ἕλκος ὑπὸ τῶν φαρμάκων, ὅτι μὴ τῷ ξηρὸν οὕτως ἐργάζεσθαι τὸ μόριον, ὡς ὅτ' εἶχε κατὰ φύσιν. ἔσται δὲ τοῦτο δῆλον ἐκ τοῦ μήτ' ἀπορρεῖν ἔτι λεπτὸν ἰχῶρα πύου τε γένεσιν ὑποτρέφεσθαι. εἰς τοῦτο δὲ ἀφίξεσθαι, καθ' ὃν εἴρηκα τρόπον ξηραινόμενα, τουτέστι στυφόμενά τε καὶ διαφορούμενα, κἀπειδὰν ξηρὰ μὲν ᾖ, ῥυπαρὰ δ' ἔτι φαίνηται, διὰ τῶν ῥυπτικῶν φαρμάκων καθαιρόμενα, περὶ ὧν καὶ αὐτῶν εἴρηται μέν τι κἀν τοῖς περὶ τῶν ἁπλῶν φαρμάκων ὑπομνήμασιν. ἡ τελειοτάτη δὲ μέθοδος πᾶσα γέγραπται διὰ τῆς θεραπευτικῆς πραγματείας, ἐν ᾗ προτετεχνῶσθαι χρὴ τὸν μέλλοντα τελέως ὑπὸ τῶν νῦν λεγομένων ὠφεληθήσεσθαι. τοῦτο δ' ὑμῖν τοῖς ἑταίροις ἐγνωκὸς ὑπάρχειν, οἷς ταῦτα γράφεται, πάνυ σαφῶς

mordendo ulcus dolorem inferunt, fluores movent et phlegmonas concitant. Quod ſi rurſum multo imbecillius priore medicamentum adhibeas, ulcus humidum ſordidumque evadet. Hac igitur parte artificio utens medicus, eo qui ſolo experimento innititur melior eſt, quod ſciat ulcus non alia medicamentorum facultate curari quam dum affecta pars eam ſiccitatem conſequatur, quam in naturali ſtatu ſita poſſidebat, quod factum intelligimus, ubi neque tenuis amplius ſanies influat, neque pus producatur. Hanc diſpoſitionem ulcera nanciſcentur, quo dixi modo ſicceſcentia, hoc eſt, adſtricta diſcuſſaque, dein ubi ſicca quidem fuerint, verum ſordida adhuc appareant, deterſoriis medicamentis repurgantur, de quibus ipſis quoque nonnihil in opere de ſimplicibus medicamentis commemoravimus. Omnis autem abſolutiſſima methodus eſt tractatu de morbis curandis perſcripta, in quo prius exercitatum eſſe convenit, qui hinc perfecte frugem reportaturus eſt. Hoc vobis, amici, quibus iſta ſcribuntur, conſtare manifeſto admodum novi, itidem

Ed. Chart. XIII. [736. 737.] Ed. Baſ. II. (359.)

οἶδα καὶ πρὸς τούτῳ γε ἔτι τὸ μὴ λόγον εἶναι πιθανὸν ἄνευ τῆς ἐπὶ τῶν ἔργων βασάνου τὰ λεγόμενα νῦν ὑπ' ἐμοῦ. [737] πολλάκις γὰρ ἐθεάσασθε δι' αὐτῶν ἐκείνων τῶν φαρμάκων, οἷς ἀμεθόδως χρώμενοί τινες ἰατροὶ μηδὲν ἤνυον, ἐκθεραπεύσαντά με πολλὰ τῶν τοιούτων ἑλκῶν. ἀναμνήσθητε τοίνυν τῶν ξηραίνειν ἀδήκτως πεφυκότων φαρμάκων, ἔστι δ' αὐτῶν τὰ πλεῖστα μεταλλικά. καὶ μέντοι καυθέντων καὶ πλυθέντων, ἥτις ἦν πρόσθεν δῆξις ἀπόλλυται, καὶ τοῦτ' ἀναμνήσθητε. τούτοις οὖν ὑμῖν ἐξέστω χρῆσθαι ἐν τῷ παρόντι, πεπλυμένοις μὲν ἐπὶ παίδων, εὐνούχων τε καὶ γυναικῶν καὶ ὅσοι φύσει λευκὴν καὶ μαλακὴν ἔχουσι τὴν σάρκα, καὶ πρὸς τούτοις γ' ἐπὶ τῶν εὐαισθήτων τε πάνυ καὶ κακοχύμων. ἐπὶ δὲ τῶν ἄλλων σωμάτων ἐγχωρεῖ καὶ τοῖς ἁπλύτοις χρῆσθαι, τὴν πρώτην ἐπίθεσιν αὐτῶν εὐπεπτηκόσι τοῖς θεραπευομένοις ἑώθεν ποιουμένους. εἰ δὲ καὶ τοῦ σώματος ὅλου προπαρασκευτῆς τινος δέοι, καὶ ταύτην χρὴ προπε ποιῆσθαι. λελεγμέναι δ' εἰσὶν αἱ παρασκευαὶ διὰ τῆς θεραπευτικῆς πραγματείας. ἐπ' ἐνίων μὲν γὰρ ἀρκεῖ καθᾶραι μό-

rationem ſine exploratione in operibus facta probabilem non eſſe, quae nunc a me dicuntur, demonſtrant. Etenim vidiſtis ſubinde illis ipſis medicamentis, quibus ſine methodo medici quidam utentes nihil proficiebant, multa me ejus generis ulcera perſanaſſe. Quamobrem in memoriam reducite medicamenta citra demorſum exiccantia, ſunt autem ipſorum pleraque metallica. Atqui hoc etiam memineritis quod combuſtis elotisque mordicatio, quae prius adſuit, edomatur ac interit. His igitur in praeſentia uti vobis licet, elotis quidem in pueris, eunuchis, mulieribus et qui molli natura carne ſunt praediti, item qui ad ſentiendum habiles admodum ſunt et vitioſo ſucco laborant. In aliis corporibus etiam illota uſurpare potueritis mane primum ipſa iis, qui curantur, ubi probe concoxerint, adhibentes. Si vero et corpus totum praeparationem quandam requirat et hanc prius factam eſſe oportet, praecepimus de his in commentario de morbis curandis. Nonnullis ſiquidem vel purgatio

Ed. Chart. XIII. [737.] Ed. Baſ. II. (359.)

νον, ἐπ᾽ ἐνίων δ᾽ ἀφελεῖν αἵματος, ἐπ᾽ ἄλλων δ᾽ ἄμφω ταῦτα πρᾶξαι. τινῶν δ᾽ ὑπερκείμενον ἐκκόψαι κιρσὸν ἢ σπληνὸς ἢ ἥπατος προνοήσασθαι, τιτῶν δὲ καὶ ἀποσχάσαι τὰ περὶ τὸ ἕλκος, ὥσπερ γε καὶ περικόψαι ποτὲ τῶν χειλῶν τύλον. ἐὰν δὲ μηδὲ ἑνὸς τούτων δεώμεθα, τὴν ποσότητα τῆς ὑγρότητος ἐπισκεπτέον ἅμα τῷ ῥύπῳ καὶ οὕτω ἐπὶ τὸ προσῆκον ἰτέον φάρμακον, ἀναμνησθέντας ἑκάστου τῶν ἁπλῶν ὅσα τε ξηραίνει μὲν, οὐ μὴν ἀποῤῥύπτει γε τὸν ῥύπον τοῦ ἕλκους, ὅσα τε ῥύπτει μὲν, οὐ μὴν ξηραίνει γενναίως. ὅσα δ᾽ ἄμφω δρᾷν πέφυκε, προσεπισκεπτομένους ἐκ ποίας τάξεως ἕκαστόν ἐστιν, ὃ μέγιστον μὲν ὑπάρχει τῶν εἰς τὴν θεραπείαν διαφερόντων, ὠλιγώρηται δὲ τοῖς γράψασι τὰ περὶ ὕλης βιβλία. μόνοι γὰρ οὗτοι πάσης αὐτῆς ἐνεχείρισαν εἰπεῖν τὰς δυνάμεις, ὥσπερ γε καὶ ὁ Διοσκορίδης, ὃν οὐδενὸς ἂν τις εἴποι δεύτερον εἶναι τῶν περὶ ταῦτα σπουδασάντων. ἐγὼ τοίνυν ἐφεξῆς ἅπαντα καταλέξω τὰ ξηραίνειν ἕλκη δυνάμενα φάρμακα χωρὶς τοῦ δάκνειν ἢ τραχύνειν ἐπιφανῶς. ἄρξομαι δὲ

ſola ſufficit, quibusdam ſanguinis detractio, aliis utraque haec adhibere profuerit. Sunt in quibus ſuperjacentem varicem excindere opus eſt, vel lieni vel jecinori proſpicere, aliquibus ambientes ulcus partes ſcarificare, quemadmodum interdum labrorum callos amputare. Si horum nullo egemus, humoris copia ſimul cum ſordibus inſpicienda eſt, atque ita ad idoneum medicamentum veniemus, rurſus ſimplicium ſingulorum memores, quae deſiccant, non tamen ulceris ſordes abſtergunt, item quae abſtergunt quidem, non tamen probe deſiccant. Quae vero utrumque poſſunt efficere, proſpiciemus ex quoto quodque ordine exiſtat, quod maximum inter ea cenſeo, quae ad curationem pertinent, neglectum tamen medicinalis materiae ſcriptoribus. Nam hi ſoli omnes ipſius vires dicere ſtuduerunt, ſicut etiam Dioscorides, quem nulli eorum, qui in ea quaſi arena deſudarunt, ſecundum eſſe quispiam dixerit. Ego igitur deinceps omnia medicamenta recenſebo, quae ulcera citra mordicationem exaſperationemque manifeſtam exiccare poſſunt. In-

Ed. Chart. XIII. [737.] Ed. Baſ. II. (359.)

ἀπὸ τῶν μεταλλικῶν, ἐν οἷς ἀριθμοῦσι καὶ τὰ τῆς γῆς εἴδη. πολλῆς δ' ἐν αὐτοῖς οὔσης διαφορᾶς ἐν τῷ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον ξηραίνειν, ἀπὸ τῶν μέσων ἀρξάμενος ἐπὶ τὰ σφοδρότερον ἢ ἀμυδρότερον ξηραίνοντα μεταβήσομαι. ξηραίνει τοίνυν μετρίως ἥ τε Λημνία σφραγὶς καὶ ἡ καδμεία καὶ μᾶλλον ταύτης ἡ αὐτοφυὴς ἄνευ τοῦ μεταβάλλεσθαι κατὰ τοὺς χειμάῤῥους τε καὶ ῥύακας καὶ ἐν τοῖς τῶν Κυπρίων ὄρεσιν εὑρισκομένη καὶ κατὰ τὰ ἄλλα χωρία, μάλιστα δὲ ἐν οἷς ἐστι τὰ μεταλλικά. κατασκευάζειν δ' αὐτὴν εἴωθα ξηραντικωτέραν ὥρᾳ θέρους ἐν ἡλίῳ τρίβων ἐφεξῆς ἡμέραις πλείοσι μετ' ὄξους ἢ οἴνου κιῤῥοῦ μὲν τὴν χρόαν, διαυγοῦς δὲ τὴν σύστασιν, οἷός ἐστιν ὁ Φαλερῖνος μὲν ἐν Ἰταλίᾳ, Τμωλίτης δὲ ἐν Ἀσίᾳ, ξηραντικώτατος δὲ οἴνων ὁ τοιοῦτος. ἐκ ταὐτοῦ δὲ γένους ἐστὶν ὅ τ' Ἀριούσιος ἐν Χίῳ γεννώμενος, ὅ τ' εὐώδης Λέσβιος ἐν Ἐρεσῷ καὶ Μηθύμνῃ. τούτων δ' ἑξῆς εἰσιν οἳ παλαιοὶ πάντες, ὅταν ἐκ τῶν λευκῶν καὶ στυφόντων παλαιωθῶσιν, ἐν Ἰταλίᾳ μὲν ὅ τε Σιγνῖνος καὶ ὁ Τιβουρτῖνος καὶ Μαρσὸς, ἐν Σικελίᾳ δὲ ὁ καλούμενος ὑπ' αὐτῶν Ἀμιναῖος, ἐν Ἀσίᾳ δὲ ὅ τ' Ἀφροδι-

cipiam a metallicis, quibus etiam terrae ſpecies adnumerantur. Porro quum varie inter ſe differant in eo, quod magis minusque ſiccent, a mediis orſus ad vehementius vel obſcurius exiccantia me conferam. Siccant igitur modice Lemnia ſphragis et cadmia atque hac magis ea, quae ſua ſponte naſcitur citra permutationem, in torrentibus aut rivis ac in Cypriorum montibus aliisque in locis inventa, praecipue vero ubi metalla ſunt. Porro conſuevi eam magis ſiccantem reddere per aeſtatem in ſole pluribus deinceps diebus terens ex aceto aut vino colore gilvo, ſubſtantia pellucido, cujusmodi eſt in Italia Falernum, in Aſia Tmolite, quod vinorum maxime ſiccare natum eſt. Hoc genere comprehenditur et Ariuſium in Chio natum, item odoratum Leſbium in Ereſo et Methymna. His ſuccedunt omnia vetera, quum ex albis et aſtringentibus inveterata ſunt, in Italia Signinum, Tiburtinum et Marſum, in Sicilia vocatum ab incolis Aminaeum, in Aſia Aphrodiſieum et

Ed. Chart. XIII. [737. 738.] Ed. Baſ. II. (359.)

σιεὺς καὶ ὁ Μίσυος. ἀρκεῖ γὰρ ὡς παραδείγματα τῶν καθόλου δυνάμεων εἰρῆσθαί μοι τούτους. ἀλλὰ καὶ δι' ὄξους δριμέος ὁμοίως ἐν ἡλίῳ πολλαῖς ἡμέραις ὥρῃ θέρους παρασκευάζω τὴν καδμείαν. ἀποτίθεμαί τε ξηράνας, ὡς ἐπιπάττειν δύνασθαι τοῖς κακοηθευομένοις ἕλκεσιν. ἰσχυρότερον δὲ τούτου φάρμακόν ἐστι χαλκῖτις κεκαυμένη προλειωθεῖσα τὸν αὐτὸν τρόπον τῇ καδμείᾳ, μετ' αὐτὴν δ' ἄκαυστος ἰσχυρὸν οὕτως ἐστὶ φάρμακον ὡς ἐσχάρας ἐργάζεσθαι. [738] πεπλυμένην οὖν αὐτὴν, εἶτα ἐξηρασμένην ἔχειν ἄμεινον. ἀσθενέστερον μὲν γὰρ τῆς κεκαυμένης ἡ πεπλυμένη ξηραίνει, πραοτέρα δέ ἐστι πολὺ καὶ ἀδηκτοτέρα. παραπλήσιον δὲ αὐτῇ φάρμακόν ἐστι καὶ ὁ κεκαυμένος ἰός· ὁ δὲ ἄκαυστος ἰσχυρότατον φάρμακον, ὥσπερ καὶ ἡ χαλκῖτις. ἀλλ' ἐκείνη μὲν καὶ στύψεώς τι μέτεστι καὶ πολὺ μᾶλλον αὐτῆς τῷ χαλκάνθῳ, ξηραντικωτάτῳ τῶν μεταλλικῶν ὄντι. τῷ δὲ ἰῷ τοιαύτης δυνάμεως οὐδ' ὅλως μέτεστιν. ὁμογενὲς δ' ὡς ἐμάθετε τῇ χαλκίτιδι τό τε μίσυ καὶ τὸ σῶρυ. ἐκ μιᾶς γὰρ, ὡς ἄν εἴποι τις, ἐκφυόμενα ῥίζης ἐστὶ, λεπτομερέστερον μὲν

Miſyum. Sufficit enim mihi facultatum univerſalium veluti exempla expoſuiſſe. Jam vero cadmiam ex aceto acri ſimililiter multis per aeſtatem diebus in ſole praeparo, ſiccatamque repono, ut ulceribus malignitatem aſſumentibus inſpergi poſſit. Valentius hoc medicamentum eſt chalcitis combuſta eodem modo prius in pulverem redacta, per ſe autem ignem non experta tam valens medicamentum eſt, ut cruſtas faciat. Lotam igitur ipſam, deinde ſiccatam habere ſatius eſt, minus enim lota quam uſta deſiccat ac longe mitior eſt minusque mordax. Perſimile huic medicamentum eſt etiam aerugo combuſta, quae vero ignem non experta eſt, fortiſſimum medicamentum eſt, ſicut etiam chalcitis, verum haec nonnihil etiam aſtringit et ea multo magis chalcanthum, quod inter metallica maxime ſiccat, at aerugo hujus facultatis omnino particeps non eſt Miſy autem et ſori, ut didiciſtis, chalcitidi genere cognata ſunt ex una, ut ita dicam, radice producta, tenuius tamen miſy apparet ac

Ed. Chart. XIII. [738.] Ed. Baf. II. (359. 360.)

ὑπάρχον τὸ μίσυ, καὶ ἧττον δακνῶδές τε καὶ καυστικὸν, παχυμερέστερον δὲ τὸ σῶρυ καὶ ἧττον ξηραῖνον ἀμφοτέρων, ὥσπερ καὶ τὸ στίμμι τοῦ σώρεως στυπτικωτέραν καὶ ξηραντικωτέραν ἔχει δύναμιν. ἐπιτηδειότατον δὲ φάρμακον ἕλκεσι δυσεπουλώτοις δι' ὑγρότητα καὶ τὸ δι(360)φρυγὲς ὀνομαζόμενον, ἰσχυρῶς γὰρ ξηραίνει, καίτοι μετρίως δάκνον, ἔχει δὲ καὶ αὐτὸ πρὸς τῇ δριμείᾳ ποιότητί τε καὶ δυνάμει τὴν στύφουσαν, ἃς ἀμφοτέρας ἰσχυροτέρας ἥ τ' ὠμὴ χαλκῖτις καὶ τὸ χάλκανθον, εἴτ' ἀῤῥενικῶς ὀνομάζειν αὐτὸ βούλοιτό τις εἴτε θηλυκῶς εἴτ' οὐδετέρως. ἀεὶ γὰρ μέμνησθε τοῦ μὴ φιλονεικεῖν ὑπὲρ ὀνομάτων, ἔνθα πρόκειται θεωρίαν ἐκμαθεῖν ἀναγκαίαν εἰς τὰ τῆς τέχνης ἔργα. καὶ αἱ στυπτηρίαι δὲ πᾶσαι ξηραίνουσιν ἱκανῶς ἕλκη στύφουσαι σφοδρῶς. ὅθεν οὐκ ἄν τις αὐταῖς χρήσεται μόναις ἐφ' ἕλκους, ὥσπερ οὐδὲ ὠμῇ χαλκίτιδι καὶ ἰῷ. κεκαυμένα δὲ ταῦτα καὶ τὸ μίσυ χρήσιμα, καθάπερ γε καὶ πλυθέντα. γίγνεται μὲν ἄδηκτα, ξηραίνει δ' ἧττον. ἀσφαλέστερον οὖν αὐτοῖς χρῆσθαι πεπλυμένοις, ἐπειδὴ τὰ πλεῖστα τῶν σωμάτων ἃ θεραπεύειν ἀναγ-

minus mordax et urens, craſſius ſori eſt et utroque ſiccat imbecillius, quemadmodum et ſtibi majorem aſtringendi ſiccandique vim ac ſori poſſidet. Porro diphryges appellatum medicamentum ulceribus aegre humiditatis vitio ad cicatricem venientibus aptiſſimum eſt, valide namque ſiccat, etſi modice mordeat. Enimvero id quoque praeter acrem tum qualitatem tum potentiam vim habet aſtrictoriam, quas tamen ambas fortiores et chalcitis cruda et chalcanthum repraeſentat, ſive id maſculino genere ſive foeminino ſive neutro appellaſſe quis malit, nam hoc vobis ſemper ſuccurrat, de nominibus contendendum non eſſe, ubi ſpeculationem ipſius artis uſui neceſſariam ediſcere ſtatueritis. Quin et alumen quodlibet ulcera ſatis exiecat generoſe aſtringens. Unde nemo ſolis his ad ulcera utetur, ſicut nec cruda chalcitide et aerugine, uſta vero et haec et miſy utilia ſunt, ut elota morſum quidem remittunt, verum minus ſiccant. Itaque lotis ipſis uti tutius eſt, quoniam permulta corpora, quibus mederi cogimur, unam quandam dis-

Ed. Chart. XIII. [738.] Ed. Baſ. II. (300.)

καζόμεθα, μίαν γέ τινα διάθεσιν ἔχει μὴ φέρουσαν ἰσχυρὰν δῆξιν. ἀκηκόατε δ' αὐτὰ πολλάκις, ἀλλὰ καὶ νῦν ἀναμνήσω πάλιν, ἀξιώσω τε μεμνῆσθαι πρὸς ἅπαντα τὸν ἑξῆς λόγον. ὅσα τοίνυν πληθωρικὰ καὶ ὅσα κακόχυμα καὶ πρὸς τούτοις ἔτι μαλακόσαρκα καὶ ἱκανῶς αἰσθητικὰ σώματ' ἐστὶ, ῥᾳδίως εἰς φλεγμονὴν ἄγεται δηχθέντα. περιέχεται δὲ ἐν τοῖς μαλακοσάρκοις, δηλονότι τὰ τῶν λευκῶν γυναικῶν σώματα καὶ τὰ τῶν παιδίων εὐνούχων τε καὶ ἀνδρῶν λευκῶν τὴν χροιὰν, ὅσοι τε γῆν ἐποικοῦσι ψυχρὰν, ὑγρὰ καὶ τούτων ἐστὶ καὶ φλεγματικὰ τὰ σώματα καὶ διὰ τοῦτο μαλακά τε καὶ λευκά. καθάπερ γε καὶ τὰ θερμὴν οἰκοῦντα γῆν, οἷα τὰ κατ' Αἴγυπτον καὶ Ἀραβίαν ἐστὶ, σκληρὰν ἔχει καὶ ξηρὰν τὴν τῶν σωμάτων ἕξιν. ὡς οὖν ἀεὶ ταῦθ' ὑμῶν μνημονευόντων, προσθήσω τινὰ καὶ ἄλλην ὕλην φαρμάκων ἁπλῶν θεραπεύειν ἕλκη δυναμένην κακοήθη. σαρκοκόλλα τοίνυν καὶ ἰχθυοκόλλα καὶ μᾶλλον αὐτῶν ἡ χρυσοκόλλα τοιαύτης εἰσὶ δυνάμεως. ἄριστον δὲ φάρμακον εἰς τὰ τοιαῦτα καὶ ὁ κεκαυμένος μό-

poſitionem habent, qua vehementem commorſum ferendo non ſunt. Audiviſtis autem ipſa frequenter, ſed et nunc iterum commemorabo atque ad omnem ſequentem ſermonem memoriter teneri operae pretium eſſe arbitrabor. Quae igitur plethora vitioſoque ſucco laborant corpora, ad haec quae tenera carne praedita et ad ſentiendum inſigniter habilia ſunt, facile ex morſu phlegmonem recipiunt. In carne molli praeditorum numero continentur mulieres videlicet candidae, pueri, eunuchi, viri cute alba, inſuper qui regionem frigidam incolunt, humidi hi quoque et pituitoſi, eoque molles et albi, quemadmodum ii, qui calidum tractum inhabitant, ut Aegyptum et Arabiam, duros corporum habitus et ſiccos ſortiuntur. Itaque horum vobis veluti memoribus appoſiturus ſum quandam et aliam medicamentorum ſimplicium materiem, quae malignis ulceribus curandis ſit idonea. Sarcocolla igitur et ichthyocolla et his magis adhuc chryſocolla tali facultate praedita eſt. Huc optime facit et plumbum combuſtum, poſt hoc ſori ſtibi-

Ed. Chart. XIII. [738 739.] Ed. Baſ. II. (360.)

λυβδός ἐστι καὶ μετ' αὐτὸν σῶρυ καὶ στίμμι, κεκαυμένα καὶ ταῦτα. καὶ ἡ σκωρία δὲ τοῦ μολύβδου ξηραίνει καλῶς, ὥσπερ γε καὶ ἡ τοῦ σιδήρου λεπὶς καὶ μᾶλλον ἡ τοῦ στομώματος. ἡ δὲ τοῦ χαλκοῦ πρὸς τῷ ξηραίνειν καὶ ῥύπτει, διὸ καὶ καθαρὰ ποιεῖ τὰ ἕλκη, τῶν ἄλλων λεπίδων οὐκ ἐχουσῶν τοῦτο. ταῦτ' οὖν πάντα τὰ φάρμακα ξηρὰ καταπάττων ἕλκεσι κακοήθεσι θαυμαστῶς ὄψει ξηραινόμενα χωρὶς δήξεως, ὥσπερ γε καὶ τὰ τῶν κηρύκων ὄστρακα καυθέντα πορφυρῶν τε καὶ ὀστρέων, ὅσα τ' ἄλλα τοιαῦτα. καὶ τὸ διαφανὲς δὲ καλούμενον, ὃ σπεκλάριον ὀνομάζουσι Ῥωμαῖοι, τῶν ἀδήκτως ξηραινόντων ἐστὶ καυθὲν ἐπὶ τῶν δυσεπουλώτων ἑλκῶν χρήσιμον ὑπάρχον, οὐ μὴν τῶν κακοήθων. μετριώτερον γὰρ ἢ κατὰ ταῦτα ξηραίνει. τῆς αὐτῆς δ' αὐτῷ δυνάμεώς ἐστι [739] καὶ ὕαλος κεκαυμένη καὶ τὸ συνιστάμενον πυρώδες ἐν τοῖς θερμαντηρίοις χαλκείοις. μετὰ δὲ τοῦ ξηραίνειν ἔτι καὶ στυπτικὴν ἔχει δύναμιν ὁ καρπὸς τῆς Αἰγυπτίας ἀκάνθης ἥ τε ὀμφακῖτις κηκὶς καὶ τὸ ῥῆον καὶ τὰ σίδια, οὐκ ὀλίγαι τε

que, haec quoque combuſta, inſuper plumbi recrementum probe ſiccat, quemadmodum et ferri ſquama, evidentius tamen ſtomomatis. Porro aeris ſquama praeter quam quod ſiccat etiam abſtergit purgatque, unde pura quoque ulcera efficit, quod reliquae ſquamae non poſſunt. Quare ſi haec omnia medicamenta arida ulceribus malignis ac contumacibus inſpergis, mirifice videbis citra mordicationem ea deſiccari, ſicut ubi buccinorum teſtas concrematas, purpurarum, oſtreorum, aliorumque id genus adhibueris. Quin et quod Graece diaphanes, Romanis lapis dicitur ſpecularis, ex iis eſt quae leniter ac ſine morſu exiccant, qui uſtus ulceribus aegre cicatricem admittentibus non item malignis ac rebellibus conducit, quippe minus exiccat quam illa requirant. Idem poteſt vitrum uſtum ac ignitum illud, quod in caleſactoriis aerariorum fabrorum officinis conſiſtit. Caeterum Aegyptiae ſpinae fructus, galla omphacitis, id eſt *immatura*, rheon, malicorium, radices, herbaeque non paucae ultra ſiccandi etiam aſtringendi facultatem habent. Nam

Ed. Chart. XIII. [739.] Ed. Baſ. II. (360.)

ῥίζαι καὶ πόαι. καὶ γὰρ καὶ ἀριστολοχία καὶ ἶρις ἄκορόν τε καὶ ἀρτεμισία καὶ πάνακος ῥίζα καὶ ἀργεμόνη, χαμαιλέοντός τε μέλανος ἡ ῥίζα καὶ κύπερον, δρακόντιόν τε καὶ ξίφιον ἱκανῶς ξηραίνει, καὶ τούτων ἔτι μᾶλλον κενταύριόν τε καὶ πόλιον. ἀσθενεστέρα δὲ βραχὺ τούτων ἐστὶν ἡ Ἐρετριὰς ὀνομαζομένη γῆ, καθάπερ γε ἡ ἀμπελῖτις ἰσχυροτέρα. τοιαύτη μέν τις ὕλη τῶν τὰ κακοήθη θεραπευόντων ἕλκη ἁπλῶν φαρμάκων ἐστίν. ἔξωθεν δ' αὐτοῖς προστίθεταί τινα καθ' ἑαυτὰ μὲν οὐ προσαγόμενα διὰ τὸ σφοδρὸν τῆς δυνάμεως, ἑτέροις δὲ μιγνύμενα, καθάπερ ὁ ἄκαυστος ἰὸς καὶ ἡ ἄσβεστος καὶ ἡ ἄπλυτος τίτανος καὶ τὸ μαλακὸν ἀφρόνιτρον, ὅπερ ὄντως ἐστὶν ἀφρόλιτρον. ὅσῳ γὰρ ἂν ἀφρωδέστερον ᾖ, τοσούτῳ κάλλιόν ἐστι κατ' ἄμφω καὶ τὸ δάκνειν ἧττον καὶ τὸ διαφορεῖν μᾶλλον. ἐμάθετε γὰρ κἂν τοῖς περὶ τῶν ἁπλῶν φαρμάκων τοιαύτης ἕχεσθαι δυνάμεως τὰ λεπτομερέστερα τοῦ παχυμερεστέρων ἐν τοῖς ὁμοειδέσιν ἅπασιν. οὐδὲν δὲ οὕτως ἐστὶ φυλακτέον ὡς τὰ μαλθακώδη καλούμενα πρὸς Ἱπποκράτους φάρμακα, τοῦ κατὰ τὸ ἔλαιον ὄντα

et ariſtolochia, iris, acorum, artemiſia, panacis radix, argemone, chamaeleontis nigri radix, cyperum, dracunculus, gladiolus, aſſatim exiccant. His evidentius adhuc centaurium et polium, quibus paulo imbecillior eſt terra nomine erethrias, uti valentior eſt ampelitis. Talis ſane medicamentorum ſimplicium ad ulcera maligna ac contumacia materies exiſtit. Extrinſecus autem nonnulla ipſis apponuntur, quae quidem per ſe vehementis potentiae gratia nen admoveri, ſed aliis miſceri ſolent, veluti aerugo ignem nondum experta, calx viva et illota et molle aphronitrum, quod re vera aphrolitrum eſt; quanto enim ſpumantius, tanto praeſtantius eſt utraque facultate, tum qua minus mordet tum qua magis diſcutit. Didiciſtis enim et in opere de ſimplicibus medicamentis tenuiora craſſioribus hac facultate inter omnia, quae ſimili ſpecie comprehenduntur, praecellere. Porro nihil tam nobis evitandum eſt quam medicamenta generis oleoſi, quae Hippocrates malthacodea, id eſt *molli-*

Ed. Chart. XIII. [739.] Ed. Baſ. II. (360.)

γένους. ἔστι δὲ τοιαῦτα τά γε στέατα πάντα καὶ μάλιστα αὐτῶν τὸ χοίρειον, εἶθ' ἑξῆς αἱ ῥητίναι καὶ μετὰ ταῦτα ὁ κηρός. ἑτέρῳ δὲ τρόπῳ καὶ τὰ μαλακτικὰ τῶν ἐσκληρυσμένων οὐκ ἐπιτήδεια· χαλβάνη, βδέλλιον, ἀμμωνιακὸν θυμίαμα, στύραξ καὶ οἱ μυελοί. καὶ κατ' ἄλλον αὖ τρόπον τὰ δριμέα, πέπερι, ζίγγιβερ, νᾶπυ, κάγχρυ καὶ πολὺ πλῆθος ἑτέρων τοιούτων.

Κεφ. β'. [*Πῶς δεῖ χρῆσθαι τοῖς εἰρημένοις ἄρτι ξηροῖς φαρμάκοις ἐπὶ τῶν δυσεπουλώτων τε καὶ κακοήθων ἑλκῶν.*] *Ἀναγκαῖόν ἐστι τὰ τοιαῦτα τῶν ἑλκῶν ὑγρότητος εἶναι μεστὰ μοχθηρᾶς, οὐκ ὀλίγα δ' αὐτῶν καὶ ῥύπον ἔχει δαψιλῆ. ἐπειδὰν οὖν ἐπιπάττειν αὐτοῖς μέλλωμέν τι τῶν ξηρῶν φαρμάκων, προεκμάττειν δι' ὀθονίου χρὴ μαλακοῦ τε καὶ καθαροῦ καὶ ξηροῦ, πληρώσαντα δὲ τῷ φαρμάκῳ τὸ κοῖλον τοῦ ἕλκους ἐπιβάλλειν ἔξωθεν ἐμπλάστρου λεπτυνούσης τὰ χείλη πλάτυσμα, κατά τε τούτου πάλιν ἔξωθεν ὀθόνιον ἴσον ἁπάντη καὶ κατ' αὐτοῦ σπόγγον ἐξ ὕδατος ἢ οἴνου. περὶ παντὸς δὲ ποιεῖσθαι χρὴ, ψυχρὸν διαμένειν τὸν*

cina, nominat, cujusmodi ſunt omnes adipes, praeſertim porcorum, dein reſinae, poſtea cera, alia vero ratione et quae indurata remolliunt, malactica Graecis dicuntur, non conveniunt, galbanum, bdellium, gutta ammoniaci, ſtyrax, medullae, item alio modo acria, piper, zingiber, ſinapi, canchri, multaque ejus generis alia.

Cap. II. [*Quomodo medicamentis ſiccis modo commemoratis in ulceribus ad cicatricem aegre venientibus et malignis utendum ſit.*] Hujusmodi ulcera vitioſo plena humore neceſſario exiſtunt, pleraque vero ipſorum etiam ſordes copioſas continent. Quoniam ergo ſiccum aliquod medicamentum ipſis ſumus inſperſuri, convenit prius ea linteolo molli, puro et ſicco extergere. Ubi ulceris cavitatem medicamento impleveris, latum linteum emplaſtri labris attenuandis accommodati extrinſecus ſuperdandum eſt, atque huic rurſus linamentum undique aequale foris injiciendum, cui ſpongiam ex aqua aut vino tinctam applicabimus. At in primis curandum eſt ut ſpongia frigida per-

Ed. Chart. XIII. [739. 740.] Ed. Baſ. II. (360.)

σπόγγον, ὃ γίγνοιτ' ἂν εὐκόλως εἰ συνεχῶς αὐτοῦ καταντλοίη τις ὕδωρ ψυχρὸν, ἄνευ τοῦ λύειν τὸν ἐπίδεσμον. αὐτὸν δὲ τὸν ἐπίδεσμον ἐπιβάλλειν τε καὶ περιβάλλειν, ὡς ἐν τοῖς περὶ καταγμάτων Ἱπποκράτης ἐδίδαξε, μεγίστην βλάβην ἡγούμενος ἐξ ἐπιδέσεως ἔσεσθαι τῇ εἰς εὐμορφίαν, οὐκ ὠφέλειαν διαφερούσης. εἰ μὲν οὖν εἷς ὁ ἐπίδεσμος εἴη, κάτωθεν ἄνω νέμεσθαι χρὴ, κἂν ἀντικνήμιον ᾖ, κἂν γόνυ, κἂν σφυρὸν, κἂν ἀγκὼν ἢ χεὶρ ἄκρα, κἂν ὁτιοῦν ἄλλο μέρος. εἰ δὲ δυοῖν ἐθέλοις χρῆσθαι, καθάπερ ἐπὶ τῶν καταγμάτων, ὁ μὲν πρότερος ἀπὸ τοῦ πεπονθότος μορίου πρὸς τὴν ἄνω χώραν νεμέσθω μόνην, ὁ δὲ δεύτερος κάτωθεν πρότερον, ἐφεξῆς δὲ ἄνω τελευτῶν ἐπ' αὐτὸ τῷ προτέρῳ παραγινέσθω. πρόδηλον οὖν ὅτι τοὺς ἐπιδέσμους τούτους ἐξ ὀθονίων οὐ ῥάκους εἶναι προσήκει. λύειν δὲ διὰ τρίτης μὴ καθ' ἑκάστην ἡμέραν καὶ λύσαντα μὴ προσφέρειν ὕδωρ τῷ ἕλκει, ἀλλὰ καθ' ὃν προείρηται τρόπον ἀρτίως, δι' ὀθόνης μαλακῆς τε καὶ καθαρᾶς καὶ ξηρᾶς ἀπομάττοντα τοὺς ἰσχῶρας. ἐὰν δὲ καὶ τὰ πέριξ τοῦ ἕλκους ἐμφαίνῃ τι φλεγμονῶδες, [740] ἐπιβάλλειν κατὰ τοῦ πλατύσματος ἔξωθεν ἐπὶ πολὺν τόπον

maneat, quod ex facili fiet, ſi frigida ipſam continue citra deligaturae ſolutionem foveas. Sed faſciam ei injicere ac circumdare debes, ut Hippocrates in commentario de fracturis edocuit, maximam laeſionem fore ratus ex deligatura, quae ad elegantem formam, non uſum conducit. Si igitur faſcia una fuerit, inferne ſurſum tribuenda eſt ſive tibia ſive genu ſive talus ſive cubitus ſive manus ſumma ſive alia quaevis pars laboraverit. Quod ſi duabus uti velis, ut in fracturis, altera a parte affecta ſurſum feretur duntaxat, altera deorſum prius, mox in ſuperiore parte deſinet, eodemque cum priore perveniet. Quamobrem haſce faſcias ex linteis non panniculos eſſe, ut omnes noviſtis, expedit. Tertio autem quoque die non ſingulis ſolvendum membrum eſt, ſic ut aqua non adhibita, quo dixi modo nuper, molli puro et ſicco linteo ſaniem ulceri abſtergas. At ſi ambientes ulcus partes phlegmonodes quippiam repraeſentent, humidum medicamentum latum extrinſecus platysmati ſuper-

Ed. Chart. XIII. [740.] Ed. Baſ. II. (360. 361.)

ἐξῆκον ὑγρὸν φάρμακον ἐκ τῆς ἐμῆς φοινικίνης, οὐχ ἁπλῶς τετηκυίας, ἀλλὰ στύφοντος οἴνου προσειληφυίας ὅσον οἷόν τε πλεῖστον. οὐ μὴν οὐδὲ διὰ τοῦ τυχόντος ἐλαίου τήκειν αὐτὴν προσήκει, ἀλλ' εἰ μὲν ἐρυθρότης τις ἢ ὅλως θερμότης ἐπικρατεῖ κατὰ τὰ πέριξ τοῦ ἕλκους, διά τινος τῶν στυφόντων καὶ ψυχόντων· ἔστι δὲ τοιαῦτα μύρσινόν τε καὶ μήλινον· εἰ δὲ μὴ παρείη ταῦτα, τὸ καλούμενον ὀμφάκινόν τε καὶ ὠμοτριβὲς ἔλαιον· εἰ δὲ σκληρότης ἐπικρατεῖν φαίνοιτο, δι' ἐλαίου παλαιοῦ τηκτέον ἢ διὰ κικίνου τὴν αὐτὴν φοινικίνην. ἀσφαλέστερον δὲ, κἂν (361) μηδὲν ἐν τῷ περιέχοντι τὸ ἕλκος τόπῳ μοχθηρὸν ἐμφαίνηται. αὐτῷ γοῦν τῷ ὑπερκειμένῳ χωρίῳ τὸ ὑγρὸν φάρμακον ἐπιβάλλειν ἀποκρουσόμενον, εἴ τι πρόσθεν ἢ μοχθηρὸν ἢ πλέον τοῦ προσήκοντος ἐπιῤῥεῖ, καὶ μάλισθ' ὅταν ἐν σκέλει τὸ ἕλκος ὑπάρχον ὑπερκειμένην ἔχοι φλέβα κιρσώδη. μεγάλης δ' οὔσης αὐτῆς καὶ κατὰ τὴν χρόαν ἐμφαινούσης οὔτε ἐρυθρὸν οὔτε χρηστὸν αἷμα περιέχειν, ἀλλὰ μελάντερον καὶ μελαγχολικώτερον, ἐκκόπτειν χρὴ τὴν φλέβα. συνέβη δέ ποτε φλεβὸς τοιαύτης

accommodandum eſt ex meo phoenicino, non ſimpliciter liquefacto, ſed cui plurimum, quoad fieri poteſt, vini aſtringentis adjectum ſit. Neque tamen obvio quovis oleo liquare ipſum convenit, verum ſi rubor quiſpiam vel omnino calor, in circumpoſitis ulceri partibus exuperet, aſtringente et refrigerante aliquo id faciendum eſt, ſunt hujusmodi myrteum et melinum, ſi haec non adſint, adhibeto quod omphacinum et omotribes nominant. Si durities major extiterit, oleo veteri vel ricinino, ipſum phoenicinum liquefacies. Sed tutius fuerit, ſi nihil in ambiente ulcus loco vitioſi appareat, ſuperpoſitae regioni, liquidum medicamentum admovere, quod repellat, ſiquid prius vel pravum vel plus quam par eſt influat, maxime cum in crure ulcus obortum ſuperpoſitam venam varicoſam habeat. Quae dum magna eſt ac colore nec rubrum nec probum ſanguinem, ſed atriorem magisque melancholicum continere videtur excidenda venit. Interim vero contigit ut vena tali ex-

Ed. Chart. XIII. [740.] Ed. Baſ. II. (361.)

ἐκκοπείσης, τὸ μὲν ἕλκος εὐθέως ἐπουλωθῆναι, καίτοι γ' ἐνιαυσιαῖον ὄν, ἀντ' αὐτοῦ δὲ κατὰ τὴν διαίρεσιν ὅθεν ἡ φλὲψ ἐξεκόπη γενέσθαι κακόηθες ἕλκος, ἐπουλωθῆναι μὴ δυνάμενον. ἄμεινον οὖν ἐπὶ τῶν τοιούτων τὴν ἰσχὺν τοῦ θεραπευομένου θεασάμενον ἀπὸ φλεβοτομίας μὲν ἄρξασθαι, καθῆραι δὲ ἐφεξῆς φαρμάκῳ μελαγχολικὸν ἐκκενοῦντι χυμὸν καὶ σὺν τούτῳ καὶ φλεγματικὸν, ἐπειδὴ καὶ οὗτος συνεπιῤῥεῖ ποτε τῷ μελαγχολικῷ κατὰ τὰς τῶν κιρσῶν γενέσεις. εἶθ' ἑξῆς αὐτὴν κατὰ τὸ μῆκος σχάσαι τὴν ὑπερκειμένην τοῦ ἕλκους φλέβα καὶ κενώσαντα δαψιλὲς, αὐτὴν ταύτην πρότερον ἰᾶσθαι τὴν γενομένην διαίρεσιν τῆς φλεβὸς, ὅταν δ' ἀκριβῶς ἤδη φαίνηται συνουλουμένη, τηνικαῦτα τῇ θεραπείᾳ τοῦ κακοήθους ἕλκους ἐπιχειρεῖν, ὡς προείρηται. καὶ σπλὴν δὲ ἐνίοτε μοχθηρῶς διακείμενος αἴτιος γίγνεται τοιαύτης κακοχυμίας, ὥσπερ γε καὶ ἧπαρ· ὧν χρὴ προνοησάμενον οὕτως ἐπιχειρεῖν τῇ τοῦ ἕλκους ἰάσει. κατὰ δὲ τὸν αὐτὸν λόγον, κἂν κακόχυμον ᾖ πληθωρικὸν ὅλον ἢ τὸ σῶμα, προκαθῆραί τε καὶ προκενῶσαι πρότερον αὐτὸ, πρὶν ἐπιτιθέναι τῷ ἕλκει

cisa ulcus statim ad cicatricem veniret, etsi jam annum durarat, verum ipsius loco juxta divisionem, ubi vena erat excisa, ulcus malignum ac contumax oriretur, cui cicatrix induci non potuerit. Igitur id genus vitiis praestat, viribus aegri consultis a venae incisione auspicari, deinde medicamento purgare, melancholicum humorem vel cum hoc etiam pituitosum educente, quoniam is quoque una nonnunquam cum melancholico influit dum varices generantur. Postea ipsam venam ulceri suprapositam in longum scarificare commodum est. Ubi abunde vacuaris, ei ipsi venae sectae prius medendum. Postquam exacte jam cicatricem ducere videtur, tunc maligni ulceris curationem, ut praedictum est, aggredere. Jam vero lien interdum male affectus, vitiosi talis humoris auctor est, sicut et jecur. Quibus ubi prospexeris, sic tandem ad ulcus curandum venire oportet. Pari modo, si universum corpus cacochymum vel plethoricum existat, prius expurgare vacuareque ipsum expedit quam

Ed. Chart. XIII. [740.] Ed. Baſ. II. (361.)

φάρμακον. ἐν αὐτῷ δὲ τῷ θεραπεύειν τὸ ἕλκος διὰ τῶν ξηρῶν φαρμάκων ἐφ' ἑκάστῃ ἐπιλύσει προσέχειν χρὴ τὴν γεγενημένην ὑπ' αὐτοῦ περὶ τὸ μόριον ἐνέργειαν, ἐπισταμένους τε καὶ μεμνημένους ὅτι τὰ μὲν ἄνευ τοῦ ῥύπτειν ξηραίνοντα, τοιαῦτα δ' ἐστὶν ἐν οἷς ἡ στύφουσα ποιότης ἐπικρατεῖ, καθαρὸν οὐκ ἐργάζεται τὸ ἕλκος. ὅσα δὲ πρὸς τῷ ξηραίνειν ἔτι καὶ τὸ ῥύπτειν ἔχει, ταῦτα οὐ μόνον ξηρὸν, ἀλλὰ καὶ καθαρὸν ἀποδείκνυσι τὸ ἡλκωμένον ὅλον μόριον. εἰδέναι δὲ χρὴ καὶ ὡς δάκνεται τὰ καθαρὰ τῶν ἑλκῶν, ὑφ' ὧν ἔμπροσθεν οὐδὲν ἐδάκνετο φαρμάκων, ἡνίκα ἦν ῥυπαρά. μεταβαίνειν οὖν ἀπὸ τῶν ἰσχυρότερον ῥυπτόντων ἐπὶ τὸ πραότερον καὶ ἀδηκτότερον, καθ' ὃν ἂν καιρὸν ἀκριβῶς καθαρὸν εὑρέθη τὸ ἕλκος, ὥσπερ γε πάλιν ἐπὶ τῶν ῥυπαρῶν, ἐπανέρχεσθαι ἐπὶ τὰ ῥυπτικώτερα, πλὴν εἰ μὴ διὰ τὸ δηχθῆναι ῥυπαρὸν ἐφάνη. τοῦτο γὰρ ἐνίοτε καὶ τοὺς ἀγαθοὺς δοκοῦντας εἶναι ἰατροὺς ἐξηπάτησεν, ὡς μεταβῆναι πρὸς ἄλλο ῥυπτικώτερόν τε καὶ δριμύτερον, ὑφ' οὗ πάλιν ἀνα-

medicamentum ulceri admoveas. Porro intra ulceris per arida medicamenta curationem quotieſcunque ſolveris, advertendum eſt qualemnam in parte effectum ediderint. Sciendumque ac in memoria habendum quod quae deſiccare, non autem detergere valent, cujusmodi ſunt illa, quae aſtringendi qualitatem obtinent, ulcus purum non efficiunt, at quae praeterquam quod ſiccant, adhuc etiam detergunt, ea non modo ſiccam, ſed puram quoque totam partem exulceratam efficiunt. Praeterea notandum venit pura ulcera ab iis medicamentis unde prius, quum eſſent ſordida, nihil mordicationis percipiebant, nunc morderi. Quae cauſa eſt ut a valentioribus abſterſoriis medicamentis ad mitiora minusque mordacia digrediamur, ubi ulcus ad amuſſim purum invenerimus, quemadmodum rurſus in ſordidis ad magis abſtergentia tranſimus, niſi ex mordicatione ſordida apparuerint. Hoc ſiquidem medicis etiam bonis exiſtimatis nonnunquam impoſuit, ut ad abſterſorium valentius acriusque ſe conferrent, unde iterum ulcus ero-

Ed. Chart. XIII. [740. 741.] Ed. Baſ. II. (361.)

βρωθὲν τὸ ἕλκος ὁμοίως ῥυπαρὸν ἢ καὶ μᾶλλον ἔτι κατὰ τὴν ἔξῆς λύσιν ἐφάνη, τῆς συντακείσης ὑπὸ τοῦ φαρμάκου σαρκὸς ῥυπαινούσης αὐτό. λύεται μὲν γὰρ εἰς ἰχῶρας μοχθηροὺς ἡ συντηκομένη σὰρξ, αὐτῶν δὲ τούτων ὅσον μὲν λεπτομερέστερόν ἐστι κατὰ τὴν σύστασιν, [741] ὑπὸ τοῦ φαρμάκου διαφορεῖται, τὸ λοιπὸν δ' αὐτόθι περιπηγνύμενον τοῖς ἕλκεσι ῥύπος αὐτοῖς γίγνεται. πρυσέχειν οὖν χρὴ πότερον ἀναβιβρωσκομένης τε καὶ συντηκομένης τῆς ὑποκειμένης σαρκὸς ἐῤῥυπάνθη τὸ ἕλκος ἢ διὰ τὸ δεῖσθαι μὲν ἀφαιροῦντος τὸν ῥύπον φαρμάκου, τὸ δὲ ἐπιτεθὲν οὐκ εἶναι τοιοῦτον. διακρίνεται δὲ τῷ κοιλότερόν τε ἅμα γεγονέναι τὸ ἕλκος ἐνερευθῆ τε τὰ χείλη καὶ θερμότερα ἔχειν, ὅταν ὑπὸ τῆς τοῦ φαρμάκου δριμύτητος ῥυπαίνηται. τάχα μὲν οὖν περιττὸν εἴη ἐν τῇ προκειμένῃ πραγματείᾳ τὸν τρόπον τῆς χρήσεως τῶν συνθέτων φαρμάκων προσγράφειν· εἴρηται γὰρ ἐν τῇ θεραπευτικῇ μεθόδῳ· τὰ δ' ἀναγκαῖα καὶ μεγάλην φέροντα βλάβην εἰ παροφθείη, βέλτιόν ἐστι καὶ δὶς καὶ τρὶς λέγειν ἀναμνήσεως ἕνεκα. προσκείσθω τοιγαροῦν ἔτι καὶ τοῦτο κατὰ τὸν λόγον, ἐν τῇ θεραπείᾳ τῶν τοιούτων ἑλκῶν, εἰ μὲν εἴη

ſum ex aequo ſordidum vel etiam magis adhuc, altera ſolutione viſum fuerit carne a medicamento colliquata ipſum foedante, nam in pravam ſaniem degenerat colliqueſcens caro. Caeterum quicquid ex his ipſis tenuioris conſiſtentiae eſt, a medicamento diſcutitur, reliquum ibidem circa ulcera concretum ſordes ipſis redditur. Quare animum attendere oportet utrum ulcus carne, quae ſubeſt, exeſa ac colliqueſcente ſordidum evaſerit, an quia medicamentum ſordibus auferendis aptum requirat, impoſitum vero tale non ſit. Indicat autem ulceris major facta cavitas, tum orae rubentiores calidioresque, quum medicamenti acrimonia ſordeſcat. Forſan igitur ſupervacaneum fuerit in praeſenti commentario compoſitorum medicamentorum uſus rationem modumque adſcribere, quippe in methodo curandi explicatum, at quae neceſſaria ſunt et magnam noxam afferunt, neglecta ſatius eſt bis terve, ut fidelius memoriae inhaereant, repetere. Ponamus igitur et hoc etiam in talium ul-

Ed. Chart. XIII. [741.] Ed. Baſ. II. (361.)

δυνατὸν ἄνευ τῆς τοῦ παντὸς σώματος βλάβης ἀλουτεῖν τὸν θεραπευόμενον ἀνατριβόμενόν τε σινδόσιν ἐπὶ πλέον, ἐφεξῆς τε δι' ἐλαίου, κἄπειτα δι' ἁλτήρων γυμναζόμενον, εἰ σκέλος εἴη τὸ πεπονθὸς ἢ διὰ δρόμων ἐπὶ τῶν ὑπερκειμένων. εἰ δὲ ἀλουτεῖν ἀδύνατον εἴη τῷ θεραπευομένῳ χωρὶς βλάβης ὅλου τοῦ σώματος, οὐ χρὴ λύειν τὴν ἐπίδεσιν, ἀλλ' ὡς ἐπιδέδεται λουσάμενον, ἐκθλίψαντα τὸ τοῦ σπόγγου θερμὸν ὕδωρ, εὐθέως ἄλλο καταχεῖν ψυχρὸν, ὡς μηδεμίαν ὑπολείπεσθαι θερμότητα κατὰ τὴν ἐπίδεσιν. εἰ δὲ φαίνοιτο προχωρεῖν ἡ θεραπεία, καὶ χωρὶς ἐπιδέσεως σπόγγου θεραπεύεσθαι, τῆς ὑγρᾶς φοινικίνης ἐπιβαλλομένης ἔξωθεν ὡς εἴρηται· καὶ χωρὶς ἐπιθέσεως σπόγγου καταλαμβανομένης ἐπιδέσμοις καταγματικῷ τρόπῳ περιελιττομένης τῷ θεραπευομένῳ μέρει τοῦ σώματος.

Κεφ. γ'. [*Σύνθεσις ἐμπλαστρωδῶν φαρμάκων.*] Ἐπειδὴ τὸ κεφάλαιόν ἐστι τῆς τῶν κακοήθων τε καὶ δυσεπουλώτων ἑλκῶν θεραπείας ἐν τῷ ξηραίνειν ἀδήκτως τὸ φάρμακον, ὑγραίνει δὲ πάντων μάλιστα τό θ' ὕδωρ καὶ τὸ ἔλαιον.

cerum curatione, ſi quidem citra totius corporis noxam fieri poterit, aegro a balneo abſtinere, perfricari linteis largiter, mox oleo, deinde halteribus exerceri, ſi crus fuerit affectum, vel curſu, ſi partes ſuperiores male habeant. Quod ſi a balneo temperare ſine totius corporis noxa non poterit, ſolvere deligaturam non oportet, verum ut ligatum eſt, membrum lavare et aquam calidam ex ſpongia exprimere, aliamque mox frigidam infundere, ut nullus in deligatura calor ſit reliquus. Jam ſi curatio ſuccedere videatur, etiam absque ſpongia alligata ſanari poteſt, ſi phoenicinum liquefactum, ut dixi, extrinſecus imponas, et citra ſpongiam, quae faſciis comprehenſa velut in fracturis, aegrotae corporis parti orbiculatim circumdatur.

Cap. III. [*Compoſitio medicamentorum emplaſtris ſimilium.*] Quoniam malignorum et difficulter cicatricem recipientium ulcerum curationis ſummus eſt ſcopus ut medicamentum citra morſum exiccet, aqua vero et oleum

Ed. Chart. XIII. [741.] Ed. Baſ. II. (361.)

ἀπέχεσθαι χρὴ τούτων, ὡς μήτε αὐτὰ καθ' ἑαυτὰ προσφέρειν μήτε κατὰ τῶν εἰρημένων ξηρῶν φαρμάκων μιγνύναι. κηρὸν οὖν ἐκλέγεσθαι χρὴ μήτε φύσει ξηρὸν μήθ' ὑπὸ παλαιότητος εἰς τοῦθ' ἥκοντα, πρόσφατον δὲ καὶ φύσει λιπαρὸν, ὃν ἐν ἡλίῳ μαλάττων τις ἀναλαβεῖν εἰς αὐτὸν δυνήσεται τῶν εἰρημένων ξηρῶν φαρμάκων. μὴ ὄντος δὲ ἡλίου, παρά τε πυρὶ θαλπόμενος μαλάττηται καὶ καθιέμενος εἰς ὕδωρ θερμόν. οὐ γὰρ ἀναμίγνυται δι' ὅλου τὸ ὕδωρ, ἀλλ' ἀπορρεῖ ταχέως αὐτοῦ μαλαττομένου πρὶν ἐπιτεθῆναι τῷ ἕλκει. συμμετρία δὲ τῆς μίξεώς ἐστι τοιάδε. μέτριον μὲν εἴ τις βούλοιτο γενέσθαι τὸ φάρμακον, τὸ τέταρτον μέρος προσβάλῃ τῷ κηρῷ τῶν μεταλλικῶν, ἰσχυρότερον δὲ ἔσται τοῦ τρίτου μιχθέντος. αὐτῶν δὲ τῶν μεταλλικῶν ἧττόν τε καὶ μᾶλλον ἀδήκτων τε καὶ ξηραντικῶν ὄντων, ἐπιταθήσεται μὲν ἐν τοῖς ξηραντικωτέροις ἡ δύναμις, ἐκλυθήσεται δ' ἐν τοῖς ἧττον ξηραίνουσιν, ὥσπερ γε πάλιν, ἀσφαλεστέρα μὲν ἡ χρῆσις ἔσται διὰ τῶν ἀδηκτοτέρων σφαλερωτέρα δὲ διὰ τῶν δακνωδεστέρων. εἴρηται γὰρ πολλάκις ὡς ἔνιαι μὲν φύσεις σωμάτων αἰσθητικώτερον ἔχουσι τό τε δέρμα καὶ τὰς σάρκας

maxime omnium humectant, ab eis abſtinendum eſt ita ut nec per ſe adhibeantur nec ſiccis, quae recenſuimus, miſceantur medicamentis. Itaque cera deligenda eſt neque natura neque vetuſtate ſicca, verum recens et pinguis natura. Qua in ſole emollita, aridorum medicamentorum dictorum quodcunque volueris excipere poteris, ſin autem ſol abſit, apud ignem caleſacta ſubigatur et in calidam aquam demergatur, non enim aqua per totam miſcetur, ſed ſtatim ab ea emolleſcente defluit, antequam ulceri fuerit impoſita. Symmetria vero mixturae eſt talis. Mediocre medicamentum hoc modo efficitur. Quarta pars metallicorum cerae adjicitur, valentius erit ſi tertia ſumatur. Porro quum ipſa metallica minus, magisque morſu carentia, ſiccaque exiſtant, virtus in iis quae magis ſiccant intendetur, quae minus remittetur, quemadmodum rurſus tutior leniorum uſus eſt, mordaciorum periculoſior. Dictum namque frequenter eſt, nonnullas naturas corporum tum cutem tum

Ed. Chart. XIII. [741. 742.] Ed. Baſ. II. (361. 362.)

ἐνίαις δὲ δυσαισθητότερα ταῦτ' ἐστὶν ἄμφω. κατὰ δὲ τὸ μᾶλλόν τε καὶ ἧττον αἰσθάνεσθαι καὶ τὸ τῆς ὀδύνης πάθος ἀκολουθεῖ μᾶλλόν τε καὶ ἧττον, ὥς γε καὶ τὸ τῆς φλεγμονῆς, οὐ μικρὰ δὲ διαφορὰ καὶ παρὰ τὸ μαλακόσαρκον ὑπάρχει ἢ σκληρότερον, εὔχυμόν τε καὶ κακόχυμον, ἢ πληθωρικὸν ἢ κενὸν ἢ μέσως διακείμενον ἐν τοῖς εἰρημένοις. [742] οὐκοῦν οἷόν τε πᾶσιν ἀνθρώποις ἓν ἐπιτήδειον σκευάσαι φάρμακον. ἀλλ' ὁποῖον ἂν σκευασθῇ τῶν ὁμοειδῶν, ἐπίστασθαι τούτῳ χρῆσθαι προσήκει τεχνωθεντα κα(362)τὰ τὴν ἐν τῷδε τῷ λόγῳ διδασκομένην μέθοδον, οἷον εὐθέως ἐπὶ τῆς προκειμένης ὕλης, ἐὰν ἴσον μὲν ἑκατέρου μίξῃς ἰοῦ τε καὶ χαλκοῦ κεκαυμένου. μέρους δ' ἑνὸς ἥμισυ στυπτηρίας σχιστῆς, ὡς γενέσθαι τὸ συμπληρούμενον ἐκ τῶν τριῶν ἤτοι ≺ β'. καὶ ἡμισείας ἢ οὐγγίας τοσαύτης, ἀρκέσει κηροῦ μῖξαι μὲν ≺ ι'. ταῖς δραχμαῖς γο δ' ι'. ταῖς οὐγγίαις εἰς μετρίου τε καὶ μέσου τῇ δυνάμει φαρμάκου σύνθεσιν. ἄμεινον δ' ἅμα καὶ ἀδηκτότερον ἔσται διφρυγὲς λαμβάνον ἀντὶ τῆς σχιστῆς καὶ μιᾶς τε δραχμῆς ὅλης ἐμβληθείσης, ὥσπερ τοῦ

carnes magis ſenſorias habere, quibusdam has ambas minus eſſe ſenſorias. Item pro majoris minorisque ſenſus ratione doloris etiam affectus ſequitur, ut et phlegmones. Accedit huc non mediocris differentia, quod quis molli ſit carne vel duriore, boni malique ſucci vel plethoricus vel vacuus vel medio quodam modo inter enumeratos affectus. Unde colligo unum omnibus idoneum medicamentum praeparari non poſſe, ſed qualecunque ex ſimilibus ſpecie confectum fuerit, hoc uti ſciet ille, qui methodum iſto libro traditam artificioſe didicerit. Exempli gratia in ſubjecta materie, ſi pares utriusque aeruginis et aeris uſti partes miſceas, aluminis ſciſſi partis unius dimidium, ut totum tribus vel duabus drachmis et ſemiſſe vel unciis totidem conſtet, ſufficiet decem cerae drachmas adjicere drachmis, decem vero uncias unciis, in temperati et medii facultate medicamenti compoſitionem. Melius fiet minusque mordebit, ſi loco aluminis ſciſſilis diphryges accipiat, cujus una drachma inte-

Ed. Chart. XIII. [742.] Ed. Baſ. II. (562.)

χαλκοῦ τε καὶ ἰοῦ, κάλλιον ἔσται τὸ φάρμακον. εἰ δὲ τὴν ἀπὸ τοῦ ἰοῦ δῆξιν ὑποπτεύοντες ἐθελήσαιμεν ἀκριβῶς ἄδηκτον αὐτὸ γενέσθαι, κεκαυμένον ἐμβάλλειν χρὴ τὸν ἰόν. εἰ δὲ καὶ ῥύπον ἀφαιρεῖν, λεπίδος χαλκοῦ προσβλητέον ἥμισυ δραχμῆς, ὡς γενέσθαι τὴν ὅλην συμμετρίαν τοιάνδε. ℞ χαλκοῦ καὶ ἰοῦ κεκαυμένου καὶ διφρυγοῦς ἴσον ἑκάστου, τουτέστιν ἀνὰ ⊲ α'. τῆς δὲ τοῦ χαλκοῦ λεπίδος ἡμίδραχμον. ἀναλαμβανέσθω δὲ ταῦτα τῷ λιπαρῷ κηρῷ μαλαττομένῳ, καθότι προείρηται. ξηροτέρου δ' ὄντος ἢ ὡς δέξασθαι τα εἰρημένα, μιγνύναι χρὴ μαλάττοντα μύρσινον ἢ μήλινον ἢ σχίνινον ἢ κίκινον ἢ κύπρινον ἢ παλαιὸν ἔλαιον ὠμοτριβὲς ἢ τὸ πρόσφατον Σπανὸν ἢ τὸ παρ' ἡμῖν διὰ θαλλῶν ἐλαίας ἐσκευασμένον. εἰ δὲ μηδ' ὅλως ἐθέλοιμεν ἐλαιώδες τι τῷ φαρμάκῳ προσφέρειν, τῆς λάρικος ῥητίνης μιγνύειν. εἰ δὲ μὴ παρείη ταύτης ἡμῖν, ἀντ' αὐτῆς τῇ τερμινθίνῃ χρηστέον. ἀεὶ δὲ καὶ τούτου χρὴ μεμνῆσθαι τοὺς ἀναγινώσκοντας ταῦτα, μάλιστα μὲν ἐπὶ τὸ πρῶτον εἰρημένον ὡς ἄριστον

gra injecta, quemadmodum aeris quoque et aeruginis, medicamentum erit praeſtantius. Quod ſi aeruginem mordaciu facturam ſuſpicati lene prorſus ipſum fieri poſtulemus, uſtam apponimus. Inſuper ſi expurgare ſordes ſtatuerimus, aeris ſquamae drachmae dimidium addetur, ut tota medicamenti ſymmetria talis evadat. ℞ Aeris, aeruginis uſtae, diphrygis, ſingulorum partes aequales, hoc eſt cujusque drachmam unam, aeris ſquamae drachmae dimidium, haec pingui cera, ut dixi, mollita excipiantur. Ubi ſiccior paulo fuerit, quam ut commemorata excipiat, miſcendum eſt myr teum molliendo vel melinum vel lentiſcinum vel riciniuum vel cyprinum vel omotribes oleum vetus vel recens Hiſpanum, vel quod apud nos ex oleae ſurculis praeparatur. Aut ſi omnino nihil oleoſum medicamento adhibere placet, laricem reſinam admiſceto, cujus ſi copia non eſt, terebinthina ejus loco utendum. Caeterum hoc ſemper in memoria tenendum eſt iis, qui haec legunt, maxime ad primum, quod dictum eſt, tanquam praeſtantiſſimum venien-

Ed. Chart. XLII. [742.] Ed. Baſ. II. (362.)

ἔρχεσθαι, μετὰ τοῦτο δ' ἐπὶ τὸ δεύτερόν τε καὶ τρίτον ἐφεξῆς τε τἄλλα τὰ μετὰ τὸ τρίτον, ὡς ἀνάλογον τῆς τῶν φαρμάκων ἀρετῆς τε καὶ δυνάμεως τῇ τάξει τοῦ λόγου χρωμένων ἡμῶν. προακηκοὼς οὖν τις ταῦτα καὶ τῶν ἁπλῶν φαρμάκων τὰς δυνάμεις ἐπιστάμενος ἱκανὸς ἔσται διακρίνειν ὅσα τοῖς πρὸ ἡμῶν ἐγράφη πρὸς τὰ κακοήθη τῶν ἑλκῶν φάρμακα, οἷον εὐθέως Ἀσκληπιάδης ὁ φαρμακίων ἐπικληθεὶς ἐν τῷ τρίτῳ τῶν ἐκτὸς οὕτως ἔγραψε.

Κεφ. δ'. [*Περὶ τῶν ὑπ' Ἀσκληπιάδου γεγραμμένων φαρμάκων.*] *Πρὸς τὰ χειρώνεια καὶ δυσαλθῆ τῶν ἑλκῶν φάρμακον ἐπιτετευγμένον.* ℥ λεπίδος χαλκοῦ οὐγγίαν α'. ἰοῦ ξυστοῦ οὐγγίαν α'. κηροῦ ἡμίλιτρον, ῥητίνης λάρικος γο α S''. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν καὶ ἀνελόμενος χρῶ μαλάσσων ἐπιμελῶς καὶ πλατυσμάτιον ἐπιῤῥίπτων κατὰ μόνου τοῦ πεπονθότος, ὥστε περιλαμβάνειν μόνον τὸ ἕλκος. δεῖ δὲ τὰ περιξ ἀφλεγμάντῳ φαρμάκῳ περιλαμβάνειν. ἐν δὲ τῇ θεραπείᾳ λύειν χρὴ διὰ τρίτης τὸ ἕλκος, ἔπειτα προπυριᾶν καὶ

dum eſſe, mox ad ſecundum et tertium, deinde ad alia, quae poſt tertium ſunt, ceu pro medicamentorum virtutis et potentiae proportione ſermonis ordine nobis uſurpantibus. His igitur auditis quispiam, ſimplicium medicamentorum facultatibus intellectis, dijudicare poterit quae majores noſtri ad ulcera maligna medicamenta conſcripſere, ſicut verbi gratia Aſclepiades cognomento pharmacion in tertio exteriorum in hunc modum tradidit.

Cap. IV. [*Quae medicamenta ſcripſerit Aſclepiades.*] *Ad chironia et curatu difficilia ulcera medicamentum accommodatum.* ℞ Aeris ſquamae unciam j, aeruginis raſae ʒ j, cerae ſelibram, reſinae laricis ʒ j ß. Ea quae liquari poſſunt, aridis affunduntur, quibus exceptis ac curioſe mollitis utitor, item platysma exiguum ſoli affectae parti, ut ulcus tantum comprehendat, injicito. Caeterum ambientes partes medicamento, quod phlegmonem arceat, circumdare oportet, inter curandum tertio quoque die ſolvere, deinde fomentis mitigare, idemque emplaſtrum quod

Ed. Chart. XIII. [742. 743.] Ed. Baſ. II. (362.)

τὸ αὐτὸ πλατυσμάτιον ἀπονίπτοντα μαλάσσειν καὶ πάλιν ἐπιτιθέναι, ἕως ἂν ἄρξηται συνουλώσεως. αὕτη μὲν ἡ τοῦ φαρμάκου γραφὴ, καλῶς προσγράψαντος αὐτοῦ πρὸς τὰ χειρώνεια, καλοῦσι γὰρ οὕτως τὰ μὴ μετρίως κακοήθη τῶν ἑλκῶν, ἀλλὰ τὰ πάνυ σφόδρα τοιαῦτα. γενναῖον δ' ἐστὶ τοῦτο τὸ φάρμακον, ὡς ἂν ἐκ τρίτου μέρους ἔχον τοῦ κηροῦ τὰ μεταλλικὰ, τὸν μὲν ἰὸν ἰσχυρότερον φάρμακον, τὴν δὲ λεπίδα τοῦ χαλκοῦ, μετριώτερον μὲν πολὺ τοῦ ἰοῦ, γενναῖον δὲ ὅμως καὶ αὐτό. συμμέτρως δ' εἶπερ εἶχε κράσεως ὡς καὶ τὰ μετρίως κακοήθη θεραπεύειν, [743] οὐ τριπλάσιος, ἀλλὰ τετραπλάσιος ὁ κηρὸς ἐμέμικτο τοῖς ἄλλοις, ἔτι δ' ἂν μετριώτερον, εἰ πενταπλάσιος, ὡς καὶ τὰ μηδέπω κακοήθη, δυσεπούλωτα δὲ ἄλλως ὄντα θεραπεύειν. ὥσπερ γὰρ κἂν εἰ τὸν κηρὸν ἑξαπλάσιον ἐργάσαιτό τις τῶν μεταλλικῶν, ὡς εἶναι τοῦ μὲν ἰοῦ καὶ τῆς λεπίδος ἑκατέρου δραχμὴν, κηροῦ δὲ ≺ ιβ'. τῆς λάρικος δὲ τὸ ἀνάλογον. ἀνάλογον δὲ ἔσται, εἰ τρεῖς εἶεν αὐτῆς δραχμαί. λιπαροῦ δ' ὄντος τοῦ κηροῦ, κἂν ἔλαττον ἐμβληθῇ τῆς ῥητίνης, αὐτάρκη σύστασιν

a latitudine platyſima vocatur, abluendo emollire ac rurſus imponere donec cicatricem inducere incipiat. Haec eſt medicamenti ſcriptura. Pulchre vero auctor ipſe adjunxit ad chironia, nominant enim ſic ulcera non mediocriter, ſed maxime maligna contumaciaque. Generoſum hoc medicamentum eſt, ut quod ex tertia cerae parte metallica contineat, aeruginem ſane medicamentum valentius, aeris ſquamam multo illo moderatius, attamen et ipſum generoſum. Mediam ac ſymmetram habet temperiem, ut etiam modice maligna curet, ſi non triplex, ſed quadrupla cerae portio aliis commixta fuerit, moderatius adhuc extiterit, ſi quincupla adjiciatur, ut nondum maligna, ſed aegre cicatricem ducentia perſanet. Quemadmodum etiam ſi metallicorum ſex partes cera capiat, ut ſi aeruginis et ſquamae utriusque denarius, cerae duodecim, laricis quot exigit proportio, quae erit ſi tres ipſius denarii imponantur. At ubi cera pinguis eſt, etſi minus reſinae addatur, ſpiſſitudinem quanta ſuffi-

Ed. Chart. XIII. [743.] Ed. Baſ. II. (362.)

ἕξει τὸ φάρμακον. ἐπὶ γάρ τοι τῶν τοιούτων φαρμάκων ἡ ῥητίνη διὰ τὴν σύστασιν ἐμβάλλεται, καθάπερ γε καὶ τὸ μύρσινον ἢ σχίνινον. ἐγὼ δὲ καὶ Ἀττικῷ ποτε οἰσύπῳ μαλάττων τὸν κηρὸν ἔμιξα. καί μοι κατὰ τὴν χρῆσιν ἐφάνη τὸ φάρμακον ἢ οὐδὲν ἢ βραχὺ παντελῶς ἀπολείπεσθαι τῶν ἄνευ τούτων σκευασθέντων. εὔδηλον δὲ ὡς εὐτονίαν λέγω τοῦ γενησομένου φαρμάκου ταῦτα. τὸ γὰρ τῆς ὠφελείας ἐν τῷ πρός τι, δυναμένου τοῦ μαλακωτέρου φαρμάκου πρὸς τὰ μετριώτερα τῶν κακοήθων ἁρμόττειν, μᾶλλον τοῦ σφοδροτέρου. ἔνθα γοῦν ἧττον μέν ἐστι κακόηθες αὐτὸ τὸ ἕλκος, ὀχθώδη δὲ τὰ χείλη, βελτίων ἐπὶ τούτων ἐστὶν ὁ οἰσύπος. ἀγαθὸν δ' εἰς ταῦτα φάρμακόν ἐστι καὶ ὁ τῆς ἐλάφου τε καὶ μόσχου μυελὸς, ὄντινα χρὴ προλειώσαντα μιγνύναι τῷ κηρῷ πρότερον, εἶθ' οὕτως αὐτοῖς ἡνωμένοις ἀναλαμβάνειν τὰ μεταλλικὰ προλελειωμένα, μέχρι τοῦ χνοώδη γενέσθαι. δακνώδη γάρ ἐστι τὰ τοιαῦτα. καὶ πάντα δ' ἱκανῶς προλελειώσθω τὰ ξηρὰ καὶ γεώδη τῇ συστάσει φάρμακα, καθάπερ ἥ τε κηκίς ἐστι καὶ οἱ κύτινοι καὶ τὰ σίδια καὶ ὁ τῆς Αἰγυπτίας ἀκάνθης καρπός. καὶ γὰρ δυσλείωτα

cit medicamentum habebit, ſi quidem hujusmodi medicamentis reſina ob conſiſtentiam inditur, veluti et myrteum vel lentiſcinum. Ego vero Attico nonnunquam oeſypo ceram emollitam miſcui, ac uſu didici vel nihil vel parum adeo medicamentum ab illis, quae ſine hoc praeparata ſunt, ſuperari. Manifeſtum autem eſt me haec ad futuri medicamenti robur referre, nam auxilium ad aliquid ſpectat, quippe mollius medicamentum ad moderatius maligna magis quam vehementius conducit. Ubi igitur ulcus ipſum minus malignum eſt, orae vero ochlhodeis, *praetumidae ac durae*, potior in his eſt oeſypus. Beneſacit etiam his cervi vitulique medulla, quam laevem ante factam cerae prius admiſcere oportet, dein ſic in unitatem coactis iis metallica trita, ut in pulverem redigantur excipienda ſunt, ut quae mordicationem pariant. Omnia vero ſicca ac terreſtria medicamenta, quantum ſatis eſt, antea laevigentur, ut eſt galla, cytinus, malicorium, Aegyptiae ſpinae fructus, quoniam id

Ed. Chart. XIII. [743.] Ed. Baſ. II. (562.)

πάντ' ἐστὶ τὰ τοιαῦτα, καθάπερ εὐλείωτα τὰ ἐκ χυλῶν ἢ ὀπῶν ἐξηρασμένων γεγονότα, σμύρνα καὶ ἀλόη καὶ ἀκακία καὶ ὅσα τούτοις ὁμογενῆ. καλῶς δ' ἐπὶ τῇ τελευτῇ τοῦ προειρημένου φαρμάκου τῆς γραφῆς ὁ Ἀσκληπιάδης προσέθηκεν αὐτοῖς ὀνόμασι· καὶ ταῦτα λῦε διὰ τρίτης καὶ ἀποπυρία καὶ τὸ αὐτὸ πλατυσμάτιον ἀπονίψας μάλαξον καὶ πάλιν ἐπιτίθει. εἰ μὴ γὰρ ἐπὶ πλέον ὁμιλήσειε τῷ χρωτὶ τὸ φάρμακον, οὐδὲν ἀνύσει. λέληθε δὲ καὶ τοῦτο αὐτὸ τοὺς πολλοὺς τῶν ἰατρῶν, καὶ νομίζουσιν, εἰ τρὶς τῆς ἡμέρας ἐκμάξαιεν τοὺς ἰχῶρας τοῦ ἕλκους, ἄμεινόν τι πράττειν τῶν δὶς ἀποματτόντων. τοὺς δ' ἅπαξ λύοντας καὶ αὐτοὶ πολλάκις οἱ κάμνοντες ὡς ἀμελούμενοι μέμφονται. προσήκει δ' ὑμᾶς μεμνῆσθαι κἀνταῦθα τοῦ πολλάκις ἡμῖν εἰρημένου κατὰ πολλὰ τῶν ἡμετέρων ὑπομνημάτων, ὡς αἱ ποιότητες ἁπάντων τῶν πλησιαζόντων σωμάτων εἰς ἀλλήλας τι δρῶσι, κἂν τὸ ἕτερον αὐτῶν ἰσχυρότερον ᾖ πολλῷ. κατὰ γάρ τοι τοῦτον τὸν λόγον ὁμοειδεῖς πως ἀλλήλαις ἐν τῷ χρόνῳ γίγνονται, κἂν διαφέρωσι πάμπολυ. γενομένης δ' ὁμοειδοῦς τῷ θεραπευομένῳ σώματι τῆς τοῦ φαρμάκου ποιότητος ἡ ὠφέ-

genus omnia aegre fiunt laevia, ſicut facile quae ex ſuccis et liquoribus reſiccatis proveniunt, myrrha, aloë, acacia et quae his ſunt genere finitima. Caeterum recte Aſclepiades ad finem ſuperioris medicamenti ſcripti haec verba adjecit, et haec triduo ſolvito fomentisque mitigato, idemque emplaſtrum ablutum emollito rurſusque apponito. Niſi enim diutius cuti medicamentum adhaeſerit, nihil efficiet. Quod et plerosque medicos latuit arbitrantes, ſi ter die ſaniem ab ulcere deterſerint, melius ſe facturos iis, qui bis idem faciunt, qui vero ſemel ſolvunt, ab ipſis quoque aegris tanquam negligentes male audiunt. Convenit hic quoque vos meminiſſe, quod in plerisque noſtris commentariis dictum eſt, qualitates videlicet omnium vicinorum corporum mutuo in ſe quicquam agere, etſi alterum ipſorum multo ſit validius. Hac namque ratione ſpecie quodammodo inter ſe ſimiles fiunt ſpatio temporis, tametſi permultum differant, ubi autem qualitas medicamenti curando corpori ſimilis

Ed. Chart. XIII. [743. 744.] Ed. Baſ. II. (362. 363.)

λεια μείζων ἔπεται. διὰ τούτων οὖν ὅ τε πρῶτος ἐπινοήσας χρῆσθαι τὸ πρότερον ἐπιτεθέντι πλατύσματι δικαίως ἂν ἐπαινοῖτο καὶ ἡμᾶς ἕπεσθαι προσῆκεν αὐτῷ πολὺ μᾶλλον, ἐπεὶ καὶ τῇ πείρᾳ μαρτυρουμένην τὴν ἐπίνοιαν ἐγνώκαμεν. εὐλόγως δὲ καὶ πυριᾶσθαι κελεύει διὰ τρίτης αὐτὸ καθ' ἑκάστην δηλονότι λύσιν, ἐπεὶ γὰρ ἰσχυρόν ἐστι τὸ φάρμακον, εἰκότως παρηγορίας δεῖται. βέλτιον οὖν ἐπὶ τῶν μὴ πάνυ κακοήθων τετραπλάσιον ἢ πενταπλάσιον εἶναι τὸν κηρὸν ἀμφοῖν ὁμοῦ τῶν μεταλλικῶν. ἐφεξῆς δὲ τῷ προγεγραμμένῳ φαρμάκῳ γέγραφεν ἕτερον φάρμακον ὁ Ἀσκληπιάδης τὴν σύστασιν ἔχον (363) τήνδε. ℞ ἰοῦ γο β'. λεπίδος γο β'. διφρυγοῦς γο α'. κηροῦ λι. α'. λάρικος γο γ'. αὕτη πάλιν ἡ συμμετρία τῶν ἁπλῶν φαρμάκων ἡ αὐτὴ τῇ πρόσθεν ἐστὶν, μόνῳ τῷ διφρυγεῖ πλεονεκτοῦσα. τἄλλα γοῦν ἅπαντα [744] διπλάσια τῶν ἔμπροσθέν ἐστιν. ἐν ἐκείνῃ μὲν γὰρ τῇ γραφῇ γο α'. ἔβαλλεν ἰοῦ καὶ λεπίδος ἑκατέρου, συναμφοτέρου δ' αὐτῶν τὸν κηρὸν τριπλάσιον, εἴ γε τὰς πάσας γο στ'. ἠξίου βάλλειν αὐτοῦ, τὴν μέντοι ῥητίνην ἡμιούγγιον

ſpecie fuerit, utilitas major ſequitur. His igitur rationibus qui primus emplaſtro ante impoſito uti ſtatuit laude dignus eſt, et nos ipſum ſequi multo magis decet, quum quod ratione invenit experientia comprobatum cognoverimus. Nec temere triduo quoque ipſum foveri, ſingulis videlicet ſolutionibus praecipit, nam quia valens medicamentum eſt, merito lenitionem deſiderat. Satius igitur eſt in ulceribus non ita malignis ceram quadruplam vel quincuplam amborum ſimul metallicorum eſſe. Poſt hoc medicamentum, aliud Aſclepiades deinceps tradidit, quod his conſtat. ℞ Aeruginis uncias ij, ſquamae unc. ij, diphrygis unciam unam, cerae libram unam, laricis ℥ iij. Haec rurſus ſymmetria ſimplicium medicamentorum eadem eſt, quae ſuperioris, ſolo diphryge ſuperans, alia certe omnia priorum duplicata ſunt. In illa enim ſcriptura aeruginis et ſquamae utriusque unciam unam adjiciebat, cerae modum ambabus triplo majorem, ſiquidem omnes uncias ſex ejus admiſcendas cenſuit, reſinae vero ſemunciam ſupra utri-

Ed. Chart. XIII. [744] Ed. Baſ. II. (363.)

ἑκατέρου τῶν μεταλλικῶν. ἐν δὲ τῇ δευτέρᾳ γραφῇ ταύτης μὲν ἀντὶ μιᾶς καὶ ἡμισείας οὐγγίας τρεῖς ἐμβάλλειν κελεύει, τῶν μεταλλικῶν δ' ἀντὶ γο α'. ἑκατέρου δύο, καὶ τοῦ κηροῦ λίτραν ἐν τῇ προτέρᾳ γραφῇ βάλλων ἡμίλιτρον. εὔδηλον οὖν ὅτι τὸ διφρυγὲς μόνον ἐν τῇ δευτέρᾳ προσέθηκε, καὶ εἴπερ οὐγγίαν αὐτοῦ βάλλειν κελεύει κατὰ διπλασίων τῶν ἄλλων, ἐάν τις ἁπλᾶ πάντα τὰ κατὰ τὴν προτέραν γραφὴν μιγνὺς τοῦ διφρυγοῦς αὐτοῖς ἡμιούγγιον προσθήσει, ποιήσει τὴν σύνθεσιν τοῦ φαρμάκου τοιάνδε. ℥ λεπίδος γο α'. ἰοῦ γο α'. κηροῦ ἡμίλιτρον, ῥητίνης λάρικος γο α'. καὶ ἡμίσειαν, διφρυγοῦς ἡμιούγγιον, ἡ αὐτὴ κατὰ πᾶν καὶ ἥδε τῇ προτέρᾳ γίγνεται, πλὴν τοῦ διφρυγοῦς. ἔστι δὲ τὸ μὲν διφρυγὲς οὕτω μέτριον φάρμακον, ὡς καὶ μόνον ἐπιπαττόμενον ἰᾶσθαι τὰ δυσεπούλωτα τῶν ἑλκῶν. ὁμοίως δ' αὐτῷ καὶ ὁ κεκαυμένος χαλκός. ἰσχυρότερος δ' ἱκανῶς ὁ ἰός, ὡς ἐκπεπτωκέναι τοῦ καὶ τὰ πάνυ ῥυπαρὰ καὶ ὑγρὰ θεραπεύειν, εἰ καταπάττοι τις αὐτὸ μόνον· ἀναβιβρώσκει γὰρ καὶ δάκνει σφοδρῶς. ἐπὶ δὲ τῶν χειρωνείων ἑλκῶν τοῖς ἄλλοις μι-

usque metallici portionem. Secunda ſcriptura illius quidem loco unciae et ſemiſſis tres imponendas jubet, metallicorum vero pro una uncia ſingulorum duas, cerae libram, cum in priore ſcriptura ſelibram immittat. Clarum itaque eſt diphryges ſolum in ſecunda eum appoſuiſſe. Ac ſi unciam ipſius immittendam aliis duplicatis praecipit, modo ſimplicibus univerſis in priore ſcriptura mixtis diphrygis ſemunciam addideris, talem medicamenti confecturam habiturus es. ℥ Squamae unciam j, aeruginis unciam j, cerae ſelibram, reſinae laricis unciam j ß, diphrygis ſemunciam. Eadem omnino et haec eſt priori, ſi diphryges excipias, quod tam moderatum eſt medicamentum ut etiam ſolum inſperſum ulceribus, quae cicatricem difficulter admittunt, medeatur, ſimiliter et aes uſtum. Valentior autem longe aerugo, ut vel ſordida admodum et humida curandi terminos exceſſerit, ſi ſolam eam inſpergas, exedit enim et mordet inſigniter. Porro in chironiis ulceribus aliis

Ed. Chart. XIII. [744.] Ed. Baſ. II. (363.)

χθεὶς φαρμάκοις εἰς τοσοῦτον ἐκλύεται μὲν αὐτὸς τοῦ σφοδροῦ τῆς δυνάμεως, αὐξάνει δὲ τὴν ἐκείνων, ὡς γενέσθαι τὸ σύνθετον ἐξ ἁπάντων φάρμακον κάλλιστον. ᾧ λόγῳ δ' ἐμίχθη τοῖς εἰρημένοις φαρμάκοις ὁ ἰὸς, τούτῳ καὶ ἡ ἄσβεστος τίτανος, ὀλίγη τῇ ἀναλογίᾳ πολλοῖς ἐπεμβληθεῖσα πρός τινων. ἡ δ' ἐσβεσμένη μέτριόν ἐστι φάρμακον, εἰ δὲ καὶ πλυθείη, παντάπασιν ἄδηκτον. ταύτην μὲν οὖν τὴν ἔμπλαστρον ἕνεκα παραδείγματος ἔγραψε, διότι γυμνάζεσθαι τοὺς νέους ἐπὶ τῶν κατὰ μέρος ἀξιῶ, καὶ μὴ μόνοις ἀρκεῖσθαι τοῖς καθόλου. πάλιν δ' ἐπ' ἀρχὴν ἀγαγὼν τὸν λόγον ἐπὶ τὰς ὑπ' Ἀνδρομάχου γεγραμμένας μεταβήσομαι.

Κεφ. ε'. [*Περὶ τῶν ὑπ' Ἀνδρομάχου γεγραμμένων ἐμπλάστρων πρὸς τὰ κακοήθη τῶν ἑλκῶν.*] Παραθήσομαι τοίνυν ἕνεκα παραδείγματος ὅσα τῇ πείρᾳ κέκριται τῶν συνθέτων φαρμάκων πρὸς τὰ κακοήθη τῶν ἑλκῶν ἁρμόττοντα, τὴν ἀρχὴν ἀπὸ τῶν Ἀνδρομάχου γεγραμμένων ποιησάμενος. μέμψαιτο δ' ἄν τις αὐτῷ χωρὶς διορισμοῦ τὰ φάρμακα γράψαντι. τούτου γὰρ παραλελειμμένου συμβαίνει κακῶς αὐ-

mixta medicamentis tantum de vehementia quidem facultatis ſuae remittit, auget autem illorum, ut compoſitum ex omnibus medicamentum fiat praeſtantiſſimum. Qua vero ratione praedictis medicamentis aerugo mixta fuerit, hac et viva calx exigua proportione aliorum multis a quibusdam adjecta. Extincta mediocre eſt medicamentum, elota prorſus laeve et mordacitatis expers. Hoc igitur emplaſtrum exempli gratia adſcripſi, quod juvenes in particularibus exerceri velim, nec univerſalibus ſolis eſſe contentos. Rurſus autem revocato ad initium ſermone ad Andromachi medicamenta digrediar.

Cap. V. [*De ſcriptis ab Andromacho emplaſtris ad ulcera maligna.*] Apponam igitur cauſa exempli quae ex compoſitis medicamentis ad cacoëthe ulcera convenire uſu probata ſunt, ab iis exorſus quae ſcripſit Andromachus, quem non injuria queas accuſare, quod citra diſtinctionem medicamenta tradiderit. Hac enim omiſſa permultos medi-

Ed. Chart. XIII. [744.745.] Ed. Baſ. II. (363.)

τοῖς χρῆσθαι τοὺς πολλοὺς τῶν ἰατρῶν, καὶ διὰ τοῦτο ποτὲ μὲν ἐπιτυγχάνειν τοῦ σκοποῦ θαυμασίως, ἔστι δὲ ὅτε καὶ διαμαρτάνειν ἀποπίπτοντας πάμπολυ. δέον οὖν εἰπεῖν ἰσχυρότατον τάδε τι, πάνθ' ἑξῆς ἔγραψεν ὁ Ἀνδρόμαχος καὶ τούτου πάλιν ἕτερον μετριώτατον. ἀσθενέστατον δὲ τοῦτο οὐδένα διορισμὸν προσθείς. ἄρχεται γοῦν αὐτῶν τούτων προσγράψας μὲν ἐπουλωτικαί. μετὰ δὲ τὸ πρόσγραμμα τοῦτο γράφων ἐφεξῆς. ℥ καδμείας ὀπτῆς λίτραν α'. χαλκίτεως κεκαυμένης λι. α'. κηροῦ λίτρας δ'. ῥητίνης ξηρᾶς λίτρας γ'. μυρσίνου λίτρας γ'. οἴνου εἰς τὰ ξηρά. τούτων δὲ ἐφεξῆς γράφει κατὰ λέξιν οὕτως· ἢ διὰ λαδάνου. καὶ προσθεὶς τὴν συμμετρίαν ἐφεξῆς πάλιν ἔγραψεν· ἄλλως, ὡς Ἀλκιμίων. εἶτα κἀνταῦθα τὰς συμμετρίας τῶν ἁπλῶν φαρμάκων γράψας ἐπιφέρων φησίν· ἢ διὰ κριθῶν. καὶ μετὰ τὸ ταύτην συνθεῖναι πάλιν οὕτως ἔγραψεν· ἄλλη ἐπουλωτική. ℥ ῥητίνης ξηρᾶς ≺ ιη'. διφρυγοῦς ≺ δ'. λιθαργύρου ≺ ιστ'. κηροῦ ≺ ι'. ἐλαίου κο. δ'. ὡς εἶναι τοῦτο [745] τὸ φάρμακον ἕκτον ἀπὸ τῆς ἀρχῆς αὐτῷ. καὶ μετ' αὐτὸ πάλιν ἐξ

cos male ipſis uti contingit, ideoque nonnunquam ſcopum mirifice aſſequi, interdum ab illo errare permultum delabentes. Quum igitur par eſſet ut ipſe diceret, hoc ipſum validiſſimum eſt, ab hoc rurſus aliud moderatiſſimum, hoc vero imbecillimum, ille omnia ſubinde ſcripſit, nulla diſtinctione appoſita. Auſpicatur igitur ea ipſa hoc titulo. *Cicatricem inducentia.* Mox ita ſubdit. ℥ Cadmiae toſtae libram unam, chalcitidis uſtae lib. j, cerae libras quatuor, reſinae aridae libras tres, myrtei libras tres, vinum aridis miſcetur. Ab his vero deinceps in hunc modum ſcribit ad verbum. *Medicamentum ex ladano.* Et ſymmetria appoſita iterum deinceps ait. *Aliter, ut Alcimion.* Deinde hic quoque ſymmetriis expoſitis infert inquiens. *Medicamentum ex hordeo.* Poſt hujus compoſitionem in hanc ſententiam iterum ſcribit. *Aliud cicatricem inducens.* ℥ Reſinae ſiccae drach. xviij, diphrygis ʒ iv, ſpumae argenti drach. xvj, cerae ʒ x, olei heminae quartam partem, ut hoc ſit ei medicamentum ab initio ſextum. His ſubjungit iterum alia ſex

Ed. Chart. XIII. [745.] Ed. Baf. II. (363.)

ἄλλα γράφει προγράφων ἑκάστου τὸ ἄλλη, προσυπακοῦσαι δηλονότι κελεύων ἡμᾶς τὸ ἐπουλωτική. τὰ μὲν οὖν πέντε τῶν συνήθων ἐστὶν ἐπουλωτικῶν οὔτε τῶν δυσεπουλώτων οὔτε τῶν κακοήθων, τὸ δ' ἕκτον τῶν δυσεπουλώτων, οὐ μὴν ἤδη γε τῶν κακοήθων. ἀλλ' αἱ γραφαὶ τῶν ὑπολοίπων ἓξ φαρμάκων τοῖς κακοήθεσιν ἁρμόττουσι διαφέρουσαι κατ' ἰσχὺν ἀλλήλων, αἷς δυοῖν θάτερον ἐχρῆν, ἤτοι λογικὴν καὶ μεθοδικὴν ποιούμενον τὴν διδασκαλίαν προσεγεγραφέναι τὴν κατὰ σφοδρότητα διαφορὰν, ὡς ἡμῶν νοησάντων, ἐπὶ μὲν τῶν κακοηθεστέρων ἑλκῶν τοῖς ἰσχυροτέροις χρῆσθαι φαρμάκοις, ἐπὶ δὲ τῶν μετριωτάτων τοῖς ἀσθενεστέροις· ἢ τοῖς ἐμπειρικοῖς ὁμοίως γράψαι, τοῖς μὲν φαγεδαινικοῖς καὶ ὅλως τοῖς ἀναβιβρωσκομένοις καὶ νεμομένοις ἐπιτήδεια τάδε τινὰ τῶν φαρμάκων εἶναι, τοῖς δὲ κοίλοις τάδε τινὰ, καὶ τοῖς μὲν ἱκανῶς ὑπαροῦσι ταυτὶ, τοῖς δὲ μετὰ φλεγμονώδους ἢ σκιῤῥώδους διαθέσεως ἢ τῶν χειλῶν τοῦ ἕλκους σκληρῶν ἢ ὀχθωδῶν ἢ μελάνων ἢ τινα ἄλλην χροιὰν ἐχόντων, ἴδια ἑκάστου. τούτων μὲν οὐδὲν ἐποίησεν· ἐφεξῆς δ' ἀλλήλων ἔγρα-

unicuique praeponens. *Aliud.* Volens nimirum cicatricem inducens nos inaudire. Quinque igitur ſunt epulotica quibus uti mos eſt nec malignis nec aegre cicatricem ducentibus idoneis. Sextum ad ulcera quidem dyſepulota, id eſt quae cicatricem difficulter recipiunt, non tamen jam ad maligna valet. Reliqua vero ſex adjecta malignis proſunt, viribus invicem diverſa, quibus alterutrum oportebat, nempe vel rationalem ac methodicam diſciplinam conficiendo, adſcripſiſſe in eorum vehementia differentiam, tanquam nobis intellecturis ad maligniora uleera valentioribus utendum remediis, ad mediocria imbecillioribus, vel empiricorum more poſuiſſe, quaedam horum medicamentorum phagedaenicis, in ſummaque exeſis ac paſtis eſſe utilia, quaedam cavis, quaedam vehementer ſordidis, iis vero qui phlegmonodem ſimul aut ſcirrhoſum affectum habent aut labra ulceris dura vel praetumida vel nigra vel alterius cujusquam coloris ſingulis propria, horum autem nihil ille effecit. Poſtea ſex

Ed. Chart. XIII. [745.] Ed. Baſ. II. (363.)

ψεν ἐξ ἐπουλωτικὰς δυνάμεις, ὧν ἐγὼ τὴν σύνθεσιν ἐρῶ μετὰ τῶν οἰκείων διορισμῶν. τὸ μὲν οὖν πρῶτον αὐτῷ γεγραμμένον, ἕβδομον δ' ἀπὸ τῆς ἀρχῆς ἰσχυρὸν ἱκανῶς ἐστιν ὡς ἂν ἴσον ἔχον ὄγκον, ἔλαβεν ἰοῦ καὶ λεπίδος, ἐκλέλυκε δ' αὐτοῦ καὶ καθήρηκε τὴν ἰσχύν, ἡ τοῦ κηροῦ μῖξις ὀκταπλασία μὲν ἑκατέρου, τετραπλασία δὲ συναμφοτέρου γενομένη. τοῦ μὲν γὰρ ἰοῦ καὶ τῆς λεπίδος οὐγγίαν ἑκατέρου μῖξαι κελεύει, τοῦ κηροῦ οὐγγίας ὀκτὼ, πάνυ καλῶς τοῦ συνθέντος αὐτὸ φυλαξαμένου μῖξαί τι τῶν μαλθακωδῶν, ἐλαίου λέγω καὶ στέατος, οἰσύπου τε καὶ βουτύρου καὶ ῥητίνης. ἀλλ' ἐὰν λιπαρὸς ὁ κηρὸς μὴ ᾖ, δύσμικτά γε ἕξει τὰ μεταλλικὰ, κἂν βιασόμεθα τὴν μῖξιν αὐτῶν, ἢ παρὰ πυρὶ ποιεῖν ἢ ἐν ἡλίῳ θερμῷ, μικρὸν ὕστερον σκληρὸν ἔσται τὸ φάρμακον, ὥσθ' ὅταν ἐπιτεθῇ τῷ ἕλκει, διφθέραν ἑαυτοῦ σκληρὰν ὁ κάμνων οἰήσεται ψαύειν. πάντα γὰρ τὰ τοιαῦτα φάρμακα τὴν χρῆσιν ἔχει τοιαύτην, ἣν καὶ θερμὰς ἔχων τις τὰς χεῖρας ἀναιρεῖται τηλικοῦτον μέγεθος ἐξ αὐτῶν, ἡλίκον μαλαχθέν τε καὶ πλατυνθὲν, ἐπιτεθήσεται καθ' ὅλου τοῦ ἕλ-

facultates cicatricem inducendi ordine retulit, quarum ego compoſitionem cum propriis diſtinctionibus narraturus ſum. Primum itaque ab eo ſcriptum, quod tamen a principio ſeptimum eſt, ſatis validum, ut quod aequale habeat pondus aeruginis et ſquamae, remiſit autem minuitque vim ipſius cerae mixtura, quae octo partes utriusque ſigillatim, quatuor amborum ſimul explet. Etenim aeruginis et ſquamae cujusque unciam miſcere praecipit, cerae uncias octo, admodumque commode cavit, qui id compoſuit, miſcere aliquod lene, oleum dico et ſevum et oeſypum et butyrum et reſinam. At ſi pinguis cera non adſit, metallica aegre miſcebuntur. Ac ſi juxta ignem vel in ſole calido miſcere ipſa cogamur, paulo poſt medicamentum indureſcet. Quapropter quum ulceri fuerit impoſitum, ſanum ſuum aeger durum contingere putabit, quippe ejusmodi medicamenta omnia talem habent uſum. Si vero calidis manibus tractetur, tantum ex ipſis recipit magnitudinis ut emollitum dilatatum-

Ed. Chart. XIII. [745.] Ed. Baf. II. (363. 364.)

κους, ὡς καὶ τὰ χείλη σκέπειν. ὅταν δ' ἢ βαθὺ, προσαναπληροῦται τὸ κοῖλον αὐτοῦ πᾶν, ἐντεθέντος αὐτῷ τοῦ φαρμάκου. καὶ μετὰ τοῦτο πάλιν ἐπιτίθεται πλάτυσμα ἕτερον, συμπεριλαμβάνον καὶ τὰ χείλη. κἄπειτα τούτῳ βεβρεγμένον πάλιν ὀθόνιον ὕδατι ψυχρῷ τηλικοῦτον ἐπιβάλλεται κατὰ παντὸς, ὡς σκεπάσαι τὸ φάρμακον, εἶτ' ἔξωθεν σπόγγος μαλακὸς, ἐπιδέσμῳ κατειλημμένος ἐξ ὀθόνης, ἤτοι ἅπαξ ἢ δὶς ἐν κύκλῳ περὶ τὸ πεπονθὸς μόριον ἑλιττομένῳ, τηλικούτῳ τὸ πλάτος, ὡς ἅπαν κατειλῆφθαι τὸ ἕλκος ἅμα τοῖς χείλεσι, καί τι καὶ τῶν ὑπερκειμένων τε καὶ ὑποκειμένων αὐτοῖς, ἡ δὲ ἐπίδεσις ἀπὸ δυοῖν ἀρχῶν γιγνέσθω, καλοῦσι δ' οὕτως, ὅταν τὸ μέσον ὅλον τοῦ τελαμῶνος ἐπιβάλληται τῷ πεπονθότι τόπῳ, τῶν κεφαλῶν δ' ἑκάτερον ἀπ(364)άγηται πρὸς τὸ ἀντικείμενον. εἶτα ἐὰν μὲν ἰσχυρὸν ᾖ τὸ ὀθόνιον, ὡς διὰ μιᾶς ἐπιβολῆς ἀσφαλῶς κατέχειν τὸν σπόγγον, αὐτόθι που συρ̣ρ̣αφήσεται διὰ τῶν περάτων, ἀφαιρουμένου ψαλίδι τοῦ περιττεύοντος· ἐὰν δὲ ἀσθενὲς, αὖθις ἀχθήσεται τῶν κεφαλῶν ἑκάτερον ὁμοτόνως ἑλκόμενον ἐπὶ τὸ πεπονθὸς, ὅπερ ἐν τοῖς μάλιστα φυλακτέον ἐστὶ κατά τε τὴν πρώτην ἐπι-

que toti ulceri imponatur, atque etiam oras contegat. Quum altum ulcus extiterit, totum ipſius cavum medicamento indito replebitur, poſtque hoc rurſus aliud platysma ſuperaccommodabitur, quod et labra comprehendat. Huic deinde rurſum linteus pannus frigida madens tantus undique objicitur, ut medicamentum occultet. Poſtremo extrinſecus ſpongia mollis faſcia ex linteo excepta vel ſemel vel bis affectam partem orbiculatim ambiente tantae magnitudinis, quo totum ulcus cum labris ac ſuperpoſitorum ipſis aliquid ſubjectorumque complectatur. Deligatio a duobus principiis fiat, vocant ſic, quoties tota pars media vinculi affecto loco incumbat, caput autem utrumque in oppoſitum deducatur. Poſtremo ſi pannus tam ſit validus ut ſemel injectis ſpongiam tuto contineat, illic terminis conſuetur, eo quod ſuperfluit, forfice adempto, ſin imbecillis, rurſus utrumque caput ducetur ſimili robore ad id, quod affectum eſt, attractum, quod in primis obſervare convenit, cum

Ed. Charl. XIII. [745. 746.] Ed. Baſ. II. (364.)

βολὴν, οὐχ ἥκιστα δὲ καὶ κατὰ τὴν δευτέραν. οὐ μὴν οὐδὲ ἐκείνου σε χρὴ λήθην ἔχειν, οὗ πρῶτος ὧν ἴσμεν Ἱπποκράτης εὗρεν, ἁμαρτανομένου πάλαι μὲν ὑπὸ πάντων τῶν πρὸ αὐτοῦ, νυνὶ δ' ὑπὲρ τῶν μὴ μαθόντων νομίμως τὴν τέχνην. οἴονται γὰρ ἄμεινον εἶναι, [746] τὸ μὲν ἡλκωμένον μέρος ἄθλιβον φυλάττειν, ἑκατέρωθεν δ' αὐτοῦ περιβάλλειν τὸ ἐπίδεσμον, ὅπερ εἰς ὅσον ἐστὶ βλαβερὸν ὑφ' Ἱπποκράτους ἐδείχθη. ὅταν οὖν σοι ταῦτα κατὰ τὴν πρώτην ἡμέραν πραχθῇ, τῇ δευτέρᾳ διάβρεχε τὸν σπόγγον, ἐπιχέων ὕδατι ψυχρῷ. θερμοῦ δὲ καὶ ξηροῦ τοῦ περιέχοντος ὄντος καὶ δὶς καὶ τρὶς τῆς ἡμέρας ποιητέον τοῦτο καὶ λυτέον τὸ ἐπίδεσμον διὰ τρίτης· εἰ δὲ χειμὼν εἴη, καὶ διὰ τετάρτης. ἐπισκεπτέον δὲ τὴν γεγονυῖαν ἐκ τοῦ φαρμάκου περὶ τὸν πεπονθότα τόπον ἀλλοίωσιν, ἔν τε τῇ κοιλότητι τοῦ ἕλκους καὶ κατὰ τὰ χείλη καὶ μέντοι περὶξ αὐτῶν. ἡ δ' ἐπίσκεψις, ἐξ ὧν ἔμαθες ἐν τοῖς περὶ κράσεων ὑπομνήμασι γιγνέσθω σοι, λέλεκται δὲ περὶ τούτων τῶν ἑλκῶν καὶ κατὰ τὴν θεραπευτικὴν μέθοδον. ἤτοι γὰρ ξηρότερον ἢ ὑγρότερον ἢ θερμό-

in primo faſciae trajectu tum vel maxime in ſecundo. Quin nec illius oblivifci te oportet, cujus primus, quorum ad nos memoria pervenit, Hippocrates inventor exitit, olim ab omnibus ante ipſum medicis, nunc ab iis, qui artem parum legitime didicerunt commiſſi. Putant enim ſatius eſſe partem exulceratam incompreſſam ſervare, utrinque vero ligamentum ei circumponere, quod quam ſit incommodum ac noxium, Hippocrates demonſtravit. Igitur ubi haec primo die peregeris, altero aqua frigida ſpongiam perrigato. Si ambiens aër calidus et ſiccus fuerit, bis hoc terve in dies ſingulos faciendum eſt, ac deligatura tertio quoque die ſolvenda, per hiemem etiam quarto. Caeterum inſpicienda eſt a medicamenti vi facta alteratio tum in ulceris cavitate tum in labris tum in locis ea ambientibus. Porro unde haec diſcas, libri de temperamentis ſuppeditabunt, nec non in opere therapeutices methodi de his ulceribus tractatum eſt. Vel enim ſiccius vel humidius vel calidius vel frigi

Ed. Chart. XIII. [746.] Ed. Baſ. II. (364.

τερον ἢ ψυχρότερον ἐφάνη τοῦ πρόσθεν, ὅλον τε τὸ πεπονθὸς μόριον ἕκαστόν τε τῶν μερῶν αὐτοῦ. καὶ πρὸς τούτοις ἐπισκέπτεσθαι προσήκει πότερα καθῄρηταί τι τῶν χειλῶν ἢ μεμάλακταί πως ἢ λελέπτυνται καὶ περὶ τῆς κατὰ τὴν χροιὰν ὑπαλλαγῆς καὶ περὶ τοῦ κατὰ τὸν ῥύπον πλήθους. ἐκ τούτων γὰρ εἴσῃ πότερον ἰσχυρότερον ἢ μαλακώτερον ἐπιθεῖναι προσήκει φάρμακον ἢ ταὐτὸ τῷ πρώτῳ. δυνήσῃ δὲ καὶ τὸ πρῶτον αὐτὸ ῥᾳδίως ἐξαλλάττειν, εἰ μὲν μαλακώτερον ποιῆσαι βούλοιο, μιγνὺς ἐν τῷ μαλάττειν ὀλίγον τινὸς τῶν στυφόντων ἐλαίου ἤτοι μυρσίνου ἢ ῥοδίνου ἢ μηλίνου ἢ σχινίνου ἢ μαστιχίνου ἢ κυπρίνου. εἰ δ' ἰσχυρότερον ἤτοι τῆς λεπίδος ἢ τοῦ ἰοῦ, παρεσκευάσθω γάρ σοι τούτων ἑκατέρου βραχὺ λεῖον ἀκριβῶς, ἵν' ἐν τῷ μαλάττειν προσβάλλῃς. ἐγὼ δὲ, ὡς ἴστε, καὶ προσεπιπάττω τι τῶν πραέων φαρμάκων τῷ ἕλκει καὶ κατ' αὐτοῦ τὸ πρῶτον ἐπιτίθημι φάρμακον ἐμπλαστρῶδες. εὔδηλον δ' ὅτι πραέα λέγω φάρμακα διφρυγὲς, σαρκοκόλλαν, χαλκῖτιν κεκαυμένην, ὁμοίως δὲ καὶ τὸν χαλκὸν καὶ τὸν ἰὸν κεκαυμένον καὶ τὸ χάλκανθον. ἄκαυστα μὲν γὰρ ταῦτα πάντα δριμέα, καυθέντα δὲ

dius, quam prius et totum membrum affectum et ſingulae ejus partes apparuere. Inſuper conſiderabimus, nunquid ex oris ademptum ſit, vel emollitae quodammodo vel attenuatae ſint, item colorne mutatus et an ſordium copia eadem remanſerit. Unde cognoſces utrum fortius vel mollius vel ſimile priori medicamentum imponendum veniat. Poteris ſane et primum ipſum ex facili immutare, ſi mollius voles reddere, mixto inter molliendum paululo cujusdam olei aſtringentis aut myrtei aut roſacei aut melini aut lentiſcini aut maſtichini aut cyprini, ſin validius aut ſquama aut aerugine, ex quibus utrisque paulum adamuſſim laeve reddes, ut ſubigendo adjicias. Nos, uti noviſtis, vel mite aliquod medicamentum ulceri inſpergimus, eique medicamentum emplaſtrodes ſuperimponimus. Nulli dubium eſt mitia medicamenta mihi dici, diphryges, ſarcocollam, chalcitidem uſtam, item combuſtum et aes et aeruginem et chalcanthum, quae ignem non experta, acria omnia ſunt, uſta, moderata

Ed. Chart. XIII. [746.] Ed. Baſ. II. (364.)

μέτρια, πλυθέντα δὲ μετὰ τὴν καῦσιν ἄδηκτα γίγνεται. ἄμεινον δὲ καὶ τὴν ἔμπλαστρον αὐτὴν μεταῤῥυθμίζειν, ὡς εἴρηται, τῇ μίξει καί τι τῶν ἄλλων ἐπιτιθέναι φαρμάκων, ὧν ἐφεξῆς Ἀνδρόμαχος ἐμνημόνευσε, μὴ μόνον ὁρῶντας δυνάμεις τῶν μιγνυμένων, ἀλλὰ καὶ τὰς ποσότητας, ὥσπερ ἐπ' αὐτοῦ τοῦ νῦν εἰρημένου. τετραπλάσιος γὰρ ὁ κηρὸς μίγνυται συναμφοτέρῳ τῷ τε ἰῷ καὶ τῇ τοῦ χαλκοῦ λεπίδι. μιχθεὶς οὖν τριπλάσιος ἰσχυρότερον αὐτὸν ποιήσει, καθάπερ γε κἂν πενταπλάσιος, ἀσθενέστερον. οὕτως οὖν πράττειν χρὴ κἀπὶ τῶν ἄλλων, οἷον ἐπὶ τοῦ μετὰ τὸ προειρημένον φάρμακον γεγραμμένου κατὰ τὴν ἑξῆς τάξιν ὀγδόου, συμμετρίαν ἔχοντος τήνδε. ♃ χρυσοκόλλης ≺ β'. λεπίδος ≺ β'. κηροῦ ≺ στ'. διφρυγοῦς ≺ β'. λιθαργύρου ≺ η'. ῥοδίνου ἢ μυρσίνου ὀλίγον. ἐν τούτῳ τῷ φαρμάκῳ χρυσοκόλλα μὲν καὶ διφρυγὲς αὐτὰ καθ' αὑτὰ μόνα καταπαττόμενα τοῖς κακοήθεσιν ἕλκεσιν ἱκανὰ θεραπεύειν ἐστίν. ἡ λεπὶς δὲ ἰσχυρότερον καὶ τραχυντικώτερον καὶ δηκτικώτερον φάρμακόν ἐστι, καὶ διὰ τοῦτο λιθάργυρον ἔμιξεν ὁ συνθεὶς τὸ φάρμακον, ὑπειδόμε-

lota poſt uſtionem, lenia mordacitatisque ſiunt expertia. Praeſtat autem, ſicut praediximus, et emplaſtrum mixtioni adaptare, aliquodque ex aliis medicamentis imponere, quorum deinceps meminit Andromachus, idque non modo ſimplicium facultates ſed menſuram quoque inſpicientes, ut in eo, quod jam commemoravimus. Quatuor enim partes cerae cum aeruginis et ſquamae utriusque una miſcentur, tres fortius ipſum efficient, ſicut quinque imbecillius. Eodem modo in aliis agendum eſt, puta in eo, quod praedictum ſequitur octavum ordine tali ſymmetria. ♃ Chryſocollae drach. duas, ſquamae drach. duas, cerae drach. ſex, diphrygis drach. duas, ſpumae argenti drach. octo, roſacei vel myrtei parum. In hoc medicamento chryſocolla et diphryges ipſa per ſe inſperſa malignis ulceribus curandis ſufficiunt. Squama validius, aſperius mordaciusque medicamentum eſt, ecque argenti ſpumam auctor admiſcuit ſubveritus ſquamae violentiam cupiensque ipſam mollioris medicamenti

Ed. Chart. XIII. [746. 747.] Ed. Baſ. II. (364.)

νος τὸ βίαιον τῆς λεπίδος, ἐκλῦσαί τε βουληθεὶς αὐτὸ τῇ μίξει τοῦ μαλακωτέρου φαρμάκου. καὶ εἴ τις ἄνευ κηροῦ τὰ τέτταρα μίξειε κατὰ τὴν εἰρημένην συμμετρίαν, ἕξει φάρμακον ξηρὸν ἐπίπαστον οὐκ ἀγεννὲς εἰς τὴν τῶν κακοήθων ἑλκῶν ἴασιν. ἀλλ' ἔμπλαστρόν γε βουλομένῳ σοι ποιῆσαι τόν τε κηρὸν ἀναγκαῖόν ἐστι μιγνύναι. καὶ διὰ τὸ τῶν μεταλλικῶν πλῆθος ἐξ ἀνάγκης καὶ τῶν ὑγρῶν ἐμνημόνευσεν ὁ Ἀνδρόμαχος ἐν τῇ προκειμένῃ δυνάμει ῥοδίνου τε καὶ μυρσίνου. πάνυ γὰρ ὁ κηρὸς ὀλίγος ἐστὶν, ὡς πρὸς τὸ τῶν μεταλλικῶν πλῆθος. [747] ὅπου τοίνυν τῆς χρυσοκόλλης μὲν καὶ τῆς λεπίδος καὶ τοῦ διφρυγοῦς, ἐκ δυοῖν δραχμῶν τῶν εἰρημένων, τῆς λιθαργύρου δὲ ὀκτὼ μίγνυσθαι κελεύει, τεσσαρεσκαίδεκα δηλονότι τὰς πάσας ἐργαζόμενος ἢ κηρὸν λιπαρὸν ἐδεῖτο μίξαι πάμπολυ ἢ προσμῖξαί τι τῷ φαρμάκῳ τῶν ἐλαιωδῶν. ἐπὶ δὲ τοῦ προειρημένου φαρμάκου τετραπλάσιος ἦν ὁ κηρὸς τῶν μεταλλικῶν. ἔξεστιν οὖν ἡμῖν ἀφελοῦσι τὴν λιθάργυρον ἐκ τῶν ἄλλων συντιθέναι τὸ φάρμακον, ὥσπερ ἐγώ ποτε ἐποίησα. εἰ γὰρ τοῦτο πράξειέ τις, οὐ δεήσεται τοῦ μυρσίνου, λιπαροῦ γε, ὡς ἔφην, ὄντος τοῦ κηροῦ. σκληρὸς δ' εἴπερ

mixtura mitigare ac exolvere. Sin absque cera quatuor illa juxta dictam temperaturam miſceas, medicamentum aridum inſperſile habiturus es ad malignorum ulcerum curationem non ineſficax. At ubi emplaſtrum facere conaris, cera miſcenda eſt. Et propter metallicorum copiam neceſſario etiam liquidorum in praeſenti facultate meminit Andromachus, roſacei nempe et myrtei, cera namque modica nimis eſt pro metallicorum modo. Quum igitur chryſocollae, ſquamae et diphrygis binas drachmas, argenti ſpumae octo miſceri jubet, quatuordecim videlicet univerſas efficiens, vel ceram pinguem permultam vel oleoſum aliquod medicamento affundere debebat. In ſuperiore medicamento cera quadruplo metallica ſuperabat, unde ſpuma argenti ablata ex aliis licet medicamentum componere, quemadmodum ego nonnunquam factitavi. Quod ſi fiat, myrteo non opus erit, cera, ut dixi, pingui adhibita, ſi dura ſit, liquidum aliquod

Ed. Chart. XIII. [747.] Ed. Baſ. II. (364.)

εἴη, δεήσει προσθεῖναί τι καὶ τῶν ὑγρῶν. διὰ τοῦτο οὖν μοι δοκοῦσιν ἔνιοι καὶ τὰ τοιαῦτα φάρμακα προσγεγραφέναι τῷ κηρῷ, τινὲς μὲν τοῦ νέου, τινὲς δὲ τοῦ προσφάτου, οὐ μὰ Δία τῆς ἡλικίας αὐτοῦ χρῄζοντες, ὥσπερ ἐπ' ἄλλων φαρμάκων, ἀλλὰ τῆς ὑγρότητος. ἔστι μὲν γὰρ ὄντως κρείττων ὁ νέος, ἀλλ' οὐχ ὥστε φεύγειν ἤδη τὸν δυοῖν ἢ τριῶν ἐτῶν. ἐπὶ δὲ τὴν ἐφεξῆς τῇδε γεγραμμένην ἔμπλαστρον ἰέναι καιρὸς οὕτως ἔχουσαν. ℔ διφρυγοῦς ≺ πδ'. λιθαργύρου ≺ σμ'. κηροῦ ≺ τιή'. ἐλαίου κο. στ'. εἰ δ' ἂν τοῦτο τὸ φάρμακον ἐπουλωτικὸν, ἕλκῶν οὐδέπω μὲν κακοήθων, ἤδη δὲ δυσεπουλώτων. ξηραίνει μὲν γὰρ, ἀλλ' οὐκ ἰσχυρῶς, ὥσπερ τὸ μετ' αὐτὸ γεγραμμένον, οὐ μὴν οὐδ' ἐν τηλικαύτῃ συμμετρίᾳ σκευάζειν αὐτὸ προσήκει. ταὐτὸν γὰρ αὐτῷ τοῦτό ἐστι. ℔ διφρυγοῦς ≺ ιδ'. λιθαργύρου ≺ μ'. κηροῦ ≺ νγ'. μυρσίνου ἐλαίου γο ι'. ἐξαπλάσια γὰρ τούτων ἐστὶ τὰ ὑπὸ τοῦ Ἀνδρομάχου γεγραμμένα. τοῦτο μὲν οὖν ἐπουλωτικὸν ὄντως ἐστὶν ὅμοιον τῷ διὰ καδμείας καὶ τῇ γλυκείᾳ καλουμένῃ, περὶ ὧν κατὰ τὸν ἑξῆς λόγον εἰρήσεται. τὸ δὲ μετ'

miſcere oportebit. Quamobrem nonnulli in id genus medicamentis cerae appoſuiſſe videntur, alii novae, alii recentis, non per lovem ipſius aetatem, ſicut in aliis medicamentis, ſed humiditatem requirentes. Eſt etenim re vera melior nova, ſed non jam ut bimulam trimulamve rejicias. Caeterum ad ſequens emplaſtrum ire tempus eſt, quod habet in hunc modum. ℔ Diphrygis drach. lxxxiv, argenti ſpumae drach. ccxl, cerae drach. cccxviij, olei heminas vj. Poterit autem hoc medicamentum ulceribus nondum malignis, verum cicatricem aegre recipientibus eam obducere, quoniam exiccat, ſed non valide, ut quod poſt ipſum ſcribitur minori tamen ſymmetria conficiendum eſt, idem enim ei hoc eſt. ℔ Diphrygis drach. xiv, argenti ſpumae drach. xl, cerae drach. liij, olei myrtei ʒ x. Nam Andromachi medicamenta horum ſeſcupla ſunt. Hoc igitur cicatrici obducendae re vera eſt reſpondens ex cadmia confecto et glyceae nominatae, de quibus ſequenti ſermone dicemus. Huic ſub-

Ed. Chart. XIII. [747.] Ed. Baſ. II. (364. 365.)

αὐτὸ γεγραμμένον ἰσχυρότερον μὲν, οὐ μὴν ἐγγύς γε τῷ πρώτῳ τῶν ἓξ τούτων, ἑβδόμῳ δ' ἀπὸ τῆς πρώτης ἀρχῆς, εἰς ὃν τήν τε λεπίδα καὶ τὸν ἰὸν ἔμιξε τετραπλασίῳ κηρῷ. διφρυγοῦς γὰρ ἐπὶ τούτοις ≺ ιστ'. μιγνὺς, λιθαργύρου μὲν ἐπιβάλλει ≺ μή. κηροῦ δὲ ξστ'. εἶτα διὰ τὸ τούτων πλῆθος ἠναγκάσθη μιγνύειν αὐτοῖς μυρσίνου κο. α' S''. ἀριθμείσθω τοιγαροῦν ἡμῖν ἐν τοῖς ἐπουλωτικοῖς καὶ τοῦτο. καὶ τὸ μετ' αὐτὸ δὲ ταὐτοῦ μέν ἐστι γένους, πρᾶον δὲ ἱκανῶς καὶ ἄδηκτον ἐκ μολύβδου κεκαυμένου καὶ πεπλυμένου καὶ σποδίου καὶ καδμείας καὶ διφρυγοῦς καὶ τερμινθίνης συγκείμενον. Ζήνωνα δέ φησι καὶ χαλβάνην αὐτῷ μιγνύειν, ὅπερ ἐμοὶ περιττὸν εἰς τὰ προκείμενα φαίνεται. γράφει δ' οὖν αὐτοῦ τὴν συμμετρίαν τοιάνδε. (365) ♃ τοῦ μὲν πεπλυμένου μολύβδου ≺ β'. τοῦ δὲ σποδίου ≺ δ'. καὶ τῆς καδμείας ὡσαύτως ≺ δ'. τοῦ διφρυγοῦς δὲ α'. ἢ δ'. ἀναλαμβάνει δὲ αὐτὰ ≺ στ'. τῆς τερμινθίνης. τὸν δὲ Ζήνωνά φησι τῆς χαλβάνης μιγνύναι ≺ S''. ἄλλως δ'. εἰ μὲν ὡς πρὸς τὸ μαλάξαι τὰ τυλώδη καὶ σκληρὰ χείλη καὶ διὰ τοῦτο καλούμενα

ſcriptum validius quidem eſt, non tamen primo ex hiſce ſex, verum ſeptimo a primordio finitimum, in quo ſquamam et aeruginem cerae quadruplae commiſcuit, diphrygis enim adhuc drach. xvj, argenti ſpumae drach. xlviij, cerae drach. lxvj adjicit. Inde horum copiae gratia coactus eſt et myrtei olei heminam j ſ affundere. Numeretur ergo hoc quoque inter ea, quae cicatricem generant. Quod ſtatim ſubjungitur ejusdem generis eſt, mitiſſimum vero minimeque mordax ex plumbo combuſto et eloto, ſpodio, cadmia, diphryge et terebinthina compoſitum. Zenonem ait galbanum quoque miſcere, quod mihi praedictis videtur ſuperfluum. Scribit igitur ipſius ſymmetriam talem. ♃ Eloti plumbi drach. duas, ſpodii drach. quatuor, cadmiae tantundem drach. quatuor, diphrygis drach. unam, alias quatuor. Excipit ea terebinthinae drach. ſex. Zenonem dicit galbani addere drach. ſ, al. drach. iv. Siquidem ceu molliendis labris calloſis ac duris, eoque verrucoſis appellatis id facit, probe

Ed. Chart. XIII. [747. 748.] Ed. Baſ. II. (365.)

πρός τινων ὀχθώδη καλῶς μιγνύντα, εἰ δ' ὡς πρὸς τὴν κακοήθειαν τοῦ ἕλκους, οὐκ ὀρθῶς. κἂν μὴ προσλάβῃ δὲ τῆς χαλβάνης ἔτι καὶ οὕτως ἀπολείπεται τῆς τῶν κακοήθων ἑλκῶν ἰσχύος. εἰκότερον οὖν ὡς ἐπουλωτικὰ τὰ δώδεκα ταῦτα ἑφεξῆς ἀλλήλων ἔγραψε φάρμακα. πλὴν γὰρ δυοῖν ἐν αὐτοῖς, τοῦ τε κατὰ τὴν τάξιν ἀπὸ τῆς ἀρχῆς ἑβδόμου καὶ τοῦ μετ' αὐτὸ, τἄλλα πάντα δυσεπουλώτων μὲν ἐστιν ἑλκῶν ἰατικὰ, κακοήθων δ' οὐκ ἔτι. καὶ γὰρ τὸ δωδέκατον ἐπ' αὐτοῖς ὁμοίως ἐπουλωτικὸν μέν ἐστιν, ἀσθενέστερον δὲ ἢ ὡς γε κακοήθη θεραπεύειν. ἡ δὲ σύνθεσις καὶ τούτου τοιάδε τίς ἐστι. ℔ μολυβδαίνης ≺ ρ'. διφρυγοῦς ≺ ισ'. σώρεως ≺ ι'. μίσυος κυπρίου ὀπτοῦ ≺ η'. ῥητίνης τερμινθίνης ≺ η'. κηροῦ ≺ μ'. μυρσίνου ≺ μ'. [748] διὰ βραχυτέρας δὲ συμμετρίας ἀνάλογον ἐχούσης τῇδε συντιθέναι χρὴ πάντα τὰ τοιαῦτα φάρμακα γινώσκοντας ὑμᾶς, σκληρὰ καὶ λιθώδη γίγνεσθαι ταχέως αὐτά. τοσοῦτον οὖν ἄμεινον ἑκάστου σκευάζειν, ὅσου περ ἂν ᾖ χρεία. καὶ μάλιστα ἐὰν χειμὼν διαδέχηται τὴν χρῆ-

admiſcet, ſin ad ulceris malignitatem et contumaciam, non item; tametſi enim galbanum quoque receperit, etiam ſic a malignorum ulcerum pravitate vincetur. Magis autem veriſimile videtur duodecim haec ordine ſe conſequentia medicamenta ad cicatricem ducendam idonea ſcripſiſſe. Etenim praeter duo ex ipſis, puta ſeptimum a principio et octavum, alia omnia ulceribus quidem aegre ad cicatricem venientibus, ſed nondum malignis medentur. Item duodecimum inter ea ſimiliter quidem cicatricem obducit, imbecillius autem eſt quam maligna perſanet. Compoſitio quoque hujus haec capit. ℔ Molybdaenae drach. centum, diphrygis drach. ſedecim, ſoreos drach. decem, miſyos cyprii toſti drach. octo, reſinae terebinthinae drach. octo, cerae drach. quadraginta, myrtei drach. quadraginta. Porro minoris ſymmetriae, quae huic proportione reſpondeat, omnia ejusmodi medicamenta conficere oportet, ſcientem ipſa confeſtim duram ac ſaxeam duritiem acquirere. Tantum igitur cujusque praeparare ſatius eſt, quanti uſus fuerit, praeſertim ſi hiems

Ed. Chart. XIII. [748.] Ed. Baſ. II. (365.)

σιν αὐτῶν. εἰ δὲ τέταρτον μέρος ἑκάστου τῶν εἰρημένων λαμβάνοις, τῆς μὲν μολυβδαίνης πέντε καὶ εἴκοσι ἔσονται δραχμαὶ, τέσσαρες δὲ τοῦ διφρυγοῦς, δύο δὲ καὶ ἡμίσεια τοῦ σώρεως, τοῦ δὲ ὀπτοῦ μίσυος δύο καὶ τῆς τερμινθίνης ⊀ θ'. ἄλλως β'. κηροῦ δὲ καὶ μυρσίνου τὸ ἴσον ἑκατέρου ⊀ ι'. συναμφότεροι δὲ δηλονότι τῶν εἴκοσιν. ἐπὶ πάντων δὲ τῶν τοιούτων φαρμάκων τήξας τὰ τηκτὰ καὶ ψύξας, ἔπειτα ξύσας μίγνυε τοῖς ξηροῖς ἀκριβῶς λελειωμένοις. ἐὰν γὰρ ἐπικαταχέῃς αὐτοῖς τὰ τηκτὰ, συμβαίνει πολλάκις ἐγκηρίδας γίγνεσθαι, καὶ μάλισθ' ὅταν ᾖ κρύος. εἰ δ' ἐν ἡλίῳ θερμῷ τὴν μίξιν ποιοῖς, καὶ καταχεῖν ἐγχωρεῖ κινοῦντα σφοδρῶς, τὰ μὲν πρῶτα τῇ σπάθῃ, τῷ δοίδυκι δ' ὀλίγον ὕστερον. ἄμεινον δὲ ἐπὶ τῶν τοιούτων πάντων τὴν σπάθην φοίνικος εἶναι κλάδον. ταῦτα μὲν οὖν ὁ Ἀνδρόμαχος ἔγραψεν, ὡς ἔφην, ἀδιορίστως ιβ'. φάρμακα προγράψας αὐτῶν κοινῇ τοῦτο μόνον, ὡς ἐστιν ἐπουλωτικά. τὴν διαφορὰν δ' αὐτῶν ἐξηγησάμην ἐγὼ σαφῶς ὡς νομίζω, ποδηγῆσαι δυναμένην ἄνδρα συνετὸν εἰς τὴν κατὰ μέρος ἐπιδέξιον χρῆσιν. ἔξωθεν δὲ

uſum ipſorum excipiat. At ſi quartam ſingulorum partem capias, molybdaenae quinque et viginti drachmae erunt, quatuor diphrygis, duae et ſemis ſoreos, toſti miſyos duae, terebinthinae ʒ ix, alias ij et cerae et myrtei pares portiones, utriusque decem, amborum ſimul videlicet viginti. Porro in omnibus ejus notae medicamentis illa quae liquari poſſunt, liqueſacta et refrigerata, deinde raſa ſiccis diligenter in pulverem redactis admiſceto. Nam ſi liquida ipſis affundas, ſaepe ſient grumi cerei *encerides*, maxime quum frigus fuerit. In ſole ferventi ſi mixtura fiat, licet ea ſuperfundere, movendo vehementer rudicula primum, deinde cochleario; praeſtat autem in hiſce omnibus rudiculam palmae eſſe ramuſculum. Haec Andromachus indiſtincte, ſicut diximus, duodecim medicamenta tradidit, hoc ipſis tantum communiter praeponens, epulotica, hoc eſt ad cicatricem inducendam idonea. Ego vero differentiam ipſorum manifeſto, ut arbitror, expoſui, quae cordatum virum ad dextrum particularium uſum veluti manu ducere queat. Inſuper alio-

Ed. Chart. XIII. [748.] Ed. Baſ. II. (365.)

τούτων ἄλλων ἐμνημόνευσε πολυχρήστων φαρμάκων, ὥσπερ εἰς ἄλλας πολλὰς διαθέσεις ἐπιτηδείων, οὕτως καὶ εἰς τὴν τῶν δυσεπουλώτων, ὧν κἀγὼ μνημονεύσω κατὰ τὸν ἑξῆς λόγον, ἔνθα περὶ τῶν πολυχρήστων φαρμάκων διέξειμι. νυνὶ δὲ περὶ τῶν ἰδίως ἁρμοττόντων τοῖς κακοήθεσι καὶ δυσεπουλώτοις ὁ λόγος ἐστί μοι. καὶ μᾶλλόν γε περὶ τῶν κακοήθων, ἃ καὶ χειρώνεια καλοῦσιν ἔνιοι, καθάπερ καὶ αὐτὸς ὁ Ἀνδρόμαχος. ἐφεξῆς γοῦν ὧν ἄρτι πέπαυμαι λέγων δώδεκα φαρμάκων δύο μὲν πρὸς ἀνθρακας, ἓν δὲ πρὸς ἕρπητας, γράψας ἐπὶ τοῖς τρισὶ τέταρτον ἄλλο κατὰ τήνδε τὴν λέξιν ἔγραψεν. ἐπουλωτικὴ πρὸς τὰ χειρώνεια Διοσκορίδου. πσικιλώτερον μέν, οὐ μὴν ἰσχυρότερον φάρμακον τοῦ προγεγραμμένου συνθεὶς, καθ' ὃ τετραπλάσιον ἐμίγνυε τὸν κηρὸν συναμφοτέρου, τῆς τε λεπίδος καὶ τοῦ ἰοῦ. κατὰ δὲ τὸ νῦν προκείμενον ἐλάττονα βαλὼν τὸν κηρὸν τῆς τῶν μεταλλικῶν ἀναλογίας τήκειν αὐτὸν κελεύει μυρσίνῳ ἢ ῥοδίνῳ ὀλίγῳ, μὴ προσγράψας αὐτῶν τὴν ποσότητα. παραγράψω δὲ ἤδη τὸ σύμπαν αὐτοῦ κατὰ τὴν τοῦ Ἀνδρομά-

rum multiplicis uſus medicamentorum meminit, ut ad alios plerosque affectus, ita ad ulcera aegre cicatricem ducentia aptorum, quae nos ſermone procedente percenſebimus, ubi medicamenta polychreſta aggrediemur. In praeſentia peculiariter de iis ſermo nobis eſt, quae ad maligna et dyſepulota faciunt, eaque potius maligna, quae chironia nonnullis appellantur, quemadmodum et ipſi Andromacho. Ordine itaque ex duodecim medicamentis modo relatis, quum duo ad carbunculos prodiderit, unum ad herpetas, quartum aliud poſt tria hiſce verbis conſcripſit. *Epuloticum ad chironia Dioſcoridis.* Magis varium quidem medicamentum componens, non tamen ſeptimo illo ſupraſcripto valentius, in quo ceram quadruplo copioſiorem quam utrisque, nempe ſquamae et aeruginis, miſcebat. At in nunc propoſito pauciore cera metallicorum proportione injecta, liquari ipſam pauco myrteo jubet aut roſaceo, quantitate eorum non adſcripta. Jam vero univerſam ejus ſententiam ex Andro-

Ed. Chart. XIII. [748.] Ed. Baſ. II. (365.)

χου λέξιν. ἐπουλωτικὴ πρὸς τὰ χειρώνεια Διοσκορίδου. ℥ χρυσοκόλλης ≺ β'. ἰοῦ ξυστοῦ ≺ β'. λεπίδος ≺ β'. κηροῦ ≺ στ'. διφρυγοῦς ≺ β'. λιθαργύρου ≺ η'. ῥοδίνου ἢ μυρσίνου ὀλίγον, ὥστε τακῆναι. τοῦτο τὸ φάρμακον ἀκριβῶς ταὐτόν ἐστι τῷ προγεγραμμένῳ, κατὰ τὰ δώδεκα ἐπουλωτικὰ μετὰ τὸ διὰ τῆς λεπίδος καὶ τοῦ ἰοῦ τῇ τάξει, καθάπερ ἔφην, ὄγδοον ἐν αὐτοῖς, ἑνὶ μόνῳ πλεονεκτοῦν ἐκείνου τῷ ἰῷ, καὶ διὰ τοῦτο ἐκεῖνο μὲν ἐν τοῖς ἐπουλωτικοῖς ἔγραψεν, ἐπὶ τούτου δὲ μείζονα τὴν ἐπαγγελίαν ἐποιήσατο πρὸς τὰ χειρώνεια φήσας ἁρμόττειν αὐτό. καὶ μέντοι καὶ κατὰ τοῦτο καλλίστου φαρμάκου μνημονεύει γράφων οὕτως. ἐπουλωτικὴ ἐκ τῶν Πριμίωνος πρὸς τὰ ἀπεγνωσμένα. βούλεται δ' αὐτῷ τοὔνομα τὸ ἀπεγνωσμένα σημαίνειν ἐκεῖνα τῶν ἑλκῶν, ὅσα πολλοὶ θεραπεῦσαι σπουδάσαντες οὐκ ἔτυχον τοῦ τέλους, ἀλλ' ἀπέστησαν ὡς ἀνιάτων. χρὴ θαῤῥεῖν τῷ φαρμάκῳ τῷδε τά τ' ἄλλα καὶ τῇ πείρᾳ κεκριμένῳ. σύνθεσιν δ' αὐτοῦ γράφει τήνδε. ℥ σώρεως ≺ κδ'. στυπτηρίας σχι-

machi verbis apponam. *Cicatricem obducens ad chironia, Dioſcoridis.* ℥ Chryſocollae drach. ij, aeruginis raſae drach. ij, ſquamae drach. ij, cerae drach. vj, diphrygis drach. ij, ſpumae argenti drach. octo, roſacei vel myrtei modicum, ut liqueſiat. Hoc medicamentum ad amuſſim ſuperiori illi convenit, quod inter cicatricem obducentia locum, ut dixi, octavum obtinet poſt id poſitum, quod ſquama atque aerugine conſtat, ſola illud aerugine nimirum ſuperans. Ideoque cicatricem illud inducentibus adſcripſit, majora tamen de ipſo pollicetur, ad chironia convenire id dicens. Et vero poſt hoc quoque optimi medicamenti mentionem facit in illum modum. *Medicamentum obducendis cicatricibus ex collectaneis Primionis ad deſperata.* Hoc nomen, deſperata, ulcera illa, quorum curationem plerique aggreſſi non abſolverunt, ſed tanquam ab inſanabilibus deſtitere, ei ſignificat. Fidendum huic medicamento, quod praeter alia uſu quoque probatum eſt. Hanc autem ejus compoſitionem ſcribit. ℥ Soreos ʒ xxiv, aluminis ſciſſilis drach. xvj, malicorii drach.

Ed. Chart. XIII. [748. 749.] Ed. Baf. II. (365.)

στῆς ⊲ ιστ'. [749] σιδίων ⊲ ιστ'. ἀσβέστου ⊲ ιστ'. λιβάνου ⊲ λβ'. κηκίδος ⊲ λβ'. κηροῦ ⊲ ρκ'. στέατος μοσχείου ⊲ ρξ'. ἐλαίου παλαιοῦ κοτύλην α'. αὕτη μὲν ἡ συμμετρία τῶν μιγνυμένων ἁπλῶν φαρμάκων, εἰ τὴν τοῦ προκειμένου συνθέτου κατασκευήν. ὅπως δὲ χρὴ σκευάζειν αὐτὸ παρέλιπεν, ὥσπερ καὶ ἐπὶ ἄλλων πολλῶν ἀναγκαίαν ἐχόντων τὴν διήγησιν τῆς σκευασίας. ἐπὶ τούτου μὲν γὰρ καὶ πάνυ ῥᾴδιός ἐστιν, ὡς ὀλίγον ὕστερον εἰρήσεται. γινώσκειν δὲ ὑμᾶς βούλομαι πρὸ πάντων ὡς ἐὰν μὴ παρείη ποτὲ μόσχειον στέαρ, ἀντ' αὐτοῦ μιγνύναι τὸ παλαιὸν ὕειον, ὃ καλοῦσιν ἀξούγγιον. ἄναλον δ' εἶναι χρὴ τοῦτο καὶ μὴ πάνυ πολλῶν ἐτῶν. ἔστιν οὖν καὶ τὸ παλαιὸν ἔλαιον ἱκανῶς διαφορητικόν, ἔστι δὲ καὶ τὸ στέαρ ἀδήκτως ἄμφω τοῦτο δρῶντα. τὸ δὲ βόειον ὁμοίως μέν ἐστι διαφορητικόν, ἄδηκτον δ' οὐχ ὁμοίως. ἐν τῷ μεταξὺ δ' ἀμφοῖν ἐστι τὸ μόσχειον, ὅσῳ τοῦ χοιρείου δριμύτερόν ἐστι, τοσούτῳ τοῦ βοείου μαλακώτερον ὑπάρχει. τὸ μὲν οὖν φάρμακον, ὑπὲρ οὗ πρόκειται λέγειν, ἰσχυρότατα μὲν ἔχει σῶρν καὶ τὴν σχιστὴν στυπτηρίαν καὶ

ſedecim, calcis vivae drach. ſedecim, thuris drach. triginta duas, gallae drach. triginta duas, cerae drach. centum viginti, ſevi vitulini drach. centum ſexaginta, olei veteris hemin. unam. Haec eſt ſimplicium medicamentorum ſymmetria ad praeſentis compoſiti praeparationem. At quomodo illud praeparandum ſit omiſit, ut in aliis etiam multis, quae confecturae narrationem requirunt, nam in hoc quidem vel admodum facilius eſt, ut paulo poſt dicemus. Caeterum vos ſcire inprimis volo, ut ſi quando vitulinum pingue defideretur, ejus loco vetus ſuillum, quod nominant axungiam, admiſcendum, verum ſalis expers et non multorum nimis annorum. Vetus itaque oleum abunde ſatis difcutit, ſic adeps quoque, idque citra mordicationem ambo efficiunt, bubulus ſimiliter quidem difcutit, ſed non aeque morſu caret, medium locum obtinet vitulinus, quo porcino acrior, hoc bubulo mollior. Itaque medicamentum, quo de ſermo inſtitutus eſt validiſſima continet, ſori, alumen ſciſſile, malicorium, gallam, non

Ed. Chart. XIII. [749.] Ed. Baſ. II. (365. 366.)

τὰ σίδια καὶ τὴν κηκίδα, οὐ μὴν διαφορητικήν γε δύναμιν ἔχοντα γενναίαν, ἀλλὰ τὴν καλουμένην στυπτικήν. εὔδηλον, δ' ὅτι κηκίδα μὲν ἀεὶ βάλλειν προσήκει τὴν ὀμφακῖτιν ὀνομαζομένην, στυπτηρίαν δὲ τὴν Αἰγυπτίαν τε καὶ σχιστήν. εἰ δὲ ἀπορήσαιμεν αὐτῆς, τὴν στρογγύλην παχυμεριστέραν μὲν οὖσαν τῆς σχιστῆς, οὐχ ἧττον δὲ στύφουσαν. ὅτι δὲ σίδια τὰ τῆς ῥοιᾶς λέμματα καλεῖται πάντες γινώσκουσιν. ὀλιγοχρόνιός γε μήν ἐστι τῆς ἀκμῆς αὐτῶν ὁ καιρὸς, ἐάν τις θέλῃ ξηρὰ κόπτειν τε καὶ λειοῦν. ἅμα γὰρ τῷ ξηραίνεσθαι καὶ τὴν δύναμιν ἀσθενεστέραν ἔχει τὰ σίδια μετὰ τῆς διαφορουμένης ὑγρότητος αὐτῶν ἀπολλυμένην. ἀσφαλέστερον οὖν ἐστιν ἔγχυλα λαβόντα προαφεψεῖν ἐν οἴνῳ μέχρις ὧν εὐλείωτα γένηται. χρὴ δὲ τὸν οἶνον αὐστηρὸν μὲν εἶναι πάντως, ἀλλὰ μήτε λίαν νέον· οἱ γὰρ αὐστηροὶ παχυμερεῖς εἰσι, πρὶν χρονισθῆναι· μήτε λίαν παλαιὸν, ὡς ἤδη δριμὺν ὑπάρχειν αὐτόν. ὁ μὲν γὰρ νέος οὐκ εἰσδύεται τῷ βάθει τοῦ σώματος, ὁ δὲ παλαιὸς δριμὺς καὶ δακνώδης ἐστίν. ἀμείνων οὖν ὁ μέσος κατὰ τὴν ἡλικίαν. εἴη δ' ἂν οὗτος τοὐπίπαν (366) ἐν τῷ μεταξὺ τοῦ τε πενταετοῦς καὶ τοῦ δεκαετοῦς.

discutiendi facultate eximia, sed astringendi, ut vocant, praedita. Clarum est autem gallam semper adjiciendam esse, quae vocatur omphacitis, id est *immatura*, alumen vero Aegyptium et scissile, cujus penuria rotundum, quod scissili quidem est crassius, sed non minus astringens. Quod autem malicorium putamen mali granati vocatur, omnes noverunt. Brevi adeo tempore viget, si velis aridum contundere et in pulverem redigere, seu laevigare, namque dum aresicit malicorium, imbecilliorem quoque vim sortitur cum humore ejus discusso pereuntem. Quare tutius est succulentum prius ex vino decoquere, donec optime laevigari possit. Vinum autem austerum prorsus, sed neque recens esse oportet, nam austera nisi vetera sint, crassarum partium existunt, neque vetustum adeo, ut jam acre exstat, etenim recens penitiora corporis non permeat, vetus acre et mordax est. Ergo aetate medium potius est, quod plurimum intra quinque et decem annos consistit. Postulat lo-

Ed. Chart. XIII. [749.] Ed. Baſ. II. (361.)

ἀνασμνῆσαι δὲ καὶ νῦν ἀναγκαῖόν ἐστι τοῦ πολλάκις πολλοῖς εἰρημένου περὶ τῶν αὐστηρῶν καὶ στρυφνᾶν καὶ ὅλως στυφόντων οἴνων τε καὶ σιτίων καὶ φαρμάκων, ἔτι δὲ πρότερον ὑπὲρ τῶν κατὰ τὰς εἰρημένας φωνὰς σημαινομένων. ἐκ μὲν γὰρ τῆς αὐστηρὸν τὸ μετρίως στῦφον σημαίνεται παρὰ τοῖς Ἕλλησιν, ἐκ δὲ τῆς στρυφνὸν τὸ βιαίως καὶ σφοδρῶς. τὸ δ' ἀμφοῖν γένος κοινὸν ἐκ τοῦ τῆς στύψεως ὀνόματος δηλοῦται, μὴ προσδιασαφουμένου πότερα σφοδρῶς ἢ ἀμυδρῶς. πάντα μὲν οὖν τὰ στύφοντα συνάγει καὶ πυκνοῖ τοὺς πόρους κἀπιδεῖ καὶ σφίγγει τὴν οὐσίαν τῶν ὁμιλούντων ἑαυτοῖς μορίων. ἧσσον δὲ καὶ μᾶλλον ἐργάζεται τοῦτο πρὸς τὸ ποσὸν τῆς στύψεως. ἐν δὲ τῷ σφίγγεσθαι καὶ πυκνοῦσθαι τὸ ἐπιπολῆς τοῦ στυφομένου σώματος ἀποκλείεταί τε καὶ κωλύεται πρὸς τὸ βάθος ἰέναι τῶν στυφόντων ἡ δύναμις. καὶ διὰ τοῦτο καλῶς ἐπενόησαν ἔνιοι τῶν ἰατρῶν μιγνύναι τοῖς τοιούτοις φαρμάκοις ἕτερα λεπτομερῆ καὶ δριμεῖαν ἔχοντα δύναμιν ἕνεκα τοῦ δι' αὐτῶν εἰς τὸ βάθος τοῦ σώματος ἄγεσθαι ποδηγουμένας τὰς τῶν στυφόντων δυνάμεις. τοῦτ' οὖν αὐτὸ νοήσας ὁ συνθεὶς αὐτὸ τὸ

cus hic in memoriam reducere, quod multi ſaepe dictarunt de auſteris, acerbis, in totum de aſtringentibus vinis, cibis et medicamentis, ac primum de harum vocum ſignificationibus agendum eſt. Auſterum enim Graecis idem ſibi vult quod mediocriter aſtringens, acerbum quod valide ac vehementer id facit. Genus utrique commune aſtrictionis vocabulo ſignatur, non etiam utrum valide an obſcure ea fiat declarante. Omnia igitur aſtringentia contrahunt ac denſant meatus, ad haec vinciunt ac continent partium ſibi invicem cohaerentium ſubſtantiam, atque minus magisque hoc pro aſtrictionis quantitate efficiunt. Caeterum ſtringendo ac denſando ſumma corporis, quod aſtringitur virtus illorum excluditur et in altum ire prohibetur. Ob quam rationem pulchre nonnulli medicorum hujusmodi medicamentis alia tenuium partium et acri poteſtate praedita, indere cogitarunt, a quibus veluti ductae aſtringentium vires in profundum corpus perveniant. Hoc igitur medicamenti pro-

Ed. Chart. XIII. [749. 750.] Ed. Baſ. II. (366.)

προκείμενον φάρμακον ἔμιξεν αὐτῷ τὴν τίτανον ἄσβεστον. ἐν δὲ τῇ τοῦ Ἀνδρομάχου βίβλῳ παραλέλειπται μὲν ἡ τῆς τιτάνου προσηγορία, τὸ δὲ τῆς ἀσβέστου μόνον ὄνομα γέγραπται, πολλὰ καὶ ἄλλα τῶν ἰατρῶν ἕνεκα συντόμου λέξεως οὕτως ἑρμηνευόν[750]των. αὐτίκα γοῦν ἐν αὐτοῖς τοῖς φαρμάκοις, ὅσα πρὸς δυσεπούλωτα καὶ κακοήθη συντεθείκασι, λεπίδος ἁπλῶς γεγραμμένης χωρὶς τοῦ προσκεῖσθαι χαλκοῦ καὶ σχιστῆς χωρὶς στυπτηρίας καὶ τὸ τερμινθίνης χωρὶς τοῦ προσκεῖσθαι τὸ ῥητίνης· προσυπακούομεν αὐτοῖς τὰ παραλελειμμένα κατὰ τὴν λέξιν οὕτως, ὥσπερ καὶ νῦν ἐπὶ τῆς ἀσβέστου τὴν τίτανον. ὀνομάζουσι γὰρ κατ' ἐξοχὴν τὴν αὐτὴν μόνην ἐσβεσμένην τε καὶ ἄσβεστον, οὐχ ἧττον καὶ τοῖς ἄλλοις ὅσα καίεται, πρεπούσης τῆς προσηγορίας. μίξας οὖν τὴν ἄσβεστον τίτανον ὁ συνθεὶς τὴν ἔμπλαστρον τήνδε τοῖς στρυφνοῖς φαρμάκοις, ἰσχυρὸν εἰργάσατο τὸ ἐξ ἁπάντων σύνθετον ἕνεκα τοῦ μέχρι τοῦ βάθους ἀφικνεῖσθαι τὴν δύναμιν αὐτοῦ. ἐπεὶ δὲ ἐξ ἰσχυροτάτων φαρμάκων ἡ σύνθεσις ἐγεγόνει, παρηγορικὸν δ' οὐδὲν οὐδὲ πραϋντικόν, οὐδὲ

positi auctor consideravit, qui calcem vivam ei addiderit, at in Andromachi libro calcis vox omissa est, vivae nomen adscriptum, medicis compendii gratia et pleraque alia sic interpretantibus. Nimirum igitur in ipsis medicamentis ad ulcera vix cicatricem recipientia et maligna compositis, squama simpliciter appositа, citra adscriptionem aeris et sciſſile sine vocabulo aluminis, et terebinthina, absque adjectione resinae, subaudimus quae ipsi sic in dictione omiserunt, quemadmodum et nunc in vocabulo, viva, calcem, nuncupant enim per excellentiam ipsam restinctam et vivam, appellatione non minus et aliis, quae uruntur, ac commodata. Itaque viva calce mixta emplastri hujus auctor acerbis medicamentis validum compositum reddidit, ut virtus ejus in imum usque penetret. Quoniam vero ex valentissimis confectura est, ac nullum mitigatorium nec leniens nec concoquens aliquod continet, merito thus ei, quod puri movendo medicamentum est, admiscuit. Si igitur sicco com-

Ed. Chart. XIII. [750.] Ed. Baſ. II. (366.)

τῆς πεπτικῆς ὕλης εἶχεν, εἰκότως ἔμιξεν αὐτῷ πυοποιὸν φάρμακον τὸν λιβανωτόν. εἰ μὲν οὖν ξηρῷ τῷ συνθέτῳ χρῆσθαί τις ἐμελλεν, ἐπιπάττων αὐτὸ κατὰ τοῦ ἕλκους, ἦν ἂν οὕτω γε σφοδρὸν ἱκανῶς καὶ δακνώδες καὶ τραχυντικὸν καὶ διαβρωτικόν. ἐπεὶ δ' ἔμπλαστρον αὐτὸ προὔκειτο ποιῆσαι, δῆλον μὲν ὅτι ῥητίνης ἢ κηροῦ μικτέον ἦν ἢ καὶ πρὸς τούτοις στέατος ἢ μυελοῦ, καὶ εἰ μηδέπω σύστασιν ἐμπλαστρώδη διὰ τούτων λάβοι προσβαλεῖν ἐλαίου τινός. ὅταν δὲ προσθῶ τό τινος, ἀκούειν χρή σε πρὸς τῷ κυρίως τε καὶ ἁπλῶς ἐλαίῳ λεγομένῳ καὶ τὸ μετὰ προσθήκης ὀνομαζόμενον ῥόδινον ἔλαιον ἢ μύρσινον ἢ κύπρινον ἢ τι τοιούτων. διώρισται γὰρ ἤδη πολλάκις ὅπῃ διαφέρει μύρον εἰπεῖν ῥόδινον ἐλαίου ῥοδίνου καὶ μύρον κύπρινον ἐλαίου κυπρίνου καὶ τῶν ἄλλων ὁμοίως. εἰκότως οὖν ἡ τῶν τοιούτων φαρμάκων μίξις οὐχ ἡ αὐτὴ γέγονεν ἅπασι τοῖς συνθεῖσι τὰς τοιαύτας ἐμπλάστρους. ὅτι γὰρ αἰτίαι πλείους εἰσὶ τῆς τοιαύτης διαφορᾶς οὐκ ἐξ ἐπινοίας, ἀλλ' ἐμπειρίας εὗρον ἐμαυτῷ συμβεβηκυίας. ἐνίοτε μὲν γὰρ ἐξ ὀλίγων τὸν ἀριθμὸν τῶν ἁπλῶν

poſito uteris, ulceri ipſum inſpergens ſic vehemens admodum eſſet, mordax, aſperum et exedens, at quia emplaſtrum id facere propoſuimus, perſpicuum eſt unicuique reſinam vel ceram vel adhuc adipem vel medullam miſcendam fuiſſe, ac ſi nondum ex his emplaſtri ſpiſſitudinem acceperit, oleum aliquod affundendum. Quum autem addo aliquod, inaudiendum eſt tibi praeterquam quod proprie et ſimpliciter oleum dicitur, etiam quod cum adjectione roſaceum nominatur oleum vel myrteum vel cyprinum vel ejus generis aliquod, diſtinctum namque eſt jam ſaepius quid diſcriminis ſit roſaceum unguentum dicas an oleum roſaceum, et unguentum cyprinum an cyprinum oleum, aliaque ſimilia. Merito igitur ejuscemodi medicamentorum mixturam non eandem omnes fecerunt, qui id genus emplaſtra compoſuere. Nam quod plures hujus differentiae cauſae exiſtant, non ratione, ſed mea ipſius experientia deprehendi. Nonnunquam enim ex paucis numero ſimplicibus

Ed. Chart. XIII. [750.] Ed. Baſ. II. (366.)

ἔσπευσα συνθεῖναι τὸ φάρμακον, ἐνίοτε δὲ ἐκ πλειόνων, ἔστι δ' ὅτε καὶ πλείστων ἢ πάντων τῶν ὁμογενῶν. καὶ μέντοι καὶ τῷ τινὰ μὲν ἔχειν ἄφθονα, τινὰ δ' οὐδ' ὅλως ἢ ἐλάχιστα κατὰ τὸν καιρὸν ἐκεῖνον ἐξ ὧν εἶχον, περὶ τὴν σύνθεσιν ἐτραπομὴν τοῦ φαρμάκου τῆς χρείας ἐπειγούσης, εἶθ' εὑρὼν αὐτὸ τῇ πείρᾳ δόκιμον, οὕτως ἐχρησάμην ἀεί. πολλάκις δ' ἑκὼν ἔνια μὲν ἰσχυρότερα τῶν συνθέτων φαρμάκων, ἔνια δὲ ἀσθενέστερα ποιῆσαι προθέμενος, ὡς πρὸς πλείονας ἔχειν διαθέσεις ἁρμόττοντα φάρμακα, διαφερούσας ἐποιησάμην τὰς συνθέσεις, καὶ μέντοι κἀκ τοῦ πλειόνων χρῄζειν δυνάμεων τὸ τὴν ἕλκωσιν ἔχον μόριον, ὥσπερ ὅταν ἅμα τε κοῖλον καὶ πλαδαρὸν καὶ ῥυπαρὸν ὀχθῶδές τε τοῖς χείλεσι καὶ ῥευματιζόμενον ἐκ τῶν ὑπερκειμένων. ἐὰν γὰρ ἁρμόζεσθαί τις ἐθέλοι πρὸς ἅπαντα τὰ συμβεβηκότα τοῖς ἡλκωμένοις οὕτω μορίοις, ἀναγκαῖον αὐτῷ διαφορουσῶν δυνάμεων ὕλας μιγνύειν. ἐὰν δ' ἕν τι πρῶτον, ὃ κατεπείγει, θεραπεύειν ἐθέλῃ τῶν ἄλλων ἀμελῶν, οὐκ ἀναγκαῖον εἰς ποικιλίαν φαρμάκων ἐκτρέπεσθαι. δῆλον οὖν ὅτι καὶ οἱ πρὸ

medicamentum ſubito praeparavi, interdum ex pluribus, alias ex plurimis vel omnibus ejusdem generis. Inſuper quia nonnulla apud nos abunde copioſa, quaedam ex toto non eſſent aut pauciſſima eo tempore, ex iis quae habebam, medicamentum compoſui uſu ita poſtulante, deinde quum experimento id probatum inveniſſem, ita ſemper uſurpavi. Saepe fortiora quaedam medicamenta compoſita, quaedam imbecilliora, ultro facere inſtituens, ut variis affectibus accommodata haberem, diverſas compoſitiones agreſſus ſum, praeterea hac ratione motus, quod pars exulceratione laborans plures requirat facultates, ut quum ſimul et cava eſt et fluida et ſordida et oris praetumida ac dura et fluxionem ex ſuperioribus recipit. Si namque medicamentum ad omnia, quae ſic exulceratis partibus acciderunt, valere cupias, diverſarum virium materias miſcere neceſſarium eſt. At ſi unum aliquod primum, quod urget, ſanare ſtudeas, aliis neglectis, non eſt quod medicamentorum varietatem requiras.

Ed. Chart. XIII. [750. 751.] Ed. Baſ. II. (366.)

ἐμοῦ συνθέντες τὰ τοιαῦτα φάρμακα διὰ τὰς προειρημένας αἰτίας διηνέχθησαν, οἷον εὐθέως ἐπὶ τοῦ προκειμένου νῦν φαρμάκου τὸ μόσχειον εἴλετο στέαρ συνθεὶς, ἐπειδὴ μαλακτικόν ἐστι τῶν ἐσκληρυσμένων χειλῶν. ἔμελλεν οὖν αὐτῷ διττὴν παρέξειν χρείαν, τὴν μὲν ἑτέραν ὡς μαλακώδη εἰς ἕνωσιν τῶν ξηρῶν, ἃ πρώτως ἦν ὠφέλιμα, τὴν δ' ἑτέραν, ὅπως καὶ αὐτό τι τῶν συμβεβηκότων τῷ πεπονθότι μορίῳ θεραπεύοι. ἔτι δ' ἂν μᾶλλον ὠφελίμως μιχθείη μυελὸς ἐλάφειος ἐπὶ τῶν ἐσκληρυσμένων χειλῶν, ἢ εἰ μὴ τοῦτον ἔχοιμεν, μόσχειος. [751] εἰ δὲ μηδὲν τούτων παρείη, τῶν ὑγρῶν τε καὶ μὴ δριμέων ῥητινῶν τις. ἐκ μὲν γὰρ τῆς ὑγρότητος, ἅμα δὲ καὶ γλισχρότητος, ἣν ἔχουσι σύμφυτον αἱ ῥητίναι πᾶσαι, σύνδεσμος γίγνεται τῶν ξηρῶν φαρμάκων, ἐκ δὲ τοῦ μὴ σαφῶς εἶναι δριμείας τὸ μὴ παροξύνειν τὸ ἕλκος. εἰκότως οὖν ἔμιξάν τινες ἐν ταῖς συνθέσεσι ταῖς τοιαύταις τῶν φαρμάκων ἤτοι τὴν τερμινθίνην ἢ τὴν λάρικα προσαγορευομένην ῥητίνην. μεμνῆσθαι δ' ὑμᾶς ἐν τῇ συνθέσει χρὴ καὶ τοῦδε, τοῖς πολλοῖς τῶν ἰατρῶν ἀμελουμένου, τισὶ δὲ καὶ δι' ἄγνοιαν

Clarum eſt igitur et illos, qui ante me ejusmodi medicamenta confecerunt, ob praedictam rationem diſſenſiſſe, veluti verbi gratia in propoſito medicamento vitulinum pingue auctor cepit, quod oras induratas emolliat. Proinde duplicem ei uſum adhibere debebat, unum ut molliuſculo medicamento ad unitatem ſiccorum faciendam, quae primum erant utilia, alterum ut et ipſum aliqua partis affectae ſymptomata ſeu accidentia perſanaret. Verum multo utilius medulla cervina induratis oris adhibetur, quae ſi non adſit vitulina, ſin utraque deſideratur, humida aliqua et non acris reſina. Nam omnes reſinae humiditatis gratia ſimul et viſcoſitatis, quam habent cognatam, ſicca medicamenta veluti colligant, quia vero non evidentem habent acrimoniam, ulcus nequaquam irritant. Quapropter nonnulli merito talibus medicamentorum confecturis admiſcuerunt vel terebinthinam vel laricem nominatam reſinam. Meminiſſe autem vos inter componendum oportet illius etiam, quod a plerisque medicorum negligitur, a quibusdam per ignorantiam committi-

Ed. Chart. XIII. [751.] Ed. Baſ. II. (366.)

ἁμαρτανομένου. πιστεύουσι γὰρ τοῖς ῥωποπώλαις ἔλαιον παλαιὸν ἐπαγγελλομένοις διδόναι μὴ γιγνώσκοντες ὅπως αὐτὸ παραδιδόναι ποιοῦσι στέαρ παλαιὸν ὕειον, ὅταν ἀκριβῶς ἐξινίσωσι, τήκοντες καὶ ἀναμιγνύντες ἐλαίῳ τῷ κοινῷ. φαίνεται γὰρ οὕτω παχὺ μὲν ὁρῶσιν, ὀσμωμένοις δὲ δυσῶδες, ὡς τὸ παλαιόν. ὁμοία μὲν οὖν ἡ δυσωδία, τῷ δ' ἀκριβῶς ἑκατέρου μεμνημένῳ σαφὴς ἡ διαφορά. ἄλλη μὲν γὰρ ἰδιότης ἐστὶ τῆς ὀσμῆς στέατος, ἄλλη δὲ ἐλαίου παλαιοῦ. καὶ τὸ πάχος δὲ αὐτοῦ τοῦ δεδολωμένου συνεχὲς οὐκ ἔστιν, οὐδ' ὁμοιομερὲς, ὥσπερ τὸ τοῦ μὴ δολωθέντος, ἀλλὰ καὶ πρὸς τῷ πυθμένι τοῦ ἀγγείου παχύτερον γίγνεται. τὸ δ' ἐπιπολῆς λεπτότερον, ὅθεν καὶ διακινοῦσιν αὐτὸ, διδόντες τοῖς ὠνουμένοις οἱ παραποιήσαντες. ἀλλὰ κἂν ἀληθῶς ᾖ τὸ ἔλαιον ἄνευ τῆς τοιαύτης πανουργίας αὐτοφυὲς, ὄνομα μὲν ἔχει τοῦτο δὴ τὸ παλαιὸν, ἡ δύναμις δ' οὐκ ἐγγύς ἐστι τῷ τριετεῖ πρὸς τὸ τριακονταετὲς ἢ τῷ τετραετεῖ πρὸς τὸ πεντηκονταετές. ἐπικτᾶται μὲν γάρ τινα δῆξιν ἐν τῷ χρόνῳ τό τε ἔλαιον καὶ τὸ στέαρ, ὅταν παλαιωθῇ. ἀλλὰ αὕτη μὲν με-

tur. Credunt enim inſtitoribus vetus oleum dare ſe affirmantibus, ignari quomodo ipſius loco vendant adipem ſuillum veterem ex oleo communi liquatum temperatumque, ſed membranulis prius diligenter exemtis, apparet enim ſic, craſſum inſpicientibus, ſi odoreris, vetuſtatis graveolentiam repraeſentat, ſimilitudo igitur eſt foetoris, qui vero utriusque ad unguem meminit, manifeſto alterum ab altero diſcernit, alia ſiquidem eſt odoris adipis, alia veteris olei proprietas. Accedit huc, quod craſſitudo ipſius adulterati continua non eſt nec ſimilaris, quemadmodum olei veri. Quin et craſſius in vaſis fundo, tenuis in ſummo evadit, ob quod etiam id adulterantes permovent, dum emptoribus tradunt. At ſi re vera quoque ſit oleum ſine tali aſtu ſua ſponte natum, nomen quidem hoc obtinet vetus, vis autem trimi non est propinqua trigenario, aut quod annorum quatuor eſt, nullam confinitatem cum quinquagenario habet, ſiquidem temporis ſpatio, quum inveterarunt tum oleum, tum adeps mordacitatem quandam acquirunt. Sed haec qui-

Ed. Chart. XIII. [751.] Ed. Baſ. II. (366. 367.)

γίστη, μεγίστη δὲ ἡ κατὰ δύναμιν ἐξαλλαγή. διαφορικώτατα γάρ ἐστι τό τε ἔλαιον καὶ τὸ στέαρ, ὅταν παλαιωθῇ. καὶ τούτου πειραθεὶς ἐγὼ διὰ τὸ κατά τινα τύχην ἔλαιόν τε καὶ στέαρ ἔχειν παλαιότατον, τοῦ πατρὸς ἐκ πολλοῦ φυλάττοντος αὐτά, αὐτὸς πάλιν ἄμφω κατέθηκα (367) δαψιλῆ, κομιδῇ νέος ὤν, ὅπως ἔχοιμι χρονίζουσιν αὐτοῖς χρῆσθαι μετὰ τὸ καταναλῶσαι τὰ τοῦ πατρός. ἀλλὰ καὶ μετὰ ταῦτα πάλιν οὐκ ὀλιγάκις ἀπεθέμην ἀμφότερα παλαιωθησόμενα. καὶ νῦν ἐστί μοι τοσοῦτον πλῆθος αὐτῶν, ὡς ἐξαρκέσαι κἂν ἑκατὸν ἔτη ζήσω. καὶ τοίνυν τὸ προκείμενον ἐν τῷ λόγῳ φάρμακον ἔλαιόν τε καὶ στέαρ ἐτῶν τεσσαράκοντα λαβὸν ἀεὶ παρ' ἐμοὶ τὰ κακοηθέστατα τῶν πολυχρονίων ἑλκῶν ὠφέλησεν ἐλπίδος μειζόνως. ἔστι δὲ τὰ τοιαῦτα τῶν ἑλκῶν, ἐφ' ὧν αὐτὸ τὸ πεπονθὸς μόριον ἐν καχεξίᾳ τοσαύτῃ γέγονεν, ὡς κἂν εὔπεπτον ᾖ τὸ παραγιγνόμενον ἐπ' αὐτὸ τροφῆς ἕνεκεν αἷμα, μεταβάλλειν τε καὶ διαφθείρειν, ἐάν τε κακόχυμον ᾖ τὸ ἐπιῤῥέον εἰς τοσοῦτον, ὡς εἰ καὶ μηδὲν ἐπεπόνθει τὸ μόριον, ὑπ' ἐκείνου γοῦν αὐτοῦ μόνου διαβιβρώ-

dem ſunt maxima, maxima vero et facultatis permutatio, maximam enim digerendi facultatem tum oleum, tum adeps, quando inveterata ſunt, habent. Atque hoc ego expertus ſum ideo, quod oleum ac adipem vetuſtiſſima ſorte quadam haberem a patre multis annis obſervata, quae ipſe rurſum ambo admodum juvenis adhuc copioſa repoſui, ut jam inveteratis eis uti poſſem, ubi patris eſſent conſumpta. Sed etiam poſt haec iterum ambo ſaepe recondidi, ut vetuſteſcerent, tantaque mihi nunc illorum copia eſt, quanta vel centum annis victuro ſufficiat. Propterea medicamentum, de quo ſermo eſt, oleum et adipem quadraginta annorum recipiens, ſemper apud me ulcera diuturna praeter modum maligna quam opinio ferret melius ſanavit. Sunt hujusmodi ulcera, in quibus ipſa affecta pars in tam vitioſo habitu conſiſtit, ut quamvis ſanguis nutriendi cauſa ad eam perveniens probe ſit concoctus, tamen mutet ipſum corrumpatque, ſive id quod influit adeo pravo ſucco praeditum eſt, ut etiam ſi pars nihil paſſa fuerit, ab illo certe

Ed. Chart. XIII. [751. 752.] Ed. Baſ. II. (366.)

σκεσθαι. θαυμαστῶς οὖν ὁ συνθεὶς αὐτὸ τὰ μὲν στυπτικὰ φάρμακα δύναμιν ἀποκρουστικὴν ἔχοντα παρέλαβεν, ὡς μηδὲν ἐπιῤῥέοι τῷ πεπονθότι μορίῳ κατὰ τὸν τῆς ἰάσεως καιρὸν, τὰ δὲ διαφορητικὰ, χάριν τοῦ τοὺς περιεχομένους ἰχῶρας ἐν τῷ πεπονθότι μορίῳ διαφορῆσαί τε καὶ κενῶσαι. περὶ δὲ τῆς συμμετρίας αὐτῶν ὧδε ἔχει. τῆς μὲν σχιστῆς στυπτηρίας καὶ τῶν σιδίων, ὡς σφοδρότατα στυφόντων, ἔλαττον ἐνέβαλεν, ἑκκαίδεκα δραχμαῖς ἑκατέρου μίξας εἰς ταὐτὸ, τοῦ σώρεως δὲ τὸ ἡμιόλιον ἑκατέρου, τουτέστι τέσσαρας ἐπὶ ταῖς εἴκοσι, ἧττον μὲν στύφοντος, οὐχ ἧττον δὲ ξηραίνοντος, ἴσον δὲ συναμφοτέρου, τῆς τε σχιστῆς καὶ τῶν σιδίων, ἐνέβαλλε τῆς κηκί[752]δος ἐπὶ ταῖς τριάκοντα δραχμαῖς δύο προσθείς, ὡς ἀσθροισθῆναι τὰς πάσας ἐκ τῶν φαρμάκων ὀκτὼ καὶ ὀγδοήκοντα. τούτοις δ' ἀντέταξεν ἰσχυρῶς διαφορητικόν τε καὶ ξηραντικὸν φάρμακον τὴν ἄσβεστον, ἀρκεσθεὶς ἑκκαίδεκα δραχμαῖς, ἱκαναὶ γὰρ αὗται τὴν τῶν στυφόντων ποδηγῆσαι δύναμιν. ἑκατὸν γοῦν καὶ τεττάρων ἀθροισθεισῶν δραχμῶν ἐκ τῶν μεταλλικῶν φαρμάκων, ἐνεδέχετο μὲν

ipſo ſolo erodatur. Mirifice igitur medicamenti compoſitor aſtringentia medicamenta repellendi facultate praedita aſſumpſit, ut nihil parti affectae dum curetur influat, quaedam diſcutientia, ut ſanies in laborante parte contentae per halitum diſcutiantur vacuenturque. Symmetria vero ipſorum ita habet. Aluminis ſciſſilis et malicorii, ut quae validiſſime aſtringant, minus injecit, utriusque drachmas ſedecim in idem miſcens, ſoreos ſeſquiplum utriusque, hoc eſt drach. viginti quatuor, minus quidem aſtringentis, non minus autem ſiccantis, ſciſſilis quoque et malicorii aequales utriusque portiones indidit, gallae ad triginta drachmas duas apponens, ut omnes ex medicamentis drachmae octoginta octo colligerentur. His oppoſuit valide digerens et ſiccans medicamentum, calcem vivam contentus ſedecim denariis, qui aſtringentium vires ſufficiunt deducere. Centum igitur et quatuor denariis ex metallicis medicamentis collectis plus quoque thuris adjicere convenie-

Ed. Chart. XIII. [752.] Ed. Baſ. II. (366.)

καὶ πλέον αὐταῖς μῖξαι τοῦ λιβανωτοῦ. καὶ τοσούτῳ γε ἂν ἐγεγόνει τὸ φάρμακον πρᾳότερον, ὅσῳ πλέον ἐμέμικτο. σφοδρὸν δ' αὐτὸ φυλάξαι βουληθεὶς ἔλαττον ἔμιξε. σοὶ δ' ἔξεστι διττῶς αὐτὸ συνθεῖναι. μετὰ γὰρ τὸ λειῶσαι τὰ πρῶτα πέντε καὶ μῖξαι πάνθ' ὁμοῦ, διελὼν εἰς δύο μοίρας τὸ γενησόμενον ἄθροισμα τῇ μὲν ἑτέρᾳ μοίρᾳ μῖξον ἑκκαίδεκα δραχμῶν τοῦ λιβανωτοῦ, τῇ δ' ἑτέρᾳ τὸ διπλάσιον, εἶτα τήξας καὶ ψύξας καὶ ξύσας τὴν γενομένην ἐκ τῶν τηκτῶν φαρμάκων κηρωτὴν, διελὼν καὶ ταύτην δίχα τὸ μὲν ἕτερον μέρος μῖξον τῷ πλέονα τὸν λιβανωτὸν ἔχοντι, τὸ δ' ἕτερον τῷ λοιπῷ. καὶ περὶ τὴν τοῦ κηροῦ δὲ καὶ στέατος συμμετρίαν ὁ πρῶτος στοχασμὸς ἱκανὸν ἔχει τὸ πλάτος, οὐκ εἰδότων ἡμῶν ἀκριβῶς ὁποῖόν τι τῇ συστάσει τὸ φάρμακον ἔσοιτο. μετὰ δὲ τὸ μιχθῆναι πάντα δῆλον γίγνεται πότερον ἁπαλώτερον ἢ σκληρότερον ἀπετελέσθη τοῦ προσήκοντος, ὥστ' ἐν τῇ δευτέρᾳ συνθέσει προσελθεῖν ἡμᾶς ἀκριβέστερον τῷ στοχασμῷ καὶ τούτων μὲν αὐτῶν καὶ σὺν αὐτοῖς δὲ τοῦ ἐλαίου. ὥσπερ γὰρ ἄνευ λογικῆς μεθόδου συνθεῖναι φάρμακον ἀδύνατόν ἐστιν, οὕτως ἄνευ πείρας οὐχ

bat, et hoc mitius evaſiſſet medicamentum, quo copioſius illud repeciſſet, caeterum vehemens ipſum ſervare curans, minus adjecit. Tibi autem licet biſariam ipſum componere; nam ubi priora quinque contriveris, omniaque ſimul commiſeris, acervo in duas portiones diviſo alteri parti ſedecim thuris drachmas, alteri duplum indito, deinde liquato, et poſtquam refrigeraveris, radito ceratum ex liquabilibus medicamentis confectum, quod et ipſum in duas partes ſejungito, alteram ei, quod plus thuris habeat, alteram reliquo admiſcens. Atque de cerae et adipis ſymmetria prima conjectura latitudinem magnam ſatis obtinet, nobis haud plane intelligentibus, quale tandem craſſitudine medicamentum futurum ſit, at poſtquam omnia mixta fuerint, clarum fit, tenerius an durius aequo ſit redditum. Quare in altera compoſitione diligentius nobis conjectandum eſt et de his ipſis et ſimul cum his de oleo. Ut enim citra rationalem methodum medicamenta componere, ita vim illo-

Ed. Chart. XIII. [752.] Ed. Baſ. II. (366.)

οἷόν τε γνῶναι βεβαίως τε καὶ ἀκριβῶς τὴν δύναμιν αὐτοῦ. τοῦτο μὲν οὖν τὸ φάρμακον αὐτὸς ὁ Ἀνδρόμαχος ἔφη τοὺς ἀπεγνωσμένους ἀρήγειν. ἐφεξῆς δ' αὐτοῦ πρὸς παρωνυχίας τι γράψας, μετ' αὐτὸ πάλιν οὕτως ἔγραψεν αὐτοῖς ὀνόμασι. πρὸς τὰ κακοήθη ἐπὶ Βαλλερίας Σεκούνδης. προσυπακοῦσαι δὲ δεῖ δηλονότι τὸ ἐχρησάμην. ἡ δ' ὕλη τοῦ φαρμάκου δηλοῖ θεραπείας μὲν ἀγωνιστικῶς ἀπολειπομένη, παρηγορεῖν δὲ δυναμένη τὰ παροξυνόμενα διὰ τῆς τῶν ἀγωνιστικῶν φαρμάκων προσαγωγῆς. ἡ οὖν σύνθεσις αὐτοῦ τοιάδε τίς ἐστι. ℞ Τυῤῥηνικοῦ ≺ η'. προσυπακοῦσαι δὲ δηλονότι τοῦ κηροῦ, στέατος ταυρείου ≺ δ'. τερμινθίνης ≺ δ'. μολύβδου κεκαυμένου ≺ δ'. ἐμμότῳ χρῶ. ταῦτα μὲν ἔγραψεν αὐτῇ λέξει. κακῶς δὲ ἐποίησε μήτε πρὸς τίνα κακοήθη φησὶν ἁρμόττειν αὐτὸ δηλώσας, μήθ' ὡς ἀγωνιστικόν, μήθ' ὡς παρηγορικόν ἐστι προσθείς. ἕτερα γάρ ἐστι παρηγορικὰ φάρμακα, τὰ μὲν καὶ προσωφελοῦντα βραχύ τι τὰς διαθέσεις, ἐνια δὲ καὶ βλάπτοντα βραχύ. τινὰ δὲ μήτ' ὠφελοῦντα μήτε βλάπτοντα, πραΰνοντα δὲ μόνον τὰς ὀδύνας, ὑπὲρ ὧν αὖ-

rum certo et accurate cognoſcere ſine experientia nemo poteſt. Hoc itaque medicamentum Andromachus ipſe deſperatis auxiliari dixit. Ab hoc vero deinceps quoddam ad paronychias tradidit. Ac poſt hoc rurſus ſic ad verbum ſcripſit. *Ad maligna ulcera in Valeria Secunda.* Subaudiendum nimirum eſt, uſus ſum. Materia ſane medicamenti innuit curatione quidem ſe a vehementibus relinqui, ſed poſſe ea, quae vehementium medicamentorum adhibitione irritantur, mitigare. Compoſitio itaque eius haec capit. ℞ Tyrrhenicae drachmas octo, ſubaudi videlicet cerae, ſevi taurini drachmas quatuor, terebinthinae drachmas quatuor, plumbi uſti drachmas quatuor. Linamentis excepto utitor. Haec ipſius verba ſunt. Male autem fecit, quod ad quae maligna convenire id dicat, non declaravit, nec quod vehemens ſit aut mitigatorium adjecit, diverſa namque ſunt mitigatoria medicamenta. Nam quaedam tantillum etiam affectus juvant, nonnulla vero vel paululum offendunt, ali

Ed. Chart. XIII. [752. 753.] Ed. Baſ. II. (367.)

θις εἰρήσεται καὶ πολλά γε τοιαῦτα διὰ πείρας μακρᾶς βεβασανισμένα γραφήσεται. καί τινά γε θαυμαστῶς οὕτως ἐπιτετευγμένα ταῖς συμμετρίαις, ὡς ὠφελεῖν μὲν πάντως, ἐνίοτε δὲ καὶ θεραπεύειν αὐτὰς μόνας τὰς διαθέσεις τῶν ἀγρίων ὡς ἄν εἴποι τις ἑλκῶν. ἀλλ' ἐκ τῆς ἐκείνων ὕλης ὁ μὲν Τυρρηνικὸς κηρός ἐστι καὶ ὁ κεκαυμένος μόλυβδος, οὐ μὴν ἡ τερμινθίνη καὶ τὸ ταύρειον στέαρ, ἀλλ', ὡς ἔφην, ἴδιος ὁ τῶν τοιούτων ἑλκῶν τε καὶ φαρμάκων λόγος ὑπάρχων ὕστερον ἡμᾶς ἀναμένει. νυνὶ δὲ περὶ τῶν δυσαλθῶν ἢ χειρωνείων ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ πρόκειται διελθεῖν, ἐξ ὧν καὶ αἵδ' εἰσὶν αἱ ἐγγεγραμμέναι κατὰ τὴν τετάρτην Κρίτωνος βίβλον, οὐσῶν τῶν ἁπασῶν ε'.

[753] Κεφ. στ'. [Περὶ τῶν ὑπὸ Κρίτωνος γεγραμμένων, ἢ διὰ λαδάνου.] Ἡ διὰ λαδάνου καλλίστη ἐπουλωτική, ἁρμόζουσα δὲ ἐπὶ τῶν ὀχθωδῶν ἑλκῶν καὶ κοίλων. δεῖ δὲ ἀνεπίλυτον τηρεῖν ἐφ' ἡμέρας τέσσαρας. ℔ πίσσης ξηρᾶς ≺ ρ'. ἰοῦ ξυστοῦ ≺ κδ'. χαλκοῦ κεκαυμένου ≺ ιε'. λεπίδος

qua nec juvant nec offendunt, ſed dolores tantum leniunt, de quibus alias agemus, multa eius generis longo uſu explorata ſcripturi, ac quaedam mirifice adeo ſymmetriis compoſita, ut omnino juvent, interdum etiam ipſos tantum affectus agreſtium, ut ita dicam, ulcerum perſanent. Verum ex illorum materie eſt cera Tyrrhenica et plumbum uſtum, non tamen terebinthina et taurinum ſevum. Verum de ejusmodi ulceribus ac medicamentis ſermo, ut dictum eſt, peculiaris in poſterum nos expectat, nunc de curatu difficilibus vel chironiis vel quomodocunque appellaſſe velis, diſſerere propoſitum eſt, ex quorum numero ſunt et haec quinque univerſa in quarto Critonis libro conſcripta.

Cap. VI. [*De medicamentis a Critone ſcriptis. Medicamentum ex ladano.*] *Optimum medicamentum epuloticum ex ladano. Convenit praetumidis cum duritia ulceribus et cavis, deligatum vero membrum in diem quartum continendum eſt.* ℔ Picis aridae ʒ c, aeruginis raſae ʒ xxiv, aeris uſti ʒ xv, ſquamae rubrae ʒ xxiv, la-

Ed. Chart. XIII. [753.] Ed. Baſ. II. (367.)

ἐρυθρᾶς ≺ κδ'. λαδάνου γο θ'. λιθαργύρου λι. γ'. ἐλαίου ξε. α' S''. οἴνου καλοῦ ξε. α' S'' ταύτην τὴν ἔμπλαστρον ἐσκεύασα κἀγώ, τὴν ὕλην ἀποδεξάμενος, οὐδὲν ἔχουσαν μαλθακῶδες. οὕτως γὰρ Ἱπποκράτης ὀνομάζει τὸ γένος ὅλον τῶν ὑγρότητα σύμφυτον ἐχόντων φαρμάκων, ὁποῖα τὸ στέαρ ἐστὶν, ἅπαντά τε τὰ ἐλαιώδη φάρμακα καὶ δηλονότι τὸ ἔλαιον αὐτὸ καὶ ὕδωρ. ἔχει δέ τι καὶ ἡ ῥητίνη καὶ ὁ κηρὸς μαλθακῶδες. ἐν μέσῳ δ' αὐτῶν, λέγω δὲ τῶν ξηρῶν τῇ κράσει καὶ τῶν μαλθακῶν, ἐστὶν ἡ πίττα. καὶ διὰ τοῦτο μίγνυται τοῖς γένεσιν ἀμφοτέροις ἀβλαβῶς, ὥσπερ καὶ ἡ λιθάργυρος, ὅσα τε ἄλλα φάρμακα περὶ τὴν μέσην ἐστὶ κρᾶσιν, εἰ καὶ βραχὺ παραλλάττοι ποτὲ πρὸς ὁποτερανοῦν τῶν ἀμετριῶν. τῶν τοιούτων ἐστὶ καὶ ἡ πίττα, κατά γε τὴν τοῦ ξηραίνειν καὶ ὑγραίνειν ἀντίθεσιν, ἀποκεχωρηκυῖα σαφῶς ἤδη τῶν μέσων, κατὰ τὴν ἑτέραν ἀντίθεσιν τῶν θερμαινόντων καὶ ψυχόντων φαρμάκων οὐκ ἔτι· θερμαίνει γὰρ μετρίως καὶ διὰ τοῦτο καὶ τοῖς ἐκπυΐσκουσι φαρμάκοις μίγνυται, ὥστε κατὰ τὸ προκείμενον φάρμακον ἡ μὲν ξηρὰ

dani ℥ ix, argenteae ſpumae lib. iij. olei ſextarium j ß, vini optimi ſextarium j ß. Hoc emplaſtrum praeparavi et ego materia recepta, quae nullum mollicinum medicamentum contineret, ſic enim vocat Hippocrates omne genus medicamentorum, quae connatam humiditatem habent, qualis in pingui eſt ſingulisque oleoſis medicamentis et quidem in ipſo oleo et aqua. Quin et reſina ceraque mollicinum quippiam obtinet. In medio ipſorum, dico autem ſiccorum temperamento et mollicinorum, pix conſiſtit, eoque ambobus generibus citra offenſam admiſcetur, quemadmodum tum argenti ſpuma tum arida medicamenta, quae circa mediam temperiem verſantur, etiam ſi nonnihil ad utrumvis exceſſum interdum declinent. Hoc genere comprehenditur pix quoque, quae ſecundum ſiccitatis ac humiditatis oppoſitionem manifeſto jam a mediis receſſit, ſecundum alteram oppoſitionem calefacientium et refrigerantium non item, calefacit enim modice, atque ideo medicamentis, quae pus movent, admiſcetur. Quamobrem in

Ed. Chart. XIII. [753.] Ed. Baſ. II. (367. 368.)

πίττα τῶν μέσων ἐστὶ καὶ λιθάργυρος ἔτι μᾶλλον, τά τ' ἄλλα τῶν ξηραντικῶν. δυναμένης δὲ κἀνταῦθα παρακοῆς γενέσθαι διαλέξομαι περὶ αὐτῆς ἀναμνήσας γε πρῶτον εἰς πολλὰ χρησίμου θεωρήματος, ὃ καὶ κατ' ἄλλας μὲν εἴρηταί μοι πραγματείας, ἱκανῶς δ' ἐξείργασται κατά γε τὴν περὶ τῶν ἁπλῶν φαρμάκων καὶ τὴν τῆς θεραπευτικῆς μεθόδου. θερμὸν γὰρ καὶ ψυχρὸν, ὑγρόν τε καὶ ξηρὸν ὀνομάζομεν φάρμακον, ὅ τι περ ἀνθρώπου σῶμα θερ(368)μαίνειν ἢ ψύχειν ἢ ξηραίνειν ἢ ὑγραίνειν δύνηται, πρὸς τὴν ἀρίστην κρᾶσιν ἐν ἀνθρώπῳ τὴν ἀναφορὰν ποιούμενοι. μέση δέ τις αὖτη τῶν μεμπτῶν, ἃς καὶ δι' αὐτὸ τοῦτο θερμὰς ἢ ψυχρὰς ἢ ὑγρὰς ἢ ξηρὰς ὀνομάζομεν, ἀπὸ τῆς ἐπικρατούσης ἐν αὐταῖς εἴτε ποιότητος εἴτε δυνάμεως εἴτ' οὐσίας εἴτε κράσεως ἐθέλοις φάναι παρονομάζοντες. κατὰ δὲ τὸν αὐτὸν λόγον οὐδ' εἰ παρώνυμον ἀπὸ τοῦ πλεονάζοντος ἐν τῇ μίξει στοιχείου τὴν ὅλην κρᾶσιν ἐθέλοις λέγειν, ἐμποδίσεις τῇ τῶν πραγμάτων ἐπιστήμῃ. δέδεικται γὰρ ἐν τῇ θεραπευτικῇ πραγματείᾳ τῶν βοηθημάτων ἡ εὕρεσις γιγνομένη δι' ἐνδείξεως,

propoſito medicamento arida pix mediis attribuitur, atque hac magis argenti ſpuma et alia quae ſiccandi vim obtinent. Porro quum et hic error committi poſſit, diſputationem de ipſa inſtituam, theoremate primum ad multa utili in memoriam revocato, quanquam id in aliis operibus, maxime de ſimplici medicina et therapeutice ſatis abunde ſim exequutus. Calidum enim et frigidum, humidum et ſiccum medicamentum appellamus, quod corpus noſtrum calefacere vel refrigerare vel ſiccare vel humectare queat, ad optimum hominis temperamentum collatione facta. Medium vero quoddam hoc eſt inter alia temperamenta vitioſa, quae etiam calida vel frigida vel humida vel ſicca nominamus, a praepollente in ipſis ſive qualitate ſive facultate ſive ſubſtantia ſive temperie malis dicere, denominationem facientes. Eadem ratione neque, ſi a ſuperante in mixtura elemento univerſam temperiem denominare velis, rerum ſcientiam offendes, oſtenſum enim eſt in medendi methodo praeſidia per indicationem ab ipſis qui-

Ed. Chart. XIII. [753. 754.] Ed. Baſ. II. (368.)

ἀπὸ μὲν αὐτῶν τῶν παθῶν τῆς ἐναντίας αὐτοῖς κράσεως, ἀπὸ δὲ τῆς ἑκάστου φύσεως ὅλης τοῦ ζώου καὶ καθ' ἕκαστον αὖ πάλιν μόριον οἰκείας τε καὶ ὁμοίας, ὥστε κἂν ἁπλοῦν ἕλκος ἔχῃ τις κοῖλον, ἀπὸ μὲν τῶν αὐτῶν κατὰ γένος, οὐ μικρὰν δὲ ἐχόντων ἐν τοῖς κατὰ μέρος εἴδεσι διαφορὰν ἡ θεραπεία γενήσεται. καὶ διὰ τοῦτ' ἐδείχθη τῶν ἀπαραλλάκτως ὁμοίων ἑλκῶν ἔνια μὲν ἀπὸ τῶν ἱκανῶς ξηραινόντων φαρμάκων θεραπευόμενα, πάνακος ῥίζης, ἀριστολοχίας, ἀκόρου τε καὶ ἴριος, ἔνια δὲ ὑπὸ μόνου λιβανωτοῦ, καίτοι μὴ σαρκοῦντος, ἀλλὰ διαπυΐσκοντος ἐκείνας τὰς φύσεις, ἃς ἀριστολοχία σαρκοῖ. καθάπερ δ' ἐν τοῖς θεραπευομένοις σώμασιν ἡ κατὰ μέρος διαφορὰ παμπόλλη τίς ἐστι, κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ τῶν ἑλκῶν. ἁπλοῦν μὲν γὰρ ἕλκος κοῖλόν τε καὶ καθαρὸν ὑπὸ τῶν μετρίως ξηραινόντων θεραπεύεται, ῥυπαρὸν δὲ καὶ κακόηθες καὶ τοῖς χείλεσι μὲν ὀχθῶδες, [754] πλαδαρὸν δὲ τῇ κατὰ τὸ δέρμα σαρκὶ τῶν σφοδρότατα ξηραινόντων δεῖται. ἐπὶ τούτων οὖν τῶν ἑλκῶν, ἐπειδὴ καὶ περὶ τούτων ὁ λόγος ἐστὶν, ὁ μὲν λιβανω-

dem affectibus contrariae illis temperaturae inveniri, a tota vero animantis cujusque natura atque a ſingularum rurſus partium propriae et ſimilis. Unde ſi et ulcus ſimplex cavum habeat quis, ab iisdem quidem genere, ſed quae non mediocrem differentiam in particularium ſpeciebus habent, curatio ſumetur. Atque ob id demonſtravimus ulcerum omnino ſimilium quaedam medicamentis, quae admodum ſiccent, perſanari, puta radice panacis, ariſtolochia, acoro, iride, nonnulla ſolo thure, licet hoc carnem non inducat, ſed illas naturas ad ſuppurationem perducat, quas ariſtolochia carne replet. Sicut autem in corporibus curandis differentia particularis permagna eſt, ita quoque in ulceribus. Nam ſimplex, cavum et purum ulcus a mediocriter ſiccantibus curatur, ſordidum vero et malignum et oris praetumidis ac duris quidem, ſed carne juxta cutem fluida, validiſſime ſiccantia requirit. In his igitur ulceribus, quoniam et de ipſis verba facimus, thus eſt adeo imbecillum

Ed. Chart. XIII. [754.] Ed. Baſ. II. (368.)

τὸς οὕτως ἐστὶν ἀσθενὲς φάρμακον, ὡς μηδὲ διαπυΐσκειν δύνασθαι. λιθάργυρος δὲ τούτου μὲν ἰσχυρότερον, ἀλλ' ἔτι καὶ αὐτὸ κατωτέρω τῶν μέσων. ἡ ξηρὰ δὲ πίττα τῶν μέσων, ὥσπερ γε ταύτην ὑπεράνω κατὰ τὸ ξηραίνειν ὁ κεκαυμένος χαλκὸς ἥ τε χρυσοκόλλα καὶ τὸ διφρυγές. ἐναργῶς δὲ ξηραίνει χαλκῖτις κεκαυμένη καὶ ἰὸς καὶ μίσυ καὶ χάλκανθος ἥ τε λεπὶς τοῦ χαλκοῦ, καὶ κατὰ θάτερον τρόπον ὅσα στρυφνὰ, κηκὶς, ὀμφακῖτις, σίδια, στυπτηρία. διαβρωτικὰ δὲ πρὶν καυθῆναι χαλκῖτίς τε καὶ ἰὸς καὶ μίσυ καὶ τίτανος. ὅσα μὲν οὖν ἰσχυροτάτας ἔχει δυνάμεις, ἐπὶ πάντων δοκεῖ τῶν σωμάτων τὴν αὐτὴν ἐνέργειαν ἐπιδείκνυσθαι· τὰ δὲ ἀσθενῆ σαφῆ τὴν διαφορὰν ἐνδείκνυται, προσέχοντί σοι δὲ τὸν νοῦν οὐδὲ ἧττον φανεῖται. καὶ τοῖς ἰσχυροῖς φαρμάκοις οὐ μικρὰ διαφορὰ τῆς ἐνεργείας, ἣν ποιεῖται κατὰ τὰ μαλακὰ καὶ σκληρὰ σώματα, καὶ γὰρ θᾶττον ἅπτεται τῶν μαλακῶν καὶ σφοδρότερον ἀνιᾷ καὶ φλεγμονὰς ἐπεγείρει μείζονας. ὁπότ' οὖν ταῦτά μοι χρησίμως οὐκ εἰς τὰ παρόντα μόνον, ἀλλὰ καὶ εἰς ἄλλα πολλὰ τῶν κατὰ τήνδε τὴν πρα-

medicamentum, ut ne pus quidem concoquere vel movere poſſit. Argenti ſpuma hoc eſt validius, ſed mediis tamen et ipſum inferius. At pix arida mediorum gregi annumeratur, quemadmodum hanc ſuperat exiccando aes combuſtum, chryſocolla et diphryges. Porro evidenter ſiccat chalcitis combuſta, aerugo, miſy, atramentum ſutorium, aeris ſquama, atque altero modo quaecunque acerba ſunt, galla omphacitis, id eſt *immatura*, malicorium, alumen. Exedunt autem non uſta, chalcitis, aerugo, miſy et calx. Quae jam vehementiſſimas facultates habent, in omnibus corporibus eandem actionem oſtendere videntur, imbecillia manifeſtam differentiam indicant. At ſi mentem adhibeas, neque minus in valentibus medicamentis magnum actionis diſcrimen deprehendes quam in mollibus et duris corporibus obeunt; etenim mollia citius accendunt, vehementius moleſtant et majores phlegmonas concitant. Quum igitur haec non modo ad praeſentia, ſed ad alia quoque multa, quae hoc com-

Ed. Chart. XIII. [754.] Ed. Baſ. II. (368.)

γματείαν εἴρηται, πάλιν ἐπὶ τὸ προκείμενον ἀφίξομαι φάρμακον, ἐφ' οὗ τῆς μὲν ξηρᾶς πίττης ἔφην ὑπὸ τοῦ Κρίτωνος γεγράφθαι ≺ ρ'. λιθαργύρου δὲ λίτρας γ'. οὐδετέρου μὲν αὐτῶν ἐκ τῆς οἰκείας δυνάμεως ἰᾶσθαι δυναμένου κακόηθες ἕλκος, ἵνα δ' ἔμπλαστον γένηται τὸ συντιθέμενον φάρμακον, εὐλόγως μιχθέντων τοῖς ὠφελοῦσιν. ἡ δὲ ποσότης αὐτῶν στοχασμῷ τεχνικῷ ληφθεῖσα κατὰ τὸν εἰρημένον ἀρτίως ἐγένετο σταθμὸν, εὐλαβουμένου τοῦ συντιθέντος ἢ οὕτως ὀλίγον ἑκατέρου μῖξαι τοῖς ἰσχυροῖς φαρμάκοις, ὡς τὰ δακνώδη τε καὶ διαβρωτικὰ λυπηρὰ γενέσθαι τοῖς θεραπευομένοις, ἢ οὕτω πολλὰ κατά τε τὸν ὄγκον καὶ τὸν σταθμὸν, ὡς ἐκλῦσαι τὴν δύναμιν αὐτῶν. ἥ τε γὰρ τοῦ χαλκοῦ λεπὶς ἰσχυρῶς ξηραίνει τε καὶ ῥύπτει καὶ μᾶλλον ἔτι ταύτης ὁ ἰός. ἄμφω δὲ ταῦτα δρᾷ καὶ διαβιβρώσκει τὰς σαρκάς. ὁ δὲ κεκαυμένος χαλκὸς οὔτ' ἐπιτείνεσθαι πρός τινος οὔτ' ἐκλύεσθαι χρήζει, σύμμετρος ὑπάρχων κατὰ δύναμιν εἰς τὰ παρόντα. πρόδηλον δ' ὅτι τοῦ μὲν ἐλαίου τὸ μέτρον ἔκ τε τῶν μιγνυμένων αὐτῷ καὶ τῆς κατὰ τὴν ἕψησιν ἐστοχάσθη ποσότητος. ἐπὶ πλέον γὰρ ἑψηθῆναι δεῖται

mentario continentur, utilia dixerim, rurſus ad propoſitum medicamentum revertar, in quo picis aridae ʒ c, a Critone ſcriptum fuiſſe retulimus, argenti ſpumae lib. iij, quum neutrum propria facultate ulcus malignum perſanare queat, verum ut medicamentum, quod componitur, emplaſtri ſpeciem induat, recte praeſidiis admixta ſunt. Quantitas autem ipſorum artificiali conjectura ſumpta dicto nuper pondere ſtatuta eſt, cavente hoc illo qui compoſuit, ne tam exiguum utriusque validis medicamentis miſceatur, ut mordacia evidentiaque fiant aegris moleſta, vel tam multa mole et pondere, ut ipſorum facultatem diſſolvant. Nam aeris ſquama admodum ſiccat abſtergitque, atque hac etiam magis aerugo, quae ambo efficacia ſunt et carnem exedunt. Aes combuſtum nec a quoquam intendi nec reſolvi poſtulat mediocri facultate praeſentibus commodum. Conſtat autem olei menſuram ex illis, quibuscum miſcetur, et coctionis quantitate

Ed. Chart. XIII. [754.] Ed. Baſ. II. (368.)

τὰ μεταλλικὰ παρασκευαζόμενα πρὸς τὸ ξηραίνειν ἀδήκτως. καὶ διὰ τοῦτο καὶ τὴν ἕψησιν αὐτοῖς προσέθηκεν ὁ Κρίτων ὧδέ πως γράψας αὐτοῖς ὀνόμασιν. ἕψε λιθάργυρον, ἔλαιον ἕως συστραφῇ ποσῶς, εἶτε λεπίδα χαλκοῦ καὶ ἰὸν ἕως συστραφῇ καὶ εὔχρους γένηται, εἶτα πίσσαν ἐπίβαλλε, εἶτα ψύξας λάδανον λεῖον γενόμενον σὺν οἴνῳ προσέχων μὴ ὑπερζέσῃ τούτου βληθέντος, εἶτα ἐπὶ μαλακοῦ πυρὸς ἑνώσας κατάχει καὶ μάλασσε. αὕτη μὲν ἡ τῆς ἑψήσεως γραφή. ἐγχωρεῖ δὲ καὶ πλεῖον ἔλαιον βαλόντας ἐπὶ πλέον ἑψῆσαι, πρῶτον μὲν τὴν λιθάργυρον, εἶτα κατὰ ταύτην ἐμβληθέντας τόν τε ἰὸν καὶ τὴν λεπίδα καὶ τὸν χαλκόν. τὰ γὰρ ἐπὶ πλέον ἑψόμενα διττὴν ἐπί γε τῶν τοιούτων ἑλκῶν ἀρετὴν ἐπικτᾶται, ξηραντικώτερα ταὶ ἀδηκτότερα γινόμενα. περὶ μὲν οὖν τῶν ἄλλων φαρμάκων τῶν ἁπλῶν, ὅσα κατὰ τὴν προκειμένην ἔμπλαστρον εἴρηται τῷ Κρίτωνι, λέλεκταί μοι συμμέτρως. ἐφύλαξα δὲ τὸν περὶ τοῦ λαδάνου λόγον, ὅτι καὶ μόνον ἁρμόττει τοῖς δυσεπουλώτοις σὺν οἴνῳ τριβόμενον, οὐχ ὅτι δεῖται οἴνου δυνάμεως, ἀλλ' ὅτι σκληρότερόν

conjici, nam quae metallica praeparas ad ſiccandum ſine ullo morſu coquere diutius oportet. Atque haec ratio eſt cur Crito coctionem quoque ipſis hiſce verbis appoſuerit. Argenti ſpumam et oleum coquito, donec aliquatenus coierint, deinde ſpumam aeris, aeruginem, dum conſluxerint et colorem bonum acquirant, mox picem adjicito, poſteaquam refrigerata fuerint, ladanum ex vino tritum, obſervans ne ex hoc adjecto efferveſcat, poſtremo ſupra ignem lenem unita deſundito ſubigitoque. Haec quidem coctionis ſcriptura eſt. Licet etiam copioſiore oleo adjecto, diutius coquere primum argenti ſpumam, deinde his injectam aeruginem, ſquamam et aes; etenim ubi diutius coquuntur, duplicem in huiusmodi ulceribus virtutem conſequuntur, quippe magis ſiccant et minus mordent. Itaque de aliis ſimplicibus medicamentis, quae in propoſito emplaſtro Crito percenſuit, ſatis mihi dictum eſt. Ladani autem ſermonem vitavi, quod etiam solum ex vino tritum ulceribus aegre ad cicatricem venientibus conducat, non quia vini facultatem

Ed. Chart. XIII. [745. 755.] Ed. Baſ. II. (368.)

ἐστιν ἢ κατὰ τὴν ἔμπλαστρον. ἀλλ' ἐάν τις αὐτῷ μίξας ἔλαιον ἑψήσῃ, τὴν δύναμιν ἀμβλύνει τοῦ φαρμάκου. ἔστι δ' οὐχ οὕτως ἰσχυρὸν ὡς ἀμβλυνθῆναι δεῖσθαι· [755] καθάπερ ὁ ἰὸς ἢ ἡ χαλκῖτις ἢ ἡ λεπὶς ἤ τι τοιοῦτον καὶ διὰ τοῦτο μαλακώτερον. ἔστι δὲ τοιοῦτον τὸ νέον, ἐπιτηδειότατον γάρ ἐστιν εἰς ἐπούλωσιν ἑλκῶν δυσεπουλώτων. ἐν Κύπρῳ γοῦν ἔνθα πλεῖστον γίγνεται, πρόσφατον ἔτι καὶ μαλακὸν ὑπάρχον αὐτὸ μαλάττων τις ἰατρὸς ἐπετίθει τοῖς τοιούτοις ἕλκεσιν· εἰ δὲ καὶ βραχὺ σκληρυνθείη, κατὰ μυρσίνου τὴν μάλαξιν ἐποιεῖτο, μὴ παρόντος δὲ μυρσίνου, μετὰ κυπρίνου ἢ ῥοδίνου. ἕτερον δὲ φάρμακον οὐ μετὰ πολὺ τοῦδε κατὰ τὴν τετάρτην βίβλον ὁ Κρίτων ἔγραψεν ἐν αὐτοῖς ὀνόμασιν ὧδε. ἡ διὰ χαμαιλέοντος ποιοῦσα πρὸς τὰ αὐτὰ τῇ Τυρίᾳ. ἔστι δὲ ἐπουλωτικωτάτη τῶν δυσαλθῶν καὶ τυλωδῶν καὶ χρονίων ἑλκῶν. ἰᾶται δὲ καὶ τὰς ἐν τῷ δακτυλίῳ ῥαγάδας καὶ κονδυλώματα καὶ σκληρίας λιθαργύρου μνᾶ α'. κηροῦ μνᾶς S''. ἰοῦ μνᾶς τέταρτον καὶ χαμαιλέοντος ὄγδοον, ἐλαίου μνᾶ. ἔλαιον καὶ λιθάργυρον ἕψε κινῶν

requirat, ſed quia durius eſt quam ut emplaſtro, conveniat; ſed ſi oleo admixto id coquas, medicamenti facultatem obtundas; adeo autem validum non eſt, ut obtundi deſideret, quemadmodum aerugo vel chalcitis vel squama vel tale quippiam et propter id mollius. Eſt autem tale recens, nam ulceribus difficulter cicatricem ducentibus accommodatiſſimum est. In Cypro igitur, ubi plurimum naſcitur, medicus quidam, recens adhuc et molle id genus ulceribus ipſum molliens imponebat, quod ſi paulum induruiſſet, ex myrteo emolliebat, hujus inopia ex cyprino vel roſaceo. Aliud autem medicamentum non multo poſt hoc in quarto volumine Crito hiſce verbis conſcripſit. *Medicamentum ex chamaeleonte, facit ad eadem quae Tyria. Inducit egregie cicatricem ulceribus curatu difficilibus, calloſis et veteribus. Medetur itidem ani rhagadiis, condylomatis et duritiis.* ℔ Argenti ſpumae minam j, cerae minae ß, aeruginis minae partem quartam, chamaeleontis octavam, olei minam. Oleum et argenti ſpumam incoquito, rudicula movens, donec craſſitu-

Ed. Chart. XIII. [755.] Ed. Baſ. II. (368. 369.)

σπάθῃ, ἕως ὅσου συστῇ καὶ γένηται μηλίνη. τούτου δὲ γινομένου ἰὸν ἐπίπασον. ἔπειτα πρόσβαλλε κηρὸν, τήξας ἐπιμελῶς καὶ ἄρας ἀπὸ τοῦ πυρὸς ἐπίπασον τὸν χαμαιλέοντα, ὅταν δὲ ἑνωθῇ, κατέρα εἰς θυείαν καὶ μαλάξας ἀναιροῦ. τοῦτο τὸ φάρμακον ἀντὶ μὲν τοῦ λαδάνου τὸν χαμαιλέοντα τῆς αὐτῆς ὄντα δυνάμεως ἔλαβεν. ἀμφότερα γάρ ἐστιν ἐπουλωτικὰ τῶν δυσιάτων ἑλκῶν. ἡ διαφορὰ δ' αὐτῶν ἐν τῷ τὸν μὲν κεκαυμένον χαλκὸν ἔχειν ἐκεῖνο καὶ μηδ' ὅλως ἔχειν τὸν κηρὸν, ἐν τούτῳ δὲ τῷ τὸν μὲν κηρὸν εἶναι, τὸν χαλκὸν δὲ οὐκ εἶναι, καὶ τοῦτ' εὐλόγως ἐποίησεν. ἐν ἐκείνῳ μὲν γὰρ ἀντὶ τοῦ κηροῦ τῷ λαδάνῳ συνεχρήσατο πρὸς τὴν τῶν ἀνίκμων φαρμάκων ἕνωσιν, ἐνταυθοῖ δὲ μηδὲν ἔχων τοιοῦτον τὸν κηρὸν ἔμιξε, μαλακτικὸν μὲν (369) ὄντα μετρίως φάρμακον, οὐ μὴν ἐπουλωτικόν γε. δυνατὸν δ' ἦν κἀνταῦθα πλέον ἔλαιον ἐμβεβλῆσθαι, καθάπερ γε καὶ παλαιὸν ἦ κίκινον. ἐγὼ δὲ εἰς τὰ τοιαῦτα καὶ σχίνινον ἐμβάλλω πλεόνων μετέχον δυνάμεων. καὶ γὰρ μαλακτικὸν ἔχει τι καὶ διαφορητικὸν καὶ στυπτικὸν, ὧν ἁπάντων δεῖται τὰ μετὰ σκληρότητος τῶν χειλῶν δυσεπούλωτα ἕλκη.

dinem accipiat et fiat melinum, quod ubi feceris, aeruginem inſpergito, deinde ceram diligenter liquatam adjicito, et ab igne ſublato chamaeleontem indito, quum in unitatem coierint, in mortarium fundito, ibique ſubactum excipito. Hoc medicamentum vice ladani chamaeleontem ejusdem ſane facultatis accepit, ambo namque ulceribus vix ſanabilibus cicatricem inducunt. Differunt tamen quod illud aes uſtum habeat, minime vero ceram, hoc ceram quidem, ſed aes non contineat. Atque hic recte auctor fecit, qui in illo cerae loco ladanum ad ſiccorum medicamentorum unitatem faciendam uſurpaverit, hic vero nihil tale habens ceram miſcuit, quae ſane remollit mediocriter, non tamen cicatricem generat, potuiſſet autem et hic plus olei infundere, ſicut vetus vel ricininum. Ego vero hujusmodi medicamenti lentiſcinum quoque injicio, quod plurium facultatum eſt particeps, ſiquidem emollit nonnihil, diſcutit et aſtringit, quibus omnibus difficilia cicatrici obducendae ulcera cum oris induratis indigent.

Ed. Chart. XIII. [755.] Ed. Baſ. II. (569.)

Κεφ. ζ. [Περὶ τῶν ὑφ' Ἡρακλείδου γεγραμμένων.] Καιρὸς οὖν ἤδη καὶ τῶν ὑφ' Ἡρακλείδου τοῦ Ταραντίνου γεγραμμένων ἐν τῇ πρὸς Ἀστυδάμαντα βίβλῳ μνημονεῦσαι. πιστὸς γὰρ ἀνὴρ εἴπερ τις ἄλλος ἐστὶ, τὰ διὰ τῆς πείρας αὐτῷ κεκριμένα μόνα γράφων. οὕτος οὖν ὁ ἀνὴρ κατὰ λέξιν οὕτως ἔγραψε. πρὸς τὰ παλαιὰ ἕλκη. λεπίδος μέρος ἕν, ἰοῦ ξυστοῦ μέρη δ'. κηρωτῇ μυρσίνῃ προσαναλαμβάνεται ὀκταπλῇ. ὁ μὲν οὖν Ἡρακλείδης, ὡς ἂν ἰατροῖς γράφων ὑπομνήματα, προσέγραψε, κηρωτῇ μυρσίνῃ ἀναλάμβανε. τολμηροὶ δ' οὕτως εἰσὶ πολλοὶ τῶν νῦν, ὡς πρὸ τοῦ παρὰ διδασκάλων κτήσασθαί τινα ἕξιν ἰατρικὴν, ἐκ τῶν τοιούτων βιβλίων ὁρμώμενοι χρῆσθαι καλοῖς φαρμάκοις ἀμεθόδως καὶ διὰ τοῦτο πολλάκις ἀποτυγχάνειν. αὐτίκα γέ τοι τῆς μυρσίνης κηρωτῆς ἔξεστιν ἐλαττόν τε καὶ πλέον μίξαντα ποτὲ μὲν ὑγροτέρῳ τε καὶ μαλακωτέρῳ χρῆσθαι τῷ φαρμάκῳ, ποτὲ δὲ σκληροτέρῳ καὶ ξηροτέρῳ, κατὰ μὲν τὴν πρώτην ἐπίθεσιν ἐν πλατεῖ στοχασμῷ, καθάπερ εἴρηται πρόσθεν, ἐν δὲ τῇ δευτέρᾳ χρήσει πλησιαίτερον ἀφικνουμένου, ὡς ἐδείχθη.

Cap. VII. [*De medicamentis ab Heraclide ſcriptis.*] Opportunum jam eſt etiam medicamentorum ab Heraclide Tarantino in tertio libro ad Aſtydamantem ſcriptorum meminiſſe. Vir namque fide dignus eſt, ſi quisquam alius, qui ſola experimentis ſuis probata commemoret. Is igitur vir hunc in modum conſcripſit ad verbum. *Adversus vetera ulcera.* Squamae pars una, aeruginis raſae partes quatuor, cerati myrtei partibus octo excipiuntur. Heraclides itaque, tanquam medicis commentarium ſcribens, adjecit, cerato myrteo excipito. Sunt autem plerique hujus tempeſtatis tam audaces, ut priusquam a praeceptoribus habitum quendam medicum acquiſierint, hujusmodi libris confidentes optimis medicamentis citra methodum utantur, ideoque frequenter de proſpero ſucceſſu fruſtrentur. Jam vero myrtei cerati plus minusve adjicientem nunc humidiore et molliore medicamento, nunc duriore et ſicciore uti licet, in primo quidem uſu latiore conjectura, ſicut dictum eſt, in ſecundo

Ed. Chart. XIII. [755. 756.] Ed. Baſ. II. (369.)

βλέποντες γὰρ τὸ ἕλκος, εἰ μὲν ἐνδεῶς ἐξηράνθη, σφοδρότερον ἐργασόμεθα τὸ φάρμακον, ὡς μᾶλλον ξηραίνειν· εἰ δ' ἐπὶ πλέον ἢ δεῖ, μαλακώτερον αὐτὸ ποιήσομεν πλείονα μίξαντες τὴν μυρσίνην κηρωτήν. ἡ γὰρ τῶν μεταλλικῶν δύναμις οὐ μόνον ὑπὸ ταύτης, [756] ἀλλὰ καὶ πάσης κηρωτῆς ἐκλύεται. ἐξῆς δὲ τούτῳ προσγράψας, ἄλλη· προσυπακοῦσαι δὲ χρὴ δηλονότι δύναμις· ὑπέταξε ταυτί. λεπίδα λεάνας ἐπίχεε ὄξος καὶ τρῖβε ὑπὸ κύνα, μέλιτος ποιῶν πάχος ἢ ἔψε. ὅταν δὲ ξηρὸν γένηται, προσεπιλεάνας μίσγε κηρωτῆς μέρη ὀκτὼ καὶ χρῶ πρός τε τὰ πρόσφατα τραύματα καὶ τὰ παλαιὰ ἕλκη καὶ σύρματα καὶ τρίμματα καὶ χίμεθλα τὰ μὴ ἄγαν ἑλκώδη. γινώσκειν δ' ὑμᾶς χρὴ καὶ περὶ τοῦδε τοῦ φαρμάκου ταῦτα. πρὸς μὲν τὰ ἄλλα μετρίως ἄν τις ὀκταπλασίαν κηρωτὴν μίξειε τῇ λεπίδι, πρὸς δὲ τὰ παλαιὰ πάνυ, τουτέστι τὰ δυσίατα, κἂν ἑξαπλασίαν ἢ πενταπλασίαν μίξῃς, οὐ βλάψεις, ἰσχυροτέρων γὰρ δέονται. τὴν δὲ περὶ τοῦ φαρμάκου διήγησιν ἔγραψεν ὁ Ἡρακλείδης οὕτως. ἐγχωρεῖ δὲ καὶ ἐπὶ πυρὸς ἀναξηράναντα τὴν λεπίδα χρῆσθαι. βούλεται

propius accedente. Nam ulcus intuentes, ſi minus quam par eſt exiccatum ſit, vehementius medicamentum reddemus, ut magis ſiccet; ſin plus ac convenit, mollius ipſum copioſioris myrtei cerati mixtura faciemus, quia metallicorum vis non ſolum ab hoc, ſed etiam quovis cerato reſolvitur. Ab hoc quum deinceps ſcripſiſſet *Alia*, inaudire autem videlicet oportet virtus, iſta ſubjunxit: ſquamae laevigatae acetum affundito ac ſub canicula laevigato, mellis ſpiſſitudinem faciens, vel incoquito, poſtquam ſiccum fuerit, in pulverem redactum cerati partes octo miſceto, ac utitor ad recentia vulnera et vetera ulcera et raſa et attritus et perniones non nimis ulceroſos. Haec vobis de hoc medicamento ſunt intelligenda. Ad alia quidem mediocriter octo partes cerati ſquamae adjeceris, ad vetera nimium, hoc eſt curatu difficilia, ſi partes ſex aut quinque illius apponas, nihil peccabis, valentioribus enim indigent. Inde hanc de medicamento narrationem ſic ſcripſit Heraclides dicens, potes inſuper ſquama ſuper ignem reſiccata uti. Illius autem

Ed. Chart. XIII. [756.] Ed. Baſ. II. (369)

δ' ὁ λόγος αὐτῷ, κἂν ἐν ἄλλῳ τινὶ καιρῷ συντιθῶμεν τὸ φάρμακον, ἀντὶ τῆς ἡλιακῆς θερμασίας χρῆσθαι πυρί. καλλίω μέντοι γίγνεται τὰ τοιαῦτα πάντα κατὰ τὸν θερινὸν ἥλιον ἐν πολλαῖς ἡμέραις λειούμενα, τὰ μὲν δι' οἴνου, τὰ δὲ δι' ὄξους. λεπτομερέστερα μὲν οὖν γίγνεται τὰ δι' ὄξους λειωθέντα καὶ διὰ τοῦτο καθαιρετικώτερά τε καὶ λεπτυντικώτερα καὶ ξηραντικώτερα. πρὸς δὲ τὰς ἐπουλώσεις τὰ δι' οἴνου βελτίω, καὶ χρεία γε τούτων γίγνεται προξηρανθέντων, εἶτα προκαθαρθέντων τῶν δυσεπουλώτων ἑλκῶν. προξηρανθήσεται μὲν οὖν διὰ τῶν ἰσχυρῶς ξηραινόντων, καθαρθήσεται δὲ διὰ τῶν ῥυπτόντων, ἀπολωθήσεται δὲ διὰ τῶν στυφόντων. ἄλλο. ἐφεξῆς δ' ἕτερον φάρμακον ἔγραψεν ὁ Ἡρακλείδης ἐκ μὲν τῆς αὐτῆς ὕλης, οὐκ ἰσχυρὸν δὲ διὰ τὸ πολὺ τῆς λιθαργύρου μῖξαι τῷ διφρυγεῖ. τῆς μὲν γὰρ λιθαργύρου πέντε καὶ τριάκοντα δραχμὰς ἀξιοῖ βάλλειν εἰς αὐτὸ, τοῦ διφρυγοῦς δὲ ὀκτώ. καὶ ταῦτα δὲ ἀναλαμβάνει κηρωτῇ, τοῦ μὲν κηροῦ ἐχούσης ≺ μ'. τοῦ δ' ἐλαίου κο. γ'. ἐγὼ δὲ πολλάκις ἐχρησάμην μόνῳ τῷ διφρυγεῖ μετὰ τῆς τοι-

ſermo innuit, ſi alio quopiam tempore medicamentum conficiamus, loco caloris ex ſole igne utendum eſſe, quanquam hujusmodi omnia aeſtivo ſole meliora fiant multis diebus trita, quaedam ex vino, quaedam ex aceto. Subtiliora igitur fiunt, quae ex aceto laevigantur, atque ob id melius detrahunt, attenuant ſiccantque, verum ad cicatrices ducendas ex vino trita meliora. In uſu ſunt haec prius exiccatis, deinde praepurgatis ulceribus, quae cicatricem aegre recipiunt. Siccabuntur itaque iis, quae valide ſiccant, purgabuntur per detergentia, cicatricem ducent aſtringentibus. *Aliud.* Deinceps aliud medicamentum ſcripſit Heraclides ejusdem quidem materiae, ſed non validum, quia argenti ſpumae multum cum diphryge mixtum eſt. Etenim argenti ſpumae triginta quinque drachmas, diphrygis octo in id conjiciendas eſſe conſulit: atque haec cerato excipit, quod cerae drachmas quadraginta, olei tres heminas capiat. Ego ſubinde uſus ſum ſolo diphryge cum tali cerato, non

Ed. Chart. XIII. [756.] Ed. Baſ. II. (506.)

αὐτης κηρωτῆς, οὐδ' οὖν οὐδ' αὐτῷ πρὸς τὰ φαγεδαινικὰ καὶ χειρώνεια καὶ σηπεδονώδη, πολὺ γὰρ ἀποδεῖ τῇ δυνάμει τῶν τὰ τοιαῦτα θεραπευόντων, ἀλλ' ἐπὶ τῶν ἄνευ μεγάλης κακίας δυσεπουλώτων, ὥστε ἂν καὶ λιθάργυρον αὐτῷ τις μίξῃ, καὶ ταύτην πολλὴν ἀσθενὲς ἐργάσεται τὸ φάρμακον. μετὰ δὲ τοῦτο τῆς αὐτῆς ἐπαγγελίας ἐχόμενον γέγραπται φάρμακον τοιόνδε. ℞ κηροῦ ≺ ιβ'. ῥητίνης τερμινθίνης ≺ γ'. λεπίδος ≺ δ'. λαδάνου ≺ δ'. ἀσφάλτου ≺ γ'. τὸ λάδανον τρῖψον κατ' ἰδίαν καὶ τὴν λεπίδα, εἶτα τὰ ἄλλα τήξας μετὰ μυρσίνου ἐλαίου μίσγε. ἐὰν δὲ ᾖ τὸ λάδανον μαλακὸν, τῆκε. κατὰ τὴν γραφὴν ταύτην ἐνεδείξατο σαφῶς ὁ Ἡρακλείδης, ὅταν μὲν σκληρὸν ᾖ τὸ λάδανον, ἐν τῇ θυείᾳ λειοῦν αὐτὸ μόνον, ὅταν δὲ ὑγρόν τε καὶ μαλακὸν, ἐπὶ πυρὸς διατήκειν ἤτοι μόνον ἢ καὶ μετ' ἐλαίου βραχέος, ὅπερ ἑωράκατέ με διὰ παντὸς οὐκ ἐπὶ τούτου μόνου, ἀλλὰ καὶ τοῦ ἀμμωνιακοῦ θυμιάματος ποιοῦντα. ἔστι δὲ καὶ τὸ μετὰ τοῦτο γεγραμμένον φάρμακον ὑπὸ τοῦ Ταραντίνου τῆς αὐτῆς ἐπαγγελίας κατὰ τήνδε τὴν συμμετρίαν. ℞ χαλκίτιδος ≺ κέ.

quidem ad phagedaenica et chironia et putrida, multum enim virtute abeſt ab iis quae talia curant, ſed ad illa, quae citra magnam malignitatem aegre cicatricem ducunt. Quare ſi et argenti ſpumam ipſi admiſceas, eamque copioſam, medicamentum reddes imbecillum. Poſt hoc aliud ad eadem ita ſcriptum eſt. ℞ Cerae drach. xij, reſinae terebinthinae drach. iij, ſquamae drach. iv, ladani drach. iv, bituminis drach. iij. ladanum et ſquama ſeparatim teruntur, deinde alia liqueſacta ex myrteo oleo miſcentur; quod ſi molle ladanum fuerit, liquefacito. Hac ſcriptura palam indicavit Heraclides ladanum durum mortario ſolum ipſum eſſe laevigandum, humidum ſimul et molle ſuper ignem liquandum vel ſolum vel cum oleo modico, quod me non modo in hoc, verum in gutta ammoniaci quoque perpetuo facientem vidiſtis. Eſt vero et quod poſt hoc ſequitur medicamentum a Tarantino conſcriptum ad eadem hac ſymmetria compoſitum. ℞ Chalcitidis drach. viginti quinque, cadmiae

Ed. Chart. XIII. [756. 757.] Ed. Baſ. II. (369.)

καδμείας ≺ ιβ' S''. λεάνας κατ' ἰδίαν καὶ μίξας οἶνον ἀπαράχυτον καὶ ζέσας κατάχες, ὥστε φυραθῆναι συμμέτρως, εἶτα λέαινε ἄχρι τοῦ ξηρανθῆναι καὶ τήξας κηροῦ ≺ ν'. ῥητίνης τερμινθίνης ≺ λ'. μυρσίνης κο. η'. μίσγε τῇ κηρωτῇ ἀπο τῶν ξηρῶν ≺ κ'. καὶ τοῦτο τὸ φάρμακον οὐδὲν ἔχει τῶν μαλθακωδῶν. ἐν μέντοι τῇ πρὸς τὴν κηρωτὴν μίξει τὴν προσήκουσαν ἐφ' ἑκάστου τῶν ἑλκῶν ποσότητι τῆς μίξεως, ὁ γεγυμνασμένος λογικῶς ἐν αἷς ὑπεθέμην μεθόδοις ἐπιτηδείως ἐργά-[757]σαιτο. καλῶς δὲ καὶ τὸν ἀπαράχυτον οἶνον, τουτέστιν ᾧ μὴ μέμικται θάλαττα, θερμὸν καταχεῖ τῆς χαλκίτεως καὶ τῆς καδμείας, ὡς ἀφελέσθαι τὴν δριμύτητα τῆς χαλκίτεως βουλόμενος διὰ τῆς θερμασίας αὐτοῦ. ἕτερον δὲ συνεχὲς τούτῳ γέγραπται φάρμακον ἀξιόλογον, ἐκ τοσῶνδε καὶ τοιῶνδε τῶν ἁπλῶν συγκείμενον. ♃ λεπίδος στομώματος ≺ δ'. ἰοῦ ξυστοῦ ≺ β'. ἐν ἐνίοις δὲ τῶν ἀντιγράφων γέγραπται ≺ α'. χρυσοκόλλης ≺ κε'. ἢ ιε'. κηροῦ ≺ κε'. ἔν τισι δ' ἀντιγράφοις οὔτε τὸν κηρὸν οὔτε τὸν ἰὸν εὕρομεν. λεάνας τὰ ἄλλα

drach. xij, ʃ. Seorſum teruntur, vinum aparachyton, id eſt originale, miſcetur, ubi efferbuerint, ſuperfunditur, ut haec modice irrigentur, poſtea laevigantur, donec ficceſcant, ad haec liquatarum cerae ʒ 1, reſinae terebinthinae ʒ xxx, myrtei heminae partis octavae, cerato e ficcis confecto ʒ xx, miſcentur. Hoc quoque medicamentum nihil habet ex iis, quae malthacode, id eſt *mollicina*, nominavimus, verum in mixtione ad ceratum, qui exercitatus eſt methodis rationalibus a me propoſitis, is convenientem in ſingulis ulceribus mixtionis quantitatem commode faciet. Pulchre autem vinum aparachyton, id eſt cui marina non addita eſt, calidum chalcitidi et cadmiae affundit, ut qui chalcitidis acrimoniam caloris ipſius beneficio auferre ſtudeat. *Aliud huic proximum inſigne medicamentum ſcriptum eſt, ex tot et talibus ſimplicibus compoſitum.* ♃ Squamae ſtomomatis ʒ iv, aeruginis raſae ʒ ij, in quibusdam exemplaribus ſcriptum eſt ʒ j, chryſocollae ʒ xxv vel xv, cerae ʒ xxv, in quibusdam vero exemplaribus nec ceram nec

Ed. Chart. XIII. [757.] Ed. Baſ. II. (369. 370.)

τῆκε τὸν κηρὸν μετ' ὀλίγης ῥητίνης, ὥστε μὴ κατάσκληρον τὸ φάρμακον εἶναι, καὶ μίξας χρῶ, ἄνωθεν δὲ σπόγγον ἐξ ὄξους ἐκθλίψας ἐπιτίθει. Δημήτριος δὲ ὁ Βιθυνὸς ἔφη, αὐτὴν τὴν χρυσοκόλλαν λίαν κηρῷ θερμῷ ἀναλαμβάνων χρῆσθαι. ἐνεδείξατο καὶ κατὰ τοῦτο τὸ φάρμακον ὁ Ἡρακλείδης ὡς οὐ κατὰ πρώτην χρείαν ἡ ῥητίνη μίγνυται τοῖς τοιούτοις φαρμάκοις, ἀλλ' ὑπὲρ τοῦ γλισχρότητά τινα παρασχεῖν αὐτοῖς εἰς ἔμπλαστρώδη σύστασιν, καὶ μάλισθ' ὅταν ὁ κηρὸς ᾖ μήτε λιπαρὸς φύσει μήτε νέος, ἀλλὰ σκληρός τε καὶ αὐχμηρός. ἡ μέντοι τοῦ στομώματος λεπὶς ἰσχυρῶς ξηραίνει πρὸς τῷ καὶ στυπτικὴν ἔχειν δύναμιν. Δημήτριον δ' ἔφη τὸν Βιθυνὸν ἀναλαμβάνοντα τῷ κηρῷ μόνην τὴν χρυσοκόλλαν οὕτως χρῆσθαι. καὶ καλῶς γε ποιῶν ὁ Δημήτριος οὕτως ἐχρῆτο· καθάπερ κἀγὼ πολλάκις οὐ χρυσοκόλλαν μόνον, ἀλλὰ καὶ τῶν ἄλλων ἕκαστον αὐτὸ καθ' αὑτὸ μετὰ μαλακοῦ μαλάττων κηροῦ κατὰ τὰ τοιαῦτα χρῶμαι. δῆλον δ' ὅτι τῶν ἄλλων ἕκα(370)στον εἶπον ὧν διῆλθον ἔμπροσθεν ὠφελεῖν τὰ τοιαῦτα τῶν ἑλκῶν καὶ λιᾶσθαί γέ με καθ'

aeruginem invenimus. Laevigatis aliis ceram cum reſina modica liqueſacito, ne medicamentum dureſcat, ubi commiſcueris utitor, deſuper autem ſpongiam aceto expreſſam imponito. Demetrius Bithynus ajebat ipſam chryſocollam ſuper calente admodum cera exceptam ſe uſurpare. Oſtendit item Heraclides hoc in medicamento reſinam non primo uſu ejusmodi medicamentis miſceri, ſed ut lentorem quendam ad emplaſtri ſpiſſitudinem conciliandam ipſis exhibeat, praeſertim quum cera nec natura pinguis nec recens, ſed dura atque arida fuerit, et quidem ſtomomatis ſquama praeterquam quod aſtringendi vim habet, etiam valide exiccat. Demetrium autem Bithynum dixit chryſocolla ſola cera excepta uti, quod nimirum recte faciens Demetrius in hunc modum uſurpavit, quemadmodum ego quoque ſaepe non chryſocollam duntaxat, ſed alia quoque ſingula ipſa per ſe molli cera reſolvens ad hujusmodi utor. Nemini vero dubium eſt, me alia ſingula dixiſſe, nimirum ea, quae id genus ulceribus prodeſſe ſupra recenſui, et terere in ſingulis

Ed. Chart. XIII. [757.] Ed. Baſ. II. (370.)

ἕκαστον, ὧν ἂν θεραπεύω τῶν δυσιάτων ἑλκῶν μετὰ τοῦ κηροῦ συντεθέντα τ[illegible] τοιαῦτα φάρμακα. ποτὲ μὲν γὰρ τὴν χρυσοκόλλαν ἀναλαμ[illegible]νω κηρῷ, ποτὲ δὲ τὸν κεκαυμένον χαλκὸν ἢ τὴν λεπ[illegible] καὶ ταύτην ἤτοι στομώματος ἢ σιδήρου ἢ χαλκοῦ, ποτὲ τὸν ἰὸν ἄκαυστον ἢ κεκαυμένον, ὥσπερ καὶ μίσυ καὶ χαλκῖτιν. ἐνίοτε δὲ καὶ τῶν αὐστηρῶν τι μίγνυμι, περὶ ὧν ἔμπροσθεν εἶπον, ὅταν ἀποκρούσασθαι βουληθῶ τὸ ἐπιῤῥέον, ἐξ ὧν ἐστιν ἥ τε στυπτηρία καὶ τὰ σίδια καὶ ἡ κηκίς, οἵ τε κύτινοι καὶ τὸ βαλαύστιον, ὅσα τ' ἄλλα τοιαῦτα. πιστεύσαντες οὖν ἐμοὶ τῶν εἰρημένων ἄχρι τοῦ δεῦρο φαρμάκων ἁπάντων οὐδὲν ἀπόβλητον ὑπάρχειν ἀσκεῖτε τὴν μέθοδον τῆς χρήσεως αὐτῶν, ὅπως ἐπιτυγχάνητε καθάπερ ἐγώ. γεγραμμένων δ' ἐφεξῆς ὑπὸ τοῦ Ταραντίνου καὶ ἄλλων δύο φαρμάκων ἀξιολόγων, εὔλογον ἔδοξέ μοι κἀκεῖνα προσθεῖναι. τὸ μὲν οὖν πρότερον αὐτῶν ὡδί πως ἔγραψε. ℞ λεπίδος ≺ δ'. μάννης ≺ δ'. στυπτηρίας σχιστῆς ≺ β'. μίσυος ≺ β'. τρίψας μετὰ ὄξους καὶ κυκλίσκους ποιήσας, ἄγοντας ἀνὰ ≺ β'. ἀπόθου. ὑπὸ δὲ τὴν χρείαν κη-

quae curo aegre ſanabilibus ulceribus talia medicamenta cum cera componentem. Interdum enim chryſocollam cera excipio, nonnunquam aes combuſtum vel ſquamam, eamque vel ſtomomatis vel ferri vel aeris, interdum aeruginem vivam vel uſtam, ſicut etiam miſy et chalcitidem. Aliquando ex auſteris aliquid miſcemus, quorum ſupra meminimus, quoties id, quod influit, repellere conamur, ex quorum numero eſt alumen, malicorium, galla, cytini, balauſtium aliaque his ſimilia. Itaque fide mihi adhibita, nullum hactenus commemoratum medicamentum repudiandum eſſe, exercete uſus eorum methodum, qua voti compotes fiatis quemadmodum ego. Caeterum quum alia quoque duo haud quaquam contemnenda medicamenta deinceps a Tarantino ſcripta ſint, non abs re mihi viſum eſt, ea quoque addidiſſe. Eorum itaque prius ſic tradidit. ℞ Squamae ʒiv, mannae ʒ iv, aluminis ſciſſilis ʒ ij, miſyos ʒ ij, trita ex aceto in paſtillos digerito, qui ſinguli pendant ʒ ij, et reponito. Quum uſus poſcet, cerae ʒ iv, alias xl, reſinae

Ed. Chart. XIII. [757. 758.] Ed. Baf. II. (370.)

ροῦ ≺ δ'. ἄλλ. μ'. ῥητίνης πιτυΐνης ≺ β'. στέατος ταυρείου ≺ δ'. τήξας καὶ ἐάσας παγῆναι μίσγε τῷ τροχίσκῳ. χρῶ δὲ πρὸς τραύματα ὡς κολλώδει καὶ ἀφλεγμάντῳ. ταῦτα μὲν ὁ Ταραντῖνος. ἐγὼ δὲ τῇ μὲν οὕτως μιχθείσῃ φησὶ χρῆσθαι δέον πρὸς τραύματα, πρὸς μέντοι τὰ κακοήθη τῶν ἑλκῶν οὐ χρὴ μιγνύειν τὴν τοιαύτην κηρωτὴν, ἀλλ' ἱκανὸς ὁ κηρὸς μόνος, ὡς ἐπὶ τῶν ἔμπροσθεν εἴπομεν. καὶ εἰ δεήσει ποτὲ μίξαί τι τῶν μαλθακωδῶν αὐτῷ, βραχὺ μύρσινον ἢ κύπρινον ἢ ῥόδινον ἔστω. βλάψεις δ' οὐδὲν, οὐδ' εἰ τὴν λάρικα προσαγορευομένην ῥητίνην μίξειας, οὐδὲ τὴν τερμινθίνην, ἧττον μὲν ἐπιτήδειον ὡς πρὸς τὰ τοιαῦτα τῶν ἑλκῶν οὖσαν, οὐ μὴν ἀπόβλητόν γε. τὰς δ' ἄλλας ῥητίνας οὐ χρὴ μιγνύναι ἄνευ μεγάλης ἀπορίας τῶν προειρημένων. οὕτω δὲ καὶ περὶ στέατος. οὐ γὰρ οὖν οὐδὲ τοῦτο μιγνύναι χρὴ, πλὴν εἰ καὶ τὰ χείλη μαλάττειν ἐθέλῃς. ὅτι δὲ ξηραντικώτερον ὑπάρχει τὸ ταύρειον στέαρ πάντων τῶν ἄλλων, ὅσα τῶν ἡμέρων ζώων ἐστὶν, [758] ἀκηκόατε πολλάκις. ὑπερέχει γὰρ αὐτοῦ λεπτομέρεια, τό τε τοῦ λέοντος καὶ τὸ τῶν παρδά-

pityinae ʒ ij, ſevi taurini ʒ iv, liquata refrigerare ſinito paſtilloque miſceto, utitor ad vulnera tanquam glutinatorio et quod inflammationem arceat. Haec quidem Tarantinus. Nos vero ſic temperato ad ulcera commode uſurpari dicimus, verum ad cacoëthe tale ceratum miſcendum non eſt, quippe cera ſola, veluti in prioribus declaratum eſt, hic ſufficit. Ac ſi ex mollicinis quippiam miſcere oportebit, id exiguum myrteum vel cyprinum vel roſaceum eſto. Nihil item laedes, ſi reſinam laricem appellatam adjungas, nec ſi terebinthinam, quae licet minus idonea ſit adverſus hoc genus ulcera, non tamen rejicienda eſt. Alias vero reſinas, niſi praedictarum magna ſit inopia, miſcere non oportet. Sic de ſevo intelligendum venit, neque enim hoc apponere debemus, niſi ulceris oras emollire cupiamus. Porro quod tauriuum pingue inter alia omnia, quae manſuetorum animantium ſunt, maxime ficcet, non ſemel audiviſtis, quippe ſuperat ipſum tenuitate tum leonis tum pardi tum hyaenae

Ed. Chart. XIII. [758.] Ed. Baſ. II. (370.)

λεων καὶ δηλονότι καὶ τὸ τῆς ὕαίνης. ἄμεινον οὖν, ὅταν δέῃ μιγνύναι στέαρ, τὸ χήνειον ἐμβάλλειν, καὶ μᾶλλόν γε τῶν νομάδων χηνῶν· ἱκανῶς γάρ ἐστι λεπτομερές τε καὶ παρηγορικόν. ἔτι δ' ἑνὸς ὑπολοίπου γεγραμμένου τοῦ φαρμάκου συνεχοῦς τῷ προγεγραμμένῳ, καθ' ὃ τὴν ἀρχὴν ἐποιήσατο τῆς διδασκαλίας οὕτως εἰπὼν ὁ Ἡρακλείδης τὸ ἰπωτήριον, καὶ μάλιστα πρὸς τοὺς ἀπαλοχρῶτας, ἐπειδὴ τῆς ἑτέρας ἐστὶν ὕλης τε καὶ δυνάμεως, ἣν ἔφαμεν ἁρμόττειν τοῖς μὴ φέρουσι τῶν ἰσχυρῶν φαρμάκων τὴν προσαγωγὴν, ἀλλὰ δακνομένοις τε καὶ παροξυνομένοις καὶ ῥευματιζομένοις, ἀναβεβλήσθω μὲν ὁ περὶ τούτου λόγος, ὅταν περὶ τῶν τοιούτων φαρμάκων διεξέρχωμαι λεχθησόμενος. νυνὶ δὲ τῇ ἐπὶ τὰ παραπλήσια τοῖς προγεγραμμένοις μεταβήσομαι τοσοῦτον ἔτι προσθεὶς ὑπὲρ αὐτῶν, ὅτι καὶ καθ' ἕτερον βιβλίον ὁ Ἡρακλείδης ἐπιγεγραμμένον στατιώτην ἔγραψε τὰ αὐτὰ φάρμακα κατὰ τὸ τρίτον ἐν αὐτοῖς τῇ τάξει μόνον ἑαυτῷ διαφωνήσας. ἐνταῦθα μὲν γὰρ ἁπλῶς γέγραπται κηροῦ ≺ μ'. κατὰ δὲ τὸν στρατιώτην πρόσκειται, οἱ δὲ ≺ ισ'. καὶ βέλτιόν γε τοῦτ'

adeps. Potius igitur eſt, ubi adipem miſcere oportet, anſerinum indere vel magis anſerum in paſcuis digentium, ſatis enim eſt tenuis et mitigans. Jam quum adhuc reſtet medicamentum ſuperiori proximum, in quo diſciplinae principium fecit, ita fatus Heraclides, ipoterion quaſi dicas expreſſionum, praeſertim ad teneros, quoniam alterius tum materiae tum virtutis, quam diximus convenire iis, qui valida medicamenta non ſuſtinent, ſed mordentur, exagitantur et fluxionem acquirunt, ſermonem de eo differemus, quum de id genus medicamentis agemus, exponendum. Nunc ad ſimilia praeſcriptis deſcendam, tantum inſuper de iis apponens, quod etiam altero libro quem ſtratiotem, id eſt *militem*, Heraclides inſcripſit, eadem medicamenta repetiit, in tertio ſibi ipſi duntaxat diſſentiens. Hic enim ſimpliciter ſcripſit cerae drachmas quadraginta, verum in ſtratiote appoſitum eſt, alii drachmas ſedecim; atque hoc rectius eſt, quia multa cerae mixtura medicamenti vim

Ed. Chart. XIII. [758.] Ed. Baſ. II. (370.)

ἔστιν. ἡ γὰρ πολλὴ μίξις τοῦ κηροῦ καθαιρεῖ τὴν δύναμιν τοῦ φαρμάκου. τῶν αὐτῶν τούτων φαρμάκων ὁ Ἡρακλείδης μέμνηται κἀν τοῖς πρὸς τὴν Ἀντιοχίδα γεγραμμένοις αὐτῷ, καὶ πρώτως γε τοῦ πρώτου, καθάπερ ἐν τούτοις καὶ ἐν ἐκείνοις γράφων οὕτως. πρὸς μὲν τὰ ἄγαν πεπαλαιωμένα καὶ τυλώδη χρήσῃ ταύτῃ. λεπίδος μέρος α'. ἰοῦ κατὰ τινὰ μὲν τῶν ἀντιγράφων ἀπεστιγμένον τὸ δ'. γέγραπται· κατὰ τινὰ δὲ γραμμὴν ἄνωθεν ἔχον μακρὰν, ὥστε ἤτοι μέρη δ'. σημαίνειν ἢ τοῦ ἑνὸς τὸ δ'. οὕτως δὲ καὶ κατὰ τὰ προειρημένα συγγράμματα διαφερόντως εὗρον αὐτὸ γεγραμμένον, ὥστε καὶ κατὰ τοῦτο χρεία τῆς προκειμένης πραγματείας ἐστὶν, ὅπως ἄν τις ἐπίστηται διαγιγνώσκειν τῶν φαρμάκων τὰς διαφοράς. μόνος γὰρ οὗτος αὐτοῖς κατὰ τρόπον χρήσαιτο. τοῦτο γοῦν αὐτὸ τὸ προκείμενον φάρμακον, ἐὰν μὲν τετραπλάσιον λάβῃ τὸν ἰὸν, ἱκανῶς ἔσται δριμύ. τέταρτον δὲ μέρος ἰοῦ βαλών τις ὡς πρὸς ἓν μέρος τῆς λεπίδος ἕξει μέτριον φάρμακον, ὡς πρὸς τὰ κακοήθη, καὶ μάλιστα, ἐὰν μὴ διὰ κηροῦ μόνου τὴν μίξιν αὐτῶν, ἀλλὰ διὰ κηρωτῆς ποιήσηται. προείρηται δ' ὅτι καὶ μαλακὸν εἶναι χρὴ καὶ νέον

minuit. Praeterea in libris quos ad Antiochidem ſcripſit, horum ipſorum medicamentorum meminit Heraclides, atque in primis primi, quemadmodum in his, ita in illis quoque commentatus. *Ad nimis quam inveterata et calloſa hoc uteris.* Squamae parte una, aeruginis in quibusdam exemplaribus punctis diſtinctum *Δ.* ſcriptum eſt, in aliis lineam ſupraſcriptam habet oblongam *Δ*, ut vel quatuor partes vel unius quartam partem ſignificat. Itidem in praedictis exemplaribus varie ipſum ſcriptum inveni. Quare in hoc quoque utilitas propoſiti operis eſt, ut medicamentorum differentias poſſis pernoſcere, nam ſolus ipſis recte uti poſſis. Hoc igitur ipſum medicamentum, quod propoſitum eſt, ſi quatuor aeruginis portiones capiat, admodum acre futurum eſt. At ſi quartam aeruginis partem injicias uni ſquamae portiunculae, mediocre medicamentum habebis, puta ad maligna, potiſſimumque ſi non ex ſola cera, ſed cerato ipſa temperes. Praediximus ceram et mollem et novam eſſe

Ed. Chart. XIII. [758.] Ed. Baſ. II. (370.)

curatu, item iſim, ut gangraenas coërcentem. Deinde tertium his verbis auſpicatur. *Boni coloris, cruentis idoneum, cicatricem inducens.* Quod chironiis ſimul auxiliari dicit, inſuper quartum, cui nomen indidit, panacea, ad haec quintum, iceſiam. De emplaſtris igitur, vario uſui accommodatis sequenti libro diſputabimus, ubi ſimul ea, quae Heras commendavit, adſcribentur. Hic autem quae vix ſanabilibus, chironia nonnulli vocant, medentur, longo uſu tum a praeceptoribus noſtris tum a nobis ipſis explorata, quorum nonnulla ab antiquioribus quoque viris praeclaris approbata ſunt, quemadmodum et illud, quod in libro, cui titulus eſt Mantiae pharmacopola, de re medica ſcriptum invenio. Verba ipſius ita ſonant. *Aeruginoſum Mantiae.* ♃ Aeris uſti minas quatuor, reſinae pityinae ſiccae drachmas octo, cerae drachmas octo, aeruginis drachmas decem, olei heminam unam, terrae cimoliae drachmas quatuor, thuris drach. iv, ſquamae aeris drach. iv. Sicca laevigata in mortario finito, ceram liquefactam cum oleo tritis ſuperfundito finitoque

Ed. Chart. XIII. [766.] Ed. Baſ. II. (374.)

ἐπάνω τῶν τετριμμένων καὶ ἔασον συμπιεῖν βραχὺν χρόνον καὶ παράχει ὄξους κο. α'. καὶ λεῖα ποίει ἐπὶ ἡμέρας γ'. παραχέων ὄξους ὅσον ἂν ἐπιδέχηται, ὥστε γενέσθαι κηρωτῆς ὑγρᾶς πάχος. χρῶ δὲ αὐτῇ πρὸς πᾶν τραῦμα καὶ τὰ παλαιὰ καὶ τὰ δυσεπούλωτα ἕλκη καὶ ὅσα καρκινώδη ἐστὶ μετὰ τιλμάτων. δεῖ δὲ ἐπάνω τοῦ σπληνίου ἔριον οἰσυπηρὸν οἴνῳ καὶ ἐλαίῳ βρέχοντας ἐπιδεσμεύειν ἐλαφρῶς, λύοντα τοῦ μὲν θέρους δι' ἡμερῶν β'. τοῦ δὲ χειμῶνος διὰ τριῶν, καὶ κατανίπτειν τὰ ἕλκη ὕδατι χλιαρῷ. τὰ δὲ βαθέα τῶν τραυμάτων ἐλαφρῶς διαμοτοῦν αὐτὰ τὰ στόματα. ἡ γὰρ δύναμίς ἐστιν ἔμμοτος καὶ πυοποιός. ᾧ δ' ἂν καθαρὰ γένηται τὰ ἕλκη καὶ ἡ ἐσχάρα ἐκπέσῃ, κηρῷ μίσγων ἴσον ἰῷ ἀπουλοῦν. ἐκβάλλει δὲ καὶ τοὺς ἄνθρακας ἀλύπως καὶ πᾶν νεμόμενον κακόηθες ἵστησι καὶ ἐκθεραπεύει. χρῶ δὲ καὶ πρὸς τοὺς ἕρπητας καὶ τοὺς σαπροὺς ὄνυχας. ὁμοίως δὲ καὶ πρὸς πάντα τῷ οἴνῳ καὶ ἐλαίῳ δεῖ χρῆσθαι μετὰ τοῦ ἐρίου καὶ τοὺς ὀδόντας δὲ τοὺς βεβρωμένους πλήρου τῷ φαρμάκῳ. ἔμπλαστρος Γαληνοῦ. καλὴ ἡ ἡμετέρα. ℞ κηροῦ δὲ πίσσης

pauxillo tempore combibere, aceti heminam addito, per triduum terito, quantum aceti excipiatur, immittens, ut liquidi cerati fiat ſpiſſitudo. Utitor ad omne vulnus et ad ulcera et vix ad cicatricem venientia ulcera et quaecunque cancroſa ſunt, cum panniculis ſilatim concerptis, ſupra ſplenium vero lanam ſuccidam vino oleoque madentem leviter alligare oportet, biduo per aeſtatem ſolvere, hieme triduo ac ulcera tepente aqua abluere, in profundis vulneribus ipsas oras leviter linamentis intercipere, quippe medicamentum linamento excipi aptum eſt, et pus movet. Hac ratione pura fient ulcera et cruſta excidet, ceram miſcendo aequalem aerugini ad cicatricem perveniet. Exterit et carbunculos citra dolorem omneque paſcens malignum ſiſtit perſanatque. Utitor quoque ad herpetas et ungues putridos, ſimiliter autem et ad omnia vino et oleo utendum eſt cum lana. Praeterea dentes eroſos medicamento repleto. *Emplaſtrum Galeni. Bonum noſtrum.* ℞ Cerae, picis, bituminis,

Ed. Chart. XIII. [766. 767.] Ed. Baſ. II. (374. 375.)

καὶ ἀσφάλτου ἀνὰ λίτραν α'. μάννης, ἰοῦ, ψιμυθίου κατὰ τὸ S''. τῶν προειρημένων, τουτέστιν ἡμίλιτρον ἑκάστου. σιδίων δὲ καὶ κηκίδος καὶ ἀκάνθης Αἰγυπτίας καὶ ἴριος Ἰλλυρικῆς καὶ ἀριστολοχίας στρογγύλης καὶ χαλκάνθου, [767] τούτων ἑκάστου τὸ τρίτον τῆς λίτρας, τουτέστιν οὐγγίας δ'. ἀριστολοχίας δὲ μακρᾶς καὶ χαλκοῦ κεκαυμένου τὸ ἕκτον ἑκατέρου τῆς λίτρας, τουτέστιν ἀνὰ γο β'. τὰ μὲν οὖν ξηρὰ λέαινε σὺν ὄξει πλείοσιν ἡμέραις, ὡς καὶ πρόσθεν εἴρηται. καλῶς δὲ αὐτῶν κατειργασμένων τὰ τηκτὰ τήξας σὺν ἐλαίῳ, κο(375)τύλην κατάχεε κατ' αὐτῶν ἐπιπάσσων τὴν μάνναν, καὶ ψύξας τὰ τηκτὰ καὶ ξύσας οὕτως μίγνυε τοῖς ξηροῖς, λελειωμένοις σὺν ὄξει, μή πως ἐν τῷ καταχεῖν ἐγκηρίδας ποιήσῃς, καὶ μάλισθ' ὅταν τὸ περιέχον ψυχρὸν ᾖ. ἡμετέρα ἄλλη. ℔ ἀσφάλτου καὶ στυπτηρίας ὑγρᾶς, ἑκατέρου λίτραν α'. πίσσης δὲ καὶ ῥητίνης πιτυΐνης καὶ κηροῦ διπλάσιον ἑκάστου, τουτέστιν ἀνὰ λίτρας β'. ἀριστολοχίας δὲ στρογγύλης καὶ κηκίδος καὶ ἀκάνθης Αἰγυπτίας ἀνὰ γο η'. τούτου δὲ σταθμοῦ τὸ S''. καθ' ἕκαστον τούτων, σιδίων καὶ χαλκοῦ κεκαυμένου καὶ μάννης καὶ ἀριστολοχίας μακρᾶς, τουτέστιν ἀνὰ

ſingulorum libram j, mannae, aeruginis, ceruſſae, ſingulorum ſelibram, malicorii, gallae, ſpinae Aegyptiae, iridis Illyricae, ariſtolochiae rotundae, chalcanthi, ſingulorum trientem, hoc eſt uncias quatuor, ariſtolochiae vero longae et aeris combuſti, utriusque ſextantem, hoc eſt uncias duas. Sicca ex aceto pluribus diebus terito, ut etiam prius oſtenſum eſt, iis probe elaboratis, quae liquari poſſunt, cum oleo liquatis, heminam ipſis ſuperfundito mannam inſpergens, ubi liqueſacta frigefeceris et deraſeris, aridis ex aceto laevigatis ſic admiſceto, ut ne inter fundendum grumos cerae modo facias, idque potiſſimum ambiente nos aëre frigido. *Aliud noſtrum* ℔ Bituminis, aluminis liquidi, ſingulorum libram unam, picis, reſinae pityinae, cerae duplum, ariſtolochiae rotundae, gallae, ſpinae Aegyptiae, ſingulorum uncias octo, malicorii, aeris uſti, mannae, ariſtolochiae longae, ſingulorum uncias quatuor, olei ricinini aut veteris,

Ed. Chart. XIII. [767.] Ed. Baſ. II. (375.)

γο δ'. ἐλαίου κικίνου, ἢ παλαιοῦ, ἐὰν μὴ ἔχῃς τὸ κίκινον, λίτρας β'. τῆς λίτρας ἐχο'σης γο ιβ'. ὥστε εἶναι τὰς πάσας γο κδ'. καὶ σκεύαζε καὶ τοῦτο τὸν αὐτὸν τρόπον τῷ προτέρῳ, λειῶν τὰ μεταλλικὰ σὺν ὄξει καὶ μετὰ ταῦτα προσεμβάλλων τὰ ξηρὰ καὶ πάλιν λειῶν, εἶθ' ὅταν ἔχῃ ταῦτα πηλώδη σύστασιν τὰ τηκτὰ μιγνὺς ὡς προείρηται. ἄλλη. ℔ ἀσφάλτου καὶ ῥητίνης τερμινθίνης καὶ πίσσης Βρυτίας ἀνὰ λίτραν α'. ἐλαίου ≺ κδ'. λιθαργύρου καὶ ψιμυθίου καὶ μάννης καὶ ἰοῦ καὶ λεπίδος καὶ ὀποπάνακος ἴσον ἑκάστου ταῖς εἴκοσι τέσσαρσι δραχμαῖς τοῦ ἐλαίου, λαδάνου γο δύο, ὅπερ ἐστὶ ≺ ιστ'. καὶ δύο κοτύλας ὄξους, ὁμοίως καὶ τοῦτο τὸ φαρμακον τοῖς πρὸ αὐτοῦ δύο σκευάζεται. ἄλλη. ℔ χρυσοκόλλης καὶ λεπίδος καὶ στομώματος ἀνὰ ≺ δ'. ἰοῦ δὲ καὶ χαλκάνθου, ἑκατέρου τὸ ἥμισυ, τουτέστιν ἀνὰ ≺ β'. κηροῦ ≺ κε'. τουτέστι γο γ'. καὶ δραχμὴν μίαν, ῥητίνης τερμινθίνης γο β'. τουτέστιν ≺ ιστ'. τὸν κηρὸν μετὰ τῆς τερμινθίνης τῆξον, εἶτα τοῖς ἄλλοις μιγνὺς, διττῶς σκευάζων τὸ

ſi illud non adſit, libras duas, quarum ſingulae uncias duodecim contineant, ut omnes ſimul unciae collectae ſint viginti quatuor. Praeparo hoc quoque eodem modo cum praedicto, metallica ex aceto teruntur, deinde ſicca adjiciuntur rurſusque laevigantur, poſtea cum luti ſpiſſitudinem habuerint, liquata miſcentur, ut praediximus. *Aliud.* ℔ Bituminis, reſinae terebinthinae, picis brutiae, ſingulorum libram unam, olei drachmas vigintiquatuor, argenti ſpumae, ceruſſae, mannae, aeruginis, ſquamae, opopanacis, ſingulorum pares portiones drachmis olei viginti quatuor, ladani uncias duas, quae valent drachmas ſedecim, aceti heminas duas. Hoc quoque medicamentum perinde ac ſuperiora duo conficitur. *Aliud.* ℔ Chryſocollae, ſquamae, ſtomomatis, ſingulorum drach. iv, aeruginis et chalcanthi, utriusque dimidium, hoc eſt, ſingulorum ʒ ij, cerae ʒ xxv, hoc eſt, uncias tres et drach. j, reſinae terebinthinae uncias duas, ide ſt drach. xvj. Ceram cum terebinthina liquefacito, deinde aliis admiſceto, bifariam medicamentum conficiens,

Ed. Chart. XIII. [767.] Ed. Baſ. II. (375.)

φάρμακον, ποτὲ μὲν ὡς τὰ πρόσθεν ὄξει τρίβων τὰ ξηρὰ, ποτὲ χωρὶς ὄξους ἀκριβῶς λελειωμένα μιγνὺς τοῖς τηκτοῖς. ἔστω δὲ ἡ τερμινθίνη ὑγροτέρα, καθάπερ ὡς ἐπὶ πολὺ ἡ λάριξ ὀνομαζομένη. καθόλου δὲ πᾶσι τοῖς φαρμάκοις τούτοις, ὅσα τοῖς χειρωνείοις ἁρμόττειν ὡμολόγηται τῆς λάρικος ῥητίνης μιγνὺς ἀντὶ τῆς τερμινθίνης, οὐχ ἁμαρτήσεις. ἄλλη. ℞ κηροῦ οὐγγίας γ'. τουτέστι ≺ κδ'. χαλκοῦ κεκαυμένου καὶ λεπίδος καὶ ἰοῦ ἀνὰ ≺ β'. ὡς εἶναι τῶν τριῶν ὁμοῦ ≺ στ'. ὁ κηρὸς ἔστω λιπαρὸς, ὡς μαλασσόμενος μετ' ὀλίγου ῥοδίνου ἢ μυρσίνου, ἀναλαμβάνειν τὰ ξηρὰ λελειωμένα καλῶς, ὅπερ ἐπὶ πάντων τῶν πρὸς τὰ χειρώνεια συντιθεμένων φαρμάκων ἀναγκαιότατόν ἐστι. καὶ μέντοι καὶ μετὰ τὸ μῖξαι τὰ ξηρὰ τῷ κηρῷ κάλλιον ἐν ὅλμῳ κόπτειν ἐπὶ πλέον αὐτά. ἄλλη. ℞ κηροῦ γο στ'. ἰοῦ τὸ ἕκτον, ὅπερ ἐστὶν γο α'. χαλκοῦ κεκαυμένου καὶ ῥητίνης λάρικος ἑκατέρου ≺ γ'. ὡς εἶναι συναμφοτέροις ≺ στ'. ὁ κηρὸς λιπαρὸς ἔστω. καὶ βληθεὶς εἰς ὕδωρ θερμὸν, ὡς μαλακώτερος γενέσθαι μαλασσέσθω διὰ τῶν χειρῶν, ἀναλαμβανομένων εἰς αὐτὴν τοῦ τε ἰοῦ καὶ

interdum, ut prius citata aceto conterens arida, interdum ſine hoc curioſe laevigata liquefactis miſceto. Eſto autem terebinthina liquidior, ſicut plerunque larix appellata. In ſumma, omnibus his medicamentis quae chironiis convenire palam eſt, laricem reſinam ſi loco terebinthinae miſceas, non peccabis. *Aliud.* ℞ Cerae uncias iij, hoc eſt drach. viginti quatuor, aeris uſti, ſquamae, aeruginis, ſingulorum drachmas duas, ut trium horum ſimul drachmae ſex exiſtant. Cera eſto pinguis, ut quae cum roſaceo vel myrteo modico emolliatur. Arida probe laevigata excipiantur, quemadmodum in omnibus medicamentis, quae ad chironia parantur, vehementer eſt neceſſarium. Quin etiam ubi ſicca cerae fuerint admixta, melius eſt ea diu in mortario contundere. *Aliud.* ℞ Cerae uncias ſex, aeruginis partem ſextam, quae eſt ℥ j, aeris uſti, reſinae laricis, ſingulorum ℥ iij, ut ambo ſimul habeant ℥ vj. Cera pinguis eſto, inque aquam calentem projecta, quo mollior fiat, manibus ſubigatur, aerugi-

Ed. Chart. XIII. [767. 768.] Ed. Baſ. II. (375.)

τοῦ χαλκοῦ καὶ μετὰ ταῦτα κοπτομένων ἐν ὅλμῳ, ἐν ᾧ καὶ ἡ τῆς ῥητίνης μίξις γενήσεται κατὰ βραχὺ παρασταζομένη. ἄλλη. ♃ καδμείας γο γ'. τῷ ἡμίσει σταθμῷ χαλκίτεως μίξας, ὅπερ ἐστὶν γο α'. καὶ ἡμίσεια, λειώσας καλῶς, ἐπίχει οἶνον αὐστηρὸν καὶ πάλιν λείου καὶ ποιήσας μελιτώδες τῇ συστάσει, μῖξον τὴν κηρωτὴν ἐκ κηροῦ καὶ ῥητίνης φρυκτῆς γεγενημένην. ἔστω δ' ἑκατέρου τὸ ἴσον οὐγγία α'. ὥστε συναμφότεραι οὐγγίαι β'. εἶναι. προσμίξεις δὲ αὐτοῖς βραχὺ μυρσίνου τηκομένης. [768] ἄλλη. ♃ ἐλαίου παλαιοῦ ἢ κικίνου κοτύλην α'. κηροῦ καὶ πίσσης καὶ ἀσφάλτου ἀνὰ λίτραν α'. μάννης, ἰοῦ, ψιμυθίου κατὰ τὸ ἥμισυ τῶν προειρημένων, ὅπερ ἐστὶν ἑκάστου ἀνὰ ἡμίλιτρον, σιδίων, κηκίδος, ἀκάνθης Αἰγυπτίας, ἴρεως, ἀριστολοχίας στρογγύλης, χαλκάνθου τὸ τρίτον τῆς λίτρας ἑκάστου, ὅπερ ἐστὶν οὐγγίαι δ'. χαλκοῦ κεκαυμένου, ἀριστολοχίας μακρᾶς, ἕκτον τῆς λίτρας, ὅπερ ἐστὶν οὐγγίαι β'. ἑκατέρου τὰ τηκτὰ συμμίξεις τοῖς ξηροῖς προλελειωμένοις ἐν ὄξει, καθότι προείρηται. ἄλλη. ♃ καδμείας, χαλκίτεως ἀνὰ ≺ μ'. δι' οἴνου λειοτριβήσας

nem et aes in eam recipiendo, poſtea contundendo in pila, ubi reſinae quoque mixtio paulatim inſtillando fiet. *Aliud.* ♃ Cadmiae uncias tres, dimidio chalcitidis ponderi miſceto, quod eſt unciae ſemiſſi. Tritis probe vinum auſterum affundito et rurſus laevigato, ubi mellis conſiſtentiam habuerit, ceratum ex cera et reſina fricta compoſitum immittito. Sint autem cujusque pares portiones unius unciae, ut ambae duas uncias efficiant, myrtei liquefacti pauxillum adjicito. *Aliud.* ♃ Olei veteris vel ricinini heminam j, cerae, picis, bituminis, ſingulorum libram unam, mannae, aeruginis, ceruſſae, dimidio minus quam in praedictis, quod eſt cujusque ſelibram, malicorii, gallae, ſpinae Aegyptiae, iridis, ariſtolochiae rotundae, chalcanthi, ſingulorum trientem, qui valet uncias quatuor, aeris combuſti, ariſtolochiae longae, cujusque ſextantem, qui pendet uncias duas. Quae liquantur, aridis antea ex aceto laevigatis commiſcebis, ut praedictum eſt. *Aliud.* ♃ Cadmiae, chalcitidis, ſingulorum drachmas quadraginta. Ex vino tritis pluribus

Ed. Chart. XIII. [768.] Ed. Baſ. II. (573.)

ἐν ἡμέραις πλείοσι μίξεις κηρωτὴν γενομένην δι' ἐλαίου καὶ κηροῦ. ἔστωσαν δὲ τοῦ μὲν ἐλαίου λίτραι β'. τοῦ δὲ κηροῦ δραχμαὶ σ'. κάλλιον δὲ ἐν ἐλάττονι συμμετρίᾳ σκευάζειν τοῦτο, καδμείας μὲν καὶ χαλκίτεως ἀνὰ ≺ ι'. ἐμβάλλοντα, κηροῦ δὲ καὶ ἐλαίου ἀνὰ δραχμὰς ν'. ἄλλη. ℔ καδμείας κεκαυμένης καὶ χαλκίτεως κεκαυμένης καὶ τερμινθίνης καὶ κηροῦ τὸ ἴσον ἑκάστου, τὰ ξηρὰ λειώσεις ἐν οἴνῳ. ἄλλη διὰ κίκεως. ℔ ἰοῦ δραχμὴν μίαν, στυπτηρίας ὑγρᾶς λίτραν μίαν, σιδίων καὶ χαλκοῦ κεκαυμένου καὶ μάννης μὲν τρίτον τῆς λίτρας ἑκάστου, ὅπερ ἐστὶν οὐγγίας δ'. κηκίδος τὸ διπλάσιον, ὅπερ ἐστὶν οὐγγίας η'. πίσσης δὲ καὶ πιτυΐνης ἀνὰ λίτρας β'. καὶ ἀσφάλτου τὸ ἥμισυ, τουτέστι λίτραν, ὅπερ καὶ τῆς ὑγρᾶς στυπτηρίας ἐμβεβλήκης, ἀριστολοχίας δὲ στρογγύλης καὶ τῆς κηκίδος γο η'. τῆς δὲ μακρᾶς ἀριστολοχίας ἥμισυ, τουτέστιν οὐγγίας δ'. ἐλαίου κικίνου λίτρας β'. τὰ μεταλλικὰ σὺν ὄξει λειώσεις, ὡς ἐπὶ τῶν προγεγραμμένων. ἄλλη. ℔ κηροῦ οὐγγίας γ'. χαλκοῦ κεκαυμένου καὶ λεπίδος καὶ ἰοῦ ἀνὰ λι'. β'. τὸν κηρὸν προθερμάνας ἐν ὕδατι θερμῷ

diebus ceratum, quod ex oleo et cera conſtat, immittes. Sint autem olei librae duae, cerae drachmae ducentae. At ſatius eſt hoc minori ſymmetria conficere. ℔ Cadmiae et chalcitidis, ſingulorum drachmas decem, cerae et olei, cujusque drachmas quinquaginta injiciendo. *Aliud.* ℔ Cadmiae combuſtae, chalcitidis uſtae, terebinthinae, cerae, ſingulorum parem menſuram. Arida ex vino conteres. *Aliud ex ricino.* ℔ Aeruginis ℥ j, aluminis liquidi lib. j, malicorii, aeris uſti, mannae, ſingulorum trientem, qui valet ℥ iv, gallae duplum adjicias, quod eſt ℥ viij, picis, pityinae, ſingulorum lib. ij, bituminis dimidio minus, hoc eſt libram j, cui aluminis liquidi etiam indideris, ariſtolochiae rotundae et gallae, ſingulorum uncias octo, longae ariſtolochiae dimidium, hoc eſt uncias quatuor, olei ricinini libras duas. Metallica ex aceto conteruntur, ut in ſuperioribus. *Aliud.* ℔ Cerae uncias tres, aeris uſti, ſquamae, aeruginis, ſingulorum libras duas. Ceram prius in aqua ca-

Ed. Chart. XIII. [768] Ed. Baſ. II. (375.)

μαλάξεις ἐν ταῖς χερσὶ μιγνὺς ῥόδινον, εἶτα ἀναλαβὼν τὰ ξηρὰ κόψεις ἐν ὅλμῳ μέχρι πλείονος, ὡς ἀληθῶς ἑνωθῆναι πάντα διὰ τρίτης ἢ τετάρτης ἡμέρας. λῦε καὶ τοῦτο καὶ τὰ ἄλλα πάντα τὰ τοιαῦτα σπόγγον ἐπιτιθεὶς ἔξωθεν ἐξ ὕδατος ἢ ὀξυκράτου. ἄλλη. ℔ κηροῦ οὐγγίας στ'. ῥητίνης λάρικος τὸ ἥμισυ, τουτέστιν γο γ'. ἰοῦ τὸ τρίτον ἢ κατὰ τὴν λάρικα, τουτέστιν γο α'. πίσσης Βρυτίας ≺ γ'. χαλκίτεως κεκαυμένης ὁμοίως ≺ γ'. σκεύαζε καὶ τοῦτο παραπλησίως τῷ προγεγραμμένῳ. ἄλλη. ℔ χαλκοῦ κεκαυμένου, λεπίδος καὶ ἰοῦ, τὸ ἴσον ἑκάστου μῖξον ἡμιολίῳ κηρῷ, μαλάξας τὸν κηρὸν ὡς προείρηται, προβρέξας ὕδατι θερμῷ καὶ προσβαλὼν ἐν τῷ μαλάσσειν ἢ ῥόδινον ἢ μύρσινον, εἶτα εἰς ὅλμον ἐμβαλών. ἄμεινον δὲ τῶν τριῶν σταθμῶν τὸν κηρὸν ἴσον μιγνύειν, ὡς ὅτι νεώτατόν τε καὶ μαλακώτατον καὶ λιπαρώτατον, ἵνα μὴ δεηθῇς πολλοῦ τοῦ ἐλαιώδους ὑγροῦ. ἄλλη. ℔ ἰοῦ καὶ τερμινθίνης ἴσον ἑκατέρου, κηροῦ δὲ τὸ τριπλάσιον, στυπτηρίας δὲ τῆς σχιστῆς καὶ καδμείας καὶ λεπίδος ἑκάστου τὸ τετραπλάσιον, ὡς εἶναι τοῦ μὲν ἰοῦ μέρος α'.

lente calefaciens, manibus roſaceum admiſcens emollies, deinde arida excepta in mortario contundes diutius, ut vere omnium fiat unitas. Tertio quartove die hoc et alia hujusmodi omnia ſolvito, ſpongiam extrinſecus ex aqua vel poſca imponens. *Aliud.* ℔ Cerae uncias ſex, reſinae laricis ejus dimidium, hoc eſt uncias tres, aeruginis triplo minus, quam laricis fuit, hoc eſt unciam, picis Brutiae drachmas tres, chalcitidis uſtae ſimiliter drachmas tres. Conficito et hoc, ut praedictum. *Aliud.* ℔ Aeris uſti, ſquamae, aeruginis, parem cujusque menſuram, cerae ſeſcuplam miſceto. Ceram, ut praedictum eſt, calente prius aqua madidam ſubigito, ac interea dum hoc agis vel roſaceum vel myrteum adjicito, deinde in pilam immittito. Praeſtat autem trium pondo ceram aequalem miſcere quam recentiſſimam, molliſſimam, pinguiſſimam, ne multo humore oleoſo indigeas. *Aliud.* ℔ Aeruginis, terebinthinae, pares utriusque partes, cerae triplo plures, aluminis ſciſſilis, cadmiae, ſquamae, ſingulorum quadruplum, ut aeruginis pars una ſit, item te-

Ed. Chart. XIII. [768. 769.] Ed. Baſ. II. (375. 376.)

καὶ τῆς τερμινθίνης μέρος α'. τοῦ δὲ κηροῦ γ'. μέρη, λεπίδος καὶ καδμείας καὶ στυπτηρίας σχιστῆς ἑκατέρου μέρη τέσσαρα. τὰ ξηρὰ κόψας καὶ σήσας καὶ λειώσας ἀκριβῶς, εἰς ὅλμον ἐμβαλὼν τὸν κηρὸν καὶ τὴν τερμινθίνην κόπτε προσεπιπάσσων τὰ ξηρά. βρέχων τὸ ὕπερον μυρσίνῳ ἢ ῥοδίνῳ ἐν ἀέρι θερμῷ, ῥᾳδίως γὰρ ἐν τούτῳ κοπήσεται, μάλιστα δὲ εἰ ἐν ἡλίῳ κόπτοιτο θερινῷ. ἡ χρῆσις ὡς καὶ τῶν ἄλλων προαποῤῥυφθέντος τοῦ ἕλκους ἀφρολίτρῳ καὶ καταπλυθέντος μελικράτῳ καὶ σπογγισθέντος καλῶς ὡς ἄνικμον εἶναι καὶ μετὰ ταῦτα πλατύσματος ἐκ τῆς ἐμπλάστρου κατὰ τοῦ ἕλκους τεθέντος, εἶτα ἔξωθεν ἐξ ὕδατος ψυχροῦ διπλοῦ πτύγματος ἐξ ὀθόνης, εἶτα καινοῦ σπόγγου μαλακοῦ, καὶ λύσαις δηλονότι διὰ τρίτης ἢ τετάρτης. [769] (376) ἄκηρος ἡμετέρα. ℞ λιθαργύρου λίτρας γ'. ἐλαίου κικίνου παλαιοῦ λίτρας δ' S''. ὄξους δριμυτάτου λίτρας β'. λεπίδος χαλκοῦ μελαίνης καὶ χαλκίτεως καὶ ἰοῦ, τῶν τριῶν ἑκάστων ἀνὰ γο β'. τὴν λιθάργυρον μετὰ τοῦ ἐλαίου προέψειν χρὴ, μέχρι γλοιώδους συστάσεως, εἶτ' ἐπεμβάλλειν τὰ μεταλλικὰ, λελει-

rebinthinae una, cerae tres, ſquamae, cadmiae, aluminis ſciſſilis, uniuscujusque quatuor. Ubi arida contuderis, cribraveris, in pulverem exacte redegeris, in mortarium conjectam ceram et terebinthinam contundito, ſicca aſpergens, paſtillum myrteo vel roſaceo madefaciens in aëre calido, nam in hoc facile tundentur, maxime ſi id aeſtivo ſole fiat. Uſus eſt is, qui aliorum quoque, nimirum ulcere prius deterſo aphrolitro et poſtea eloto per melicratum, tum per ſpongiam probe purgato, ut madoris ſit expers, deinde ſuper id latiore linteo, cui emplaſtrum illitum ſit, impoſito, poſtea duplici linamento aqua frigida tincto extrinſecus ſuperdato, praeterea nova ſpongia molli, et tertio aut quarto die id reſolves. *Acerum hoc eſt absque cera, noſtrum.* ℞ Argenti ſpumae libras tres, olei ricinini veteris libras iv ſ, aceti quam acerrimi libras duas, aeris ſquamae nigrae, chalcitidis, aeruginis, ſingulorum uncias ij. Argenti ſpumam cum oleo prius coquere oportet, donec ſtrigmenti ſpiſſitudinem accipiat, deinde metallica pluſculis diebus ex aceto

Ed. Chart. XIII. [769.] Ed. Baſ. II. (376.)

ωμένα πλείοσιν ἡμέραις μετ' ὄξους, καὶ οὕτως ἕψεῖς μέχρις ἀμολύντου. ἔνεστι δὲ καὶ κατ' ἀρχὴν εὐθέως τὴν λιθάργυρον μετὰ τοῦ ἐλαίου καὶ τοῦ ὄξους ἀκριβῶς μίξαντα ἕψειν, ἐπεμβάλλειν τε ὅταν ἡμίεφθον γένηται τὴν λεπίδα καὶ τὴν χαλκῖτιν καὶ τὸν ἰόν. ὀνομάζω δὲ νῦν λίτραν ἐλαίου καὶ ὄξους τὴν Ῥωμαϊκὴν, ἥτις ἐστὶν οὐγγιῶν τῶν ἰδίων δεκαδύο. βάλλων δέ ποτε καὶ ἓξ λίτρας ἐλαίου πρὸς τὰς τρεῖς τοῦ λιθαργύρου, καὶ δηλονότι μέχρι πλείονος ἕψεται κατὰ ταύτην τὴν συμμετρίαν. σκευάζοντί σοι καὶ τοῦτο τὸ φάρμακον, ἄμεινόν ἐστι προηψῆσθαι μετὰ τοῦ ἐλαίου μόνου τὴν λιθάργυρον, εἶτα μετὰ τοῦ ὄξους ἐμβεβλῆσθαι τὰ μεταλλικά. τριῶν δὲ ὄντων αὐτῶν ἑκάστου γο β'. ἔφην βάλλεσθαι πρὸς ὄξους λίτρας β'. λιθαργύρου δὲ γ'. ἐλαίου δὲ κικίνου παλαιοῦ τὰς ἓξ λίτρας ἤ, ὡς ἔμπροσθεν ἔφην, τὰς τέσσαρας καὶ ἡμίσειαν. τοῦτο τὸ φάρμακον καὶ σύριγγας κολλᾷ καὶ τετυλωμένας γε ἤδη ξηραῖνον συνάγει καὶ κλείει καὶ, εἰ καλῶς διαιτώμενος εἴη τις, οὐκ ἀναλύονται. πλήθους δὲ ἀθροισθέντος ἀξιολόγου κίνδυνος ἐκ ῥεύματος ἐπελθόντος ἀναφλεγμῆναί τε καὶ τὸ μόριον ἀνοιχθῆναί τε τὴν σύριγγα, καὶ ἐπὶ

trita adjicere, atque ſi incoques, quousque non coinquinet. Licet etiam ſtatim ab initio argenti ſpumam cum oleo et aceto diligenter mixtam coquere, ac ubi ſemicocta fuerint, ſquamam, chalcitidem et aeruginem immittere. Voco autem nunc libram olei et aceti Romanam, quae uncias duodecim peculiares continet. Quin et ſex olei libras tribus argenti ſpumae pondo interdum committito et nimirum ſecundum hanc ſymmetriam diutius incoquuntur. Quum praeparas et hoc medicamentum, praeſtat argenti ſpumam cum ſolo oleo eſſe coctam, deinde metallica cum aceto injici. Ubi vero tria fuerint, cujusque uncias duas dixi immittendas aceti libris duabus, argenti ſpumae tribus, olei ricinini veteris libris ſex vel, ut prius dixi, quatuor ʃ. Hoc medicamentum et fiſtulas jungit et calloſas jam exiccat, contrahit et claudit. At ſi bona victus ratione uſus quis fuerit, non reſolvuntur, plenitudine vero inſigni collecta, periculum eſt, ne pars ex fluxione infeſtante phlegmone rurſus tentetur et fiſtula ape-

Ed. Chart. XIII. [769.] Ed. Baſ. II. (376.)

τῶν πεπαλαιωμένων δὲ ἑλκῶν καὶ δυσεπουλώτων, ἃ καὶ χειρώνεια καλεῖται, οὐ μόνον αὐτὸ τὸ φάρμακον ἄκρατον ἐπιτίθεμεν, ἀλλὰ καὶ τακὲν ἐν ἐλαίῳ παλαιῷ ἢ κικίνῳ ἔμμοτον ἐπιτεθὲν, εἰ καὶ μή πω πρόσθεν ποτὲ πύου, μηδὲ τὸ ἐλάχιστον εἴη γεγονὸς ἐν τῷ ἕλκει, συμπέσσει τε αὐτὸ καὶ πυοποιεῖ, καὶ τό γε πῦον ἐργάζεται παχύ. λύσεις καὶ τοῦτο διὰ τρίτης, ἐὰν μηδὲν κωλύῃ. ἐὰν δὲ ἡ λεπὶς στομώματος ᾖ, βέλτιον. εἰ δὲ μὴ ταύτην ἔχοις μήτε τὴν μέλαιναν, ἢ τοῦ Κυπρίου χαλκοῦ βληθήσεται. ἐσκευασά ποτε ταύτην τὴν ἔμπλαστρον καὶ λίθου Φρυγίου μίξας οὐγγίαν, ἄλλοτε δὲ καὶ χρυσοκόλλης οὐγγίαν, ὥσπερ γε καὶ ἀμφοτέρων ποτὲ, κολλᾷ καὶ τὰ μεγάλα τραύματα. ἄλλη πρὸς ἀπαλοχρῶτας καὶ δυσελκεῖς ἐπὶ τῶν αὐτῶν ἑλκῶν. ℞ κηροῦ λίτραν α'. ῥοδίνου λίτραν α'. ψιμυθίου γο ἡ'. ἁλὸς ἀμμωνιακοῦ γο δ'. λεπίδος Κυπρίας γο β'. λιβανωτοῦ γο α'. ἀσβέστου γο α'. σχιστῆς γο α'. ἰοῦ γο α'. σιδίων γο α'. ᾗ χρῆσις ταῖς προγεγραμμέναις ὡσαύτως θ'. τὰ παρόντα ἐστὶ φάρμακα συντεθέντα χωρὶς τοῦ ῥοδίνου, δέκατον γὰρ ἐκεῖνο. τῶν ἐννέα πέντε

riatur. Et vero inveteratis ulceribus et dyſepulotis, quae et chironia nominantur, non ſolum medicamentum impermixtum imponimus, ſed etiam liquefactum oleo veteri vel ricinino ac linamento exceptum, etiam ſi puris vel minimum nondum in ulcere antea fuerit, concoquit ipſum et generat et craſſum efficit. Caeterum ulcus triduo ſolves, ſi nihil prohibet. Quod ſi ſtomomatis ſquama fuerit, praeſtat, ſin minus eam habeas nec nigram, Cyprii aeris ſquama injicietur. Confeci aliquando hoc emplaſtrum, phrygii quoque lapidis uncia admixta, interdum etiam chryſocollae uncia, ſicut et amborum nonnunquam, glutinat et magna vulnera. *Aliud ad teneros et ex iisdem ulceribus nimis graviter conflictantes.* ℞ Cerae lib. j, roſacei lib. j, ceruſſae ʒ viij, ſalis ammoniaci ʒ iv, ſquamae Cypriae ʒ ij, thuris unciam unam, calcis vivae ʒ j, aluminis ſiſſilis unciam unam, aeruginis unciam unam, malicorii unciam unam. Uſus praedictis idem eſt. Novem in praeſentia ſunt medicamenta citra roſaceum compoſita, decimum enim illud. Ex

Ed. Chart. XIII. [769.] Ed. Baſ. II. (376.)

μέν ἐστιν ἴσα τῷ σταθμῷ ἄσβεστος καὶ σίδια καὶ λιβανωτὸς καὶ σχιστὴ στυπτηρία καὶ ὁ ἰός. ἡ δὲ λεπὶς διπλασίου σταθμοῦ καὶ ταύτης οἱ ἀμμωνιακοὶ ἅλες διπλάσιοι. καὶ τούτων τὸ ψιμύθιον. ἡμιόλιος δὲ τούτου πάλιν ὁ κηρὸς εἰς λίτραν α'. ἀγόμενος, ἥνπερ καὶ τὸ ῥόδινον.

novem quinque ſunt pari pondere, calx viva, malicorium, thus, alumen ſciſſile et aerugo. Squamae duplo majus pondus eſt et hanc ſal ammoniacus duplo exuperat, hunc ceruſſa, hujus ſeſcupla rurſus cera in libram unam reducta, quam et roſaceum habet.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΓΕΝΗ ΒΙΒΛΙΟΝ Ε.

Ed. Chart. XIII. [770.] Ed. Baſ. II. (376.)

Κεφ. α'. Περὶ τῶν πολυχρήστων φαρμάκων ἐνταῦθα λεχθήσεται. πολύχρηστα δ' ὀνομάζουσιν ὅσα πρὸς πολλὰς διαθέσεις ἁρμόττει. καὶ τινὰ αὐτῶν οὐ μόνον ἑτεροειδῆ, ἀλλὰ καὶ ἑτερογενῆ. ἅπαντα δὲ ἐξ ἐναντίων σύγκειται φαρμάκων οὐ κατὰ τὰς πρώτας μόνον ποιότητάς τε καὶ δυνάμεις, ἀλλὰ καὶ κατὰ τὰς δευτέρας. εὔδηλον δ' ὅτι πρώτας μὲν ὀνομάζω θερμότητα καὶ ψυχρότητα καὶ ξηρό-

GALENI DE COMPOSITIONE MEDICAMENTORVM PER GENERA LIBER V.

Cap. I. De medicamentis polychreſtis futura hic eſt diſputatio, vocant autem polychreſta quae multis affectibus conveniunt. Suntque nonnulla ipſorum non modo ſpecie, ſed etiam genere diverſa, omnia vero ex contrariis conſtant medicamentis, etiam juxta ſecundas qualitates ac vires, non tantum primas. Patere arbitror cuivis primas me appellare caliditatem, frigiditatem, ſiccitatem et humi-

Ed. Chart. XIII. [770.] Ed. Baſ. II. (376.)

τητα καὶ ὑγρότητα καὶ τὰς ἐκ τούτων συνθέτους κατὰ συζυγίαν ἡντιναοῦν. δευτέρας δὲ τὰς ἑπομένας αὐταῖς, ὑπὲρ ὧν ἐπὶ πλέον ἐν τῷ πέμπτῳ τῆς τῶν ἁπλῶν φαρμάκων πραγματείας διῆλθον, ἐπιδεικνὺς ἔνια μὲν τῶν φαρμάκων οὐ μόνων τῶν συνθέτων, ἀλλὰ καὶ τῶν αὐτοφυῶν μαλάττειν, ἔνια δὲ σκληρύνειν, ὥσπερ καὶ τὰ μὲν ἐμπλάττειν, τὰ δὲ ἐκφράττειν, καὶ τὰ μὲν ἐπιτρέφειν ῥύπον, τὰ δὲ καὶ τὸν ἐπικείμενον ἀποῤῥύπτειν, καὶ τὰ μὲν λεπτύνειν, τὰ δὲ παχύνειν, καὶ τὰ μὲν πυκνοῦν, τὰ δὲ ἀραιοῦν, καὶ τὰ μὲν ἀνατρέφειν σάρκα, τὰ δὲ ἀνακαθαίρειν, καὶ τὰ μὲν ἐπουλοῦν, τὰ δὲ ἕλκοῦν, καὶ τὰ μὲν ἕλκειν, τὰ δὲ ἀποκρούεσθαι, ἑτέρας τε τοιαύτας ἐν αὐτοῖς διαφοράς. εἴρηται δέ μοι καὶ διὰ τῶν ἔμπροσθεν ὑπομνημάτων ἥτις τῶν ἐναντίων ταῖς δυνάμεσι φαρμάκων ἀναγκαία μίξις, ἧς ἀναμνήσω καὶ νῦν ὀλίγον ὕστερον. ἄμεινον γάρ μοι δοκεῖ γράψαι τινὰ δύο καὶ τρία φάρμακα τῶν ἐνδόξων πολυχρήστων, εἶτ' ἐξηγήσασθαι τὸν λόγον τῆς συνθέσεως αὐτῶν. ἄρξομαι δὲ ἀπὸ τῶν ἅπασι γνωρίμων, ἃ κατά τε τὸν Ἥραν νάρθηκα γέγραπται καὶ παρ'

ditatem, atque ex harum conjugatione quavis compoſitas, ſecundas vero, quae ipſas ſequuntur, ut in quinto libro de ſimplicibus medicamentis uberius percenſui, oſtendens nonnulla non ſolum compoſita medicamina, ſed ſimplicia quoque ut naſcuntur, emollire, quaedam indurare, quemadmodum alia obſtruere, alia reſerare, alia ſordes gignere, alia abſtergere, alia attenuare, alia craſſitiem admoliri, alia denſare, alia rarefacere, alia carnem inducere, alia repurgare, alia cicatricem ducere, alia exulcerare, alia trahere, alia repellere, aliasque ſimiles eorum differentias. Porro dictum mihi eſt et ſuperioribus commentariis, quae contrariorum facultate medicamentorum neceſſaria eſſet mixtura, cujus etiam nunc paulo poſt mentionem facturus ſum. Melius enim mihi videtur duo quaedam triave medicamenta celebria, quae multiplicem uſum exhibeant, praeſcribere, deinde compoſitionis ipſorum rationem interpretari. Exordiar autem ab iis, quae nemo non novit, quippe in Herae libro,

Ed. Chart. XIII. [770. 771.] Ed. Baſ. II. (376.)

εἰλλοις τῶν φαρμακίτιδας βίβλους συνθέντων. ἐπεὶ δὲ κατὰ τὸ πρὸ τούτου βιβλίον ὁ λόγος ἐγένετό μοι περὶ τῶν δυσεπούλωτα θεραπευουσῶν ἕλκη δυνάμεων, [771] ἔδοξέ μοι καὶ νῦν ἐκείνας τῶν πολυχρήστων ἐμπλάστρων ἐξηγήσασθαι πρώτας, ὅσαι κακοήθων ἕνεκα συνετέθησαν, ἃ καλοῦσιν ἔνιοι χειρώνεια. ὅσαι δ' ἄλλαι πολύχρηστοι καλοῦνται διὰ τὸ πρὸς πολλὰ μὲν ἁρμόττειν ἕτερα πάθη, μὴ μέντοι καὶ πρὸς τὰ χειρώνεια, ταύτας αὖθις ἐφεξῆς ἀλλήλαις διελθεῖν ἔγνωκα.

Κεφ. β'. [*Περὶ τῶν ὑπὸ Ἥρα γεγραμμένων.*] Γεγραμμένης οὖν ἐν τῇ βίβλῳ τῶν φαρμάκων ὑπὸ τοῦ Καππάδοκος Ἥρα, πρὸς τὰ τοιαῦτα τῶν ἑλκῶν ἐμπλάστρου τινὸς ἄκρως ποιούσης, ἀπ' αὐτῆς ἄρξομαι τὴν λέξιν παραγράψας τάνδρὸς ὧδέ πως ἔχουσαν. εὔχρους ἔναιμος, ἐπουλωτικὴ, κολλῶσα μὲν ἀκραιφνῶς, πληροῦσα δὲ καὶ ἐπουλοῦσα, ἐκλυθεῖσα μετὰ κηρωτῆς καὶ ἔτι μᾶλλον περὶ τὴν ἐπούλωσιν. ποιεῖ μέντοι καὶ ἐπὶ τῶν χειρωνείων ἑλκῶν καὶ τῶν ἄλλων τῶν παραπλησίων ἄκρως. τούς τε γὰρ τύλους τήκει καὶ

cui titulus eſt narthex, id eſt promptuarium medicamentorum, prodita, tum apud alios, qui libros de medicamentis condiderunt. At quia ſuperiori libro de virtutibus, quae ulcera dyſepulota curant, verba fecerim, animus eſt nunc quoque emplaſtra illa multiplicis uſus primum exponere, quae cauſa malignorum, nonnulli chironia nominant, compoſuimus. Alia vero uſus dicta multiplicis, quod multis quidem affectibus aliis conferant, non tamen etiam chironiis, ea rurſus ſeriatim referre propoſuimus.

Cap. II. [*Quae ſcripſerit Heras.*] Itaque quum opere medicamentorum Heras Cappadox emplaſtrum quoddam ad hujuscemodi ulcera mirifice faciens tradiderit, inde ſumam exordium, verba ipſius adſcribens, quae in hunc modum ſonant. *Boni coloris cruentis idoneum, cicatricem ducens. Conglutinat, perfecte implet atque cicatricem ducit ſolutum cum cerato, magisque adhuc circa cicatricem inducendam efficax eſt. Valet etiam ad chironia ulcera aliaque ſimilia ſummopere. Nam callos conſumit, deinde ge-*

Ed. Chart. XIII. [771.] Ed. Baſ. II. (376. 377.)

μετὰ ταῦτα γνησίαν σάρκα γεννᾷ. λίαν λευκή. ℔ κηροῦ λίτρας β′. φρυκτῆς λίτρας γ′. ἰοῦ ξυστοῦ γο στ′. μάννης γο γ′. ἐλαίου κοτύλας ε′. ὄξους ξε. α′. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν χρῶ τῇ ἐμπλάστρῳ πρὸς τραύματα καὶ ἀνιεμένη δὲ σὺν ῥοδίνῳ πυοποιεῖ καὶ ἀνακαθαίρει τῇ κηρωτῇ διεκλυθείσῃ εἰς ἐπούλωσιν. τινές γε μὴν τῆς ῥητίνης ἔβαλον φρυκτῆς λίτρας β′. καὶ τερμινθίνης λίτρας δύο, καὶ οὕτω παρασκευάσαντες ἀνελάμβανον αὐτὴν ἰῷ ξυστῷ, ὡς κολλυρίου τόνον ἔχειν, καὶ τοῦτο ἐνετίθεσαν ὅπου τύλους ἐκτῆξαι ἤθελον. εὐχερῶς γὰρ τοῦτο ποιεῖ, ὡς καὶ ὀστᾶ ἀφιστάναι. (377) καὶ ταύτην μὲν οὖν εἰκότως ἐπαινεῖ τὴν ἔμπλαστρον ὁ Ἥρας, ὡς ἐκ τοῦ πλήθους τοῦ ἰοῦ καὶ τοῦ ὄξους τὸ δραστήριον ἔχουσαν, εἴ τι μεμνήμεθα τῶν εἰρημένων κατὰ τὸ πρὸ τούτου βιβλίον. ἐπαινεῖ δὲ καὶ τὴν ὑπ' αὐτοῦ καλουμένην πανάκειαν, ἣν ἐφεξῆς γράφω κατὰ τὴν ἐκείνου λέξιν. πανάκεια Ἥρα ἡ ὑπό τινων ὑγεία λεγομένη. πρὸς πᾶσαν νομὴν καὶ κακοήθειαν. ἵστησι δὲ τὰς νομὰς οὔτ' ἐσχάρας ποιοῦσα οὔτε σκληρύνουσα τὰ πέριξ σώματα. ῥηγνύουσα δὲ καὶ μαραίνουσα πᾶν

nuinam carnem generat, valde album. ℔ Cerae lib. ij, frictae lib. iij, aeruginis raſae ℥ vj, mannae ℥ iij, olei heminas quinque, aceti ſextarium. Liquabilia ſiccis admiſcentur. Uſus eſt emplaſtri ad vulnera, cum roſaceo temperatum pus generat, cerato ſolutum ad cicatricis generationem repurgat. Quidam tamen reſinae frictae lib. ij et terebinthinae tantundem ingeſſerunt, atque ſic praeparatum aerugine raſa ipſum exceperunt, ut collyrii tenorem haberet, atque hoc impoſuerunt, ubi callos conſumere ſtuderent, prompte enim haec facit, ut etiam oſſa ſeparet. Merito igitur et emplaſtrum hoc Heras commendat ceu ex aeruginis et aceti copia efficax, ſi quid in ſuperiore libro dictorum meminimus. Laudat item panaceam ab eo vocatam, quam deinceps verbis illius apponimus. *Panacea Herae a nonnullis ſanitas nominata. Ad omnem paſſionem et malignitatem. Siſtit autem nomas, neque cruſtas facit neque circumpoſitis partibus duritiem conciliat. Rumpit ac tabefacit omne cor-*

Ed. Chart. XIII. [771.] Ed. Baſ. II. (377.)

τὸ διεφθαρμένον, ὡς μηδὲν διαφέρειν ὑγρᾶς σταφίδος. ἐπέχει δὲ καὶ φορὰν αἵματος τήν τε ἄλλην καὶ τὴν δι' αἱμορροΐδων διειμένη μυρσίνῳ καὶ τὰς αἱμορροΐδας αὐτὰς μαραίνει καὶ δαπανᾷ. πρὸς τούτοις δὲ καὶ σύριγγας ἰᾶται καὶ τοὺς ὀνομαζομένους ἄνθρακας καὶ τοὺς αἰγίλωπας καὶ τα χειρώνεια λεγόμενα καὶ καθόλου τὸ τῶν δυσιάτων καὶ χρονίων γένος, εἰς μὲν τοὺς ἀφανεῖς τόπους οἷον ὑστέρας διατηκομένη μύρῳ κυπρίνῳ, τοῖς δ' ἔξωθεν ἄμεινόν ἐστιν, ὡς ἑκάστην τῶν ἄλλων οὕτως ἐπιτιθέναι. παντὶ δὲ ἕλκει ἐπιτεθεῖσα, κἂν ᾖ τῶν ἀγρίων, πραΰτερον εὐθὺς ποιήσει καὶ τοὺς πόνους ἠπιωτέρους καὶ τὰς ἀργυπνίας. ἡ δὲ δύναμίς ἐστιν αὕτη. χαμαιπίτυος ≺ δ'. συμφύτου ≺ δ'. χαμαιλέοντος ≺ δ'. πρασίου ≺ δ'. οἱ δὲ στ'. πολίου ≺ στ'. κενταυρίου λεπτοῦ ≺ στ'. ἑλενίου ≺ δ'. ἀριστολοχίας ≺ δ'. λιβάνου ≺ ιβ' S''. σμύρνης ≺ γ'. ἀλόης ≺ στ'. χαλβάνης ≺ στ'. ὀβολὸς εἷς S''. ἐλαίου ≺ ρπ'. μέλιτος ≺ λ'. προπόλεως ≺ β'. S''. στυπτηρίας σχιστῆς ≺ στ'. ὀβολὸς εἷς S''. τερμινθίνης

ruptum, ut nihil a liquida ſtaphide differat. Cohibet ſanguinis eruptionem tum aliam tum quae per haemorrhoidas fieri ſolet, myrteo dilutum. Item haemorrhoidas ipſas tabefacit et conſumit. Inſuper fiſtulis medetur et carbunculis. Sanat aegilopas et chironia, ut vocant. In ſumma vix ſanabilium et diuturnorum genus latentibus quidem locis veluti utero, unguento cyprino liquidum, exterioribus autem praeſtat, ut alia ſingula, ſic apponere. At omni ulceri impoſitum, quamvis agreſti, mitius ſtatim id efficiet, dolores minuet et vigilias. Haec ejus virtus eſt. ℞ Chamaepityos drachmas quatuor, ſymphyti drachmas quatuor, chamaeleontis drachmas quatuor, marrubii drachmas quatuor, apud alios ſex, polii drach. vj, centaurii tenuis drach. vj, helenii drach. iv, ariſtolochiae drach. iv, thuris drach. xij ß, myrrhae drach. iij, aloës drach. vj, galbani ʒ vj, oboli unius et ſemiſſis, olei ʒ clxxx, mellis xxx, propolis drach. xij ß, aluminis ſiſſilis drach. vj, oboli unius et ſemiſſis, terebinthinae drachmas ſex, oboli unius et ſe-

Ed. Chart. XIII. [771. 772.] Ed. Baſ. II. (377.)

⊲ στ'. ὀβολὸς εἷς S''. χαλκίτεως ⊲ στ'. ὀβολὸς εἷς S'': ἀσφάλτου ⊲ ν'. γῆς ἀμπελίτιδος ⊲ ν'. λιθαργύρου ⊲ ν'. κηκίδος ⊲ γ'. χυοὸς ἴριος ⊲ γ'. κόψαντα δὲ δεῖ τῇ προτεραίᾳ τὰς βοτάνας καὶ τὰς ῥίζας ἐμβάλλειν εἰς ἔλαιον. ἐμμεινάντων δὲ δι' ὅλης νυκτὸς, πρωῒ δεῖ ἐπεμβάλλειν τὴν λιθάργυρον καὶ τὴν ἀμπελῖτιν καὶ τὴν ἄσφαλτον καὶ ἕψειν ἐπὶ πυρὸς μαλακοῦ. [772] παχυνομένης δὲ τῆς συστάσεως, ἆραι τὴν χύτραν ἀπὸ τοῦ πυρός. ἔστω δὲ ἐν ἄλλῳ ἀγγείῳ τὸ μέλι καὶ ἡ ῥητίνη καὶ ἡ χαλβάνη καὶ ἡ πρόπολις συντετηκότα. δεῖ δὲ καταμίσγειν καὶ ταῦτα ἐπεγχέοντα εἰς τὴν χύτραν, ἐπὶ δὲ τούτοις τὰ ξηρά. καὶ μετὰ τούτων ἕψε, ἕως ἂν μὴ μολύνῃ τὸ φάρμακον. πάλιν δὲ ἄραντα ἀπὸ τοῦ πυρὸς ἐμπάσσειν λείαν τὴν σμύρναν καὶ τὸν λίβανον. προσέχειν δὲ δεῖ, μή ποτε ὑπερζέσῃ καὶ ὡς οἷόν τε ἕψεῖν ἐν εὐρυχωρίᾳ, δυσκατάβρεστον γάρ γίγνεται, εἴ τινος ἅψαιτο. ταῦτα μὲν ὁ Ἥρας περὶ τῆς πανακείας. ἡμᾶς δὲ χρὴ τὴν ὕλην αὐτὴν ἐπισημήνασθαι διαφέρουσαν τῶν κατὰ τὸ πρὸ τούτου βιβλίον γεγραμμένων φαρμάκων πρὸς τὰ δυσθερά-

miſſis, chalcitidis drachmas ſex, oboli unius et ſemiſſis, bituminis drachmas quinquaginta, terrae ampelitidis drach. quinquaginta, argenti ſpumae drachmas quinquaginta, gallae drachmas tres, pulveris iridis drachmas tres, contuſae pridie herbae et radices oleo immittuntur, ubi nocte tota in eo duraverint, mane argenti ſpuma, ampelitis, bitumen injicitur, ſupra ignem lenem incoquuntur, ubi ſpiſſitudinem adepta fuerint, olla ab igne tollitur. Sint autem in alio vaſe mel, reſina, galbanum, propolis colliquata, quae oportet ſimul commiſcere in ollam fundendo, deinde arida, quibus quum medicamentum coquitur, donec non coinquinet, rurſus ab igne depoſito myrrha laevis facta et thus inſpergitur. Eſt autem advertendum, ne quando efferveſcat et quantum fieri poteſt in amplo ſpatio coquatur, difficulter enim reſtingui poteſt, ſi quid attingat. Haec quidem Heras de Panacea. Nobis autem materiam ipſam a medicamentis, quae priore libro ſcripta ſunt ad ulcera vix ſanitatem recipientia,

Ed. Chart. XIII. [772.] Ed. Baſ. II. (377.)

πευτα τῶν ἑλκῶν. διὰ μεταλλικῶν μὲν γὰρ ἐκεῖνα συνέκειντο μόνων, τινὰ μὲν ὀλίγων, τινὰ δὲ πλεόνων ὀλίγων τινῶν ἐν αὐτοῖς ἐχόντων ῥίζας ἢ πόας. τῇ πανακείᾳ δὲ ταύτῃ τοὐναντίον ὑπάρχει, λαμβάνει μὲν καὶ τὸν χαμαιλέοντα καὶ τὸ κενταύριον ἱκανὸν ὠφελεῖν ἑκάτερον ἕλκη κακοήθη. λαμβάνει δὲ καὶ ἀριστολοχίαν καὶ ἶριν, ἀσθενέστερα μὲν κενταυρίου καὶ χαμαιλέοντος, ὡς πρὸς τὴν τῶν κακοήθων ἑλκῶν ἴασιν, οὐ μὴν ἀπόβλητά γε. λαμβάνει δ' ἰσχυρὰς βοτάνας καὶ μόνας πολλάκις θεραπεύειν ἕλκη κακοήθη δυναμένας, τήν τε χαμαιπίτυν καὶ τὸ πόλιον καὶ τὸ σύμφυτον. ἰσχυρότερον δὲ τούτων ἐστὶ τό τε πράσιον καὶ τὸ ἑλένιον. τῷ μὲν οὖν πρασίῳ καὶ μόνῳ χρήσαιτ' ἄν τις ἐπὶ τῶν ἱκανῶς ὑγρὰν ἐχόντων τὴν κατὰ τὸ ἕλκος σάρκα καὶ ῥυπαρωτέραν· τὸ δὲ ἑλένιον οὐδ' ἐπὶ τούτων ἁρμόττει μόνον ἐπιπαττόμενον, ὥσπερ οὐδ' ἄλλο τι τῶν δριμέων οὐδέν. ἐμάθετε γὰρ ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ τὴν διαφορὰν τῶν δριμέων καὶ πικρῶν φαρμάκων, ἐρεθιστικῶν μὲν ὄντων καὶ δακνωδῶν καὶ θερμῶν καὶ ῥευματιζόντων τὰ πάσχοντα μό-

differre notandum eſt. Nam illa ſolis conſtant metallicis, quaedam paucis, quaedam pluribus, pauca illorum radices ac herbas continent, at panacea haec ſecus habet. Recipit enim haec chamaeleontem et centaurium, quorum utrunque maligna ulcera juvare idoneum eſt. Accipit praeterea ariſtolochiam et iridem, imbecilliora quidem centaurio et chamaeleonte, quod ad malignorum ulcerum curationem attinet, non tamen repudianda. Herbas autem valentes aſſumit, quae vel ſolae maligna ulcera curare poſſunt ſaepenumero, chamaepityn, polium et ſymphyton, quibus valentius eſt marrubium et helenion. Itaque marrubio etiam ſolo uti queas in iis, quae carnem abunde humidam circa ulcus habent et ſordidiorem, helenion vero neque iis convenit ſolum inſperſum, ſicut nec aliud quodvis acre. Siquidem didiciſtis in opere de ſimplicibus medicamentis, acrium et amarorum medicamentorum diſcrimen, nempe acria irritare, mordere, caleſacere et fluorem in affectis

Ed. Chart. XIII. [772.] Ed. Baſ. II. (377.)

ρια τῶν δριμέων· ξηραντικῶν δὲ χωρὶς τοῦ δάκνειν καὶ θερμαίνειν τῶν πικρῶν καὶ διὰ τοῦτο ἐπιτηδείων τοῖς ἡλκωμένοις μορίοις. ἀλλ' ἐπεὶ προκείμενον ἦν τῷ συντιθέντι τὰς βοτάνας ταύτας ἔμπλαστρον ἐξ αὐτῶν οὐ ξηρὸν ἐπίπαστον ποιῆσαι, πρὸς δὲ τὴν τῆς ἐμπλάστρου σύνθεσιν ἔμελλεν ἤτοι κηρὸν ἢ ῥητίνην μίξειν ἢ πάντως γε λιθάργυρον ἐπὶ πλέον ἑψημένην, ὑφ' ὧν ἡ δύναμις ἐξελύετο τῶν βοτανῶν, ἔμιξεν αὐταῖς ἔνια τῶν ἰσχυρῶν οὕτως φαρμάκων, ὡς μὴ δύνασθαι μόνα προσφέρεσθαι τοῖς ἕλκεσι. τὰ δ' ἰσχυρὰ ταῦτα διττὴν ἔχει τὴν καθόλου δύναμίν τε καὶ ποιότητα, ἔνια μὲν αὐστηρὰν καὶ στρυφνὴν, ἔνια δὲ δριμεῖάν τε καὶ στρυφνήν. διὰ τοῦτ' οὖν τῶν μὲν δριμεῖαν ἐχόντων δύναμιν ἔμιξεν ἑλένιον, τῶν δ' ἰσχυρῶς στυφόντων, ταῦτα γὰρ ὀνομάζομεν αὐστηρά τε καὶ στρυφνὰ, τήν τε στυπτηρίαν καὶ τὴν κηκίδα τὴν ὀμφακῖτιν δηλονότι. τὰς ποιότητας δ' ἀμφοτέρας ἰσχυρὰς ἔχει, καθάπερ καὶ τὰς ἐν αὐταῖς δυνάμεις ἡ χαλκῖτις, δριμεῖά τε οὖσα καὶ στυπτική. λέλεκται δ' ἐν τοῖς ἔμπροσθεν ἀναγκαίαν εἶναι τοῖς κακοήθεσιν ἕλκεσι καὶ μάλιστα

partibus concitare, amara vero exiccare citra morſum et calorem, eoque exulceratis partibus conducere. At quoniam ex herbis iſti compoſitionem paranti inſtitutum erat emplaſtrum inde non ſiccum, quod inſpergi poſſit, efficere, ad emplaſtri vero confecturam vel ceram vel reſinam vel omnino argenti ſpumam diutius coctam adjecturus erat, unde virtus herbarum ſolveretur, miſcuit ipſis nonnulla medicamenta tam valida, ut ulceribus per ſe exhiberi nequeant. Valida autem duplicem communem vim et qualitatem obtinent, nonnulla auſteram acerbamque, alia acrem et acerbam. Hujus igitur gratia ex iis, quae acrimoniam ſortita ſunt, helenion miſcuit, ex valide autem aſtringentibus, haec enim auſtera et acerba nominamus, alumen et gallam immaturam. Qualitates autem utrasque valentes habet chalcitis, quemadmodum et vires, quae in ipſis ſunt, quum ſit acris et aſtringens. Enimvero dictum eſt ſuperius, neceſſariam eſſe malignis ulceribus, et praeſertim cum fluori ſint

Ed. Chart. XIII. [772. 773.] Ed. Bal. II. (377.)

ὅταν ᾖ ῥευματικὰ τὴν αὐστηρὰν ποιότητα. τούτοις οὖν ἅπασιν οἷς εἶπον ἐμίχθη λιθάργυρός τε καὶ ῥητίνη καὶ λιβανωτὸς ἕνεκα τοῦ γενέσθαι τὸ φάρμακον ἐμπλαστρῶδες. ἀλλ' ἡ μὲν λιθάργυρος ἐκ τῆς μέσης ὕλης ἐστὶν, ὁ δὲ λιβανωτὸς πεπτικός τε καὶ πυοποιὸς ὡς πρὸς τὴν εὔκρατον φύσιν ἀποβλεπόντων. ἐδείχθη γὰρ ὅτι τοῖς ὑγροτέροις σώμασι σαρκωτικός ἐστι καὶ μέντοι καὶ ὅτι τῶν πεπτικῶν φαρμάκων, ἃ δὴ καὶ τὴν ἐκπυητικὴν ὀνομαζομένην ἔχει δύναμιν, οὐδέν ἐστιν ἰσχυρῶς διαφορητικὸν, ὥσπερ γε οὐδὲ δριμύ. μετρίως γὰρ θερμαίνει τὰ τοιαῦτα καὶ μέντοι καὶ μαλάττει μᾶλλον ἢ ξηραίνει. καλῶς οὖν ἐμίχθη καὶ τοῦ λιβανωτοῦ κατὰ τὴν τῆς προκειμένης ἐμπλάστρου σύνθεσιν, ἵνα τι καὶ παρηγορικὸν ἔχῃ καὶ πρᾷον. [773] ἔστι δὲ δηλονότι καὶ τὸ ἔλαιον ἐκ τῆς αὐτῆς δυνάμεως, ἕνεκα μὲν ἕψήσεως τῆς ἐμπλάστρου κατὰ τὸν πρῶτον λόγον μιχθὲν, ἐν αὐτῷ δὲ συνεπιφέρον δύο δυνάμεις, τήν τε παρηγορικὴν καὶ τὴν ἀμβλυντικὴν τῶν ἰσχυρῶν φαρμάκων, ἐάν τε δριμείας, ἐάν τε αὐστηρᾶς δυνάμεως ᾖ ταῦτα. ἡ δὲ ἀμπελῖτις γῆ ξηραίνει τε καὶ διαφορεῖ

obnoxia, qualitatem auſteram. His ergo omnibus, quae dixi, admixta argenti ſpuma eſt, reſina et thus, quo medicamentum emplaſtri formam acciperet. Sed argenti ſpuma ex media materia eſt. Thus concoquit et pus movet, ſi tanquam ad probe temperatam naturam reſpicimus, nam id humidioribus corporibus carnem producere oſtendimus. Quin etiam ex medicamentis, quae concoquunt, quaeque vim a pure movendo quaſi purificam vel expurgatoriam dictam habent, nullum valenter diſcutit, ſicut nec acre, ſiquidem talia mediocriter calefaciunt, imo et emolliunt magis, quam exiccant. Quare thus etiam recte admixtum eſt in propoſiti emplaſtri compoſitione, uti mitigatorium quid et lene accipiat. Hujus nimirum potentiae oleum quoque eſt, emplaſtri coquendi cauſa ſecundum primam rationem adjectum, ſecum vero duas facultates inferens, mitigatoriam videlicet et quae valida medicamenta obtundit, ſive haec acri, ſive auſtera virtute ſint praedita. Certe ampelitis terra ſiccat et diſcutit,

Ed. Chart. XIII. [773.] Ed. Baſ. II. (377.)

μηδὲν ἔχουσα δριμὺ σαφῶς. καὶ διὰ τοῦτο τοῖς κακοήθεσιν ἕλκεσιν ἐπιτήδειός ἐστιν, εἰ καὶ μόνην αὐτὴν λειάσας ἐπιπάττοις. ἡ χαλβάνη δὲ καὶ αὐτὴ τῷ πεπτικὴ τε εἶναι καὶ μαλακτικὴ καὶ παρηγορικὴ τε καὶ ἀνώδυνος ἐμίχθη κατὰ τὴν προκειμένην σύνθεσιν, ἔχοντος μὲν καὶ τοῦ λιβανωτοῦ τὰς αὐτὰς δυνάμεις, ἀλλὰ ἀσθενεστέρας ἢ κατὰ τὴν χαλβάνην, ἐκείνης γε κατ' ἀμφοτέρας ἰσχυροτέρας ὑπαρχούσης. ἡ τερμινθίνη δὲ ῥητίνη καὶ αὐτὴ μετὰ τοῦ ῥυπτικοῦ τε καὶ διαφορητικοῦ πεπτικὸν ἔχει τι τῶν τοιούτων διαθέσεων. ἡ δὲ ἄσφαλτος ἴσμεν ὅτι ξηραντικῆς ἐστι δυνάμεως ἅμα θερμασίᾳ μὴ πάνυ σφοδρᾷ. τούτοις οὖν ἅπασιν ὁ συνθεὶς τὴν ἔμπλαστρον ἔμιξεν ἑλκτικῆς δυνάμεως φάρμακον τὴν πρόπολιν, ἐπειδὴ πολύχρηστον ὑπάρχειν αὐτὴν ἐβούλετο. πάντα δ' ὅσα πολύχρηστα ποικιλωτάτας ἀναγκαῖον ἔχειν δυνάμεις, ὅπως θεραπεύῃ διαθέσεις πλείονας. οὕτως δὲ καὶ τοῦ μέλιτος ἔμιξεν οὐκ ὀλίγον, εἰδὼς αὐτὸ ξηραῖνόν τε καὶ διαφοροῦν οἰκειότατόν τε τοῖς σηπομένοις ὑπάρχον. καὶ γὰρ αὖ καὶ τὸ τῶν ἀσήπτων ἐστὶ καὶ τὰ μιγνύμενα φυλάττει τοι-

nihil manifeſto acre continens, propterea malignis ulceribus idonea eſt et ſi ſolam per ſe tritam inſpergas. Galbanum vero et ipſum, eo quod concoquit, emollit, mitigat et dolorem ſedat, praedictae compoſitioni adjectum eſt, quum thus easdem vires, ſed imbecilliores habeat, galbano facultates ambas valentiores poſſidente. Terebinthina reſina ipſa quoque ſimul quum detergendi diſcutiendique facultatem habeat, etiam affectus tales, quod concoquat, quidpiam obtinet. Bitumen vero, cum calore non admodum vehementi ſiccare novimus, quibus omnibus emplaſtri auctor medicamentum trahentis facultatis propolim nimirum admiſcuit, quoniam ejus uſum multiplicem eſſe voluit. Omnia vero, quae multiplicem uſum praeſtant, maxime varias facultates habere neceſſitas eſt, ut pluribus vitiis medeantur. Sic etiam non parum mellis addidit ſciens ipſum ſiccans, digerensque putreſcentibus eſſe accommodatiſſimum, quippe et ipſum ex iis eſt, quae non putrefiunt, et mixta a putredine reſervat,

Ed. Chart. XIII. [773.] Ed. Baſ. II. (377. 378.)

αὖια, πλὴν τῶν (378) ἐσχάτως ἐπιτηδείων εἰς σῆψιν, ἅπερ ὑγρά τέ ἐστι καὶ θερμά. καὶ πλέον τῶν ἄλλων γε ὁ συνθεὶς τὸ φάρμακον ἔβαλε τὸ μέλι. πλὴν γὰρ τριῶν τῶν ἑψηθῆναι δεομένων, ἀσφάλτου καὶ λιθαργύρου καὶ τῆς ἀμπελίτιδος γῆς, τῶν ἄλλων πλέον ἐστίν· αὐτοῖς τε τούτοις τῇ τε ἀσφάλτῳ καὶ τῷ λιθαργύρῳ καὶ τῇ ἀμπελίτιδι τοσοῦτον ἔμιξεν ἔλαιον, ὅσον εἰς τὴν ἕψησιν ἐπιτήδειον ἔσται, παραστοχασάμενος καὶ τῶν ἄλλων ὅσα ξηρὰ κατὰ τὸ φάρμακον βάλλεται. καὶ μὴν καὶ τελείως ἡψημένων ἁπάντων ἠξίωσεν ἐπεμβληθῆναι τήν τε σμύρναν καὶ τὴν ἀλόην, ξηραίνοντα μὲν ἀδήκτως ἀμφότερα, διαφέροντα δὲ τῷ τὴν μὲν ἀλόην στύφειν, λεπτομερεστέραν δὲ καὶ ξηραντικωτέραν εἶναι τὴν σμύρναν. οὐκ οἶδα δέ τι τὸ δόξαν τῷ Ἥρᾳ διὰ βραχυτέρων συμμετριῶν γράψαι τὴν πανάκειαν ταύτην, ὑπ' ἄλλων διὰ μειζόνων γεγραμμένην. τινὲς μὲν γὰρ διπλάσια πάντ' ἔχουσαν αὐτὴν ἔγραψαν, ἔνιοι δὲ τετραπλάσια. χαλβάνης γοῦν ἓξ δραχμὰς καὶ ὀβολὸν ἕνα καὶ ἥμισυν ὁ Ἥρας ἔγραψεν, ἄλλων γραψάντων δέκα δραχμὰς καὶ ἡμίσειαν, ὥσπερ αὖ πά-

praeterquam extreme ad putreſcendum idonea, quae humida ſunt et calida. Atque mel copioſius aliis medicamenti compoſitor indidit, nam ſi tria, quae coqui deſiderant, excipias, bitumen, argenti ſpumam, terram ampelitidem, aliis majus eſt. Atque his ipſis bitumini, argenti ſpumae et ampelitidi tantum adjecit olei, quantum coctioni commodum erat futurum, conjectura et ab aliis ſumpta, quae ſicca medicamento immittuntur. Inſuper omnibus perfecte coctis myrrham et aloën voluit injici, quae ambo citra mordicationem ſiccant, verum differunt, quod aloë aſtringat, myrrha tenuiorum partium ſit magisque ſiccet. Caeterum haud ſcio, cur Herae viſum fuerit minoribus ſymmetriis panaceam hanc conſcribere, quam alii majoribus conficiunt, ſiquidem nonnulli omnia duplicata habere ipſam tradiderunt, alii quadruplo copioſiora. Galbani ſane drachmas ſex obolum unum et ſemiſſem Heras numeravit, alii drachmas decem et ſemiſſem, quemadmodum alii rurſus viginti-quinque,

Ed. Chart. XIII. [773. 774.] Ed. Baſ. II. (378.)

λιν ἄλλων πέντε καὶ εἴκοσι, ἀνάλογον δὲ καὶ τἄλλα συναυξησάντων, ὡς μηδαμόθι λέγεσθαι κατὰ τὴν συμμετρίαν ὀβολὸν ἢ ἡμιώβολον. προσέχειν οὖν ὑμᾶς χρὴ τὰς παρὰ τοῖς ἄλλοις γεγραμμένας πανακείας παραβάλλοντας τῇδε, πότερα διπλάσια ἔχουσι πάντα ἢ τετραπλάσια, κἂν ἀνάλογον ᾖ πάντα ηὐξημένα μὴ νομίζειν ἐκείνας ἑτέρας εἶναι τῆσδε.

[Ἡ ἴσις Ἐπιγόνου λεγομένη παρά τινων.] Πολύχρηστόν ἐστι φάρμακον, ἣν προσαγορεύουσιν ἴσιν ὑπὸ πάντων ἐπηνημένην. ἐγὼ δὲ παραθήσομαι νῦν ὅσα περὶ αὐτῆς ἔγραψεν ὁ Ἥρας οὕτως ἔχοντα κατὰ λέξιν. ἡ ὑπὸ τινῶν μὲν Ἐπιγόνου λεγομένη, ὑπὸ τινῶν δὲ ἴσις, ποιοῦσα πρὸς πᾶν τραῦμα καὶ πρὸς τὰ ἐν κεφαλῇ μετὰ ὀστῶν διακοπῶν. ὑγιάζει δὲ χωρὶς ἀνασκευῆς, ποιεῖ καὶ πρὸς νύγματα, σκόλοπας, ἀνθρωπόδηκτα, κυνόδηκτα ἰούς τε ἕλκει ἔχεως, σκορπίων, δρακόντων θαλασσίων καὶ τρυγόνος καὶ πρὸς τὰ ἐπὶ τῶν κώλων [774] σὺν τραύματι κατάγματα. πωροῖ γὰρ θᾶσσον καὶ ἀσφαλέστερον σύριγγας πάσας προσφάτους, παλαιὰς ὑποφοράς, κόλπους, φύματα, παρωτίδας, τὰ ἐν μαστοῖς καὶ

augentes ſimul et alia ad portionem, ut nusquam dicatur in ſymmetria obolus vel ſemiobolus. Itaque advertere vos oportet panaceas apud alios ſcriptas huic conferentes, utrum omnia duplicata, an quadrupla, habeant, ac ſi ſint omnia aucta, non putare illas ab hac eſſe diverſas.

[*Iſis a quibusdam Epigoni dicta.*] Multiplicis uſus eſt medicamentum, quod iſidem appellant, ab omnibus commendatum. Ego vero apponam modo, quae Heras de illo memoriae prodidit. Haec illius verba ſunt. *Medicamentum a nonnullis Epigoni dictum, ab aliis iſis. Facit ad omne vulnus et ad vulnera capitis cum oſſium praeciſione, ſanat citra reparationem. Valet ad punctus, item paxillos infixos et hominum atque canum morſus. Venenum trahit viperae, ſcorpii, draconis marini, paſtinacae. Curat fracturas artuum cum vulnere, callum enim obducit citius tutiusque. Fiſtulas omnes recentes, veteres foveas, ſinus. phymata, parotidas, abſceſſus in mammis et alis futuros*

Ed. Chart. XIII. [774] Ed. Baſ. II. (378.)

μασχάλαις ἀποστήματα, ἢ ἵνα μὴ γένηται ἢ γενόμενα θεραπευθῇ. εἰς ὑπόῤῥυσιν δ' ὄντων ἡμῶν, ἔτι χοιράδας κομίζεται σὺν τοῖς χιτῶσι τάχιστα ἐκπυοῦσα, ἵστησι καὶ ῥεῦμα ὀφθαλμῶν ἐπὶ τὸ μέτωπον ἐπιτιθεμένη. αἴρει δὲ καὶ πελιώματα καὶ γαγγραίνας περιγράφει καὶ σηπεδόνας ἀνακαθαίρει καὶ τὸ ὅλον πρὸς πάντα ἀγαθή. ℔ κηροῦ δραχμὰς ρ'. τερμινθίνης ⊲ σ'. οἱ δὲ ρ'. λεπίδος χαλκοῦ ἐρυθροῦ ⊲ η'. ἰοῦ ξυστοῦ ⊲ η'. ἀριστολοχίας στρογγύλης δραχμὰς η'. λιβάνου ⊲ η'. ἁλὸς ἀμμωνιακοῦ ⊲ η'. ἀμμωνιακοῦ θυμιάματος ⊲ η'. στυπτηρίας κεκαυμένης ἢ στρογγύλης ⊲ στ'. χαλκοῦ κεκαυμένου ⊲ η'. σμύρνης ⊲ ιβ'. ἁλόης ⊲ ιβ'. χαλβάνης ⊲ ιβ'. ἐλαίου παλαιοῦ κοτύλην α'. ὄξους δριμέος κο. β'. τὰ τηκτὰ κατακένου εἰς θυείαν κατὰ τῶν ξηρῶν. οὕτως μὲν ὁ Ἥρας ἔγραψε τὴν ἴσιν, οὐκ ἔτι προσγράψας αὐτῇ τὴν κατὰ μέρος χρῆσιν ἅπασαν, ὡς ἐπ' ἄλλων εἰώθει. καὶ μέντοι κἀν τῷ καλεῖν αὐτὴν Ἐπιγόνου διαφέρεται πολλοῖς, οὓς ἀκριβέστερον ἡγοῦμαι περὶ τοῦ Ἐπιγόνου γεγραφέναι τά τε

aut factos ſanat. Adverſus fluxionem nobis venientibus ſtirpes adhuc aufert, cum tunicis celerrime pus educens. Siſtit oculorum fluxiones fronti impoſitum, tollit livorem, gangraenas non patitur latius ſerpere, putredinem purgat, in ſumma ad quodvis bonum eſt. Haec recipit, cerae drachmas centum, terebinthinae drachmas ducentas, ſecundum alios centum, ſquamae aeris rubri drachmas octo, aeruginis raſae drachmas octo, ariſtolochiae rotundae drachmas octo, thuris drachmas octo, ſalis ammoniaci drachmas octo, guttae ammoniaci drachmas octo, aluminis uſti vel rotundi drachmas ſex, aeris uſti drachmas octo, myrrhae drachmas duodecim, aloës drachmas duodecim, galbani drachmas duodecim, olei veteris heminam unam, aceti acris heminas duas. Quae liquari poſſunt, ſiccis in mortarium ſuperfunduntur. Sic quidem Heras iſim ſcripſit non etiam particularem omnem uſum ei apponens, ut in aliis conſueverat. Inſuper quod ad Epigonum illud refert, a plerisque diſſentit, quos exactius de epigonio ſcripſiſſe arbitror, cum alia

Ed. Chart. XIII. [774.] Ed. Baſ. II. (378.)

ἄλλα καὶ ὡς ἐν εἱρκτῇ κατακεκλεισμένος ἰασάμενός τέ τινα τῶν πολὺ δυναμένων ἀφείθη διὰ τοῦτο. προστεθεικέναι δ' αὐτόν φασι τὴν τοῦ δρακοντίου ῥίζαν τῷ προγεγραμμένῳ φαρμάκῳ, κἀγὼ διὰ παντὸς οὕτως ἐχρησάμην. ἐπειδὴ καὶ τῶν διδασκάλων μού τις ἐχρῆτο, βαλὼν εἰς τὴν γεγραμμένην συμμετρίαν ὑπὸ τοῦ Ἥρα ⊀ ἡ. τοῦ δρακοντίου. καὶ μέντοι καὶ τοῦ ἐλαίου μὲν ἐνέβαλεν ἥμισυ κυάθου, ὄξους δε κο. α', ἔβαλλε δὲ καὶ τὴν κολοφωνίαν ῥητίνην, οὐχ ὥσπερ ὁ Ἥρας τὴν τερμινθίνην, ἀλλὰ κἂν τῇ κατασκευῇ τῆς ἐμπλάστρου διεφώνει τῷ Ἥρᾳ, τὴν χαλβάνην τῷ ὄξει συγκατεργαζόμενος τοῖς ἄλλοις ἐν θυείᾳ. καὶ οὕτως ἀναμιγνὺς αὐτὰ, καθάπερ καὶ ὁ Ἥρας φησὶ, τοῖς τηκτοῖς ἐμάλασσέ τε μετὰ ταῦτα τὸ φάρμακον, ἐπὶ πλεῖστον ἐν ταῖς χερσὶ προσαπτόμενος ὄξους δριμυτάτου καὶ μετὰ ταῦτα εἰς χαλκοῦν ἀγγεῖον κατετίθετο καὶ καταχύσας ἐφύλλαττε χρόνῳ πλείονι καὶ οὕτως ἀνελόμενος ἐχρῆτο. προσηγόρευε δὲ αὐτὴν, ὡς καὶ ἄλλοι τινὲς, Ἑρμωνος τοῦ ἱερογραμματέως. ἐν ἑτέροις δ' ἂν εὕροις γεγραμμένην ἐκ τῶν ἀδύτων εἶναι καὶ τήνδε κατὰ τὸ Ἡφαίστειον ἐν Αἰγύπτῳ, καθάπερ καὶ τὴν διὰ τοῦ δικτά-

tum illud quoque, nempe quod in carcere concluſus, quum quendam admodum potentem curaſſet, ejus rei gratia fuit dimiſſus. Adjeciſſe vero ipſum ajunt praeſcripto medicamento dracunculi radicem, atque ego ſemper ita uſus ſum, quoniam et praeceptorum meorum unus uſurpabat, apponens in praedictam ſymmetriam Herae dracunculi drachmas octo, inſuper et olei cyathi dimidium, aceti heminam, ad haec colophoniam reſinam, non ut Heras terebinthinam. Sed et in emplaſtri confectione ab illo diſſentiebat, galbanum aceto, cum aliis in pila elaborans, atque ita admiſcens ea, quemadmodum et Heras inquit, liquabilibus, deinde medicamentum manibus plurimum emolliebat, attingens acetum quam acerrimum, poſtea in vaſe aereo reponebat et perfuſum longo tempore ſervabat, atque ita excipiens utebatur. Appellavit ipſum, velut alii quidam, Hermonis ſacri ſcribae, alibi ſcriptum invenias ex adytis templi Vulcani in Aegyto hoc quoque eſſe, quemadmodum et illud, quod ex dictamno

Ed. Chart. XIII. [774.] Ed. Baſ. II. (378.)

μνου. τὴν μέντοι συμμετρίαν τῶν συντιθέντων αὐτὴν ἁπλῶν φαρμάκων σχεδὸν ἅπαντες ἴσην γεγράφασιν, ὥστε κἂν ἡ προγραφὴ διάφορος ᾖ, μὴ δόξῃς ἑτέραν εἶναι καὶ ἑτέραν τήν τ' ἐκ τῶν ἀδύτων ἱερὰν καὶ τὴν Ἑρμωνος τοῦ ἱερογραμματέως καὶ τὴν Ἐπιγόνου. ἅπαντα γὰρ ταῦτα προσαγορεύεται. τηκομένη δὲ μετὰ κηρωτῆς ὑγρᾶς ἀνακαθαίρει καὶ ἐπουλοῖ τὰ ἕλκη. καὶ γεγράφασί γε τινὲς μὲν μετὰ τριπλασίας κηρωτῆς αὐτὴν ἀνιέναι, τινὲς δὲ μετὰ διπλασίας, ἀδιορίστως ἑκάτεροι τὴν συμμετρίαν ὁρίσαντες. ἐφ' ὧν μὲν γὰρ αὐτάρκως καθαρὸν ἐργάζεται τὸ ἕλκος, εἰ τρισὶ μιχθείη τῆς κηρωτῆς μέρεσιν, οὐ χρὴ διπλάσιον μιγνύειν. ἐφ' ὧν δὲ ἐνδεέστερον καθαίρει, τηνικαῦτα διπλασίαν χρὴ παραλαμβάνεσθαι τὴν κηρωτήν. ἴσμεν γὰρ ὅτι πρακτικώτερον μέν ἐστι πᾶν φάρμακον τοιοῦτον, μὴ πολλῇ τῇ κηρωτῇ μιγνύμενον, ἀσθενέστερον δὲ πλέονι μιχθέν. οὐ χεῖρον δὲ καὶ περὶ τοῦ δρακοντίου τό γε τοσοῦτον εἰπεῖν, ὡς ἐν τῷ θέρει ξηρανθέντος τοῦ καυλοῦ καὶ ὅλης τῆς πόας ἀναιρεῖσθαι χρὴ τὴν ῥίζαν, εἶτα τιθέμενον ἐν οἴκῳ ξηρῷ μέν, οὐκ ἔχοντι δὲ ἥλιον, ὀλίγον ὕστερον μεθ' ἡμέρας ἓξ ἢ ἑπτὰ τέμνειν τὴν ῥίζαν εἰς

conſtat. Symmetriam vero ſimplicium medicamentorum, quae id conſtituunt, omnes propemodum aequalem ſcripſerunt, proinde titulus licet diverſus exiſtat, non opineris aliud eſſe atque aliud et quod ex adytis ſacrum dicitur et Hermonis ſacri ſcribae et Epigoni, nam omnes has appellationes habet, liquatum autem cum cerato liquido purgat et ulcera cicatrice obducit. Quidam ex cerato triplicato dilui ipſum tradiderunt, nonnulli duplicato, utrique ſymmetriam indefinite diſtinguentes. In quibus etenim ulcus purum ſatis efficitur, ſi tribus cerati partibus temperatum fuerit, non oportet duplicatum adjicere, in quibus autem minus purgatur, ibi ceratum duplo majus aſſumendum. Novimus enim efficacius omne id genus medicamentum eſſe, quod non multo cerato miſcetur, imbecillius, quod multo. Nihil mali eſt autem de dracunculo quoque eatenus dicere, quod per aeſtatem caule exiccato et herba tota, radicem ampu-

Ed. Chart. XIII. [774. 775.] Ed. Baſ. II. (378.)

κυκλίσκους καὶ [775] τούτους διείραντα λίνῳ κρεμᾶσαι πάλιν ἐν οἴκῳ ξηρῷ μέν, ἀνηλίῳ δὲ, καὶ οὕτως ἐπειδὰν ἐθέλοις σκευάζειν τὸ φάρμακον, κόπτειν τὴν ῥίζαν. ἔστι δὲ καὶ αὐτὴ καθ' ἑαυτὴν κοπεῖσα καὶ λεανθεῖσα καλῶς ὡς χνοώδη γενέσθαι τῶν κακοήθων ἑλκῶν θεραπευτική.

[Ἡ διὰ δικτάμνου.] Καὶ τὴν διὰ δικτάμνου σκευαζομένην ἔμπλαστρον, ἱερὰν ὀνομάζουσιν, εὑρῆσθαι λέγοντες καὶ ταύτην τὴν γραφὴν ἐν τῷ κατὰ Μέμφιν Ἡφαιστείῳ. καὶ μέμνηνταί γε πάντες αὐτῆς ἐπὶ ταῖς τοιαύταις συμμετρίαις ἢ βραχύ τι διαφερούσαις. ἀρκέσει δὲ καὶ περὶ ταύτης τὴν τοῦ Ἥρα παραγράψαι λέξιν οὕτως ἔχουσαν. ἱερὰ ἡ ἐκ τοῦ ἐν Μέμφει Ἡφαιστείου. ποιεῖ ἐπὶ προσφάτων ἐναίμων, ῥευματικῶν, πρὸς νεύρων διακοπὰς, παλαιὰ ἕλκη, ὑπόνομα, θλάσματα, σηπεδόνας, ἄνθρακας, μελανίας, ἕλκη ῥευματικὰ, δυσκατούλωτα, παρωτίδας, χίμεθλα, ἀποστήματα, χοιράδας, δοθιῆνας, σκληρίας, βέλη ἀνάγει, σκόλοπας, ὀστέα ἐκ τῆς κεφαλῆς, θηρίων πληγὰς καὶ δήγματα σκορπίων, φυλαγγίων,

tare oportet, deinde in domo ſicca ſolem non habente repoſitam, paulo poſt dies ſex vel ſeptem in orbiculos dividere, eosque filo trajectos in ſicca domo et a ſole remota rurſus ſuſpendere, ac ſic ubi medicamentum praeparare voles radicem contundere, quae ipſa quoque ſeorſum tuſa et laevigata probe, ut pulvis fiat, malignis ulceribus medetur.

[*Emplaſtrum ex dictamno.*] Item quod ex dictamno emplaſtrum conficitur, ſacrum appellant, dicentes et hanc ſcripturam in Vulcani templo juxta Memphim inventam eſſe, omnes ipſius hujusmodi ſymmetriis meminerunt vel parum adeo ab his differentibus. Sufficiet autem verba Herae et de ipſo adſcripſiſſe, quae in hunc modum habent. *Sacrum ex Vulcani templo in Memphi. Facit ad recentia cruenta, fluentia, ad nervorum praeciſiones, vetera ulcera, ſuppaſcentia, contuſa, putredines, carbunculos, nigritias, ulcera fluentia, cicatricem aegre admittentia, parotidas, perniones, abſceſſus, ſtrumas, furunculos, duritias. Tela educit, aculeos, oſſa ex capite. Sanat ſerarum ictus, ſcorpionum morſus, phalangiorum, muris araneï,*

Ed. Chart. XIII. [775.] Ed. Baſ. II. (379.)

(379) μυγαλῆς, ἀνθρωπόδηκτα. πρὸς πάντα πόνον τραχήλου, ὤμου, ἄρθρων ἀντὶ μαλάγματος. ἵστησι ῥεύματα ὀφθαλμῶν οὐ μόνον πρόσφατα, ἀλλὰ καὶ παλαιὰ, καὶ πρὸς κεφαλαλγίαν ποιεῖ, κατάχριστος ῥοδίνῳ, ἀνειμένη καὶ πρὸς ὑστέρας πόνον καὶ διαχριομένη καὶ ὑποθυμιωμένη. ἐκδιώκει ἡ ἔμπλαστρος καὶ θηρία θυμιωθεῖσα. ἔστι δὲ ἐλαίου παλαιοῦ κο. β΄. λιθαργύρου ≺ ρ΄. ἰοῦ ξυστοῦ ≺ η΄. λεπίδος ≺ στ΄. κολοφωνίας ὑγρᾶς, οἱ δὲ πευκίνης ≺ ν΄. μάννης ≺ ιβ΄. ἀμμωνιακοῦ θυμιάματος ≺ ιστ΄. χαλκοῦ κεκαυμένου ≺ η΄. διφρυγοῦς ≺ στ΄. γεντιανῆς ≺ στ΄. ἀλόης ≺ η΄. χαλβάνης ≺ ιβ΄. προπόλεως ≺ η΄. κηροῦ ≺ κέ. ἀριστολοχίας ≺ ι΄. δικτάμνου Κρητικοῦ ≺ ι΄. ἕψε ἐν λοπάδι μεγάλῃ ἐπὶ ἀνθράκων λιθάργυρον, ἔλαιον ὡς ἀμόλυντον κατὰ πᾶν εἶναι ἢ παρὰ μικρὸν, εἶτα ἄρας τὴν χύτραν, μίσγε ἰὸν καὶ λεπίδα καὶ ἕψε καὶ μὴ μολυνέτω κατὰ πᾶν, εἶτα πάλιν βαστάσας βάλε ῥητίνην καὶ ἀμμωνιακὸν σεσηρμένα, κινῶν ἕως παύσηται ζέων, εἶτα ἐπιθεὶς καὶ μικρὸν ἐάσας βαστάσας ἔμπασσε χαλκὸν καὶ διφρυγὲς καὶ ἕψησας πάλιν, ἕως μὴ μολύνῃ, ἔσθ' ὅτε γὰρ

hominum. Valet ad omnem colli dolorem, humeri, articulorum, vice malagmatis. Siſtit oculorum fluores, non modo recentes, ſed etiam veteres. Tollit capitis dolorem inunctum, roſaceo dilutum. Et uteri dolorem ſedat tum illitu tum ſuffitu. Necat inſuper feras ſuffitu. Haec recipit olei veteris heminas ij, argenti ſpumae drach. c, aeruginis raſae drach. viij, ſquamae ʒ vj, colophoniae liquidae, alii pineae ʒ l, mannae drach. xij, guttae ammoniaci ʒ xvj, aeris uſti ʒ viij, diphrygis ʒ vj, gentianae ʒ, ſex, aloës ʒ viij, galbani ʒ xij, propolis ʒ viij, cerae ʒ xxv, ariſtolochiae ʒ x, dictamni cretici ʒ x. Argenti ſpumam et oleum in olla magna ſupra prunam incoquito, ut omnino aut fere non inquinet, deinde cacabum deponens aeruginem indito ſquamamque et coquito, ne prorſus inficiat. Poſtea rurſus auferens, reſinam, ammoniaci guttam, injice cribrata, movens donec fervere deſinat, mox quum repoſueris paululumque dimiſeris, tollito atque aes diphrygesque inſpergito, rurſus coquens, quoad non inquinet, interdum

Ed. Chart. XIII. [775.] Ed. Baſ. II. (379.)

τούτων βληθέντων ἐπανίεται, εἶτα βαστάσας προσδίδου κηρὸν καὶ πάλιν ἕψε, ἕως ἀμόλυντος γένηται, ταχέως δὲ γίνεται, εἶτα ἄρας ἀποδώσεις πρόπολιν καὶ ἐπιθεὶς πάλιν, μικρόν τε ἐάσας καὶ ἄρας ἀποδίδου ἀλόην, μάνναν, δίκταμνον, ἀριστολοχίαν, γεντιανήν. ἐψυγμένων δ' ἱκανῶς τούτων, καθ' ἓν ἕκαστον λειότατον ἐμπάσεις καὶ κινήσας ἐὰν ᾖ ἀμόλυντος, βαστάσεις. ἐὰν δὲ μὴ, ἐπὶ κούφου πυρὸς ἑψήσεις. ταῦτα μὲν ὁ Ἥρας ἔγραψε περὶ τῆς ἐμπλάστρου. συνεθήκαμεν δ' αὐτὴν ἡμεῖς ἐνίοτε καὶ χωρὶς τοῦ κεκαυμένου χαλκοῦ καὶ διφρυγοῦς, ἑλκτικωτέραν μὲν τῶν ἐν τῷ βάθει καὶ μαλακτικωτέραν καὶ διαφορητικωτέραν γινομένην, οὐ μὴν πρός γε τὰ δυσεπούλωτα τῶν ἑλκῶν ἁρμόττουσαν. ἐποιήσαμεν δὲ αὐτὴν καὶ χωρὶς τοῦ δικτάμνου, πάλιν αὐτὴν προσθέντες τοῖς ἄλλοις, χρυσοκόλλης ≺ στ'. ὡς γενέσθαι θεραπευτικωτέραν τῶν κακοήθων ἑλκῶν.

[Ἡ Ἱκέσιος μέλαινα.] Ἡ Ἱκέσιος ὀνομαζομένη. τινὲς δὲ κατὰ γενικὴν πτῶσιν ἢ Ἱκεσίου γεγράφασι, πολύχρηστον φάρμακον. ὁ γοῦν Ἥρας περὶ αὐτῆς γράφει ταῦτα. ἡ Ἱκέ-

enim his injectis remittitur, poſtea deponens, ceram addito, iterum coquito, usque dum non polluat, quod celeriter accidit. Dein quum depoſueris, propolim immittes ac repones denuo, pauliſper ſines, quum depones, addes aloën, mannam, dictamnum, ariſtolochiam, gentianam, his abunde refrigeratis ſingula laeviſſima inſperges movens, ſi non inſiciat, tolles, ſin minus, leni igne coques. Haec quidem Heras de emplaſtro ſcripſit. Compoſuimus autem id nos interdum et ſine uſto aere et diphryge, unde quae in alto latebant, magis attrahebat emolliebatque magis diſcutiebatque, non tamen ulceribus aegre cicatricam ducentibus idoneum. Quin etiam ipſum citra dictamnum conſecimus rurſus aliis apponentes chryſocollae drachmas ſex, ut maligna ulcera felicius ſanaret.

[*Hiceſium nigrum.*] Medicamentum titulo hiceſium, uſus multiplicis, quidam gignendi caſu ſcripſerunt, Hiceſii. Heras itaque de ipſo haec tradit. *Hiceſium ad vulnera et canum*

Ed. Chart. XIII. [775. 776.] Ed. Baſ. II. (379.)

σιος πρὸς τραύματα καὶ κυνόδηκτα καὶ τὰς σκληρίας διαχέουσα. πρὸς παρωτίδας καὶ κονδυλώματα καὶ πρὸς τὰ κακοήθη. ἔστι δὲ καὶ ἐπισπαστικὴ, παρακολλητικὴ, ποιεῖ καὶ πρὸς ὕδρωπας. ℔ λιθαργύρου ≺ ρ'. [776] ἀσφάλτου Ἰουδαϊκῆς ≺ ρ'. γῆς ἀμπελίτιδος ≺ ρ' μάννης, προπόλεως ἀνὰ ≺ κε'. χαλβάνης ≺ ιβ'. σχιστῆς ≺ ιβ' S''. τερμινθίνης ≺ ιβ'. S''. ἴρεως ≺ στ'. ἐλαίου ὠμοτριβοῦς κο. στ'. μέλιτος κο. α'. χαλκίτεως ≺ ζ'. ἥμισυ, κηκίδος ὀμφακίτιδος ≺ στ'. σμύρνης ≺ στ'. ἔψε τὴν λιθάργυρον καὶ τὴν ἄσφαλτον καὶ τὴν ἀμπελῖτιν μετὰ τοῦ ἐλαίου. ἐπειδὰν δ' ἡμίεφθα ᾖ, τὴν πρόπολιν μίσγε καὶ τὴν ῥητίνην καὶ τὴν χαλβάνην ἡψημένα ἐν τῷ μέλιτι ἰδίᾳ. ἐπὰν δὲ συνίστηται τὰ λοιπὰ ἀποδίδου, κίνει δὲ σπάθῃ δᾳδίνῃ, ταύτης τῆς ἐμπλάστρου τὸν σταθμὸν τῶν μιγμάτων, οὐ τὸν αὐτὸν ἅπαντες ἔγραψαν, ὡς ἐν τοῖς ἐφεξῆς δειχθήσεται.

[Ἡ διὰ δυοῖν ἀριστολοχιῶν μέλαινα.] Ἔνδοξος ἔμπλαστρος πολύχρηστός ἐστι καὶ ἡ διὰ τῶν δυοῖν ἀριστολοχιῶν, ἣν καὶ αὐτὸς ὁ Ἥρας ἔγραψε κατὰ τήνδε τὴν λέξιν.

morſus, duritias diffundens, ad parotidas, condylomata et maligna. Item eſt attrahens et glutinatorium. Valet inſuper ad aquam inter cutem. ℔ Argenti ſpumae drach. centum, bituminis Judaici drach. c, terrae ampelitidis ʒ c, mannae, propolis, ſingulorum drach. xxv, galbani ʒ xij, ſciſſilis drach. xij ß, terebinthinae ʒ xij ß, iridis drach. vj, olei immaturi heminas ſex, mellis heminam j, chalcitidis drach. vij ß, gallae omphacitidis drach. vj, myrrhae drach. vj. Argenti ſpuma, bitumen, ampelitis cum oleo incoquuntur, ubi ſemicocta fuerint, propolis, reſina et galbanum ex melle ſeparatim cocta miſcentur, poſtquam conſtiterint, reliqua adjiciuntur, moventur autem ſpatha ex taedae ligno confecta. Hujus emplaſtri mixturae pondus non idem omnes, ut in ſequentibus oſtendetur, tradiderunt.

[*Nigrum ex duabus ariſtolochiis.*] Celebre quoque emplaſtrum uſus multiplicis eſt id, quod ex duabus ariſtolochiis conficitur, quod ipſe Heras quoque his verbis de-

Ed. Chart. XIII. [756.] Ed. Baſ. II. (379.)

μέλαινα ἡ διὰ τῶν δυοῖν ἀριστολοχιῶν, ποιοῦσα πρὸς τὰ παλαιὰ καὶ τυλώδη καὶ δυσκατούλωτα καὶ νεμόμενα. ἔστι δὲ καὶ ἔναιμος κεφαλικὴ, ἀνάγει ὀστᾶ, ἀνακολλητικὴ, ποιοῦσα πρὸς τὰ λελυμένα ἄρθρα, ῥευματιζόμενα ἀνακαθαίρει, πληροῖ διειμένη. πίσσης λίτραν α΄. κηροῦ λίτραν α΄. ἀσφάλτου λίτραν α΄. τερμινθίνης λίτραν α΄. μάννης λίτρας ἥμισυ ἢ οὐγγίας ζ΄. ἰοῦ ξυστοῦ λίτρας ἥμισυ, ψιμυθίου λίτρας ἥμισυ, χαλκάνθου οὐγγίας δ΄. ἀριστολοχίας μακρᾶς οὐγγίας δ΄. Ἰλλυρικῆς οὐγγίας δ΄. σιδίων οὐγγίας β΄. κηκίδος ὀμφακίτιδος οὐγγίας β΄. χαλκοῦ κεκαυμένου οὐγγίας β΄. ἀκάνθης οὐγγίας δ΄. ἀριστολοχίας στρογγύλης γο δ΄. ὄξους κο. α΄. κικίνου ἢ ἐλαίου παλαιοῦ κο. α΄. τὰ τηκτὰ τήξας ὁμοῦ, εἶτα τὸ ψιμύθιον, τὸν ἰὸν καὶ τὸ χάλκανθον σὺν τῷ ὄξει λελειοτριβημένῳ ἐπίσταζε, εἶτα ἐπιθεὶς ἐπὶ πυρὸς ἕως ἐνωθῇ, ἔμπασσε τὰ ξηρὰ ὑποσπάσας τὸ πῦρ, εἶτα καταχέας μάλασσε. ταῦτα μὲν ὅ θ' Ἥρας καὶ οἱ ἄλλοι περὶ αὐτῆς ἔγραψαν. ὁ δὲ λογισμὸς τοῦ συνθέντος αὐτὴν οὐκ ἄδηλός ἐστι τοῖς

ſcripſit. *Nigrum ex duplici ariſtolochia. Facit ad antiqua, calloſa, aegre cicatricem inducentia, depaſcentia. Eſt etiam enaemum cephalicum, oſſa reducit et eſt glutinatorium. Facit ad articulos ſolutos. Fluori obnoxia repurgat, implet immiſſum.* ℔ Picis libram unam, cerae libram j, bituminis libram unam, terebinthinae libram unam, mannae ſelibram vel uncias ſeptem, aeruginis raſae ſelibram, ceruſſae ſelibram, chalcanthi uncias quatuor, ariſtolochiae longae uncias quatuor, illyricae uncias quatuor, malicorii uncias duas, gallae immaturae uncias duas, aeris uſti uncias duas, ſpinae uncias quatuor, ariſtolochiae rotundae uncias quatuor, aceti heminam unam, ricinini vel olei veteris heminam unam. Quae liqueſieri poterunt, ſimul liquato, deinde ceruſſam, aeruginem et chalcanthum cum aceto laevia facta inſpergito, mox ſupra ignem, usque dum coierint, arida infricato, igne ſubtracto, dehinc defuſa ſubigito. Haec tum Heras, tum alii de ipſo ſcriptum reliquerunt. Ratio autem ejus qui id compoſuit non obſcura eſt recordantibus quae

Ed. Chart. XIII. [776.] Ed. Baſ. II. (379.)

μεμνημένοις ὅσα κατά γε τοῦτο καὶ διὰ τῶν ἔμπροσθεν ὑπομνημάτων εἴρηταί μοι. σύγκειται γὰρ ἐξ ἐναντίων δυνάμεων, ἑλκτικῶν τε καὶ ἀποκρουστικῶν, κοινὸν ἐχουσῶν τὸ ξηραίνειν. ἐπικρατεῖ δὲ ἐν αὐτῇ τὸ τῶν ἀποκρουστικῶν, ὃ τοῖς στύφουσιν ὑπάρχει τῷ χαλκάνθῳ καὶ τοῖς σιδίοις καὶ τῇ κηκίδι καὶ τῷ κεκαυμένῳ χαλκῷ καὶ τῇ ἀκάνθῃ. διὰ τοῦτο δὲ καὶ πρὸς τὰ παραλελυμένα, τουτέστι κεχαλασμένα τῶν ἄρθρων ἁρμόττειν αὐτὴν ἔφη. τὴν δ' ἀριστολοχίαν καὶ τὴν ἶριν ἔμιξε τοῖς στυπτικοῖς, ἀραιωτικῆς τε καὶ διαφορητικῆς οὔσης δυνάμεως, ὅπως δὲ ἔμπλαστρος γένοιτο καὶ μὴ ξηρὸν ἐπίπαστον εἴη τὸ φάρμακον, ἔλαιόν τε καὶ κηρὸς ἐμίχθη. κηρὸς μὲν ὡς ὕλη μόνον, ὥσπερ καὶ τοὔλαιον. εἰ τὸ κοινὸν εἴη τοῦτο καὶ μὴ τὸ κίκινον ἢ τὸ παλαιόν. ἐμάθομεν γὰρ ὅτι θερμαίνει ταῦτα καὶ διαφορεῖ. τερμινθίνη δὲ ῥητίνη πρὸς τῷ τὴν ἐμπλαστρώδη σύστασιν ἐργάζεσθαι τῷ φαρμάκῳ, τοῦ κηροῦ μόνου μὴ δυναμένου τοῦτο ποιῆσαι, καὶ μαλακτικὸν ἔχει τι καὶ διαφορητικὸν καὶ ῥυπτικόν. ἔχοντος δὲ καὶ λιβανωτοῦ ταῦτα προσείληφεν ἡ μάννα στυπτικὴν ὅλην τὴν δύναμίν τε καὶ ποιότητα. καλοῦσι γὰρ οὕτως

hic et in prioribus commentariis dicta ſunt. Conſtat enim ex contrariis facultatibus, attractricibus et repultricibus, quae commune habent ut exiccent. Superat autem in eo repellentium virtus, quae adeſt aſtringentibus, chalcantho, malicorio, gallae, aeri uſto et ſpinae, ob hoc etiam ad ſolutos, id eſt laxatos articulos convenire ipſum affirmat. Ariſtolochiam autem et iridem aſtrictoriis admiſcuit, utpote rarefaciendi et digerendi poteſtate praedita. Ut autem emplaſtrum fieret nec ſiccum, ſed ut ſuperinduci poſſet, me dicamentum, oleum et cera mixta ſunt, cera quidem ceu materies ſolum, ſicut et oleum, ſi commune fuerit hoc, nec riciniuum vel vetuſtum, quippe didicimus haec calefacere et diſcutere. Terebinthina vero reſina praeterquam, quod emplaſtri conſiſtentiam medicamento conciliet, quum cera hoc ſola facere non poſſit, etiam emolliens quid et diſcutiens detergensque obtinet. At quum thus eadem praeſtet, manna aſtringendi facultatem totam et qualitatem aſſumpſit,

Ed. Chart. XIII. [776. 777.] Ed. Baf. II. (379.)

τὸ ἀπόσεισμα τοῦ λιβανωτοῦ μετέχον τι βραχὺ καὶ τοῦ φλοιοῦ, ξηραντικὴ δὲ ἱκανῶς ἐστι καὶ ἡ ἄσφαλτος ἢ ὁ ἄσφαλτος, ὁποτέρως ἂν ἐθέλῃς καλεῖν, εἰς ἐμπλάστρου σύνθεσιν ἐπιτήδειον φάρμακον. καὶ ταῦτα μὲν οὖν ἦν αὐτάρκη πρὸς τὴν τῆς ἐμπλάστρου σύνθεσιν. ἰσχυρὰν δὲ δύναμιν ἔχοντα φάρμακα μῖξαι προθέμενος ὁ συνθεὶς τὴν ἔμπλαστρον ταύτην ἰόν τε καὶ ὄξος αὐτοῖς προσέθηκε, τέμνειν καὶ διαβιβρώσκειν καὶ μέχρι τοῦ βάθους τῶν [777] σωμάτων αὐτά τε φέρεσθαι καὶ τοῖς ἄλλοις ποδηγεῖν ἱκανά. μίγνυται δὲ ταῦτα τοῖς διαφορητικοῖς ἕνεκα τοῦ προλεπτύνειν τὰς ἐν τοῖς θεραπευομένοις μέρεσι παχείας ὑγρότητας. ὑπόλοιπον οὖν ἐστιν εἰπεῖν τι καὶ περὶ τοῦ ψιμυθίου, ὅπερ ὅτι μὲν ὡς εἰς ἐμπλαστροποιΐαν ἐπιτήδειον, οὐχ ὡς αὐτό τι συμπραξον ἔμιξεν εὔδηλόν ἐστιν. ἐγὼ δ' ἂν τὴν λιθάργυρον ἐμεμίχειν μᾶλλον, ἐμπλαστικόν τε γάρ ἐστι καὶ ψυκτικόν. τὸ δὲ ψιμύθιον, εἰς ἄλλα μέν τινα χρήσιμον ὑπάρχον, εἰς δὲ τὴν τῆς προκειμένης ἐμπλάστρου δύναμιν οὐδὲν συντελεῖ.

[Ἡ τοῦ Ἀζανίτου.] Ἡ τοῦ Ἀζανίτου πολύχρηστός ἐστι καὶ ἔνδοξος. περὶ αὐτῆς δὲ γράφει ὁ Ἥρας οὕτως. ἡ

vocant enim ſic thuris micas conceſſu eliſas, corticis parum item participes. Jam et bitumen abunde ſiccat, ad emplaſtri confectionem idoneum medicamentum. Atque haec de illius compoſitione ſufficiunt. Porro emplaſtri hujus auctor, quum vellet medicamenta valenti virtute praedita miſcere, aeruginem et acetum ipſis adjecit, quae ſiccare, exedere et usque in profundum corporis penetrare atque alia deducere poſſunt. Miſcentur autem haec cum digerentibus, ut humores craſſos partibus, quas curamus, infixos attenuent. Reſtat igitur et de ceruſſa quippiam dicere, quam ceu ad emplaſtrum conficiendum aptam, non ut aliquid cooperaturam admiſcuiſſe illum eſt perſpicuum. Ego vero argenti ſpumam potius adjeciſſem, quae et emplaſtris convenit et refrigerat, ceruſſa vero aliis quibusdam utilis ad propoſiti emplaſtri vires nihil praeſidii affert.

[*Emplaſtrum Azanitae.*] Emplaſtrum Azanitae varii uſus eſt et nobile, de ipſo autem Heras ita ſcribit. *Empla-*

Ed. Chart. XIII. [777.] Ed. Baſ. II. (379. 380.)

τοῦ Ἀζανίτου. ℞ πίσσης ξηρᾶς γο α'. (380) κηροῦ γο γ'. στέατος ὑείου γο γ'. στέατος ταυρείου γο γ'. οἰσύπου γο γ' ῥητίνης λευκίνης γο ε'. ποιεῖ πρὸς τὰ κακοήθη πάντα, γαγγραίνας, σύριγγας, πρόσφατα τραύματα, πυρίκαυτα, περιψυγκοὺς, ὡς ἄκοπον. ἔστι δὲ καὶ πεσσὸς μαλακτικός. ἁρμόττει δὲ καὶ πρὸς τὰ ἐν ὑστέρᾳ ἕλκη, φύματα, παρωτίδας. ὅταν κοῖλα ᾖ τὰ ἕλκη, πλείονι χρῶ τῷ φαρμάκῳ, ὅταν δὲ πρὸς ἐπούλωσιν, ἐλάττονι. ἰδίωμα δὲ τοῦ φαρμάκου ἐπίπαγον ῥυπώδη ποιεῖν. ποιεῖ καὶ ἐπὶ τῶν ὀφθαλμιώντων ἐπὶ βλεφάρων ἐπιτιθεμένη. ἀντιπαθές ἐστι τὸ ἔλαιον τῷ φαρμάκῳ, διὸ φυλάττου. ὅταν δὲ σκευάζῃς, βάλλε πίσσαν, κηρὸν, ταύρειον στέαρ. ὅταν δὲ τακῇ, ὕειον, εἶτα ῥητίνην, ἔσχατον οἴσυπον ψύξας. τὸ δὲ ὅλον πυρὶ καὶ μὴ φλογὶ τῆκε. μάλιστα δὲ ποιεῖ ἐφ' ὧν ἡ πληγὴ περὶ τὰ νεῦρα ἢ μῦν ἐστι καὶ ἐπὶ κακοήθων.

[Ἡ τοῦ Ἁλιέως διὰ Σινώπιδος.] Ἡ τοῦ Ἁλιέως ἔνδοξός τε καὶ πολύχρηστος οὐδὲν ἧττον τῶν πρόσθεν οὕτως

ſtrum Azanitae. ℞ Picis aridae ʒ j, cerae ʒ iij, adipis ſuilli ʒ iij, ſevi taurini ʒ iij, oeſypi ʒ iij, reſinae pineae ʒ v. Facit ad maligna omnia, gangraenas, fiſtulas, recentia vulnera, ambuſta igne, perfrigeratis prodeſt, ut acopon, item peſſulus eſt emolliens. Convenit autem et ad uteri ulcera, phymata et parotidas. Quum ulcera cava fuerint, copioſiore utitor medicamento, ubi ad cicatricem inclinare videntur, parciore. Porro medicamenti proprietas eſt concretum humorem ſordidum per ſumma gignere. Benefacit lippientibus, palpebris ſuprapoſitum. Oleum medicamenti affectui opponitur, quare obſervato ne infundas. Quum autem praeparas, picem, ceram, ſevum taurinum injicito, ubi fuerint liquata, adipem ſuillum, mox reſinam, poſtremo oeſypum, ubi refrigeraveris, totum autem igne, non flamma liquefacito. Maxime valet in quibus nervi vel muſculi percuſſi ſunt, item ad maligna.

[*Emplaſtrum Haliei, ſeu piſcatoris, ex ſinopide.*] Haliei celebre et multiplicis uſus emplaſtrum nihil minus

Ed. Chart. XIII. [777.] Ed. Baſ. II. (380.)

ὑπὸ τοῦ Ἥρα γεγραμμένη. ἡ τοῦ Ἁλιέως πρὸς τὰ παλαιὰ καὶ δυσκατούλωτα. ἔστι δὲ καὶ διαφορητικὴ καὶ μάλιστα ἐπὶ τῶν περὶ μαστοὺς σκληριῶν. χρώμεθα δ' αὐτῇ ὡς καλλίστῃ πρὸς τὰ πλεῖστα. κηροῦ μνᾶ α'. λιθαργύρου μνᾶ α'. μάννης ≺ ἡ'. τερμινθίνης ≺ ἡ'. χαλβάνης ≺ ἡ'. Σινωπίδος ≺ ἡ'. ἐλαίου παλαιοῦ κο. β'. τὸ ἔλαιον καὶ τὴν λιθάργυρον ἕψε, ἕως ἀμόλυντον γένηται, εἶτα κηρὸν, ῥητίνην. καὶ τακέντων αὐτῶν ἄρας ἀπὸ τοῦ πυρὸς μίσγε Σινωπίδα, χαλβάνην, εἶτα τὴν μάνναν. αὕτη ποιεῖ καὶ πρὸς τὰς τῶν θαλασσίων πληγὰς ἄκρως. ἐχρησάμην γέ τοί ποτε αὐτῇ ἐπί τινος ἀπὸ τρυγόνος θαλασσίας πεπληγότος καὶ πάνδεινα πάσχοντος καὶ δαιμονίως ἐποίησεν, ὁμοίως καὶ ἐπὶ σκορπιοδήκτων. ταῦτα μὲν ὁ Ἥρας ἔγραψεν. ἐφεξῆς δὲ τὰ Κρίτωνος ἴδωμεν.

Κεφ. γ'. [*Περὶ τῶν ὑπὸ τοῦ Κρίτωνος γεγραμμένων.*] Ὁ μὲν Ἥρας ἐν βιβλίον ἐποιήσατο τῆς τῶν φαρμάκων συνθέσεως, ἐπιγεγραμμένον νάρθηκα. πέντε δὲ τοιαῦτα σώζεται τοῦ Κρίτωνος ἔξωθεν τῶν κοσμητικῶν. ἐν δὲ τῷ τετάρτῳ

quam priora, Heras ita tradidit. *Haliei ad vetera et quae cicatricem aegre ducunt. Item diſcutit praeſertim in mamillis duritias. Utimur eo tanquam optimo ad plurima.* ℞ Cerae minam unam, argenti ſpumae minam unam, mannae drach. viij, terebinthinae drach. viij, galbani drach. viij. ſinopidis drach. viij, olei veteris heminas ij. Oleum et argenti ſpuma dum non inquinent, incoquuntur, deinde cera reſinaque, liquefactis ipſis ſublatisque ab igne ſinopidem immittito et galbanum, poſtea mannam. Idem facit ad marinorum ictus ſumme. Uſus quandoque eo ſum in quodam a paſtinaca percuſſo ſummoque dolore vexato et mirifice profecit, ſimiliter et in iis, qui a ſcorpione morſi erant. Hactenus Heras. Deinceps vero Critonis emplaſtra inſpiciamus.

Cap. III. [*De medicamentis a Critone ſcriptis.*] Heras quidem libram unam de medicamentorum compoſitione fecit, cui titulus eſt narthex, id eſt *medicamentorum promptuarium*. Quinque vero tales Critonis praeter illos de

Ed. Chart. XIII. [777. 778.] Ed. Baſ. II. (380)

τῶν πέντε τούτων τὰς ὁμοειδεῖς ταῖς γεγραμμέναις ἐμπλάστροις διέρχεται, τινὰς μὲν, ὥσπερ ὁ Ἥρας, κατὰ πᾶν ὡσαύτως ἐχούσας. τινὰς δὲ ἔξωθεν, ὧν ὁ Ἥρας οὐκ ἐμνημόνευσεν, ἃς νῦν ἐφεξῆς γράψω, μετὰ τοῦ καὶ εἴ τινος τῶν ὑφ' Ἥρα γεγραμμένων μνημονεύοι διαφερόντως μὴ παραλιπεῖν, ὥσπερ ἐπὶ τῆς Ἰκεσίου φαίνεται πεποιηκώς. ἄλλους γὰρ ἔγραψε σταθμοὺς καὶ μέτρα τῆς ἐμπλάστρου ταύτης ὁ Κρίτων, ὥσπερ καὶ ἄλλοι τινὲς, [778] οὐ τὰς αὐτὰς τῷ Ἥρᾳ. ἄρξομαι τοιγαροῦν ἀπὸ τῆς πρώτης Ἰκεσίου, διαπεφωνημένης αὐτῆς κατὰ τὸν σταθμὸν τῶν ἁπλῶν φαρμάκων, ἐξ ὧν συντιθέασι τὴν ἔμπλαστρον.

[Ἡ Ἰκεσίου.] Περὶ τῆς Ἰκεσίου κατὰ λέξιν ὁ Κρίτων οὕτως ἔγραψεν. Ἰκεσίου πρὸς πᾶν τραῦμα, πρόσφατον, παλαιὸν, πρὸς θλάσματα, στρέμματα, κατάγματα, πρὸς φλεγμονὰς καὶ πάντα πόνον, ἄπονον γὰρ εὐθέως ποιεῖ πρὸς ἀποστήματα, φύματα, χοιράδας, ἄνθρακας, παρωτίδας, φύγεθλα, κονδυλώματα, λειχῆνας, ἕλους, μελανίας, αἱμορῥοΐδας φλεγμαινούσας, σύριγγας, πυρίκαυτα, ἀνιεμένῃ μυρσίνῳ ἢ ῥοδίνῳ

exornatione ſervantur. In quarto horum quinque emplaſtra praedictis ſimilia ſpecie commemorat, quaedam, ut Heras, in totum ſimili modo confecta, nonnulla inſuper, quorum Heras non commeminit, quae ego mox ordine apponam, non etiam ſi cujusdam aliter quam ab Hera deſcripti mentionem facit, omittens, quemadmodum in Hiceſii emplaſtro factitaſſe apparet, alia namque pondera et menſuras hujus emplaſtri Crito ſcripſit, ſicut alii quidam, non ut Heras poſuit. Incipiam igitur a primo Iceſii, in cujus ſimplicium medicamentorum pondere inter omnes non convenit.

[*Emplaſtrum Hiceſii.*] De Hiceſii medicamento haec ad verbum ſcripſit Crito. *Hiceſii ad omne vulnus recens, vetus, contuſa, luxata, fracturas, phlegmonas et omnem dolorem, quem protinus ſedat. Facit ad abſceſſus, phymata, ſtrumas, carbunculos, parotidas, phygethla condylomata, impetigines, clavos, nigritias, haemorrhoidas phlegmone tentatas, fiſtulas, ambuſta igne, dilutum myrteo vel roſa*

Ed. Chart. XIII. [778.] Ed. Baſ. II. (380.)

πρὸς ἕλκη, σκόλοπας, ἀκίδας, κυνόδηκτα, ἀνθρωπόδηκτα, θηρίων πληγὰς καὶ ἴσχαιμος χρῶ καὶ ἀντὶ μαλάγματος πρὸς πάντα, ἔλαιον δὲ μὴ πρόσαγε καὶ ἀνακόλλημα ἐπ᾽ ὀφθαλμιώντων ἐν ὀθονίῳ. ἔστω δὲ ἀεὶ τὰ σπλήνια μείζονα. ποιεῖ καὶ ἐπὶ ὑδρωπικῶν. ℥ γῆς ἀμπελίτιδος, ἀσφάλτου, λιθαργύρου, ἀνὰ μνᾶς β′. κηροῦ, λιβανωτοῦ, τερμινθίνης, προπόλεως ἀνὰ μνᾶς S′. χαλβάνης, σχιστῆς ἀνὰ μνᾶς ε′. σμύρνης, κηκίδος, ἴρεως ἀνὰ ≺ ιβ′. χαλκίτεως ≺ στ′. μέλιτος κο. β′. ἐλαίου ὀμφακίνου χοᾶς β′. τινὲς δὲ κο. β′. ἔψε ἀμπελῖτιν, ἄσφαλτον, λιθάργυρον σὺν τῷ ἐλαίῳ, προχυλώσας, ὡς λεῖα γενέσθαι. ἔψε δὲ ἐπὶ μαλακοῦ πυρὸς, κιττῶν σπάθῃ δαδίνῃ ἀδιαλείπτως, ὥστε μὴ ὑποκαθίσαι, τάχιστα γὰρ κατακαίεται. τὰ δὲ τηκτὰ ἐν ἑτέρῳ ἀγγείῳ τῆξον, προειρήσας κατ᾽ ἰδίαν τὸ μέλι, ὥστε συστραφῆναι, καὶ μῖξον τοῖς ἐν τῷ κακάβῳ καλῶς συστραφεῖσι. πάλιν γὰρ ἀναλύεται τούτων προβληθέντων, εἶτα τὰ ξηρὰ ἔμπασσε ψύξας ποσῶς, τελευταῖον τὸν λιβανωτὸν καὶ ἐνώσας χρῶ. ταύτην τὴν γραφὴν ἔλαβον παρὰ

ceo, valet ad ulcera, aculeos, tela, canum hominumque morſus, ferarum ictus. Item ad ſanguinem cohibendum utitor et loco malagmatis ad omnia. Oleum vero non adhibendum eſt. Jam lippientibus in linteolo collyrium adhibetur, ſint autem ſplenia ſemper majora. Juvat quoque hydropicos. ℥ Terrae ampelitidis, bituminis, argenti ſpumae, ſingulorum minas duas, cerae, thuris, terebinthinae, propolis, ſingulorum minae dimidium, galbani, ſiſſilis, ſingulorum minas quinque, myrrhae, gallae, iridis, ſingulorum ʒ xij, chalcitidis ʒ vj, mellis heminas ij, olei omphacini congios duos, quidam heminas ij. Ampelitis, bitumen, argenti ſpuma cum oleo coquuntur, humore prius expreſſo, ut ſiant laevia, incoquuntur autem igne non acri, ſpatha ex taedarum ligno aſſidue moventur, ne ſubſidant, nam citiſſime comburuntur. Quae liquari poſſunt, in alio vaſe liqueſacito, melle prius ſeorſum cocto, ut coëat ac in cacabo pulchre conſertis miſceto, rurſus enim reſolvitur his praemiſſis, deinde arida inſperguntur aliquatenus refrigerata, poſtremo thus. Ac ubi in unitatem coierint, utitor. Hanc ſcripturam

Ed. Chart. XIII. [778.] Ed. Baſ. II. (380.)

Ἡροδότου. ταῦτα μὲν ἔγραψεν ὁ Κρίτων περὶ τῆς Ἱκεσίου. φαίνεται δὲ διαφερόμενος τῷ Ἥρᾳ περὶ τῆς συμμετρίας τῶν ἁπλῶν φαρμάκων, ἐξ ὧν ὅλη σύγκειται. καὶ τῆς διαφωνίας ἡ μέν τις ἐστὶ σαφὴς, ἡ δὲ δυσεπίκριτος. ὁ μὲν γὰρ Ἥρας καλῶς ποιῶν τὸν σταθμὸν ἁπάντων τῶν φαρμάκων εἰς δραχμὰς ἀνῆγεν, ὁ δὲ Κρίτων τὴν μὲν ἀμπελῖτιν γῆν καὶ τὴν ἄσφαλτον καὶ τὴν λιθάργυρον οὐ κατὰ τὸν τῶν δραχμῶν σταθμὸν ἔγραψεν, ἀλλὰ μνᾶς β′. ἑκάστης αὐτῶν ἠξίωσεν ἐμβάλλειν. διαπεφώνηται δὲ τοῖς περὶ τῶν σταθμῶν καὶ μέτρων γράψασιν, ὁπόσος ἐστὶν ὁ τῆς μνᾶς σταθμὸς, ἐνίων μὲν ἑκκαίδεκα λεγόντων οὐγγιῶν εἶναι τὴν μνᾶν, ἐνίων δὲ εἴκοσι, ἐνίων δὲ καὶ διοριζομένων, καὶ τὴν μὲν Ἀλεξανδρικὴν εἴκοσι φασκόντων εἶναι οὐγγιῶν, τὴν δὲ ἄλλην ἑκκαίδεκα, καὶ τοῦτο μὲν ἔτι μικρότερον. ἀλλὰ τῶν εἰς δραχμὰς ἀναγόντων τὴν μνᾶν εἰσὶν οἳ φασιν ἑκατὸν εἶναι δραχμῶν τὴν μνᾶν, ἔνιοι δὲ πλειόνων, ἐπειδὴ καὶ τὴν οὐγγίαν οἱ πλεῖστοι μὲν ἑπτὰ καὶ ἡμίσεος δραχμῶν εἶναί φασιν, ἔνιοι δὲ ζ. μόνον, ἕτεροι δὲ ἡ. τούτων οὖν οὕτως ἐχόντων, πόσων δραχμῶν

ab Herodoto accepi. Haec ſane Crito de Hiceſio ſcripta reliquit. Videtur autem in ſimplicium medicamentorum, unde totum componitur, ſymmetria ab Hera diſſentire, ac partim haec diſcordia manifeſta eſt, partim dijudicari vix poteſt. Etenim Heras recte faciens omnium medicamentorum pondus in drachmas redegit, Crito autem ampelitidem terram, bitumen, argenti ſpumam, non pro drachmarum pondere ſcripſit, ſed duas ſingulorum minas injiciendas cenſuit. At ab his diſſenſit qui de ponderibus et menſuris ſcripſerunt, quantum videlicet minae pondus exiſtat; nonnulli enim ſedecim unciarum eſſe dicunt, quidam viginti, alii etiam diſtinctionem faciunt, Alexandrinam ponentes viginti uncias pendere, aliam ſedecim, atque hoc quidem adhuc levius eſt. Verum ex iis qui minam in drachmas redigunt alii centum, alii plurium drachmarum eſſe confirmant, quia et unciam plerique ſeptem drachmas et ſemiſſem valere malunt, alii ſeptem duntaxat, reliqui octo. Haec igi-

Ed. Chart. XIII. [778. 779.] Ed. Baſ. II. (380.)

χρὴ λογίσασθαι τὴν ὑπὸ τοῦ Κρίτωνος ἐγγεγραμμένην μνᾶν εἶναι χαλεπὸν εὑρεῖν. φαίνεται δὲ καὶ ἐν ἄλλοις μὲν ≺ ρ'. ὁ βουλόμενος εἶναι τὴν μνᾶν. καὶ εἴπερ τοῦτο οὕτως ἔχει, κατὰ τὸ διπλάσιον χρὴ νοεῖν τῆς Ἱκεσίου τὴν σύνθεσιν γεγράφθαι παρ' αὐτοῦ, τοῦ μὲν Ἥρα γράψαντος περὶ τῶν τριῶν τούτων φαρμάκων τῶν πρώτων, τῆς δὲ γῆς τῆς ἀμπελίτιδος καὶ τῆς ἀσφάλτου καὶ τῆς λιθαργύρου ἑκατὸν ἑκάστου δραχμὰς τὸ βάρος, εἰς σ'. δὲ τοῦ Κρίτωνος ἀνάγοντος. ἴδωμεν οὖν εἰ τὰ ἑφεξῆς ὁμολογεῖ τῷ διπλασίῳ, τινὰ μὲν γὰρ φαίνεται, τινὰ δ' οὔ. μνημονεύει δὲ μετὰ τὰ τρία τὰ πρῶτα, κηροῦ, λιβάνου, τερμινθίνης καὶ προπόλεως, ἀξιῶν ἑκάστου μνᾶς S''. βάλλεσθαι, τουτέστι ≺ ν'. [779] προὐθέμεθα γὰρ ὡς ≺ ρ'. τῆς μνᾶς οὔσης, οὕτως γεγράφθαι τὴν συμμετρίαν, ἀλλ' εἴπερ οὕτως ἔχει τοῦτο, κατὰ μὲν τὸν λιβανωτὸν ἀντὶ τῆς μάννης δηλονότι γεγραμμένον, ὁμολογία γενήσεται τῷ Κρίτωνι πρὸς τὸν Ἥραν. ὡσαύτως δὲ καὶ κατὰ τὴν πρόπολιν, οὐ μὴν κατά γε τὴν τερμινθίνην. ἐχρῆν γὰρ εἴκοσι καὶ ≺ ε'. ὑπὸ τοῦ Κρίτωνος γεγράφθαι, τοῦ γε

tur quum ita ſe habeant, quot drachmarum minam a Critone poſitam aeſtimare oporteat invenire operoſum eſt. Apparet autem in aliis quoque centum drachmarum minam eſſe velle, ac ſi ita res habet, duplicatam Hiceſii compoſitionem ab eo ſcribi putabimus, quum Heras trium horum medicamentorum priorum terrae ampelitidis, bituminis et argenti ſpumae, ſingulorum drachmas centum poſuerit, Critone pondus in ducentas redigente. Videamus igitur an ſequentia duplicato conſentiant, quaedam namque apparent, quaedam non item. Meminit ergo poſt tria prima, cerae, thuris, terebinthinae, propolis, ſingulorum minae dimidium, hoc eſt drachmas quinquaginta, immittendum praecipiens, etenim propoſuimus tanquam mina centum drachmas valeat, ſymmetriam eſſe ſcriptam. Quod ſi eſt, in thure, pro manna videlicet poſito, Crito cum Hera conveniet, pari modo in propoli, non tamen terebinthina, quippe viginti quinque drachmas Critonem ſcripſiſſe oportebat, quum He-

Ed. Chart. XIII. [779.] Ed. Baſ. II. (380. 381.)

Ἥρα γράψαντος δέκα καὶ β′ καὶ ἡμίσειαν. ἐν δὲ τῷ κηρῷ μεγίστη διαφωνία τοῖς ἀνδράσιν ἐγένετο, μηδ' ὅλως ἐμβαλόντος κηρὸν τοῦ Ἥρα. μεμαθήκαμεν γὰρ τὴν τοῦ κηροῦ δύναμιν μετρίως μαλακτικήν. ἐφεξῆς δὲ παρὰ τῷ Κρίτωνι γέγραπται. χαλβάνης, σχιστῆς ἀνὰ μνᾶς τέταρτον, συμφωνοῦντος ἐν τούτῳ (381) τἀνδρὸς τῷ Ἥρᾳ. τὸ γὰρ τέταρτον τῆς μνᾶς ὑποκειμένης ≺ ρ′. εἶναι, γίγνοιντ' ἂν εἴκοσι καὶ ε′ ≺. διπλάσιον δέ εἰσιν αὗται τῶν ὑπὸ τοῦ Ἥρα γεγραμμένων ιβ′. καὶ ἡμισείας. ἀποχωρήσας δὲ τοῦ τῆς μνᾶς ὀνόματος ἐν τοῖς ἐφεξῆς ὁ Κρίτων, σμύρνης καὶ κηκίδος καὶ ἴρεως τῶν τριῶν ἀνὰ ≺ ιβ′. κελεύει μιγνύναι τοῖς προειρημένοις, ὁμολογῶν ἐν τούτῳ τῷ Ἥρᾳ. ἐξ γὰρ ἐκεῖνος ἐκέλευσεν ἑκάστου βάλλειν. ἐφεξῆς δὲ πάλιν ὁ Κρίτων γέγραφε χαλκίτεως ≺ στ′. οὐ μικρὸν διαφερόμενος ἐνταῦθα τῷ Ἥρᾳ. διπλασίων γὰρ πάντων ὄντων ἐχρῆν καὶ τὴν χαλκῖτιν οὐχ ἓξ δραχμὰς, ἀλλὰ πεντεκαίδεκα γεγράφθαι, τοῦ γε Ἥρα γεγραφότος ζ′. καὶ ἡμίσειαν. ἐν μέντοι τῷ μέλιτι συμφωνοῦσιν οἱ ἄνδρες, τοῦ μὲν Ἥρα γράψαντος κοτύλην α′. τοῦ δὲ

ras duodecim et ſemiſſem ſtatuerit. Porro in cera maxime viri controverſantur diſcordantque, quippe quum Heras ceram omnino non injiciat, didicimus enim illius vim eſſe, mediocriter emollire. Caeterum apud Critonem deinceps ſcriptum eſt galbani, ſciſſilis, ſingulorum quarta minae portio. Atque in hoc vir Herae ſuffragatur. Nam quarta pars minae, quae centum pendet drachmas, viginti quinque drachmas efficiet, quae duplum ſunt duodecim et ſemiſſis ab Hera ſcriptorum. Jam vero a minae vocabulo digreſſus in ſequentibus Crito myrrhae, gallae, iridis, ſingulorum drachmas duodecim, cum praedictis miſcendas jubet, in hoc Herae conſentiens, ſiquidem ille ſex cujusque adjiciendas praecepit, inde rurſus Crito chalcitidis drachmas ſex tradidit, hic non parum ab Hera diſcordans. Nam quum omnia duplicata ſint, conveniebat et chalcitidem non ſex, verum quindecim drachmas habere, ubi Heras ſeptem et dimidiam ſcripſit. In melle quidem viri concordes ſunt, quum Heras

Ed. Chart. XIII. [779.] Ed. Baſ. II. (381.)

Κρίτωνος γράψαντος κοτύλας β'. λοιπὸν δὲ περὶ τοῦ ἐλαίου ζήτησις οὐ σμικρὰ γένοιτ' ἂν ἡμῖν, οὐ μόνον κατὰ τοὺς δύο τούτους ἄνδρας, ἀλλὰ καὶ κατ' ἄλλους τῶν γραψάντων τὸ φάρμακον, ὡς ἐφεξῆς ἐροῦμεν. οὗτοι δ' οὖν κατὰ τοῦτο διαφέρονται πρὸς ἀλλήλους. ὁ μὲν γὰρ Ἥρας ἔγραψεν ἐλαίου ὠμοτριβοῦς κοτύλας στ'. ἄμεινον γὰρ οὕτως γράφειν ἢ ὥς τινες ἔγραψαν κυάθους στ'. ἀξιοῦντός γε κατὰ τὴν ἔψησιν τοῦ Ἥρα τὴν λιθάργυρον καὶ τὴν ἄσφαλτον καὶ τὴν γῆν τὴν ἀμπελῖτιν, ἡμίεφθα ποιήσαντα, τηνικαῦτα τῶν ἄλλων ἕκαστον ἐμβάλλειν. ἡμίεφθα δὲ οὐκ ἂν γένοιτο κυάθων στ'. ἐμβληθέντων. ἴσμεν γὰρ εἰς τὰς ≺ ρ'. τῆς λιθαργύρου πολλοὺς πολλάκις τῶν φάρμακα συντιθέντων ἀνδρῶν ἀξιοῦντας ἐμβάλλεσθαι κοτύλας β'. καὶ ἤδη καὶ πᾶν τοῦτο πρόσθεν εἶπον ἐν τῷ α'. τῶνδε τῶν ὑπομνημάτων ὡς ἐγχωρεῖ καὶ τῶν μεταλλικῶν οὐγγίας θ'. τὴν κοτύλην εἶναι, καθάπερ τινὲς ᾠήθησαν. ἐγχωρεῖ δὲ καὶ ιβ'. συμβάλλειν, ὡς ἄλλοι κελεύουσιν εὖ εἰδότες, εἰ μὲν μὲν ἐπὶ πλέον ἑψηθείη τὸ φάρμακον, ἔσται δὲ τοῦτο πλέονος ἐμβληθέντος

heminam unam, Crito heminas duas poſuerit. Reſtat autem de oleo quaeſtio magna, non ſolum inter duos illos viros, ſed alios quoque, qui medicamentum hoc ſcripſerunt, ſicut procedente ſermone dicemus. Hi igitur inter ſe hactenus differunt, etenim Heras olei immaturi heminas ſex ſcripſit, melius enim ſic quam, ut alii quidam dixerunt, cyathos ſex. Quippe in coctione argenti ſpuma, bitumen, terra ampelitis, ubi ſemicocta fuerint, tum alia ſingula Heras immittenda exiſtimat, atqui ſemicocta fieri non poſſunt, cyathis ſex immiſſis; ſcimus enim plerosque ex iis qui medicamenta componunt ſubinde centum argenti ſpumae drachmis duas heminas indere. Atque hoc jam etiam totum antea in primo hujus operis volumine comprehenſum eſt, nempe metallicorum quoque uncias ix, heminam eſſe licere, ſicut quidam putarunt. Quin et duodecim injicere poſſumus, ut alii praecipiunt, probe docti, ſi medicamentum diutius coctum fuerit, licebit autem hoc ipſum copioſiore oleo impoſito, ma-

Ed. Chart. XIII. [779. 780.] Ed. Baſ. II. (381.)

ἐλαίου, ξηραντικώτερον αὐτὸ γενήσεσθαι, εἰ δὲ ταχέως ἀπὸ τοῦ πυρὸς ἀρθείη, διὰ τὴν ὀλιγότητα τοῦ ἐλαίου ξηραντικώτερον μὲν ἧττον αὐτὸ γενήσεσθαι, μαλακτικώτερον δὲ καὶ παρηγορικώτερον, ὥστε τοὺς μὲν ἓξ κυάθους παντάπασιν ἀποβλητέον, ἓξ δὲ κοτύλας οὐγγίας θ'. μίαν ἑκάστην ἐμβλητέον. εἰ δ' ἐπὶ πλέον ἐψῆσαι βούλοιο τὸ φάρμακον, ὡς γενέσθαι ξηραντικώτερον, οὐδὲν κωλύει καὶ τὰς τῶν οὐγγιῶν ιβ'. κοτύλας ἐμβληθῆναι. γεγραμμένων οὖν ἓξ κοτυλῶν παρὰ τοῦ Ἥρα, δῆλον ὅτι ιβ'. τὸν Κρίτωνα τὰς κοτύλας ἐχρῆν ἐμβάλλειν, ἵνα καὶ κατὰ τοῦτο διπλάσιον ᾖ τὸ μέτρον, ὡς ἐπὶ τῶν ἄλλων. ἀλλὰ γέγραπταί γε παρ' αὐτῷ ἐλαίου ὀμφακίνου χόες δύο. πάλιν κἀνταῦθα καταγνωστέον τῶν γραψάντων κοτύλας β'. τὸν μὲν οὖν χοέα, εἰ μὲν ἓξ κοτυλῶν ἀριθμοίημεν, ἡ συμφωνία μένει τοῖς ἀνδράσιν, εἰ δ' οὐ κο. στ'. ἀλλὰ ξε. στ'. οὐ μικρὰ διαφωνία γενήσεται. πολὺ γὰρ ἔσται τὸ πλῆθος ὡς πρὸς τὴν τῶν ἄλλων ἀναλογίαν, εἴ τις ἐμβάλλοι ξε. ιβ'. ἐλαίου. [780] ταῦτα μὲν ἐν τῷ παρόντι περὶ τῆς Ἥρα καὶ Κρίτωνος ἐν τῷ προκειμένῳ φαρ-

jorem ſiccandi vim acquirere, quod ſi ab igne ſtatim ſublatum fuerit, minus propter olei paucitatem exiccaturum, emolliturum autem magis et mitigaturum. Quare ſex cyathi omnino repudiandi ſunt, ſex autem heminae, quae ſingulae uncias novem faciunt, injiciendae. At ſi largius medicamentum voles incoquere, quo ſiccet evidentius, nihil obſtat etiam duodecim unciarum heminas infundere. Itaque Hera ſex heminas ſcribente, liquet Critonem duodecim heminas immittere oportuiſſe, ut ſimul in hoc, ſicut in aliis, duplicata menſura exiſtat. Verum ſcripti ſunt ab eo olei omphacini congii duo. Iterum hic quoque damnandi ſunt qui heminas duas poſuerunt. Ergo ſi congium ſex heminarum eſſe ſtatuamus, virorum conſenſus manebit, ſi vero non heminas ſex, verum ſextarios ſex ponamus, non parva diſſenſio orietur, multa namque erit copia, ut ad proportionem aliorum, ſi olei ſextarios duodecim infundas. Haec quidem in praeſentia de Herae et Critonis in propoſito me-

Ed. Chart. XIII. [780.] Ed. Baſ. II. (381.)

μάκῳ διαφωνίας. ὅταν δὲ ἐπὶ τὸν Ἀνδρόμαχον ἔλθωμεν, εἰρήσεταί τι καὶ περὶ τῆς ἐκείνου πρὸς ἀμφοτέρους αὐτοὺς κατὰ τινὰ μὲν ὁμολογίας, κατὰ τινὰ δὲ διαφωνίας.

[Ἡ ἴσις χλωρά.] Τὴν μὲν ἴσιν ἔγραψε καὶ οὗτος, ὥσπερ καὶ ἄλλοι σχεδὸν ἅπαντες. ἐπεὶ δὲ ἐπιμελέστερον ἥ τε χρῆσις αὐτῆς ὅλη καὶ ἡ σκευασία παρὰ τούτῳ γέγραπται, μετὰ τοῦ καὶ διαφωνεῖν βραχέα πρὸς τὸν Ἥραν, ἐδοξέ μοι καὶ τὰ ὑπὸ τούτου γεγραμμένα κατὰ λέξιν ὑπογράψαι. ἡ ἴσις, ἣν τινες Ἐπιγόνου καλοῦσι, ποιοῦσα, ἄκρατος μὲν πρὸς λεπίδων ἀποστάσεις καὶ ἀναπλεύσεις ὀστέων παχείας, ἔμμοτος δὲ καὶ σπλήνιον ἐπιτιθεμένη καὶ πρὸς σκόλοπας καὶ θηρίων πάντων πληγάς τε καὶ δήγματα καὶ πρὸς πάσας τὰς ὑπὸ σιδήρου γινομένας ἐν πολέμοις τε καὶ ἄλλως νύξεις τε καὶ τρώσεις θεραπεύει καὶ σύριγγας ἐπιτιθεμένη καὶ κολλύριον ἐντιθεμένη, ἐκτυλοῦσα καὶ παρακολλῶσα ταῦτα, καὶ κεκραμένη δὲ αὕτη πρὸς πᾶν τραῦμα ἔμμοτον καὶ σπλήνιον ἐπιτιθεμένη καὶ πρὸς τὰ κακοήθη καὶ χρόνια καὶ ὑπ' ἄλλων κατεφθαρμένα, ἐφ' ὧν προαναξέων τῷ φαρμάκῳ χρῶ τῇ

dicamento diſcordia. Quum vero ad Andromachum venerimus, dicetur itidem nonnihil de illius cum utroque partim conſenſu, partim controverſia.

[*Iſis viridis.*] Iſidem hic quoque ſcripſit, quemadmodum alii prope omnes. At quia diligentius tum uſum ipſius univerſum tum praeparationem tradidit ac ſimul nonnihil ab Hera diſceſſit, viſum mihi eſt etiam ab hoc ſcripta ad verbum ſubjungere. *Iſis, quam nonnulli Epigoni vocant. Per ſe ad ſquamarum abſceſſus facit. Item craſſa oſſium fragmenta innatantia juvat linamento vel ſplenii modo impoſita. Valet ad aculeos omniumque ferarum ictus et morſus. Sanat omnes punctos et vulnera ferro facta in bello et aliter. Curat etiam fiſtulas impoſita et ut collyrium indita. Diſcutit callos et conglutinat. Alteri temperata ad omne vulnus linamento et ſplenii inſtar adhibita valet. Prodeſt ad maligna et diutina ac ab aliis corrupta, in quibus deraſis prius medicamento diluto uti-*

Ed. Chart. XIII. [780.] Ed. Baſ. II. (581.)

κεκραμένῃ. ποιεῖ δὲ θαυμαστῶς καὶ πρὸς τὰς παρακολλήσεις τῶν κόλπων, ἕως ἂν ὦσι μεγάλοι. ἐξικμάζουσα γὰρ καὶ παρακολλῶσα τούτους εὐθετεῖ καὶ ἔμμοτος καὶ κεκραμένη καὶ ἄκρατος, ἐφ' ὧν ὑπεκτῆξαι θέλομεν ἀδένας τινὰς ἢ ὑμένας ἐγκειμένους. χρῶ δὲ καὶ πρὸς τὰ κατάγματα σὺν τραύματι καὶ χωρὶς τραύματος. πωροῖ γὰρ τάχιστα καὶ σφίγγει τὰ πεπονθότα. καὶ ἐφ' ὧν δ' ἄλλο μάλαγμα οὐ ποιεῖ, αὕτη ἀκριβῶς ποιεῖ, ὄνυχάς τε ἐκ προσκόμματος σεσαλευμένους ἢ πήσσει ἢ ἐκτινάσσει καὶ ὀδόντας ἐκ πληγῆς κεκινημένους πήσσει, καὶ καθόλου μύρια ἐστιν ἐφ' ὧν ποιεῖ διαφόρως ἀγομένη. ἔστι δὲ καὶ ἡ ἀνειμένη αὕτη τῆς ἀκράτου μέρος ἓν, κηρωτῆς μέρη β'. ἐνίοτε καὶ ἔτι μᾶλλον ἐξανειμένη. τριβῆς δὲ εἰς τοῦτο καὶ γυμνασίας δεῖ. γίνεται γὰρ ἡ κηρωτή ποτε καὶ διὰ πιτυΐνης ῥητίνης, ἡ δὲ σύνθεσις, ἀμμωνιακοῦ θυμιάματος ⊲ η'. ἰοῦ ξυστοῦ ⊲ η'. ἁλὸς ἀμμωνιακοῦ ⊲ η'. λεπίδος χαλκοῦ ⊲ η'. χαλκοῦ κεκαυμένου ⊲ η'. στυπτηρίας στρογγύλης ⊲ στ'. ἀριστολοχίας ⊲ η'. λιβάνου ⊲ η'. σμύρ-

tor. Mirifice facit et ad ſinus conglutinandos, dum magni fuerint, nam exiccandis illis conjungendisque convenit, linamento quoque impoſita tum per ſe tum alteri mixta, in quibus adenes aliquos vel inſitas membranas eliquare volumus. Utitor etiam ad fracturas cum vulnere et ſine hoc, callum enim ducit celerrime et partes affectas aſtringit. Inſuper in quibus aliud malagma non proficit, ipſa exacte prodeſt, et ungues ex offendiculo vacillantes vel confirmat vel extrudit et dentes ex ictu motos ſtabilit. Summatim infinita ſunt quibus differenter adhibita conducit. Eſt autem et diluta haec, intemperata pars una ſumitur, cerati partes duae nonnunquam, atque adhuc magis diluitur. Sed uſus et exercitatio in hoc requiritur, fit namque ceratum interdum et per reſinam pityinam. Compoſitio autem talis eſt. ℔ Guttae ammoniaci drach. octo, aeruginis raſae drach. viij, ſalis ammoniaci ʒ viij, ſquamae aeris ʒ viij, aeris uſti drach. viij, aluminis rotundi drach. vj, ariſtolochiae drach. viij, thuris ʒ viij, myrrhae ʒ xij,

Ed. Chart. XIII. [780.] Ed. Baſ. II. (381.)

νης ≺ ιβ'. ἀλόης ≺ ιβ'. χαλβάνης ≺ ιβ'. κηροῦ ή'. ῥητίνης κολοφωνίας ≺ στ'. ἔνιοι δὲ τερμινθίνης τὸ αὐτό. ἐλαίου παλαιοῦ κο. β'. ὄξους κο. β'. Ἐπίγονος δὲ καὶ δρακοντίου ῥίζης χυλοῦ ≺ ιβ'. καὶ πρασίου χυλοῦ ≺ ιβ'. καὶ σέρεως χυλοῦ ≺ ή'. πάντα κόψας καὶ σήσας ἐπιμελῶς βάλλε εἰς θυείαν καὶ κατ' ὀλίγον ἐν ἡλίῳ παράχει τὸ ὄξος, ἕως οὗ λειοτριβῶν ἐξαναλώσει ὅλον τὸ ὄξος. καὶ λείου γενομένου τὰ τηκτὰ τήξας καὶ ψύξας, ξύσας τε ἐπιμελῶς πρόσβαλλε τοῖς ἐν τῇ θυείᾳ καὶ μαλάξας ἀνελοῦ. ταῦτα μὲν ὁ Κρίτων ἔγραψεν, ἐγὼ δ' αὐτὴν χωρὶς τοῦ τῆς σέρεως χυλοῦ σκευάσας, ἀφελὼν δέ ποτε καὶ τὰς στυπτηρίας, ἐχρώμην ἐπὶ τῶν νευροτρώτων ὁμοίως τῷ διὰ μεταλλικῶν ἐν τῷ περὶ τῶν νευροτρώτων λόγῳ γεγραμμένῳ φαρμάκῳ. ἰσχυρότερον γὰρ γίγνεται, ἢν ὄξει δριμυτάτῳ περικλυζομένη πάντοθεν ἀποκέηται καὶ δι' ἡμερῶν ὡς πεντεκαίδεκα μαλάττηται.

[Ἡ Μαχαιρίωνος.] Ἔνδοξός τε ἅμα καὶ πολύχρηστός ἐστιν· ἁρμόζει καὶ ταῖς διαθέσεσι τῶν ἑλκῶν ὑπὲρ ὧν

aloës ʒ xij, galbani ʒ xij, cerae drachmas octo, reſinae colophoniae drach. ſex, nonnulli terebinthinae tantundem, olei veteris heminas duas, aceti heminas duas. Epigonus vero et dracunculi radicis ſucci drach. duodecim et marrubii ſucci drachmas duodecim et ſereos ſucci ʒ viij. Omnia diligenter contuſa ac cribrata mortario injiciuntur ac paulatim acetum in ſole affunditur, donec terendo totum acetum conſumatur; ubi laeve factum fuerit, liqueſacta et refrigerata raſaque diligenter, iis quae in mortario ſunt admiſcentur ac ſubacta excipiuntur. Haec ſcripſit Crito. Ego vero ſine liquore ſereos ipſam praeparavi et nonnunquam de alumine ademi, uſusque ſum in nervorum vulneribus hoc medicamento ſimili modo, quo medicamento, quod ex metallicis confectum eſt, quod in ſermone nervorum vulneratorum ſcriptum eſt; nam valentius efficitur, aceto acerrimo undique circumfuſum, reponitur et diebus circiter quindecim emollitur.

[*Medicamentum Machaerionis.*] Celebre ſimul et multi uſus eſt. Convenit affectibus ulcerum, de quibus to-

Ed. Chart. XIII. [780. 781.] Ed. Baſ. II. (381. 382.)

ὅλον ἐστὶ τοῦτο τὸ ὑπόμνημα γραφόμενον. οὕτω δὲ αὐτὴν ὁ Κρίτων ἐγραψε κατὰ λέξιν. ἡ Μαχαιρίωνος ποιοῦσα πρὸς πάντα πρόσφατα τραύματα, κολλῶσα [781] καὶ ἀφλέγμαντα τηροῦσα καὶ μάλιστα τὰ μετὰ θλάσεως. ἐπὶ δὲ λυσσοδήκτων ἄκρως ἐπιτιθεμένη κατὰ πλέονος τόπου καὶ ἀλλασσομένη συνεχέστατα καὶ λαμβανομένη καταπότιον, ὡς κυάμου μέγεθος ἐπὶ ἡμέρας λ'. πρὸς νομὴν πᾶσαν καὶ μάλιστα φαγεδαινικὴν καὶ πρὸς τὰ ἐν ὠσὶ καὶ ἐν αἰδοίοις ἕλκη, ἐπί τε τῶν ἐψιλωμένων ὀστέων σάρκα αὔξουσα καὶ πρὸς τὰ ἐν ῥισὶν ἕλκη. ἔστι δὲ καὶ χλωρά. διίεται δὲ ῥοδίνῳ ἢ ὀμφακίνῳ. ℔ ἀριστολοχίας στρογγύλης (382) γο α'. χαλβάνης γο α'. ὀποπάνακος οὐγγίαν α'. ἰοῦ ξυστοῦ γο α'. ἴρεως Ἰλλυρικῆς γο α'. ἀμμωνιακοῦ θυμιάματος οὐγγίαν α'. σμύρνης οὐγγίαν α'. τερμινθίνης οὐγγίας ζ' S''. κηροῦ γο ζ' S''. ἐλαίου ὀμφακίνου γο ζ' S''. τὸ ἥμισυ τοῦ ἐλαίου μετὰ τοῦ ἰοῦ λειοτρίβει. τὸ δὲ λοιπὸν μετὰ τοῦ κηροῦ καὶ τῆς τερμινθίνης ἕψε.

[*Δυσραχῖτις πρὸς λέξιν ὡς Δαμοκράτης.*] *Καὶ αὕτη*

tus hic liber ſcribitur. Sic autem Crito ipſum protulit ad verbum. *Machaerionis: Ad omnia recentia vulnera, conglutinat et phlegmonem arcet, praeſertim ubi confuſio fuerit. Rabioſi canis morſum ſumme curat, ampliori loco impoſitum ac mutatum frequentiſſime. Pilulae quoque modo ſumptum fabae magnitudinis diebus triginta ad omnem affectum facit, maxime phagedaenicum, item ad aurium naturaliumque ulcera. In oſſibus denudatis carnem producit, narium ulcera ſanat. Eſt etiam viride, diluitur roſaceo vel omphacino.* Haec recipit ariſtolochiae rotundae unciam unam, galbani unciam unam, opopanacis unciam unam, aeruginis raſae unciam j, iridis Illyricae ʒ j, guttae ammoniaci unciam unam, myrrhae ʒ j, terebinthinae ʒ vij ß, cerae uncias vij ß, olei omphacini uncias ſeptem et dimidiam. Dimidium olei, cum aerugine ad laevorem teritur, reliquum cum cera et terebinthina coquitur.

[*Dysrachitis Damocratis ad verbum.*] Et hoc ex ce-

Ed. Chart. XIII. [781.] Ed. Baſ. II. (382.)

τῶν ἐνδόξων τε καὶ πολυχρήστων ἐστὶ φαρμάκων. γράφει δὲ περὶ αὐτῆς ὁ Κρίτων οὕτως. δυσραχῖτις, παραδόξως ποιοῦσα ἐπὶ τῶν κόλπων τῶν περιτετυλωμένων καὶ συρίγγων ἐπιτιθεμένη. ἐὰν δὲ στόμιον ᾖ, δυνάμενον παραδέξασθαι ὀθονίδιον κεχρισμένον τῷ φαρμάκῳ ἐντίθει καὶ τάχιον ἐνεργήσει. χρῶ δὲ τῇ δυνάμει ἐπὶ τῶν καθύγρων καὶ ῥευματικῶν καὶ χρονίων διαθέσεων, διὰ τρίτης τὰ πολλὰ ἀλλάττων αὐτήν. θαυμαστῶς δὲ ἐνεργεῖ καὶ ἐπὶ τῶν ποδαγρικῶν ἐν ἀρχῇ τοῦ παροξυσμοῦ ἐπιπλασσομένη καὶ ἐκ πλάτους περιτιθεμένη, οἳ καὶ ἀπολυέσθωσαν ἐπὶ τοὺς συνήθεις περιπάτους καὶ τὰς τοῦ βίου χρείας δίχα βαλανείου, ἕως τῆς διὰ τρίτης καὶ ἐπί τινας ἡμέρας ἐπιμενέτωσαν. οὐ γὰρ δίδωσι τῇ ὕλῃ πάροδον εἰς ἐπίτασιν τοῦ πάθους. ἁρμόζει δὲ καὶ ἐπὶ παντὸς ἕλκους πρὸς ἓξ μέρη κηρωτῇ μιγνυμένη. παλαιουμένη δ' ἡ δύναμις γίγνεται κρείσσων. ♃ στυπτηρίας στρογγύλης ≺ ἡ. λεπίδος ≺ ιβ'. χαλκοῦ κεκαυμένου ≺ δ'. ἀριστολοχίας ≺ θ'. χαλβάνης ≺ ι'. ἀμμωνιακοῦ θυμιάματος ≺ ιβ'. οἱ δὲ ≺ ι'. λιβάνου ≺ θ'. σμύρνης ≺ θ'. στύρακος ≺ ιέ. μίσυος ≺ γ'. χαλ-

lebrium lateque uſu patentium medicamentorum numero exiſtit, ſcribit de eo Crito hunc in modum. *Dysrachitis. Mirum in modum facit ad ſinus callo undique circundatos et fiſtulas impoſitum, ſi orificium ſit, quod linteolum medicamento illitum queat excipere, imponito, ac citius proficiet. Utitor ejus virtute in humectis, fluentibus et diutinis affectionibus, tertio quoque die, ut plurimum ipſum mutans. Podagricos quoque juvat mirifice in acceſſionis principio illitum ac in latum circumpoſitum, qui et ad conſuetas ambulationes et vitae uſus demittantur. Citra balneum ad triduum diesque aliquot permaneant, non enim materiae dat acceſſum, ut affectum increſcat. Convenitque omni ulceri ad ſex partes cerato admixtum, inveteraſcens melius evadit.* ♃ Aluminis rotundi drach. viij, ſquamae ℥ xij, aeris uſti drachmas quatuor, ariſtolochiae drachmas novem, galbani drachmas decem, guttae ammoniaci drachmas duodecim, alii decem, thuris drach. ix, myrrhae drach. novem, ſtyracis drach. xv, miſyos drach-

Ed. Chart. XIII. [781.] Ed. Baſ. II. (382.)

κίτεως ⊲ γ'. σκίλλης ἐγκαρδίου ⊲ η'. πίσσης ὑγρᾶς ⊲ δ'. ἴρεως Ἰλλυρικῆς ⊲ θ'. οἱ δὲ δ'. τερμινθίνης ⊲ ι'. οἱ δὲ ⊲ ζ'. πιτυΐνης ⊲ ι'. οἱ δὲ στ'. κηροῦ ⊲ οε'. ἐλαίου λίτρας α' S''. τινὲς δὲ καὶ μυελοῦ ἐλαφείου ⊲ η'. ἄλλ. κ'. τὴν δὲ λεπίδα καὶ τὸν χαλκὸν καὶ τὸ μίσυ καὶ τὴν χαλκῖτιν καὶ τὴν σκίλλαν προλειοτρίβει μετ' ὄξους δριμυτάτου ἐν ἡλίῳ ὡς λειωθῆναι. γενομένων δὲ λειοτάτων, ἀπόδος τὴν ἀριστολοχίαν καὶ τὴν ἶριν. προκόψας δὲ ταῦτα καὶ λεπτοτρήτῳ κοσκίνῳ σήσας, καὶ πάλιν περιχέας ὄξος λειοτρίβει, καὶ τοῦτο ποίει ἐφ' ὅσον τραχύτατος ἐμφαίνει, ἀφειδῶν τῆς τοῦ ὄξους ἀναλώσεως. ἐπὰν δὲ λεῖα γένηται, βάλε τὴν στυπτηρίαν. καὶ ταῦτα ποίει, ἄχρι καὶ αὕτη λειωθῇ. εἶτα τὴν σμύρναν, μεθ' ἣν τὸν λιβανωτὸν, εἶτα τὸ ἀμμωνιακὸν καὶ μετὰ ταῦτα τὸν στύρακα, εἶτα τὴν πίσσαν. πυρούσθω δὲ ταῦτα ἐν ἡλίῳ θερμῷ, ὅπως κατεργασθῇ ἡ στύραξ. γενομένων δὲ πάντων λείων καὶ σχόντων τὸ πάχος ῥυπῶδες καὶ γλοιῶδες τὸν κηρὸν καὶ τὰς ῥητίνας καὶ τὸ ἔλαιον τήξας καὶ βραχὺ ἐκ τοῦ

mas tres, chalcitidis ℥ iij, ſcillae medullae drach. octo, picis liquidae drachmas quatuor, iridis Illyricae drach. ix, ſecundum alios quatuor, terebinthinae drach. decem, alii drachmas ſeptem, pityinae drachmas decem, alii ſex, cerae drachmas ſeptuagintaquinque, olei libram unam et dimidiam, quidam etiam medullae cervi drachmas octo, aliter viginti adjiciunt. Squamam, aes, miſy, chalcitidem, ſcillam, ex aceto prius quam acerrimo in ſole terito, ut laevia fiant, maxime laevigatis ariſtolochiam et iridem adjicito. Haec prius contuſa tenuique cribro diſcreta, rurſus aceto circunfuſa terantur, atque hoc tam diu facito, quam aſpredinem ſentias, non parcens aceto ſumptitando. Poſtquam laevia fuerint, alumen addito facitoque haec donec et illud in pulverem redigatur, deinde myrrham, mox thus, ab hoc ammoniacum, poſtea ſtyracem, poſtremo picem indito. Haec in calido ſole uruntur, quo ſtyrax elaboretur. Ubi jam laevitatem et ſordium craſſitudinem nacta fuerint omnia, ceram, reſinas et oleum liquefacito et paululum decocti

Ed. Chart. XIII. [781. 782.] Ed. Baſ. II. (382.)

ζέματος καταχέας τῆς χαλβάνης καὶ συνενώσας ταύτην, ἐν θυείᾳ τρῖβε καὶ ψύξας ἐπ᾽ ὀλίγον ἐπίβαλλε τὰ τηκτὰ, τότε καθεὶς τὴν χαλβάνην καὶ διαλύσας αὐτὴν, διήθησον εἰς ὀστράκινον σκεῦος καὶ ἀναξύσας μίσγε τοῖς ἐν τῇ θυείᾳ.

[782] Κεφ. γ΄. [Ἡ διὰ ἰτεῶν.] Τὴν διὰ τῶν ἰτεῶν, ἔνδοξόν τε καὶ πολύχρηστον οὖσαν καὶ αὐτὴν, ὁμοίως ταῖς προγεγραμμέναις ὁ Κρίτων οὕτως γράφει. ἡ διὰ τῶν ἰτεῶν ἁρμόζουσα πρὸς τὰ ἕναιμα καὶ ἄρθρα λελυμένα καὶ πρὸς σύριγγας ἐντιθεμένη καὶ πρὸς πλαδαρὰς σάρκας καὶ μάλιστα τὰς ἐπὶ τοῖς ἀκρωτηρίοις. ποιεῖ καὶ πρὸς ἐρυσιπέλατα καὶ πρὸς ἄλλας πλείστας διαθέσεις, δίχα κατακαυμάτων. ℞ μίσυος, χαλκίτεως, ἰοῦ, ψιμυθίου, κηκίδων, στυπτηρίας σχιστῆς, καὶ στρογγύλης, μελαντηρίας ἀνὰ οὐγγίας στ΄. κηροῦ, ῥητίνης πιτυΐνης, πίσσης, ἀσφάλτου, ἰτέας φύλλων ἀνὰ οὐγγίας β΄. ἐλαίου κοτύλας δ΄. οὐγγίας δ΄. χαλκάνθου οὐγγίας στ΄. σιδίων γο στ΄. ὄξους ξε στ΄. τὰς ἰτέας μετ᾽ ὄξους, ἕως λειφθῶσι ξέσται β΄. ἔψε, εἶτα ἰῷ, προλελειοτριβημένῳ καὶ ψιμυθίῳ καὶ μελαντηρίᾳ ἐπίβαλλε τὰ φύλλα καὶ συλλειοτρίβει,

galbano ſuperfundito, idque congregatum in pila terito ac quae liquefiunt modicae refrigerata indito, tunc galbanum demittens diſſolvensque in vas fictile percolato, ac ubi deraseris, cum iis, quae in pila ſunt, permiſceto.

Cap. III. [*Emplaſtrum ex ſalicibus.*] Quod ex ſalicibus conſtat, praeclarum et in multos uſus idoneum ſimiliter praedictis; Crito hiſce verbis recenſuit. *Emplaſtrum ex ſalicibus. Prodeſt cruentis ulceribus impoſitum, articulis ſolutis, fiſtulis inditum, flaccidis carnibus humidisque, praeſertim quae in extremis partibus extant. Valet item ad eryſipelata aliosque plurimos affectus ſine uſturis.* ℞ Miſyos, chalcitidis, aeruginis, ceruſſae, gallae, aluminis ſciſſilis et rotundi, *cretae ſutoriae* ſeu melanteriae, ſingulorum ℥ vj, cerae, reſinae pityinae, picis, bituminis, ſalicis foliorum, ſingulorum ℥ ij, olei heminas iv ℥ iv, chalcanthi ℥ vj, malicorii ℥ vj, aceti ſextarios vj. Salices ex aceto incoquantur, donec relicti fuerint ſextarii duo, deinde aerugini, ceruſſae et cretae ſutoriae, prius tritis folia immittito,

Ed. Chart. XIII. [782.] Ed. Baſ. II. (382.)

εἶτα τὰ ξηρὰ λεῖα καὶ πάλιν χύλωσον, εἶτα τὰ τηκτὰ ἐπικατάχει. ταύτην ὁ Ἀσκληπιάδης ἄνευ τοῦ χαλκάνθου καὶ τῶν σιδίων σκευάζει καθότι γέγραπται διὰ τοῦ πρόσθεν ὑπομνήματος τοῦ δευτέρου. ἑτέραν ἐφεξῆς τῇδε διὰ ἰτεῶν ἔγραψεν ὁ Κρίτων ὧδέ πως. ἡ διὰ ἰτεῶν λιτὴ ὡς Ἡρόδοτος. ℥ μελαντηρίας, κηκίδος ὀμφακίτιδος, στυπτηρίας σχιστῆς, στρογγύλης ἀνὰ οὐγγίας στ΄. κηροῦ, ἀσφάλτου, πίσσης ξηρᾶς, ἰτέας φύλλων, πιτυΐνης ἀνὰ λίτρας β΄. ἐλαίου λίτραν α΄. ὄξους ξέστου ἥμισυ.

Κεφ. δ΄. [*Περὶ τῶν ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένων τοῦ αὐτοῦ γένους ἐμπλάστρων.*] Ἐν ταύταις ἐκ τῶν προγεγραμμένων εἰσὶν ἥ τε τοῦ Ἁλιέως ὑπὸ πάντων γινωσκομένη καὶ ἡ διὰ δικτάμνου. ἀλλ᾽ ἐπεὶ σαφῶς ὑπὲρ αὐτῶν ἔγραψεν ὁ Ἀσκληπιάδης, διὰ τοῦτο καὶ νῦν αὐτῶν ἀναμνήσω. χρήσιμον δ᾽ ἔτι καὶ ἄλλο τοῦ δὶς καὶ τρὶς γραφομένου ὑπάρχει τὸ γνῶναι κατὰ τίνα μὲν τῶν ἐμβαλλομένων αὐταῖς συνεφώνησαν ἀλλήλοις, κατὰ τίνα δὲ διεφώνησαν οἱ γράψαντες αὐτάς. ἔν τε ταῖς περὶ αὐτῶν ἐπαγγελίαις ὁμοίως.

ſimulque ad laevorem terito, deinde ſicca laevigata rurſusque exprimito, poſtea liquefacta ſuperfundito. Hoc Aſclepiades ſine chalcantho et malicorio praeparat, ſicut in ſecundo hujus operis commentario docuimus. Aliud poſt hoc ex ſalicibus Crito in iſtam ſententiam edidit. *Ex ſalicibus lite, ut Herodotus.* ℥ Melanteriae, gallae omphacitidis, aluminis ſciſſilis, rotundi, ſingulorum ℥ vj, cerae, bituminis, picis aridae, ſalicis foliorum, pityinae, ſingulorum lib. ij, olei libram unam, aceti ſextarii dimidium.

Cap. IV. [*De emplaſtris ejusdem generis ab Aſclepiade ſcriptis.*] His annumerantur ex ſupraſcriptis tum quod ad Halieum refertur ab omnibus cognitum tum quod ex dictamno conſtat, ſed quia Aſclepiades manifeſto de ipſis ſcripſit, ob id etiam nunc eorundem mentionem faciam. Porro commodum ex eo, quod bis vel ter ſcribitur, aliud inſuper accedit, puta ut cognoſcamus, in quibus ſimplicibus miſcendis ac ipſorum pollicitis, ſcriptores illorum inter ſe

Ed. Chart. XIII. [782.] Ed. Baſ. II. (382.)

ἡ τοῦ Ἁλιέως. Κιρρὰ πρὸς τὰ ἕναιμα τῶν τραυμάτων καὶ νεύρων ποιεῖ διακοπὰς καὶ πρὸς τὰ παλαιὰ καὶ δυσεπούλωτα καὶ ῥευματικὰ τῶν ἑλκῶν. ἔστι δὲ καὶ μαλακτικὴ ἀγαθὴ, μάλιστα δὲ τῶν περὶ τοὺς μαστοὺς γιγνομένων σκληριῶν. χρώμεθα δὲ αὐτῇ ἐπὶ τῶν κυνοδήκτων καὶ ἀνθρωποδήκτων. ἄκρως ποιεῖ καὶ πρὸς τρυγόνων θαλασσίων καὶ δρακόντων καὶ τῶν ἄλλων χαλεπῶν ἰχθύων πληγὰς καὶ καθόλου ἐστὶν ἡ δύναμις θαυμαστή. ℔ λιθαργύρου, κηροῦ ἀνὰ ≺ ῥ'. τερμινθίνης, μάννης λιβάνου, χαλβάνης, μίλτου σινωπίδος ἀνὰ ≺ η'. ἐλαίου ξέστην α'. σκεύαζε κατὰ τρόπον. Γαληνοῦ ἡ τοῦ Ἁλιέως. ℔ λιθαργύρου, κηροῦ ἀνὰ δραχμὰς ῥ'. τερμινθίνης, σμύρνης, σινωπίδος, ἰοῦ ξυστοῦ, λεπίδος ἀνὰ δραχμὰς η'. ἀριστολοχίας ≺ η'. λιβάνου δραχμὰς κέ. διφρυγοῦς δραχμὰς στ'. χαλβάνης ≺ ιβ'. ἀμμωνιακοῦ θυμιάματος δραχμὰς ιβ'. ἐλαίου κοτύλας β'. σκεύαζε κατὰ τρόπον. ἡ τῶν κυνηγῶν. φάρμακον ἐπιτετευγμένον. ποιεῖ καὶ πρὸς τὰς τῶν τετραπόδων πληγὰς καὶ δήγματα καὶ τὰ λοιπὰ τῶν ἰοβόλων.

conveniant, in quibus item diſcordent. *Haliei gilvum. Ad cruenta vulnera et nervos praeciſos valet. Item ulceribus vetuſtis cicatricem aegre ducentibus et rheumaticis conducit. Quin et emollit optime, praeſertim in mammis ortas duritias. Medetur canum hominumque morſibus, inſigniter valet et ad paſtinacae et draconis aliorumque ſaevorum piſcium ictus. In ſumma virtutem habet mirificam.* ℔ Argenti ſpumae, cerae, cujusque drach. centum, terebinthinae, mannae thuris, galbani, minii ſinopici, cujusque ℥ viij, olei ſextarium unum, praeparato ſicut praediximus. *Haliei gilvum ex Galeno.* ℔ Argenti ſpumae, cerae, cujusque drach. centum, terebinthinae, myrrhae, ſinopidis, aeruginis raſae, ſquamae, ſingulorum drachmas octo, ariſtolochiae drachmas octo, thuris drachmas viginti quinque, diphrygis drachmas ſex, galbani drach. duodecim, guttae ammoniaci drach. xij, olei heminas duas, conficito quemadmodum ſuperiora. *Emplaſtrum venatorum, pharmacum confectum, facit ad quadrupedum ictus morſusque et ad reliqua*

Ed. Chart. XIII. [782. 738.] Ed. Baſ. II. (382. 338.)

ϰ λιθαργύρου μνᾶν α'. [783] ἐλαίου παλαιοῦ, λεπίδος ἐρυθροῦ χαλκοῦ, κηροῦ, ῥητίνης φρυκτῆς ἀνὰ λίτραν α'. ἀμμωνιακοῦ θυμιάματος οὐγγίας δ'. χαλβάνης, μίλτου Σινωπίδος ἀνὰ οὐγγίας β'. ἕψε λιθάργυρον, λεπίδα, ἔλαιον μέχρι συστάσεως, εἶτα ἐπίβαλλε κηρὸν καὶ ῥητίνην. καὶ ὅταν τακῇ, ἄρας ἀπὸ τοῦ πυρὸς ἐπέμβαλλε ἀμμωνιακὸν, πλατύνας. καὶ ὅταν ψυγῇ, ἐπίβαλλε τὴν χαλβάνην καὶ ἀμμωνιακὸν, ἐπιπάσσων τὴν Σινωπίδα καὶ εἰς θυείαν ἐξεράσας καὶ μαλακὰ μαλάξας χρῶ. ἡ τοῦ Χαλκιδέως. κολλητικὴ ἀφλέγμαντος. ποιεῖ δὲ καὶ πρὸς τὰς μετὰ περιθλάσεως διαιρέσεις καὶ κόλπους παρακολλᾷ καὶ ἀναξηραίνει καὶ κωλύει ἀποστάσεις, ἀνάγει ὀστᾶ διεφθορότα, μάλιστα δὲ ποιεῖ καὶ ἐπὶ τῶν ἀκρωτηρίων καὶ καθόλου ἡ δύναμίς ἐστι θαυμαστή. λιθαργύρου, λεπίδος χαλκοῦ, ῥητίνης πιτυΐνης, κηροῦ ἀνὰ ≺ ρ'. ἀμμωνιακοῦ θυμιάματος, χαλβάνης ἀνὰ ≺ ισ'. (383) διφρυγοῦς ≺ ιβ'. ἀριστολοχίας λειοτάτης ≺ μ'. ἐλαίου παλαιοῦ ξέστας τρεῖς. ἕψε λιθάργυρον, λεπίδα μετὰ τοῦ ἐλαίου καὶ ὅταν μεταβάλλῃ τὸ χρῶμα, ἐπίβαλλε διφρυγὲς, εἶτα κηρὸν καὶ ῥητίνην πιτυΐ-

venenata. ϰ Argenti ſpumae minam unam, olei veteris, ſquamae aeris rubri, cerae, reſinae fricatae, ſingulorum ℔ j, guttae ammoniaci ʒ iv, galbani, minii Sinopici, ſingulorum ʒ, duas. Argenti ſpumam, ſquamam et oleum ad ſpiſſitudinem usque incoquito, deinde ceram ac reſinam injicito, quum liquata fuerint, ab igne tollito et ammoniacum dilatatum immittito, ubi reſrixerint, galbanum et ammoniacum indito, ſinopicum inſpergens ac in mortarium defuſis mollitisque utitor. *Emplaſtrum Chalcidei, conglutinat, inflammationem arcet, diviſiones cum contuſione juvat, ſinus conjungit, reſiccat et abſceſſus prohibet, oſſa corrupta educit, maxime autem et in partibus extremis valet, in univerſum mirabilis ei facultas eſt.* ϰ Argenti ſpumae, ſquamae aeris, reſinae pityinae, cerae ſingulorum ʒ centum, guttae ammoniaci, galbani, cujusque ʒ xvi, diphrygis drach. xii, ariſtolochiae laeviſſimae drachmas quadraginta, olei veteris ſextarios tres. Argenti ſpuma ſquamaque ex oleo coquuntur, ac ubi colorem mutaverint, diphryges immitti

Ed. Chart. XIII. [783.] Ed. Baſ. II. (383.)

νην ἢ πευκίνην. ὅταν δὲ ταχῇ καὶ ἀμόλυντος γένηται, ἄρας ἀπὸ τοῦ πυρὸς ἐπέμβαλλε ἀμμωνιακὸν πλύνας. καὶ ὅταν ταχῇ, ἀριστολοχίαν κατάπασσε ψυχροῦ γενομένου τοῦ φαρμάκου καὶ κίνει συνεχῶς, ἔπειτα εἰς θυείαν ἐξεράσας καὶ μαλάξας ἀνελόμενος χρῶ.

[Ἡ διὰ δικτάμνου ἱερὰ, δύναμις θαυμαστική.] Πρὸς νεύρων καὶ μυῶν διακοπὰς καὶ περιθλάσεις. ποιεῖ καὶ πρὸς τὰ παλαιὰ καὶ δυσαλθῆ, ἀνάγει ὀστᾶ διεφθορότα καὶ σκόλοπας καὶ ἀκίδας, ἔστι δὲ καὶ διαφορητική. ποιεῖ καὶ πρὸς ἀλγήματα κεφαλῆς καὶ ὀφθαλμῶν ῥεύματα, ἔστι καὶ μάλαγμα ἀγαθὸν πλευριτικοῖς, ἡπατικοῖς. ποιεῖ καὶ πρὸς παντὸς ἰοβόλου πληγήν. ♃ λιθαργύρου ≺ ρ'. κολοφωνίας ≺ ν'. κηροῦ ≺ κε'. ἀμμωνιακοῦ θυμιάματος, ἀριστολοχίας ἀνὰ ≺ ιστ'. μάννης, χαλβάνης ἀνὰ ≺ ιβ'. ἰοῦ, δικτάμνου, χαλκοῦ κεκαυμένου, ἀλόης, προπόλεως ἀνὰ ≺ η'. διφρυγοῦς, λεπίδος χαλκοῦ, γεντιανῆς ῥίζης ἀνὰ ≺ στ'. ἐλαίου παλαιοῦ, χειμῶνος κοτύλας β'. θέρους α' S''. σκεύαζε κατὰ τρόπον. διεφώνη-

tur, deinde cera, reſina pityina vel pinea, liquatum, ut non inquinet, ab igne tollitur ac ammoniacum elotum injicitur, poſtquam liqueſeceris, ariſtolochia medicamento jam refrigerato inſpergatur et continue moveatur, deinde in mortarium immittito ac ſubigito, excipiensque utitor.

[*Ex dictamno ſacrum, facultate mirandum.*] *Beneficit nervis muſculisque praeciſis et contuſis, vetuſtis et ſanatu difficilibus. Oſſa corrupta elicit. Aculeos et telorum cuſpides, quae infixae ſunt corpori, eximit nec minus diſcutit. Iuvat capitis dolores et oculorum fluxiones. Eſt etiam malagma pleuriticis et hepaticis idoneum. Efficax eſt et ad cujuslibet virulenti ictus.* ♃ Argenti ſpumae ʒ, centum, colophoniae drach. quinquaginta, cerae drach. viginti quinque, guttae ammoniaci, ariſtolochiae, ſingulorum ʒ xvj, mannae, galbani, uniuscujusque drach. duodecim, aeruginis, dictamni, aeris uſti, aloes, propolis, ſingulorum drach. viij, diphrygis, aeris ſquamae, gentianae radicis ſing. ʒ vj, olei veteris hieme heminas duas, per aeſtatem unam ac ſemiſſem. Praeparatur quo dixi modo. Hujus ſcriptura

Ed. Chart. XIII. [783. 784.] Ed. Baſ. II. (383.)

σεν ἡ τούτου γραφὴ πρὸς τὴν τοῦ Ἥρα κατὰ τὸν σταθμὸν ἐν τοῖσδε. δικτάμνου ≺ η'. κελεύοντος τούτου βάλλειν ὁ Ἥρας ἐκέλευσε δέκα. καὶ μέντοι καὶ ἀριστολοχίας καὶ ἀμμωνιακοῦ θυμιάματος οὗτος μὲν ἑκατέρου ≺ ιστ'. ὁ δὲ Ἥρας στ'. καὶ εἴκοσιν μὲν ἀμμωνιακοῦ θυμιάματος, ἀριστολοχίας δὲ ι'. τὸ δὲ ἔλαιον ἀδιορίστως μὲν ὁ Ἥρας ἔγραψε μόνον β'. κοτύλας κελεύσας, ὁ δὲ Ἀσκληπιάδης ἐν χειμῶνι μὲν τοσοῦτον, ἐν δὲ θέρει μίαν ἥμισυ. Διοφάντου χειρουργοῦ ἧ ἐχρήσατο Φύλακος. ℔ λιθαργύρου ≺ ρν'. ψιμυθίου, πίσσης, λεπίδος χαλκοῦ, κηροῦ ἀνὰ ≺ ιή'. ἰοῦ, ῥητίνης πιτυΐνης ξηρᾶς, μάννης λιβάνου, προπόλεως ἀνὰ ≺ ιβ'. χαλβάνης, ἀριστολοχίας, κυπέρου ἀνὰ ≺ στ'. δικτάμνου, τριφύλλου, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ ≺ γ'. Ἰλλυρικῆς, ἀρτεμισίας, πολίου, πρασίου ἀνὰ ≺ β'. ἐλαίου παλαιοῦ κοτύλας β'. σκεύαζε κατὰ τρόπον.

[784] Κεφ. ε'. [*Περὶ τῶν ὑπ' Ἀνδρομάχου γεγραμμένων ἐκ τοῦ αὐτοῦ γένους ἐμπλάστρων.*] Πολυχρήστους ἐμπλάστρους ἅμα καὶ πρὸς τὰ δυσεπούλωτα ποιούσας προὺ-

ab Hera in horum pondere variat. Nam Aſclepiades dictamni drach. viij. Heras decem, injicere praecipit, et vero etiam ariſtolochiae et guttae ammoniaci hic cujusque drach. ſexdecim, Heras ſex quidem et viginti guttae ammoniaci, ariſtolochiae vero decem. Caeterum Heras oleum indiſtincte ſcripſit, ſolum heminas duas ejus jubens infundere, Aſclepiades autem hieme tantum, aeſtate vero unam et ſemiſſem. *Diophanti chirurgi, quo uſus eſt Phylacus.* ℔ Argenti ſpumae drach. centum quinquaginta, ceruſſae, picis, ſquamae aeris, cerae, ſingulorum ʒ xviij, aeruginis, reſinae pityinae ſiccae, mannae, thuris, propolis, ſingulorum ʒ xij, galbani, ariſtolochiae, cyperi, ſingulorum drach. ſex, dictamni, trifolii, guttae ammoniaci, ſingulorum drach. iij. Illyricae, artemiſiae, polii, marrubii, ſingulorum drach. ij, olei veteris heminas duas. Ad dictum modum praeparatur.

Cap. V. [*De ſcriptis ab Andromacho ejusdem generis emplaſtris.*] Emplaſtra varii uſus, ſimul et cicatricem aegre ducentibus idonea, hoc in libro percenſere ſtatui,

Ed. Chart. XIII. [784.] Ed. Baſ. II. (583.)

θέμην ἐν τῷδε τῷ γράμματι διελθεῖν. ἐξ αὐτῶν οὖν εἰσι καὶ αἱ δέκα κάλλισται τῶν ὑπ᾽ Ἀνδρομάχου γεγραμμένων. χλωρὰ Εὐαγγέως. ℞ ῥητίνης τερμινθίνης, οἱ δὲ ξηρᾶς ≺ ν′. οἱ δὲ ≺ ρ′. κηροῦ ≺ κε′. λιβάνου ≺ γ′. λεπίδος ≺ γ′. χαλβάνης ≺ γ′. ἀλόης ≺ γ′. σμύρνης ≺ γ′. ἁλὸς ἀμμωνιακοῦ ≺ β′. ὀποπάνακος ≺ β′. ἰοῦ ξυστοῦ ≺ β′. χαλκοῦ κεκαυμένου ≺ β′. ἀριστολοχίας ≺ β′. ἀμμωνιακοῦ θυμιάματος ≺ β′. σχιστῆς, οἱ δὲ στρογγύλης ≺ β′. ἰχθυοκόλλης ≺ γ′. ὄξους κοτύλας δ′. ἐλαίου κοτύλης τέταρτον, οἱ δὲ ὄγδοον. χρᾶ χωρὶς ἐνθέσεως σκώληκος. ῥυπώδης ᾗ χρῶμαι. ℞ ἰχθυοκόλλης οὐγγίας γ′. σαρκοκόλλης οὐγγίας γ′. λίθου Ἀσίου γο γ′. ἐρετριάδος λίτρας S″. γῆς Σαμίας γο δ′. σμύρνης γο δ′. λιβανωτοῦ γο στ′· λεπίδος χαλκοῦ γο η′. ἁλὸς ἀμμωνιακοῦ οὐγγίας γ′. ἰοῦ ξυστοῦ οὐγγίας στ′. στυπτηρίας σχιστῆς οὐγγίας β′. ἁλόης Ἰνδικῆς οὐγγίας δ′. χαλβάνης οὐγγίας δ′. κηροῦ λίτρας β′. τερμινθίνης λίτρας β′. ἐλαίου λίτρας δ′. ὄξος εἰς τὸ βρέξαι τὴν ἰχθυοκόλλαν. τὰ ξηρὰ λεῖα

ex quorum grege ſunt et decem illa longe optima inter ea, quae ſcripſit Andromachus. *Viride Euangei.* ℞ Reſinae terebinthinae, ſecundum alios ſiccae, drachmas l, alii vero c, cerae drachmas xxv, thuris drachmas iij, ſquamae drachmas iij, galbani drachmas iij, aloës drachmas iij, myrrhae drachmas iij, ſalis ammoniaci drachmas ij, opopanacis drachmas ij, aeruginis raſae drachmas ij, aeris uſti drachmas ij, ariſtolochiae drach. ij, guttae ammoniaci drach. ij, ſciſſilis, ſecundum alios rotundi drachmas ij, ichthyocollae drachmas iij, aceti heminas iv, olei quartam heminae partem, ſecundum alios octavam. Utitor, vermiculari aerugine non impoſita. *Strigmentoſum emplaſtrum, quo utor.* ℞ Ichthyocollae ℥ iij, ſarcocollae ℥ iij, lapidis Aſii ℥ iij. Eretriae ſelibram, terrae Samiae ℥ iv, myrrhae ℥ iv, thuris ℥ vj, ſquamae aeris ℥ viij, ſalis ammoniaci ℥ iij, aeruginis raſae ℥ vj, aluminis ſciſſilis ℥ ij, aloës Indicae ℥ iv, galbani ℥ iv, cerae ℔ ij, terebinthinae libras ij, olei lib. iv, aceti, quod ichthyocollae irrigandae ſufficit. Sicca laevigata li-

Ed. Chart. XIII. [784.] Ed. Baſ. II. (383.)

ἔμπασσε τοῖς τηκτοῖς. ἄλλη χλωρά. ♃ ῥητίνης πιτυΐνης ≺ σ'. ἀμμωνιακοῦ θυμιάματος ≺ ν'. ὀποπάνακος ≺ η'. κηροῦ ≺ ρ'. προπόλεως ≺ η'. χαλβάνης ≺ η'. λεπίδος χαλκοῦ ≺ ιβ'. ἰοῦ ≺ ιβ'. στυπτηρίας στρογγύλης ≺ η'. μίσυος ≺ ζ'. ἁλὸς ἀμμωνιακοῦ ≺ η'. χαλκίτεως ≺ ε'. θείου ἀπύρου ≺ η'. λιβανωτοῦ ≺ ιβ'. χολῆς ταυρείας ξηρᾶς ≺ στ'. ἢ ὑγρᾶς ιβ'. κυπρίνου κοτύλας στ'. οἱ δὲ δ'. ὄξους τὸ ἱκανόν. χλωρὰ Ἐπικούρου πολλὴν ἐπαγγελίαν ἔχουσα. ♃ κηροῦ ≺ σ'. κολοφωνίας ≺ τ'. λεπίδος ≺ ιστ'. χαλκοῦ κεκαυμένου ≺ ιστ'. ἰοῦ ≺ ιστ'. ἀριστολοχίας λεπτῆς ≺ ιστ'. ἁλόης ≺ κδ'. στυπτηρίας στρογγύλης ≺ ιβ'. σμύρνης ≺ κδ'. χαλβάνης ≺ κδ'. ἁλὸς ἀμμωνιακοῦ ≺ ιστ'. ὄξους κοτύλας δ'. ἐλαίου κοτύλας β'. ὁτὲ δὲ ἔλαττον. χλωρὰ, πολλὴν ἐπαγγελίαν ἔχουσα, Ἀλκιμίωνος ἢ Νικομάχου. πρὸς σύριγγας καὶ τὰ μελαινόμενα ἢ νομάς· κολλᾷ ὀστέα καὶ ἀνάγει καὶ διαχεῖ χοιράδας. ♃ χαλβάνης ≺ ιστ'. χαλκοῦ κεκαυμένου ≺ η' λεπίδος ≺ κδ'. κηροῦ ≺ ν'. στέατος αἰγείου ἢ μοσχείου ≺ λ'. λιβάνου ≺ κε'.

quidis inſparguntur. *Aliud viride.* ♃ Reſinae pityinae drachmas cc, guttae ammoniaci drachmas l, opopanacis drachmas viij, cerae drachmas c, propolis drachmas viij, galbani drachmas viij, ſquamae aeris drachmas xij, aeruginis drachmas xij, aluminis rotundi drachmas viij, miſyos drachmas vij, ſalis ammoniaci drachmas viij, chalcitidis ℥ v, ſulfuris ignem non experti drachmas viij, thuris drachmas xij, fellis taurini ſicci drachmas vj vel humidi drachmas xij, cyprini heminas vj, alii iv, aceti quod ſatis eſt. *Viride Epicuri multa promittens.* ♃ Cerae drachmas cc, colophoniae drachmas ccc, ſquamae ℥ xvj, aeris uſti ℥ xvj, aeruginis ℥ xvj, ariſtolochiae tenuis ℥ xvj, aloës ℥ xxiiij, aluminis rotundi drachmas xij, myrrhae drachmas xxiiij, galbani drachmas xxiiij, ſalis ammoniaci drachmas xvj, aceti heminas iv, olei heminas ij, interdum pauciores. *Viride multa promittens Alcimionis vel Nicomachi, ad fiſtulas, nigritias vel nomas. Glutinat oſſa et reducit, ſtrumas diſcutit.* ♃ Galbani ℥ xvj, aeris uſti ℥ viii, ſquamae ℥ xxiv, cerae ℥ l, ſevi caprini vel vitulini ℥ xxx, thuris

Ed. Chart. XIII. [784. 785.] Ed. Baſ. II. (383.)

ῥητίνης ξηρᾶς ≺ κέ. ἀμμωνιακοῦ θυμιάματος ≺ κέ. τερμινθίνης ≺ κέ. νίτρου ≺ κέ. ἀριστολοχίας ≺ κέ. βρυωνίας ≺ ιβ. ὄρχεως βοτάνης ≺ ιβ. ἴρεως ξηρᾶς ≺ δ. ἀλόης Ἰνδικῆς ≺ ιβ. σχιστῆς ≺ ή. ταυρείας χολῆς ≺ ή. ὄξους κοτύλην μίαν, ἐλαίου κοτύλην α. ὅταν δὲ μολύνῃ, ῥοδίνῳ. χλωρὰ πρὸς ἕρπητας, ὡς Ἀνδρόμαχος, καὶ χειρώνεια καὶ δυσεπούλωτα. ℞ κριθῶν κεκαυμένων ≺ ι. ἰοῦ ≺ ή. κηροῦ ≺ π. κυπρίνου κοτύλην α. τοῦτο τὸ φάρμακον ἰὸν ἔχει πολὺν, ὡς πρὸς τὴν τοῦ κηροῦ καὶ τοῦ κυπρίνου συμμετρίαν. αἱ γάρ τοι κεκαυμέναι κριθαὶ καθ' ἑαυτὰς ἐπιπασσόμεναι τὰ χειρώνεια τῶν ἑλκῶν ὠφελοῦσιν, οὔτ' ἐπιτείνουσαι τὴν τοῦ κηροῦ καὶ κυπρίνου δύναμιν οὔτ' ἐκλύουσαι τὴν τοῦ ἰοῦ. ἀρθεισῶν δ' αὐτῶν ὅμοιον γίνεται τὸ φάρμακον πολλοῖς τῶν γεγραμμένων [785] ἐν τῇ πρὸ ταύτης βίβλῳ κατὰ τὴν τῶν τοιούτων ἑλκῶν ἴασιν. οὐ μὴν λήψεταί γε κυπρίνου δαψιλὲς, καὶ μάλιστ' ἐὰν ὁ κηρὸς ᾖ λιπαρὸς, ἀλλ' ὅσον ἀναγκαῖον εἰς τὸ μαλάττεσθαι τὸν τῷ ἰῷ μεμιγμένον κηρόν. αἱ προγεγραμμέναι ἔμπλαστροι πᾶσαι διὰ τοῦτο πολύχρηστοι

ʒ xxv, reſinae ficcae ʒ xxv, guttae ammoniaci ʒ xxv, terebinthinae ʒ xxv, nitri ʒ xxv, ariſtolochiae ʒ xxv, bryoniae ʒ xij, orcheos herbae ʒ xij, iridis aridae ʒ iiij, aloës Indicae ʒ xij, ſciſſilis ʒ viij, fellis taurini ʒ viij, aceti heminam j, olei heminam j. Quum inficit, roſaceo. *Viride ad herpetas, item ad chironia et difficulter ad cicatricem venientia ulcera, ut Andromachus.* ℞ Hordei uſti ʒ x, aeruginis ʒ viij, cerae ʒ lxxx, cyprini heminam j. Hoc medicamentum aeruginem multam continet, pro cerae et cyprini ſymmetria, nam hordeum uſtum ſi per ſe inſpergitur, chironia ulcera juvat, neque intendit cerae et cyprini vires neque aeruginis reſolvit. Ablato ipſo, ſimile medicamentum redditur multis, quae ſuperiore libro ad hujusmodi ulcerum curationem ſcripta ſunt. Non tamen multum cyprini aſſumetur, praeſertim ſi cera pinguis exiſtat, ſed quantum ad ceram aerugini admixtam emolliendam capere neceſſarium eſt. Superiora omnia emplaſtra hoc nomine vano uſui ſer-

Ed. Chart. XIII. [785.] Ed. Baſ. II. (383. 384.)

γεγόνασιν, ὅτι φαρμάκων προσειλήφασι μαλακτικῶν, ἑλκτικῶν, διαφορητικῶν πεπτικῶν ἔτι τε τῶν ξηραινόντων ἀδήκτως· αἱ πλεῖσται δὲ αὐτῶν καὶ τῶν ἰσχυρῶς στυφόντων, ὧν δύναμίς ἐστιν ἀποκρουστικὴ τῶν ἐπιῤῥεόντων ὑγρῶν τῷ πεπονθότι μορίῳ. τὰς δ' ὕλας τῶν εἰρημένων φαρμάκων δυνάμεως ὀνομαστὶ γεγραμμένας ἔχετε κατὰ τὴν περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείαν ἐν ἕκτῳ καὶ ἑβδόμῳ καὶ ὀγδόῳ καὶ θ'. καὶ ι'. καὶ ια'. πολλῶν δὲ ὀνομαστὶ κατὰ τὴν ἐνεστῶσαν πραγματείαν ἐμνημόνευσα καὶ πάλιν μνημονεύσω. καὶ μέντοι καὶ τοῦτο τὸ φάρμακον ἐνταῦθα προσέγραψα, τούτων αὐτῶν ὧν νῦν εἶπον ἀναμνῆσαι βουλόμενος, ἐπεί τοι καὶ αὐτὸ τοῖς προγεγραμμένοις κατὰ τὸ πρὸ τούτου βιβλίον ὁμογενὲς ὑπάρχει καὶ ἦν οἰκειότερον αὐτὸ σὺν ἐκείνοις γεγράφθαι.

(384) [Ἡ Ἱκεσία μέλαινα Ἀνδρομάχου.] Τὴν ἔμπλαστρον ταύτην ὁ Ἀνδρόμαχος οὐ κατὰ τὸ χωρίον, καθ' ὃ τὰς χλωρὰς ἔγραψεν, ἀλλ' ἀνωτέρω τῆς ἀρχῆς ἐγγὺς ἔγραψε καὶ κατὰ συμμετρίαν πολὺ διαλλάττουσαν, ὡς ἔμπροσθεν ἐδήλωσα, τόν τε Κρίτωνα καὶ τὸν Ἥραν γεγραφέναι. ἔχει

viunt, quod medicamenta emollientia, trahentia, diſcutientia, concoquentia, inſuper citra mordicationem ſiccantia aſſumpſerint, plurima ipſorum etiam valide aſtringentia, quorum virtus eſt humores affectae parti influentes repellere. Porro dictorum medicamentorum poteſtatis materias nominatim in operis de ſimplicibus medicamentis ſexto, ſeptimo, octavo, nono, decimo et undecimo libro expreſſas habetis. Multorum autem hoc commentario nominatim memini ac iterum meminero. Quin etiam hoc medicamentum in praeſentia appoſui, eorum, quae nuper dixi, mentionem facere deſiderans, quia id quoque ſuperiore libro commemoratis genere ſimile eſt ac proprium magis videbatur illis ipſum appendere.

[*Hiceſium nigrum Andromachi.*] Hoc emplaſtrum Andromachus non ubi viridia tractat, ſed ſuperius prope initium, in ſymmetria multum evarians, ut prius Critonem et Heram prodidiſſe indicavi, ſcribitur hoc pacto. ℞ Bitu-

Ed. Chart. XIII. [785.] Ed. Baſ. II. (384.)

δ' οὕτως ἡ γραφή· ℥ ἀσφάλτου ⊲ τ'. γῆς ἀμπελίτιδος ⊲ σ'. λιθαργύρου ⊲ ξ'. χαλβάνης ⊲ λστ'. τερμινθίνης ⊲ λστ'. σχιστῆς ⊲ λστ'. προπόλεως ⊲ οβ'. μάννης ⊲ ν'. σμύρνης ⊲ ιβ'. ἴρεως ⊲ ιβ'. χαλκίτεως ⊲ στ'. κηκίδος ⊲ ι'. ἐλαίου χοῦν ἕνα ἥμισυν, μέλιτος κοτύλης ἥμισυ. καλῶς μὲν ἐποίησε τὴν περὶ τῆς μνᾶς ἀμφιβολίαν ἐξελὼν καὶ πάντα γράψας διὰ δραχμῶν, ὡς ἐπὶ μόνου τοῦ χοέως ἡμᾶς ζητεῖν. ἐν τούτῳ γὰρ ἄμεινον οἱ τὰς στ'· κοτύλας γράψαντες. ἤρξαντο δὲ τῆς γραφῆς ἀπὸ τριπλασίας τῆς ἀσφάλτου, ὡς πρὸς τὴν τοῦ Ἥρα γεγραμμένην· ὁ μὲν γὰρ Ἥρας ρ'. ἔγραψε δραχμὰς, οὗτος δὲ τ'. καί τι κατά τινα τῶν ἀντιγράφων οὐκ ἀξιόπιστα σ'. εὗρον, ἡ μέντοι γῆ ἡ ἀμπελῖτις διπλασία τῆς παρὰ τῷ Ἥρᾳ γέγραπται σαφῶς. ἡ λιθάργυρος δὲ ἦν καὶ αὐτὴν ἔδει τῇ ἀμπελίτιδι κατὰ τὸν σταθμὸν ἴσην εἶναι, ἐλάττων πολὺ βέβληται πρὸς αὐτοῦ. δραχμὰς γὰρ ἑξήκοντα μίγνυσιν αὐτῆς, τῆς μέντοι χαλβάνης ἓξ καὶ λ'. δραχμὰς ἐμβαλὼν οὐ τηρεῖ τὴν ἀναλογίαν πρός γε τὸν Ἥραν καὶ τὸν Κρίτωνα, καθάπερ γε καὶ τῆς σχιστῆς· βραχὺ γάρ τι κατὰ

minis ℥ ccc, terrae ampelitidis ℥ cc, argenti ſpumae ℥ lx, galbani ℥ xxxvj, terebinthinae ℥ xxxvj, ſciſſilis ℥ xxxvj, propolis ℥ lxxij, mannae ℥ l, myrrhae ℥ xij, iridis ℥ xij, chalcitidis ℥ vj, gallae ℥ x, olei congium unum et dimidium, mellis heminae dimidium. Recte fecit, qui de mina ambiguitate relicta omnia per drachmas conſcripſerit, ut de ſolo congio quaeſtionem inſtituamus. In hoc enim melius egerunt qui ſex heminas poſuere, a triplicato autem bitumine proportione illius, quod Heras immiſcuit, ſcripturam exorſi ſunt. Etenim Heras centum denarios, hic trecentos poſuit, etſi in quibusdam exemplaribus non fide dignis ducentos invenerim. Terra ſane ampelitis duplo eam, quam Heras ſcripſit, plane exuperat. Argenti autem ſpuma, quam et ipſam ampelitidi pondere aequalem eſſe conveniebat, multo minus ab eo injecta eſt, nam drachmas ſexaginta hujus miſcet. Galbani vero triginta ſex drachmas immittens proportionem cum Hera et Critone non ſervat, quemadmodum in alumine ſciſſili, paululum enim hic ab exacta

Ed. Chart. XIII. [785. 786.] Ed. Baſ. II. (384.)

τοῦτο διαφωνεῖ τῆς ἀκριβοῦς ἀναλογίας τῆς τριάκοντ' ἑπτὰ ἥμισυ ἐξηκούσης. ἐν μὲν τῇ τερμινθίνῃ τῷ μὲν Ἥρᾳ βραχὺ διαφέρεται, τοσοῦτον δηλονότι, ὅσον κατὰ τὴν χαλβάνην τε καὶ τὴν σχιστήν· τῷ δὲ Κρίτωνι πάμπολυ, μνᾶν καὶ ἡμίσειαν κελεύοντι βάλλειν, ὅπερ ὡς πρὸς τὴν τῶν ἄλλων αὐτοῦ μιγμάτων ἀναλογίαν εἰς πεντήκοντα δραχμὰς ἐξήκει. ἐπὶ μέντοι τῆς προπόλεως βραχύ τι διεφώνησεν ὡς πρὸς τὸ διπλάσιον τῆς ἀναλογίας. καὶ κατὰ τὴν μάνναν δὲ διαφέρεται τῷ τε Ἥρᾳ καὶ τῷ Κρίτωνι. ἐχρῆν γὰρ αὐτὸν ρ'. δραχμὰς ὡς πρὸς τὴν ἐκείνων ἀναλογίαν ἐμβεβληκέναι, κατὰ δὲ τὴν χαλκῖτιν καὶ πάνυ πολὺ τῆς ἀναλογίας ὑφεῖλεν. ἐν δὲ τοῖς ἄλλοις ἡ διαφωνία βραχεῖα, πλὴν ὅσον ἐν τῷ μέλιτι. ἐχρῆν γὰρ αὐτὸν ἐμβεβληκέναι κοτύλας γ'. ὡς πρὸς τὴν ἐκείνων ἀναλογίαν. ὁ δὲ κοτύλας ἥμισυ ἐμβέβληκεν, [786] οὕτω δὲ καὶ κατὰ τὸ ἔλαιον ὡς πρὸς τὸν Κρίτωνα τρεῖς ἐχρῆν αὐτὸν ἐμβεβληκέναι χοέας· ὡς δὲ πρὸς τὸν Ἥραν ὀκτωκαίδεκα κοτύλας. ὁ δέ γε χοέα καὶ ἥμισυν συνέγραψεν.

Κεφ. στ'. [*Ὡς ὁ Ταραντῖνος Ἡρακλείδης ἔγραψε τὴν*

proportione declinat, quae ad triginta ſeptem et ſ, pervenit. In terebinthina ſane parum ab Hera diſſidet, tantum ſcilicet, quantum in galbano et ſciſſili, a Critone vero plurimum, qui minam ſ, injicere jubeat, quod aliarum ipſius mixturam proportione ad quinquaginta drachmas excedit. Jam vero in propoli nonnihil diſcordat, quantum ad duplicatam proportionem ſpectat. Item in manna a Critone et Hera recedit, quippe centum drachmas, ceu ad illorum proportionem, injectas eſſe oportebat. In chalcitide etiam multum admodum a proportione ſubtraxit. In aliis parva controverſia eſt, niſi in melle, cujus heminas tres tanquam ad illorum proportionem immiſiſſe ipſum conveniebat, at his heminae dimidium adjicit. Ita quoque in oleo tres congios miſcuiſſe debebat, ſi non a Critone diſcrepare voluiſſet; ſi vero cum Hera convenire, octodecim heminas, verum ipſe congium et dimidium conſcripſit.

Cap. VI. [*Ut Tarentinus Heraclides Hiceſii nigrum*

Ed. Chart. XIII. [786.] Ed. Baſ. II. (384.)

Ἰκεσίου μέλαιναν.] *Πρὸς πᾶν τραῦμα καὶ μάλιστα τὰ ἐν τοῖς ἄκροις ποιοῦσα ἄπονα καὶ κολλῶσα καὶ πρὸς κυνόδηκτα καὶ δοθιῆνας καὶ τὰς σκληρίας διαχέουσα καὶ μάλιστα τὰς περὶ τοὺς μαστοὺς καὶ τὰ ἐν δακτυλίῳ κονδυλώματα.* ℔ λιθαργύρου ≺ ρ΄. *ἀσφάλτου ἴσον, γῆς ἀμπελίτιδος ἴσον, μάννης* ≺ κε΄. *προπόλεως ἴσον, χαλβάνης* ≺ ιβ΄ S″. *στυπτηρίας σχιστῆς, ῥητίνης τερμινθίνης ἴσον, ἴριδος* ≺ στ΄. *χαλκίτεως* ≺ ζ S″. *κηκίδος* ≺ η΄. *σμύρνης ἴσον, μέλιτος κοτύλην α΄. ἐλαίου ὠμοτριβοῦς κοτύλας στ΄. ἔψε τὴν λιθάργυρον καὶ τὴν ἄσφαλτον καὶ τὴν γῆν μετὰ τοῦ ἐλαίου κινῶν σπάθῃ δριδίνῃ. ὅταν δὲ συστῇ, ἀπόδος τὴν πρόπολιν καὶ τὴν ῥητίνην καὶ τὴν χαλβάνην. ἔστω δὲ ταῦτα ἐν τῷ μέλιτι προεψημένα καὶ μιγέντων τούτων εὐθέως ἄρας ἀπὸ τοῦ πυρὸς τὴν χύτραν ἔμπασον τὰ ξηρά. ταῦτα γράψαντος τοῦ Ἡρακλείδου ἐν τοῖς πρὸς Ἀντιοχίδα, θαυμάζω πῶς ἔνιοι τῶν μετ' αὐτὸν οὐκ ἐφύλαξαν αὐτοῦ τὴν γραφήν. ὁ μὲν οὖν Ἥρας ἠκολουθηκέναι πάντῃ φαίνεται τῷ Ἡρακλείδῃ, πλὴν ἐν τῇ σμύρνῃ καὶ κηκίδι. τοῦ γὰρ Ἡρακλείδου βάλλοντος ἑκατέ-*

emplaſtrum tradiderit.] *Ad omne vulnus, maxime quae in extremis partibus ſunt, dolore vindicat et conglutinat. Item canum morſus et furunculos ſanat. Duritias diſcutit, praeſertim mamillas obſidentes. Ani condylomatis ſuccurrit.* ℔ Argenti ſpumae ʒ c, bituminis tantundem, terrae ampelitidis tantundem, mannae ʒ xxv, propolis totidem, galbani ʒ xij ß, aluminis ſciſſi, reſinae terebinthinae, pares menſuras, iridis ʒ vj, chalcitidis ʒ vij ß, gallae ʒ viij, myrrhae tantundem, mellis heminam unam, olei immaturi heminas ſex. Argenti ſpuma, bitumen et terra, cum oleo coquuntur et ſpatha ex tedarum ligno moventur, quum conſtiterint, propolis, reſina et galbanum adduntur, haec autem prius melle incoquuntur, quibus mixtis, olla ſtatim ab igne tollitur et ſicca inſperguntur. Haec quum Heraclides tradiderit in libris ad Antiochidem, demiror quomodo nonnulli poſt eum ſcripturam ipſius non obſervaverint. Heras ſane ubique Heraclidem imitatus eſſe videtur, praeterquam in myrrha et galla. Nam dum Heraclides utriusque horum

Ed. Chart. XIII. [786.] Ed. Baſ. II. (384.)

ρου τούτων ἡ. δραχμὰς, ὁ Ἥρας ἓξ ἔλαβεν ἑκατέρου τούτων. καὶ παρ' Ἀσκληπιάδῃ δὲ κατὰ τὸ δεύτερον τῶν ἐκτὸς, ἐν τετραπλασίονι τῇ ἀναλογίᾳ πάντα γέγραπται ὡς πρὸς τὸν Ἥραν, μετὰ τοῦ καὶ κοτύλας ἐλαίου ὀμφακίνου γεγράφθαι ιβ'. τοῦ Κρίτωνος χοέας δύο γεγραφότος. καίτοι πάντα κατὰ τὸ διπλάσιον ἡ σύνθεσις εἶχεν αὐτοῦ, διὸ καὶ προσγεγραφέναι μοι δοκοῦσί τινες κοτύλας β'. τοῦτο δ' αὐτὸ πάλιν μειζόνως ἐναντιοῦται τῇ τ' ἀληθείᾳ καὶ τῇ τοῦ Ταραντίνου τε καὶ Ἥρα γραφῇ. ὁ μὲν γὰρ Ἥρας ρπ'. δραχμὰς ἔγραψεν εἰς σταθμὸν ἀνάγων, οὐκ εἰς μέτρον τὸ ἔλαιον ὡς ≺ ξ'. ἑλκούσης τῆς κοτύλης. καὶ γὰρ ἕλκει ἥ γε Ἀττικὴ θ'. οὐγγιῶν οὖσα τῶν Ἰταλικῶν. ἕλκουσι γὰρ αἱ θ'. οὐγγίαι Ἰταλικαὶ αἱ ἐν τοῖς κατατετμημένοις κέρασιν ἑπτὰ καὶ ἥμισυ οὐγγίας σταθμικὰς, αἵ τινες ξ'. δραχμαὶ γίνονται τῆς μιᾶς οὐγγίας ἡ'. δραχμὰς δεχομένης, ὥστε καὶ κατὰ τοῦτο συμφωνεῖν τὸν Ἥραν τῷ Ἡρακλείδῃ τρεῖς βάλλοντα κοτύλας, τοῦ Ἀσκληπιάδου ιβ' γεγραφότος, ἐπειδὴ τετραπλάσια πάντα κατὰ τὴν σύνθεσιν αὐτοῦ γέγραπται. ὁ δ' Ἥρας, ἐπειδὴ

denariorum pondo octo miſcet, Heras utriusque ſex injecit. Inſuper Aſclepiades in ſecundo libro de exterioribus omnia proportione quadruplo majore, quam Heras tradidit. Adde quod olei omphacini heminas duodecim, Crito congios duos, conſcripſerit, etſi omnia duplicata compoſitio ipſius habeat. Quare nonnulli mihi videntur adſcripſiſſe heminas duas. Quod ipſum rurſus tum veritati tum Herae et Tarentini ſcripturae magis adverſatur. Siquidem Heras clxxx, drachmas poſuit, in pondus, non menſuram oleum reducens, tanquam hemina ℥ lx, pendente. Nam Attica novem Italicas uncias conficit, pendunt enim novem Italicae unciae, quas in cornibus inſectis metiuntur, ſeptem uncias ponderales et ſemiſſem, quae ſexaginta drachmae fiunt, ſingulis unciis viii, drachmas recipientibus. Quare etiam hic cum Heraclide Heram conſentire videas, quum tres heminas injiciat, Aſclepiades duodecim, quoniam omnia in ipſius compoſitione quadrupla ſunt. Heras autem, quoniam medica-

Ed. Chart. XIII. [786. 787.] Ed. Baſ. II. (384.)

πολὺς ὄγκος ἐγένετο τοῦ φαρμάκου κατὰ τὴν τοῦ Ταραντίνου γραφὴν, διὰ τοῦτό μοι δοκεῖ τὸ τέταρτον ἁπάντων γράψαι. δεῖ γὰρ, ὡς ἔφην, ἐν τῇ σμύρνῃ καὶ κηκίδι βραχὺ παραλλάξαι· καὶ ἄλλων γεγραφότων τὴν Ἱκεσίου ταύτην ἔμπλαστον, ὅσοι μὲν ἀκριβέστερον τῷ τε Ταραντίνῳ καὶ τῇ κατ' ἀλήθειαν ὑφ' ἡμῶν κεκριμένῃ διὰ τῆς ἑψήσεως ἐσκεύασαν, σύμφωνοι γεγόνασιν· ὅσοι δ' ἀμελέστερον ἢ καθ' ἓν μόνον ἢ δύο τῶν μιγνυμένων ἢ καὶ πλείονα, φαίνονται διαφωνοῦντες τῷ Ἡρακλείδῃ. διὸ περιττὸν ἐδοξέ μοι μνημονεύειν αὐτῶν. σκευαστέον γάρ ἐστι τὸ φάρμακον ὡς Ἡρακλείδης ἐκέλευσεν ἢ ὡς Ἥρας, βαχυτάτη γὰρ ἡ διαφορὰ παρ' αὐτοῖς ἐστι. λιτὴν Ἱκέσιον Ἡρακλείδης τήνδε φησὶν εἶναι. ♃ ἀσφάλτου δραχμὰς ν'. λιθαργύρου ≺ ν'. ἐλαίου κοτύλας ι'. ἔψε, ἐπὰν δὲ συνιστῆται, ἔμβαλλε κηροῦ ≺ ε'. χαλβάνης ≺ ε'. σμύρνης ≺ ε'.

[787] Κεφ. ζ'. [Κυζικηνὴ τοῦ Ἥρα.] Τῶν ἐνδόξων ἐμπλάστρων ἐστὶ καὶ αὕτη, σχεδὸν ὑπὸ πάντων γεγραμμένη, τὰ πλεῖστα μὲν ἐν τῇ συμμετρίᾳ τῶν ἁπλῶν φαρμάκων ὁμολογούμενα γραψάντων αὐτῶν, ἐνίοις δὲ καὶ διαφωνησάν-

menti in Tarentini ſcriptura magna moles fieret, videtur mihi quartam omnium portionem poſuiſſe. Nam in myrrha, ut dixi, et galla paululum mutare videtur. Ac quum alii quoque hoc Hiceſii emplaſtrum tradiderint, qui exactius in eo, cujus praeparationem ex coctione conjecimus, Tarentino concordes facti ſunt, qui autem negligentius, vel in uno ſolum vel in pluribus ſimplicibus diſſonaſſe ab Heraclide videntur. Proinde ſuperfluum fuerit, de iis mentionem facere. Praeparandum enim medicamentum eſt ut Heraclides juſſit vel ut Heras, qui parum adeo inter ſe differunt. *Heraclides liten Hiceſion hanc eſſe dicit.* ♃ Bituminis ʒ l, argenti ſpumae ʒ l, olei heminas x, coquito, ubi coierint, cerae ʒ v, injicito, galbani ʒ v, myrrhae ʒ v.

Cap. VII. [*Cyzicenum Herae.*] Hoc quoque inter celebria emplaſtra refertur, ab omnibus probe conſcriptum, magno in ſimplicium medicamentorum ſymmetria conſenſu. Nonnulli tamen diſcordant, ut innoteſcet, quum ſubjunge-

Ed. Chart. XIII. [787.] Ed. Baf. II. (384.)

των, ὡς ἔσται φανερὸν ὑπογραψάντων ἡμῶν ὡς ἕκαστος αὐτῶν ἀξιοῖ συντίθεσθαι. Ἥρας μὲν οὖν οὕτως γράφει περὶ τῆς προκειμένης ἐμπλάστρου κατὰ λέξιν. Κυζικηνὴ, ποιοῦσα πρὸς τὰ πρόσφατα τραύματα καὶ παλαιὰ τὰ ὑπόνομα. διαχεῖ μάλιστα τὰς ἐν μαστοῖς σκληρίας, ἐπισπᾶται, ἀνακαθαίρει, πληροῖ, κολλᾷ, ἐπουλοῖ. ποιεῖ καὶ πρὸς καρκινώδεις σκληρίας, λιποῦργα καὶ ἐφ' ὧν οὐκ ἔστι σμιλίῳ χρήσασθαι, ὡς ἐπὶ τραχήλου, κολλυρίῳ χρῶ. καὶ τὰ ἐν ἀπειλῇ πραΰνει ἀποστήματα, φύματα διαχεῖ καὶ τὰ γαγγλία, τάς τε συναγωγὰς ἀποκορυφοῖ καὶ ῥήσσει. ἀνάγει καὶ βέλη καὶ ὀστᾶ καὶ σκινδαλμούς. ἐκτινάσσει δ' ἀλύπως καὶ ἐσχάρας. ἐπὶ τῶν ὑπονόμων μεγάλοις δεῖ χρῆσθαι τοῖς σπληνίοις. διαχεῖ καὶ χοιράδας καὶ αἱμορῥοΐδας ἐπέχει καὶ ἐπὶ τῶν περὶ κύστιν ἄκρως ποιεῖ. ἔχει δὲ λιβανωτοῦ ≺ δ'. σμύρνης ≺ δ'. κρόκου ≺ δ'. ἴρεως Ἰλλυρικῆς ≺ δ'. βδελλίου ≺ δ'. λεπίδος δραχμὰς ιβ'. χαλκάνθου ≺ δ'. στυπτηρίας σχιστῆς ≺ δ'. στρογγύλης ≺ δ'. ἀμμωνιακοῦ θυμιάματος ≺ δ'. μίσυος ≺ δ'. σιδίων ῥοᾶς γλυκείας ≺ δ'. ἀριστολοχίας, κηκίδος ὀμφακί-

mus, quomodo quisque componendum cenſeat. Heras igitur de praeſenti emplaſtro ita ad verbum ſcribit. *Cyzicenum. Facit ad recentia vulnera et vetera depaſcentia, duritias praeſertim in mammis diſcutit, extrahit, repurgat, implet, glutinat, cicatricem ducit, tollit cancroſas durities, male curata reficit, et in quibus ſcalpello uti non licet, ut in cervice, collyrii loco utitor. Abſceſſus furentes mitigat, chymata diſcutit, ganglia et contractiones, ſive coitus diſſolvit abrumpitque. Tela, oſſa, lignorum fragmenta educit, cruſtas citra dolorem dejicit. In depaſcentibus, magnis ſpleniis uti oportet. Inſuper ſtrumas diſſipat, haemorrhoidas cohibet et veſicae morbis ſumme prodeſt.* Haec autem recipit thuris drach. iv, myrrhae drach. iv, croci drach. iv, iridis Illyricae drach. iv, bdellii, drach. iv, ſquamae drach. xij, chalcanthi drach. iv, aluminis ſciſſi drach. iv, rotundi drach. iv, guttae ammoniaci drach. iv, miſyos drach. iv, putaminum mali granati dulcis drach. iv,

Ed. Chart. XIII. [787.] Ed. Baſ. II. (384. 385.)

τιδος ἀνὰ ⊲ η'. ἄλλως ισ'. χαλκίτιδος ⊲ δ'. ἀμμωνιακοῦ θυμιάματος ⊲ δ'. ἰξοῦ δρυΐνου (385) ⊲ η'. ὀποπάνακος ⊲ η'. ἰοῦ ξυστοῦ ⊲ η'. ἀκακίας ⊲ η'. ῥόδων ἄνθους ⊲ η'. τερμινθίνης μνᾶν α'. οἱ δὲ ⊲ ν'. ὀποῦ μήκωνος ⊲ στ'. κηροῦ μνᾶς β'. οἱ δὲ ⊲ δ'. στέατος μοσχείου θεραπευομένου μνᾶν α'. οἱ δὲ ρν'. ὄξους κοινοῦ κοτύλας β'. οἴνου εἰς τὰ ξηρά. ταῦτα γραψάντων περὶ τῆς Κυζικηνῆς τοῦ τε Ἥρα καὶ τοῦ Ἀνδρομάχου δόξει μέν τισιν εἶναι διαφωνία μεγίστη, τοῦ μὲν Ἥρα λιβάνου καὶ κρόκου καὶ σμύρνης καὶ τοῦ ἐφεξῆς ὑπ' αὐτοῦ γεγραμμένου βάλλοντος ⊲ δ'. τοῦ δὲ Ἀνδρομάχου η'. ἀλλ' ὅπερ ἤδη καὶ πρόσθεν ἔλεγον ἀναγκαῖον ἡμῖν παραφυλάττειν, τοῦτο καὶ νῦν ἐρῶ· ἐὰν ἅπαντα τὰ ἁπλᾶ φάρμακα, εἰ καὶ διπλάσιά τις ἐμβάλλοι τῶν παρ' ἑτέροις γεγραμμένων, ἡ αὐτὴ συμμετρία γίνεται, καθάπερ εἰ καὶ τριπλάσια πάντα. καὶ νῦν οὖν σχεδὸν ἅπαντα διπλάσια βέβληκεν ὁ Ἀνδρόμαχος, ἁπλᾶ βεβληκότος αὐτὰ τοῦ Ἥρα. διαφωνεῖ δ' ἔν τε τῷ ἀλόην ἐμβάλλειν, οὐκ ἐμβεβληκότος

ariſtolochiae, gallae omphacitidis, utriusque drach. viij, aliter xvj, chalcitidis drach. iv, ammoniaci guttae drach. iv, viſci quercini drach. viij, opopanacis drach. viij, aeruginis raſae drach. viij, acaciae drach. viij, floris roſarum, drach. viij, terebinthinae minam j, alii ʒ l, liquoris papaveris drach. vj, cerae minas ij, ſecundum alios drach. iv, ſevi vitulini curati minam j, alii drach. cl, aceti communis heminas ij, vini, quod ſufficit, in ſicca immittitur. Haec de Cyziceno quum Heras ſcripſerit atque Andromachus, videbitur quibusdam maxima eſſe diſſenſio, quum Heras thuris, croci, myrrhae et ejus quod deinceps ab eo poſitum eſt, drach. iv. immiſerit, Andromachus viij. Verum, quod jam prius obſervandum nobis eſſe dicebam, id etiam nunc dicturus ſum. Si omnia ſimplicia medicamenta licet duplicata horum, quae alii ſcripſerunt, miſceas, eadem fiet ſymmetria, quemadmodum ſi et triplicata omnia injicias, ac nunc Andromachus omnia fere duplicata miſcuit, quum Heras ſimplicia ipſa indiderit. Ac etiam hic diſcrepant, quod ille

Ed. Chart. XIII. [787. 788.] Ed. Baſ. II. (385.)

αὐτὴν τοῦ Ἥρα, καὶ μέντοι καὶ πάνακος τῆς ῥίζης. ὁ γὰρ Ἥρας ὀποπάνακος μόνον ἔγραψεν, ὁ Ἀνδρόμαχος δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ πάνακα. καλοῦσι δὲ οὕτως συνήθως τὴν ῥίζαν τῆς βοτάνης, ἣν ὀνομάζουσι πάνακα. προσεμβέβληκε δὲ καὶ τὸν τοῦ μήκωνος ὀπὸν ὁ Ἀνδρόμαχος ἀνωδυνίας ἕνεκεν, ἀκακίαν δὲ καὶ ῥόδων ἄνθος ὡς στύφοντα. τὴν δὲ ἕψησιν ὁ μὲν Ἥρας ἔγραψεν ὡς ἔθος αὐτῷ, παραλείπει δὲ ὁ Ἀνδρόμαχος, ὡς καὶ τούτῳ πάλιν ἔθος ἐστὶ σπανιάκις γράφοντι τὴν ἕψησιν. ἐκ μέντοι τοῦ προσθεῖναι κατὰ τὸ τέλος ὄξους κοινοῦ κοτύλας β΄· οἶνος εἰς τὰ ξηρὰ, δῆλός ἐστι βουλόμενος λειοῦσθαι τὰ ξηρὰ μετὰ τοῦ οἴνου ἢ τοῦ ὄξους, εἶτα τὰ τηκτὰ τακέντα καταχεῖσθαι τούτων. ὁ δὲ Ἥρας οὔτε ἐμνημόνευσεν ὅλως ὄξους ἢ οἴνου καὶ κατὰ τὸ τέλος τῆς ἑψήσεως οὕτως προσέγραψε. λοιπὸν τὰ ξηρὰ καὶ τὸν ὀποπάνακα ἔμβαλε εἰς τὸν κάκαβον καὶ ἐνώσας κατάχει καὶ μάλασσε, ἰρίνῳ τὰς χεῖρας μολύνων. ἐγὼ δ' αὐτὴν σκευάζω [788] κατὰ τὸν Ἀνδρομάχου τρόπον, ἐν τῇ θυείᾳ λειῶν τὸν ὀποπάνακα μετὰ τῶν ξηρῶν· εἰ μὲν ἰσχυ-

aloën addat, Heras ſecus faciente. Quin etiam in panacis radice differentia eſt, quum Heras opopanacem tantum ſcripſerit, Andromachus non hoc ſolum, ſed etiam panacem, ſolent autem ſic vocare radicem herbae, quam panacem appellant. Adjecit autem Andromachus papaveris liquorem doloris evitandi gratia, acaciam vero et roſarum florem tanquam aſtringentia. Porro coctionem pro more ſuo Heras adjunxit, Andromachus omittit, quippe qui ipſe etiam raro illam ſoleat apponere. Caeterum ex eo, quod in calce aceti communis heminas duas et vinum ſiccis infundit, plane innuit ſe arida ex vino vel aceto laevigari velle, deinde liquefacta his ſuperfundi, Heras autem neque omnino aceti aut vini meminit et ad calcem coctionis ita aſcripſit, caeterum arida et opopanacem in cacabum conjicito, et ubi unita fuerint, defundito mollitoque irino unguento manus inquinans. Ego ipſum Andromachi more conficio, opopanacem cum ſiccis in mortario terens; ſi valentius et quod

Ed. Chart. XIII. [788.] Ed. Baf. II. (385.)

ρότερόν τε καὶ διαφορητικώτερον τὸ φάρμακον ἐθελήσαιμι ποιῆσαι, μιγνὺς ἐν τῇ λειώσει τὸ ὄξος, εἰ δὲ στυπτικώτερον καὶ ἀποκρουστικώτερον, τὸν οἶνον. ὥσπέρ γε πάλιν καὶ τοῦ αὐτοῦ τοῦ οἴνου ποτὲ μὲν τὸν αὐστηρὸν αἱρούμενος, ποτὲ δὲ τὸν κιρρόν, καὶ ποτὲ μὲν τὸν παλαιὸν, ποτὲ δὲ τὸν μέσον κατὰ τὴν ἡλικίαν. ὁ μὲν γὰρ αὐστηρὸς καὶ μὴ παλαιὸς στυπτικώτερος, ὁ δὲ παλαιὸς καὶ μὴ αὐστηρὸς διαφορητικώτερος.

Κεφ. η'. [*Κυζικηνὴ ὡς Ἀσκληπιάδης.*] Γέγραπται μὲν ἤδη καὶ κατὰ τὸ τέταρτον ἡ ἔμπλαστρος αὕτη, πάνθ' ἑξῆς ὅσα πρὸς κακοήθειαν φάρμακα συμβεβούλευκεν ἔχειν ἐν ἐκείνῳ τῷ βιβλίῳ γράψαντός μου. καὶ νῦν δὲ ἐπειδὴ καὶ αὐτὸς διαφωνεῖ τῷ τε Ἥρᾳ καὶ τῷ Ἀνδρομάχῳ, βέλτιον εἶναί μοι δοκεῖ γράψαι πρὸς λέξιν ἃ κατὰ τὸ τρίτον τῶν ἐκτὸς φαρμάκων ἔγραψεν αὐτῇ λέξει τῇδε. *Κυζικηνή.* ποιεῖ πρὸς κεχρονισμένας διαθέσεις καὶ τὰς τῶν νεύρων διακοπάς. ℔ λιβανωτοῦ ὡς καλλίστου, κηροῦ, σμύρνης, ἀριστολοχίας, χαλκίτιδος, Ἰλλυρικῆς, χαλβάνης ἀνὰ ≺ δ'. τερμινθίνης, λιθαργύρου ἀνὰ ≺ η'. ἐλαίου κοτύλην α'. πάντα βαλὼν εἰς

magis diſcutiat, medicamentum facere deſiderem acetum inter laevigandum admiſcens, ſi magis aſtringens repellensque, vinum, quemadmodum rurſus et id nunc auſterum, nunc gilvum, nunc vetus, nunc aetate medium aſſumens; nam quod auſterum eſt nec vetus, magis aſtringit, quod vetus nec auſterum, valentius digerit.

Cap. VIII. [*Cyzicenum ut Aſclepiades.*] Scriptum eſt hoc emplaſtrum jam et in quarto, ubi omnia ordine, quae ad malignitatem medicamenta habere conſuluit, commemoravimus. Et vero nunc, quia ipſe pariter ab Hera et Andromacho evariat, ſatius mihi eſſe videtur ipſius verbis in tertio libro de exteriorum medicamentis tradita ſubjungere. *Cyzicenum, facit ad diutinos affectus et nervos praeciſos.* ℔ Thuris quam optimi, cerae, myrrhae, ariſtolochiae, chalcitidis, Illyricae, galbani, ſingulorum ℥ iv, terebinthinae, argenti ſpumae, ſingulorum ℥ viij, olei heminam j. Omnia

Ed. Chart. XIII. [788.] Ed. Baſ. II. (385.)

ἄγγος χαλκοῦν ἔψε ἐπὶ τέφρας μαλακῆς, κινῶν ἕως ἂν ἀποσταζόμενον εἰς ὕδωρ ψυχρὸν πάχος ἔχῃ μέλιτος. μετὰ δὲ ταῦτα αἶρε κινῶν, τοῦτο ἐγχρίσας εἰς δερμάτιον, ἐπιτίθει καὶ λῦε χειμῶνος μὲν μετὰ τὴν ἑβδόμην ἡμέραν, θέρους δὲ μετὰ τὴν πέμπτην.

[Ἄλλη, ἐκ τῶν Φιλοξένου.] ℔ Λιβάνου, σμύρνης, κρόκου, Ἰλλυρικῆς, βδελλίου, λεπίδος χαλκοῦ, χαλκάνθου, χαλκίτεως, στυπτηρίας στρογγύλης καὶ σχιστῆς, μίσυος ξενικοῦ, ἀμμωνιακοῦ θυμιάματος, προπόλεως, ἰξοῦ δρυΐνου, ὀποπάνακος, σιδίων μεμυκότων ἀνὰ ≺ δ'. ἀριστολοχίας δραχμὰς η'. κηροῦ, στέατος ταυρείου ἀνὰ δραχμὰς ρ'. ὃ μνᾶν ἐπιγράφει. ῥητίνης τερμινθίνης ≺ ιε'. ὃ τρία τέταρτα ἐπιγράφει, τὴν ῥητίνην βαλὼν εἰς λοπάδα ὀστρακίνην, ἕψε ἕως ἄνοσμα γένηται, εἶτα τὸ στέαρ καὶ τὸν κηρὸν κατακνήσας, ἐπέμβαλε καὶ τῆκε. τὰ δὲ ξηρὰ κόπτε καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ, ἔπειτα καθελὼν ἀπὸ τοῦ πυρὸς τὰ τηκτὰ καὶ ποσῶς ἐάσας ψυγῆναι τούτων κατάπασσε τὰ ξηρὰ καὶ κίνει ἐπιμελῶς. ἔχειν δὲ δεῖ μετ' ὄξους τετριμμένα σμύρναν, λίβα-

in vas aereum conjecta ſupra cinerem mollem coquuntur, moventurque donec in aqua frigida demerſum mellis ſpiſſitudinem habeat, poſtea movendo tollitur. Hoc illitum pelliculae imponitur, hieme poſt ſeptimum diem, aeſtate poſt quintum ſolvitur.

[*Aliud ex iis, quae ad Philoxenum referuntur.*] ℔ Thuris, myrrhae, croci, Illyricae, bdellii, ſquamae aeris, chalcanthi, chalcitidis, aluminis rotundi et ſciſſilis, miſyos peregrini, guttae ammoniaci, propolis, viſci quercini, opopanacis, malicorii praecluſi, ſingulorum ʒ iiij, ariſtolochiae ʒ viij, cerae, ſevi taurini, ſingulorum ʒ c, quod minam inſcribit, reſinae terebinthinae ʒ xv, quod tres quartas appellat. Reſina in ollam fictilem conjecta, donec odorem amittat, concoquitur, deinde ſevum et cera deraſa injiciuntur et liqueſiunt, arida contunduntur et cribro tenuiſſimo incernuntur. Poſtea liquida ab igne tolluntur, quibus aliquatenus refrigeratis arida inſperguntur et curioſe moventur. Habere autem oportet ex aceto trita, myrrham, thus, bdel-

Ed. Chart. XIII. [788. 789.] Ed. Baſ. II. (385.)

νον, βδέλλιον, ὀποπάνακα. τούτοις ἐπίβαλλε τὰ ἐν τῇ λοπάδι καὶ τρῖβε ὥστε ἐγκηρίδας μὴ γενέσθαι. ὅταν δὲ καλῶς ἔχῃ, ἀνελοῦ εἰς πυξίδα ξυλίνην, προσεγχρίσας ἰρίνῳ μύρῳ.

Κεφ. θ'. [Ἡ διὰ δυοῖν ἀριστολοχιῶν, ὡς Ἀνδρόμαχος.] Περὶ ταύτης ὁ Ἀνδρόμαχος κατὰ λέξιν οὕτως γράφει. ἡ διὰ δυοῖν ἀριστολοχιῶν. ℞ ῥητίνης φρυκτῆς λίτραν α'. κηροῦ λίτραν α'. πίσσης λίτραν α'. κίκεως ἢ ἐλαίου παλαιοῦ κοτύλην μίαν, κυάθους δύο, ψιμυθίου οὐγγίας στ'. ἰοῦ οὐγγίας στ'. χαλκάνθου οὐγγίας δ'. μάννης οὐγγίας στ'. ἀριστολοχίας μακρᾶς οὐγγίας δ'. καὶ στρογγύλης οὐγγίας δ'. ἐρετριάδος οὐγγίας στ'. Ἰλλυρικῆς οὐγγίας δ'. κηκίδος οὐγγίας β'. ὄξους κοτύλην α'. ἐγὼ πλέον, σιδίων οὐγγίας β'. λείου σὺν ὄξει τὰ ξηρὰ, εἶτα τὰ τηκτά.

[789] Κεφ. ι'. [Ἡ διὰ δικτάμνου ὡς Δαμοκράτης.] Εἴρηταί μοι πολλάκις ὡς οὐ μόνον εἰς μνήμην αἱ ἔμμετροι γραφαὶ χρησιμώτεροι τῶν πεζῇ γεγραμμένων εἰσὶν, ἀλλὰ καὶ εἰς τὴν τῆς συμμετρίας τῶν μιγνυμένων ἀκρίβειαν. διὰ τοῦτ'

lium, opopanacem, quibus quae in olla ſunt, adjiciuntur terunturque, ne grumi cerae modo fiant. Ubi autem recte habuerint, in lignea pyxide irino unguento prius illita reponuntur.

Cap. IX. [*Emplaſtrum ex duabus ariſtolochiis, ut Andromachus.*] De hoc in eam ſententiam ſcribit Andromachus ad verbum. *Emplaſtrum ex duabus ariſtolochiis.* ℞ Reſinae frictae ℔ j, cerae ℔ j, picis ℔ j, ciceos vel olei veteris heminam unam et cyathos duos, ceruſſae ʒ vj, aeruginis ʒ vj, chalcanthi ʒ iiij, mannae ʒ vj, ariſtolochiae longae ʒ iiij, rotundae ʒ iiij, eretriae ʒ vj, Illyricae ʒ iiij, gallae ʒ ij, aceti heminam j, ego amplius malicorii ʒ ij. Sicca ex aceto teruntur, deinde liquabilia.

Cap. X. [*Emplaſtrum ex dictamno ut Damocrates.*] Diximus frequenter metricas ſcriptiones non ſolum ad memoriam, ſed etiam ad mixturas exacte commenſurandas proſa oratione conſcriptis eſſe commodiores. Cujus gratia

Ed. Chart. XIII. [789.] Ed. Baſ. II. (385.)

οὖν καὶ νῦν τὴν διὰ δικτάμνου προσέγραψε συμμετρίαν ἀκριβῆ διασώζουσαν ἐν τῇ Δαμοκράτου γραφῇ.

Τῶν περιβοήτων δ' ἐστὶν ἐμπλάστρων μία,
Μόνη τ' ἔχουσα Κρητικὸν τὸ καλούμενον
Δίκταμνον, ἰᾶται δὲ τὰς τῶν ἑρπετῶν,
Ἰοβόλων πληγάς τε καὶ τὰ δήγματα
Πάντων τετραπόδων, κἂν λελυσσήκῃ τινὰ,
Τετυλωμένα θ' ἕλκη, τάς τε τῶν νεύρων φθοράς.
Μυῶν τε καὶ τῶν ὀστέοις ἐπικειμένων
Χόνδρων, ἐχόντων διὰ βάθους ἤδη φθοράν.
Τά τε περὶ μαστοὺς καὶ τράχηλον καὶ ῥάχιν
Ἕλκη θεραπεύει, κἂν χρόνους πολλοὺς ἔχῃ·
Καὶ πάνθ' ὅσ' εἶπον τὴν καλουμένην ποιεῖν
Αἰγυπτίαν ἔμπλαστρον ἔμπροσθεν βραχύ.
Ταύτην ἀγαθὴν σφόδρ' οὖσαν ἔνιοι καὶ μόνην
Λοκοῦσι πασῶν τῶν καλῶν βελτίονα,
Πολλῶν διὰ πείρας οὐκ ἔχοντες φαρμάκων.
Ἔχει δὲ λιθάργυρον δὶς ἑκατὸν δραχμάς,

etiam nunc medicamentum ex dictamno perfectam in Damocratis ſcriptis ſymmetriam perſervans appoſui.

Emplaſtrorum unum inſignium numero aſcribitur.
Solumque, quod recipit dictamnum Creticum
Dictum. Medetur proſpere ſerpentium
Percuſſibus venenatis ac morſibus
Quadrupedum cunctorum, etſi rabies quaedam agat,
Juvat ulcerum callos et nervos perditos,
Et muſculos et alto cartilagines
Corpore putreſcentes, quae incumbunt oſſibus.
Colli, mamillarum, dorſi quoque ulcera,
Perſanat et diu ſi jam duraverint,
Ac omnia ſimul quae facere paulo antea
Dixi emplaſtrum nomine ſcilicet Aegyptium.
Hoc admodum quum ſit bonum, quidam omnibus
Unum bonis reputant uſu praeſtantius,
Haudquaquam nempe experti multa pharmaca.
Concinnantur mixturis his. Lithargyri

Ed. Chart. XIII. [789.] Ed. Baf. II. (385. 386.)

Λίτρας δ' ἐλαίου τοῦ παλαιοῦ τέταρτον.
Τινὲς δὲ κοτύλης φασὶ μᾶλλον τέταρτον.
Λὶς δ' εἴκοσι πέντε Ποντικοῦ κηροῦ δραχμὰς,
Κολοφωνίας δὲ τῆς καλῆς, κηροῦ διπλοῦν,
(386) Τινὲς δὲ μᾶλλον, ταὐτὸ τῆς τερμινθίνης.
Ἰοῦ δὲ χαλκοῦ καὶ ἀλόης Ἰνδικῆς,
Χαλκοῦ τε κεκαυμένου καὶ διφρυγοῦς καλοῦ
Ἑκκαίδεχ' ἥμισυ ἐξ ἑκάστου μίγματος,
Εἴκοσι δραχμὰς δὲ χαλβάνης καὶ δ'.
Μάννης, λιβάνου τε τὰς ἴσας δὶς ιβ'.
Ἀμμωνιακοῦ δὶς ε'. καὶ δὶς κ'.
Ἑκκαίδεκα δραχμὰς προπόλεως τῆς Ἀττικῆς,
Ἀριστολοχίας τῆς μακρᾶς δὶς ι'. δραχμὰς
Λὶς στ'. λεπίδος, τοῦ Κυπρίου χαλκοῦ δραχμὰς
Καὶ γεντιανῆς ξηροτάτης ῥίζης ἴσον.
Τούτοις προσαπόδος πᾶσι δικτάμνου πόας
Ξηρᾶς ἐχούσης ἄνθος ὁλκὰς κ'.
Λείας. λιθάργυρον δὲ μετ' ἐλαίου βαλὼν,

Drachmas habet ducentas, iſtis additur
Olei vetuſti librae quarta portio,
Alii magis quartam volunt partem heminae.
Et quinquaginta cerae drachmas Ponticae,
Colophoniae probaeque plus cera duplo,
Alii malunt terebinthinae parem modum.
Aeruginis quoque, aloës nec non Indicae,
Item combuſti aeris et diphrygis boni,
Cujusque ſedecim, ſemiſſemque ponito.
Quaternas et vigenas drachmas galbani,
Mannae pares, thurisque bis duodecim,
Ammoniaci viginti bisque et quinque bis,
Et ſedecim jungantur propolis Atticae,
Ariſtolochiae longae bis drachmae decem,
Aeris Cyprii ſquamae drachmae duodecim,
Et gentianae radicis ſicciſſimae
Aequale, cunctis herbae his dictamni quoque
Siccae, ſed habentis florem, drachmas bis decem,
Laevis. Lithargyrum at cum oleo demittito

Ed. Chart. XIII. [789.] Ed. Baf. II. (386.)

Εἰς λοπάδα καινὴν κεραμίαν πλατύστομον,
Ἔψε πυρὶ κούφῳ καὶ μαλακῷ, κινῶν σπάθῃ
Ἕως γένηται μέλιτος Ἀττικοῦ πάχος.
Ἴσον δὲ καὶ τῆς λεπίδος προσβαλὼν πάλιν
Ἔψε λαβρότερον, εἶτα κιρροῦ γενομένου
Τοῦ φαρμάκου, πρόσβαλε χαλκὸν καὶ διφρυγὲς,
Ποιῶν τ' ἀμόλυντον καὶ πεπηγὸς φάρμακον
Πρόσβαλλε κηρὸν τήν τε ῥητίνην ἅμα.
Ὧν συντακέντων, ὅταν ἴδῃς κεκραμένην
Ἔμπλαστρον, αἴρεις τὴν χύτραν ἀπὸ τοῦ πυρὸς
Καὶ προσβαλὼν προπόλεώς τε καὶ χαλβάνην,
Ἀμμωνιακὸν, μάνναν τε καὶ ἀλόην, τότε
Ψύξας τὸ πυρῶδες καὶ ζέον τοῦ φαρμάκου,
Ἀριστολοχίαν λειοτάτην προσεμπάσεις
Καὶ γεντιανὴν, τήν τε δίκταμνον πόαν
Καὶ προσανακόψας τῇ σπάθῃ τὸ φάρμακον
Χερσὶ καὶ μαγδαλιὰς ποιῶν, ἔχε,
Εἰς ἃς προεῖπον χρώμενος περιστάσεις.

Ollae recenti, cui patulum os figulus dedit.
Pruna leni coques, movens rudicula
Quousque ſpiſſitudo mellis Attici
Fiat, paribus at ſquamae immiſſis partibus,
Rurſus magis coquas: ac poſtquam pharmacum
Gilvum fuerit, aes miſceas et diphryges,
Craſſumque reddens pharmacum, ut non polluat,
Ceram, reſinamque una dictis addito.
Quibus liquatis, ubi probe coierit
Emplaſtrum ab igne tolles, quumque adjeceris
Propolimque mannamque, aloën, atque galbanum,
Ammoniacumque, tunc ubi refrixerit,
Fervorque ignitus pharmaci ſubſederit,
Ariſtolochiam perquam laeviſſimam,
Et gentianam dictamnumque inſpergito,
Spatha atque medicamentum agitando ſedulo,
Manibus tibi magdalias ipſe effingens habe,
Eaque mala ad quaecunque eſt praedictum utitor.

Ed. Chart. XIII. [790.] Ed. Baſ. II. (386.)

[790] Κεφ. ια'. [Περὶ τροχίσκων Ἀσκληπιάδου.] Ὥσπερ δ' ἐμπλάστρους ἀπὸ τῆς χρόας, ἀλλ' οὐκ ἀπὸ τῆς κατὰ δύναμιν ἐπαγγελίας, ὠνόμασαν ἔνιοι τῶν ἰατρῶν μηλίνας καὶ λευκὰς καὶ φαιὰς καὶ κιρρὰς, οὕτως ἀπὸ τοῦ κατὰ τὴν ἀνάπλασιν σχήματος ὀνομάζουσι τροχίσκους οὐ πρὸς ἓν πάθος, ἀλλὰ πρὸς πάνυ πολλὰ διαφέροντας. ἀκολουθήσαντες οὖν αὐτοῖς καὶ ἡμεῖς ἐφεξῆς γράψομεν πάντας τούς γε δοκίμους, εἴτε κυκλίσκους, εἴτε τροχίσκους, ἑκατέρως γὰρ αὐτοὺς ὀνομάζουσι. καλῶς δὲ ποιοῦντες ἐφ' ἑκάστου τὴν ἐπαγγελίαν προέγραψαν, καὶ μάλιστα ὁ Ἀσκληπιάδης, οὗ καὶ πρώτου τὰ κατὰ τὸ τρίτον πρὸς τὰ ἐκτὸς γεγραμμένα φάρμακα παραθήσομαι. Τροχίσκοι Ἀσκληπιάδου. τροχίσκοι πολύχρηστοι Ἀριστάρχου Ταρσέως. ποιεῖ πρὸς ἕλκη πρόσφατα καὶ παλαιὰ, ποιεῖ καὶ πρὸς τερηδόνας, κηρία, ποιεῖ πρὸς σύριγγας, ὦτα πυορροοῦντα, ὀστᾶ ἐφθορότα, ποιεῖ πρὸς νομὰς, καταστέλλει πᾶσαν ὑπεροχὴν, αἴρει πτερύγια, ποιεῖ πρὸς τὰς περὶ μήτραν διαθέσεις, πρὸς ὀζαίνας, φαγεδαίνας, κονδυλώματα, ποιεῖ πρὸς τὰ κεχρονισμένα καὶ δυσαλθῆ, ποιεῖ

Cap. XI. [*De paſtillis Aſclepiadis.*] Quemadmodum emplaſtra a colore, non a facultatis profeſſione, nominant quidam medici, melina, candida, fuſca et gilva, ita paſtillos, Graece trochiſcos ab efformationis figura vocant, non ad unum affectum, ſed ad admodum multos conferentes. Nos quoque igitur ipſos imitati, deinceps omnes praeclaros ſive paſtillos ſive orbiculos, utroque enim nomine appellantur, deſcribemus. Recte autem ille ſingulis, quid poſſent efficere, praepoſuerunt, praeſertim Aſclepiades, cujus etiam primi pharmaca, quae in tertio de exterioribus libro prodidit, apponam. *Paſtillus Aſclepiadis. Ariſtarchi Tharſei paſtillus ad plura utilis. Facit ad recentia vulnera et vetera, prodeſt teredinibus et favis, curat fiſtulas, aures ſuppurantes, oſſa corrupta, nomas, reprimit omnem carnis excreſcentiam, tollit pterygia, valet ad uteri affectus, ſanat ozaenas, phagedaenas, condylomata, juvat inveterata et quae difficilem curationem habent, utilis eſt principio*

Ed. Chart. XIII. [790.] Ed. Baf. II. (386. 387.)

ἀρχομένοις φθισικοῖς, σπληνικοῖς, κοιλιακοῖς, δυσεντερικοῖς, ὁλκῆς τριώβολον διδόμενος μετὰ τοῦ οἰκείου πόματος. ὠφελεῖ καὶ συναγχικοὺς καὶ τὰς τῶν οὔλων νομὰς, καὶ καθόλου ἐστὶν εὔθετος πρὸς τὰς τῶν ἐκτὸς καὶ τῶν ἐντὸς διαθέσεις. ℞ σμύρνης δραχμὰς στ'. κρόκου δραχμὰς γ'. κροκομάγματος ≺ γ'. κυτίνων ≺ στ'. χαλκάνθου ≺ στ'. στυπτηρίας σχιστῆς ≺ στ'. ἁλόης ≺ στ'. οἴνῳ Φαλερίνῳ ἀναλάμβανε καὶ ποίει τροχίσκους καὶ ξήραινε ἐν σκιᾷ. ἐπὶ δὲ τῆς χρήσεως ἄνιε καταλλήλως ὑγρῷ πρὸς τὰς ὑποκειμένας διαθέσεις. ὁ τοῦ Νεαπολίτου. ℞ σμύρνης ≺στ'. λιβάνου ≺ στ'. κηκίδων ≺ η'. λυκίου ≺ η'. στυπτηρίας ≺ η'. κροκομάγματος ≺ η'. ἁλόης ≺ η'. κυτίνων ≺ ιβ'. χαλκοῦ ≺ η'. οἴνῳ Φαλερίνῳ. Ἀνδρώνιος ἐπιγεγραμμένος. ℞ κυτίνων ≺ ι'. σχιστῆς ≺ δ'. χαλκάνθου ≺ ιβ'. σμύρνης ≺ δ'. λιβάνου ≺ η'. ἀριστολοχίας ≺ η'. κυκίδων ≺ η'. γλυκέος κοτύλας β'. παρὰ δὲ τῷ Ἡρακλείδῃ οὕτως ἔχει. ℞ σιδίων ≺ ι'. ἀριστολοχίας ≺ η'. κηκίδων ≺ η'. ἅλὸς ἀμμωνιακοῦ ≺ δ'. (387) λιβάνου ≺ δ'. σχιστῆς ≺ δ'. χαλκάνθους ≺ β'. σμύρνης ≺ δ'.

phthiſicis, lienoſis, coeliacis, dyſentericis, tribus obolis in potu familiari datus, ſuccurrit ſynanchicis, gingivarum nomis, in ſumma exterioribus et interioribus vitiis auxiliatur. ℞ Myrrhae ʒ vj, croci ʒ iij, crocomagmatis drach. iij, cytinorum ʒ vj, chalcanthi drach. vj, aluminis ſciſſilis drach. vj, aloës ʒ vj, vino Falerno excipiuntur, fiuntque paſtilli et in umbra deſiccantur. Ubi uſus neceſſitas eſt, humido congruenti diluuntur ad commemoratos affectus. *Paſtillus Neapolitani.* ℞ Myrrhae ʒ vj, thuris drach. vj, gallae ʒ viij, lycii drach. viij, aluminis drach. viij, crocomagmatis ʒ viij, aloës ʒ viij, cytinorum drach. xij, aeris ʒ viij, vino Falerno excipiuntur. *Andronius inſcriptus.* ℞ Cytinorum ʒ x, ſciſſilis ʒ iv, chalcanthi drach. xij, myrrhae drach. quatuor, thuris ʒ viij, ariſtolochiae drach. viij, gallae immaturae drach. viij, paſſi heminas ij. Apud Heraclidem vero ita habet. ℞ Malicorii drach. x, ariſtolochiae drach. viij, gallarum ʒ viij, ſalis ammoniaci drach. iv, thuris drach. iv, ſiſſilis drach. quatuor, chalcanthi drach. ij,

Ed. Chart. XIII. [790. 791.] Ed. Baſ. II. (387.)

γλυκεῖ ἀναλάμβανε. Πολυείδου σφραγίς. ℞ σιδίων ≺ στ'. σμύρνης ≺ η'. στυπτηρίας σχιστῆς ≺ ε'. λιβάνου ≺ δ'. ἀλόης ≺ η'. χαλκάνθου ≺ γ'. χολῆς ταυρείας ≺ στ'. οἴνῳ γλυκεῖ ἀναλάμβανε. ἢ κορακίνη σφραγίς. ποιεῖ πρὸς παρισθμίων φλεγμονὰς καὶ κεχαλασμένας κιονίδας, οὖλα μυδῶντα, ποιεῖ πρὸς νομάς. ποιεῖ πρὸς τὰς περὶ τὴν ἕδραν διαθέσεις καὶ σύριγγας ἐκτυλοῖ. ℞ ἀριστολοχίας Κρητικῆς στρογγύλης, κυτίνων, χαλκίτεως ὀπτῆς, λιβάνου, σμύρνης, χαλκάνθου, κροκομάγματος, ἀλόης Ἰνδικῆς, χολῆς ταυρείας ἀνὰ ≺ η'. γλυκέος τὸ αὐτάρκες. τροχίσκος πρὸς νομάς. ℞ βράθυος ≺ ν'. σμύρνης ≺ γ'. σώρεως ≺ β'. κυπέρου ≺ β'. χαλκάνθου ≺ β'. λιβάνου ≺ β'. οἴνῳ ἀναλάμβανε. ἐν ἄλλαις γραφαῖς ἐλαίας φύλλων ≺ β'. μυρσίνης ξηρᾶς ≺ δ'. ὄρχεως βοτάνης ≺ δ'. ἀρσενικοῦ ≺ α'. σμύρνης ≺ δ'. ἐκ τῶν Ἡρακλείδου. ℞ ὄρχεως ≺ β'. ἀρσενικοῦ ≺ δ'. κηκίδων ≺ η'. λεπίδος ≺ η'. λεπίδος ≺ στ'. σώρεως ≺ η'. σμύρνης ≺ β'. λιβάνου [791] ≺ β'. ἀκακίας χυλίσματος ≺ β'. οἴνῳ ἀναλάμβανε. ὃ διὰ

myrrhae drach. iv, haec paſſo excipiuntur. *Polyide ſphragis.* ℞ Malicorii drach. ſex, myrrhae drach. octo, aluminis ſciſſilis drach. quinque, thuris drach. quatuor, aloës drach. octo, chalcanthi drach. iij, fellis taurini drach. ſex, vino dulci excipiuntur. *Coracine ſphragis. Facit ad tonſillarum phlegmonas et uvas laxatas, gingivas madentes reſiccat, nomas curat et ſedis affectus, fiſtulis callum exterit.* ℞ Ariſtolochiae Creticae rotundae, cytinorum, chalcitidis toſtae, thuris, myrrhae, chalcanthi, crocomagmatis, aloës Indicae, fellis taurini ſingulorum drach. octo, paſſi quantum ſatis eſt. *Paſtillus ad nomas.* ℞ Brathyos drach. quinquaginta, myrrhae drach. iii, ſoreos drach. duas, cyperi drach. duas, chalcanthi drach. duas, thuris drach. duas, vino excipiuntur. Aliae ſcripturae habent, oleae foliorum drach. duas, myrti ſiccae, orcheos herbae, utriusque drach. quatuor, arſenici drach. unam, myrrhae drach. iv. *Ex ſcriptis Heraclidis.* ℞ Orcheos ʒ ij, arſenici ʒ iv, gallae ʒ viij, ſquamae ʒ vj, ſoreos ʒ viij, myrrhae drach. ij, thuris ʒ ij, acaciae ſucci ʒ ij, vino excipiuntur. *Paſtillus ex ſtirpibus inſcri-*

Ed. Chart. XIII. [791.] Ed. Baſ. II. (387.)

[*Ἐπιτετευγμένον, ὡς Εὔνομος.*] ♃ *Μίσυος* ξενικοῦ ≺ ιστ'. σώρεως ≺ ιβ'. χαλκοῦ κεκαυμένου ≺ β'. λίθου σχιστοῦ κεκαυμένου ≺ η'. χαλκάνθου ≺ δ'. σανδαράχης ≺ δ'. στυπτηρίας σχιστῆς ≺ δ'. λείοις χρῶ καταπάσσων καὶ προσθλίβων τῷ πυρῆνι. πρὸς νομάς. τὰ σηπεδονώδη τῶν ἑλκῶν, ὅταν ἐπινέμηται τοὺς πέριξ τόπους, ὀνομάζουσιν ἰδίως νομάς, καὶ δῆλον ὅτι τῶν σφοδροτάτων φαρμάκων αἱ τοιαῦ-

tem ſic. ♃ Chalcitidis drach. duodecim, cadmiae drach. vj, ſandarachae ʒ vj, aceto excipiuntur. *Aliud.* ♃ Chalcitidis toſtae, chalcanthes toſtae, cadmiae toſtae, ſingulorum paria pondera jejunus excipito ſaliva. *Quod inſcribitur robuſtum.* ♃ Chalcitidis toſtae drach. viij, chalcanthi ʒ viij, ſandarachae ʒ viij, cadmiae ʒ viij, ſicca inſpergito. *Dia teſſaron,* id eſt quod ex quatuor conſtat. ♃ Chalcitidis toſtae ʒ iv, miſyos toſtae drach. iv, diphrygis drach. iv, chalcanthi uſtae ʒ iv, utitor. *Cruſtam inducens valde generoſum.* ♃ aluminis fiſſilis ʒ xvj, atramenti ſutorii ʒ xvj, gallarum ʒ xvj, miſyos Cyprii ʒ xvj, ſoreos ʒ iv, contritis utitor.

[*Confectum, ut Eunomus.*] ♃ Miſyos peregrini drach. ſedecim, ſoreos drach. duodecim, aeris uſti drach. duas, lapidis fiſſilis uſti drach. viij, atramenti ſutorii ʒ iv, ſandarachae ʒ iv, aluminis fiſſilis ʒ iv, tritis utitor inſpergens et ſpecillo comprimens. *Ad nomas.* Putrida ulcera quum ambientes partes depaſcunt, nomas proprie appellant, ac conſtat tales affectus vehementiſſimis medicamentis indigere,

Ed. Chart. XIII. [799.] Ed. Baſ. II. (391.)

ται δέονται διαθέσεις, ἀμέλει καὶ καυστηρίοις ἐπ᾽ αὐτῶν χρώμεθα πολλάκις. πρὸς νομὰς Ἀσκληπιάδου. Λευκίου καθηγητοῦ πρὸς νομάς. ℞ θείου ἀπύρου ⊰ β′. ἀρσενικοῦ ⊰ β′. λεπίδος ⊰ β′. χαλκοῦ κεκαυμένου, ὥστε χρῶσαι, ξηρῷ καὶ μετὰ μέλιτος.

[*Πουπλίου τοῦ καθηγητοῦ.*] ℞ Ἀρσενικοῦ ⊰ δ′. λεπίδος ⊰ β′. ἐλατηρίου ⊰ α′. χάρτου ὥστε χρῶσαι. ὡς δὲ Εὔνομος ἐχρήσατο. ℞ ἀρσενικοῦ ⊰ δ′. λεπίδος ⊰ δ′. θείου ἀπύρου ⊰ β′. ἐλατηρίου ⊰ β′. χάρτου κεκαυμένου ὥστε χρῶσαι. ἐν ἄλλαις γραφαῖς, σανδαράχης ⊰ δ′. λεπίδος ⊰ στ′. ἀῤῥενικῆς ⊰ δ′. ἐλατηρίου ⊰ β′. χάρτου κεκαυμένου ⊰ δ′. ἐκ τῶν Ἀρείου πρὸς νομὰς, ἥτις καὶ τὰ ῥυπαρὰ ἀνακαθαίρει χωρὶς δήξεως ἀντιμένη ῥοδίνῳ. ποιεῖ καὶ πρὸς τὰς ἐν μήτρᾳ ἀναβρώσεις. ἔδωκε Θεότροπος. ℞ ἀρσενικοῦ ⊰ δ′. χάρτου κεκαυμένου ⊰ δ′. μολύβδου κεκαυμένου καὶ πεπλυμένου ⊰ δ′. λεπίδος χαλκοῦ ⊰ δ′. ἕκαστον τρῖβε κατ᾽ ἰδίαν, εἶθ᾽ ὁμοῦ μίξας χρῶ πρὸς τὰς προειρημένας διαθέσεις. ὡς

nam in ipſis ſaepe etiam cauteriis utimur. *Ad nomas, Aſclepiadis, medicamentum Lucii praeceptoris ad nomas.* ℞ Sulfuris vivi drach. duas, auripigmenti drach. duas, ſquamae drach. duas, aeris uſti quantum color exigit, arido et cum melle utitor.

[*Publii praeceptoris.*] ℞ Auripigmenti drach. iv, ſquamae drach. duas, elaterii drach. unam, chartae quantum ad colorem ſatis eſt. *Ut autem Eunomus uſus eſt.* ℞ Arſenici drach. quatuor, ſquamae drach. quatuor, ſulfuris vivi drach. duas, elaterii drach. duas, chartae uſtae quantum ad colorem ſufficit. In aliis ſcripturis eſt, ſandarachae drach. quatuor, ſquamae drach. ſex, arſenici ʒ iv, elaterii drach. duas, chartae uſtae drach. iv. *Medicamentum Arei ad nomas, quod etiam ſordida purgat citra mordicationem roſaceo dilutum. Facit etiam ad vulvae exulcerationem. Dedit Theotropus.* ℞ Arſenici drach. quatuor, chartae uſtae drach. quatuor, plumbi uſti et eloti drach. quatuor, ſquamae aeris drach. quatuor, ſingula per ſe teruntur, poſtea ſimul miſcentur. Utitor ad praedictos affectus.

Ed. Chart. XIII. [799. 800.] Ed. Baſ. II. (391.)

δὲ Πτολεμαῖος ἐχρήσατο. ♃ μολύβδου κεκαυμένου, ἀρσενικοῦ, λεπίδος, χάρτου κεκαυμένου ἀνὰ ≺ δ'. θείου ἀπύρου ≺ β'. λείοις χρῶ. ὡς δὲ Ἀπελλῆς. φάρμακον ἐπιτετευγμένον διὰ χάρτου ἐπιγραφόμενον πρὸς νομάς. οὐ μόνον δὲ ἵστησιν, ἀλλὰ καὶ κωλύει ἀρχομένην. ποιεῖ δὲ καὶ δυσεντερικοῖς ἐγχυματιζόμενον διὰ ῥοδίνου. ἐπειδὰν δὲ, φησὶν, ἐγχυματιζόμενον δυσεντερικοῖς ἀναδάκνηται, ὕποπτον εἶναι τὴν νομήν. τὰ δὲ τῆς συνθέσεως ἔχει οὕτως. ♃ χάρτου κεκαυμένου, μολύβδου κεκαυμένου καὶ χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου, ἀρσενικοῦ, λεπίδος στομώματος ἑκάστου ἴσον, θείου ἀπύρου τὸ ἥμισυ, λείοις χρῶ ἢ μετὰ μέλιτος ἢ ῥοδίνου Μοσχίωνος πρὸς νομάς. ♃ ἐλατηρίου δραχμὰς β'. χάρτου κεκαυμένου δραχμὰς β'. λεπίδος χαλκοῦ δραχμὰς δύο, ἀρσενικοῦ δραχμὰς δ'. ἰοῦ σκώληκος δραχμὴν α'. ἁλὸς ἀμμωνιακοῦ δραχμὴν μίαν, λείοις χρῶ μετὰ ῥοδίνου.

[Εὐῶδες Λευκίου καθηγητοῦ.] ♃ Λεπίδος ≺ δ'. κηκίδος δραχμὰς δ'. σανδαράχης ≺ β'. ἀρσενικοῦ δραχμὰς β'. σμύρνης δραχμὴν α'. [800] χαλκάνθου δραχμὴν α'. λιβάνου

Ptolemaeus autem ita uſus eſt. ♃ Plumbi uſti, arſenici, ſquamae, chartae uſtae ſingulorum drach. quatuor, ſulfuris vivi drach. duas, tritis utitor. *Ut autem Apelles. Medicamentum confectum, quod ex charta inſcribitur, nomas non ſolum ſiſtit, ſed etiam incipientes prohibet. Facit et ad dyſentericos infuſum roſaceo.* Quum autem ait inſtillatum dyſentericis, ſuſpicionem ſubeſſe de nome indicatur, compoſitio ita habet. ♃ Chartae uſtae, plumbi uſti, aeris uſti et eloti, arſenici, ſquamae ſtomomatis, ſingulorum aequas portiones, ſulfuris vivi dimidium, tritis utitor vel cum melle vel roſaceo. *Moſchionis ad nomas.* ♃ Elaterii drach. duas, chartae uſtae drach. duas, ſquamae aeris drach. duas, auripigmenti drach. quatuor, aeruginis ſcoleciae drach. unam, ſalis ammoniaci drach. unam, tritis utitor et cum roſaceo.

[*Odoriferum Lucii praeceptoris.*] ♃ Squamae drach. quatuor, gallae drach. iv, ſandarachae drach. ij, arſenici ʒ ij, myrrhae ʒ j, atramenti ſutorii drach. j, thuris drach. ij,

Ed. Chart. XIII. [800.] Ed. Baf. II. (391.)

≺ β'. ἐλατηρίου ≺ α'. χάρτου κεκαυμένου ὥστε χρῶσαι. ὡς δὲ ἡμεῖς. ♃ λεπίδος ≺ η'. κηκίδος ≺ η'. σμύρνης ≺ η'. σανδαράχης ≺ δ'. ἀρσενικοῦ ≺ δ'. ἐλατηρίου ≺ δ'. λιβάνου ≺ γ'. χαλκάνθου ≺ γ'. χάρτου ὥστε χρῶσαι. ὡς δὲ Ἱρασίων. ♃ ἀρσενικοῦ ≺ β'. λεπίδος ≺ β'. χαλκάνθου δραχμὴν α'. σανδαράχης ≺ β'. σμύρνης δραχμὴν α'. λιβάνου ≺ α'. κηκίδων δραχμὴν α'. χάρτου ≺ δ'. λείοις καὶ μετὰ ῥοδίνου. Ἡρακλείδης δὲ ταύτην εἶχε τὴν γραφήν. ♃ κηκίδων ≺ στ'. ἀρσενικοῦ ≺ δ'. σανδαράχης ≺ δ'. λεπίδος ≺ δ'. λιβάνου ≺ γ'. χαλκάνθου ≺ γ'. σμύρνης μιναίας ≺ β'. χάρτου ≺ η'. ὡς δὲ Κλεόβουλος. ♃ λεπίδος ≺ β'. σανδαράχης ≺ β'. ἀρσενικοῦ ≺ β'. σμύρνης δραχμὴν α'. λιβάνου δραχμὴν α'. χαλκάνθου δραχμὴν α'. κηκίδος ≺ α'. χάρτου ὥστε χρῶσαι.

Κεφ. ιε'. [Πρὸς ἄνθρακας.] Ὁ ἄνθραξ ἕλκος ἐστὶν, ἐσχάραν ταχὺ ποιοῦν, μετὰ φλεγμονῆς ἰσχυρᾶς τοῦ πέριξ μορίου παντὸς, ὥστε καὶ πυρετοὺς ἐπιφέρεσθαι σφοδροὺς

elaterii drach. unam, chartae uſtae, quantum colorem efficit. *Nos autem ſic.* ♃ Squamae drach. viij, gallae ʒ viij, myrrhae drach. viij, ſandarachae drach. quatuor, arſenici drach. iv, elaterii drach. quatuor, thuris drach. tres, atramenti ſutorii drach. tres, chartae quo colorem acquirat. *Ut Praſion.* ♃ Arſenici drach. ij, ſquamae drach. ij, chalcanthi drach. unam, ſandarachae drach. ij, myrrhae ʒ j, thuris drach. j, gallae drach. j, chartae drach. quatuor, tritis et cum roſaceo utitor. *Heraclides hanc deſcriptionem habebat.* ♃ Gallae ʒ vj, arſenici ʒ iv, ſandarachae ʒ iv, ſquamae ʒ iv, thuris ʒ iij, chalcanthi ʒ iij, myrrhae mineae ʒ ij, charta ʒ viij. *Ut Cleobulus.* ♃ Squamae drach. ij, ſandarachae drach. duas, arſenici drach. duas, myrrhae drach. unam, thuris ʒ j, atramenti ſutorii ʒ j, gallae ʒ j, chartae, ut colorem accipiat.

Cap. XV. [*Ad carbunculos.*] Carbunculus ulcus eſt cruſtam cito cum inflammatione totius partis circumdatae valida faciens, ut et febres vehementes et extrema peri-

Ed. Chart. XIII. [800.] Ed. Baſ. II. (391.)

καὶ κινδύνους ἐσχάτους, ὥστε χρὴ κατ' αὐτῆς μὲν τῆς ἐσχάρας ἰσχυρὸν τιθέναι φάρμακον, καὶ τούτων γε ὁποῖα πρὸς νομὰς ἁρμόζειν εἴρηται, τὰ δὲ πέριξ καταπλάσσειν καταπλάσμασιν ὁμαλὴν ἔχουσι δύναμιν, ὡς ἀποκρούεσθαί τε καὶ μετρίως ἐμψύχειν καὶ διαφορεῖν. ἀλλὰ περὶ μὲν τῶν καταπλασμάτων ἐν τῇ περὶ τούτων πραγματείᾳ λέλεκται· νυνὶ δὲ τῶν ὑπ' Ἀσκληπιάδου γεγραμμένων μνημονεύσομεν. πρὸς ἄνθρακας τὰ ὑπ' Ἀσκληπιάδου. ἡ τοῦ Μασσαλιώτου. ταύτην ἐξέθηκε τῇ πόλει πρὸς τὴν δύναμιν, διὰ τὸ τοὺς ἄνθρακας ἐπιπολάζειν καὶ πολλοὺς ἀφαιρεῖσθαι. ℔ χρυσοκόλλης ≺ δ'. νίτρου ὀπτῆς ≺ δ'. λίθου Ἀσίου ≺ δ'. ἀρσενικοῦ ≺ δ'. σανδαράχης ≺ δ'. μίσυος ὀπτοῦ ≺ δ'. χαλκίτεως ≺ δ'. στυπτηρίας σχιστῆς ≺ δ'. διφρυγοῦς ≺ δ'. τρίψαντες καθ' ἓν καὶ ὁμοῦ ἀποτιθέμεθα εἰς ἀγγεῖον χαλκοῦν Κύπριον. ἐπὶ δὲ τῆς χρήσεως ἐπιτίθεμεν προσθλίβοντες τῷ πλάτει τῆς μήλης, ἕως μελανθῇ ὁ ἄνθραξ, εἶτ' ἐπιτίθεμεν ἐπάνω τὴν ὑπογεγραμμένην χλωράν. ἔστι δὲ αὕτη. ℔ λιβάνου ≺ α'. ἰοῦ ξυστοῦ δραχμὴν α'. λεπίδος χαλκοῦ δρα-

cula inferat. Quare ipſi cruſtae valens medicamentum imponere oportet et ex iis, quae ad nomas conducere dictum eſt, circumpoſitas autem partes cataplasmatis fovere, quae aequalem vim habeant, ut repellant et mediocriter refrigerent et diſcutiant. Verum de cataplasmatis in proprio libro dictum eſt. Nunc ab Aſclepiade ſcripta percenſebimus. *Ad carbunculos medicamenta ab Aſclepiade prodita. Medicamentum Maſſaliotae.* Hoc propter vires civitati dedit, quod carbunculi abundarent ac multos perderent. ℔ chryſocollae drach. quatuor, nitri toſti drach. quatuor, lapidis Aſii drach. quatuor, arſenici drach. quatuor, ſandaracliae drach. quatuor, miſyos toſti drach. iv, chalcitidis drach. iv, aluminis ſiſſilis drach. quatuor, diphrygis drach. quatuor, trita omnia ſigillatim ſimulque in vas aereum Cyprium reponimus. Dum uſus poſcit, imponimus, apprimentes ſpecilli latitudine, donec carbunculus nigreſcat. Deinde ſuprapONIMUS infraſcriptum viride, quod ita habet. ℔ Thuris drach. unam, aeruginis raſae drach. unam, ſquamae aeris drach.

Ed. Chart. XIII. [800 801.] Ed. Baſ. II. (391.)

χμὴν μίαν, στυπτηρίας σχιστῆς ὀβολοὺς τέσσαρας, ἁλὸς ἀμμωνιακοῦ ὀβολοὺς τέσσαρας, κηροῦ δραχμὰς ζ'. ὀβολοὺς τρεῖς, ῥητίνης πιτυΐνης ξηρᾶς δραχμὰς ιε'. ἐλαίου παλαιοῦ κοτύλην α'. τὰ ξηρὰ τρῖβε ἐν ἡλίῳ μετὰ ὄξους. τὰ δὲ τηκτὰ τῆκε καὶ κατέρα καὶ ἀνακόψας ἀνελόμενος χρῶ. παρὰ Δημοσθένει τῷ Μασσαλιώτῃ τῷ τε φάρμακον συντιθέντι ἐλαίου ἔχει κοτύλας δύο.

[Ἀπίωνος πρὸς ἄνθρακας.] ℔ Νίτρου ἐρυθροῦ, ἀρσενικοῦ, σανδαράχης, χαλκίτεως, χαλκάνθου, διφρυγοῦς, ἑκάστου τὸ ἴσον, ὄξει λειοτριβῶν καὶ ξηράνας καὶ πάλιν τρίψας χρῶ. Ἀπολλωνίου ὀργανικοῦ. ℔ χρυσοκόλλης δραχμὴν μίαν, στυπτηρίας σχιστῆς δραχμὴν α'. καὶ στρογγύλης δραχμὴν μίαν, σανδαράχης δραχμὴν μίαν, ὤχρας δραχμὴν α'. μίσυος ὠμοῦ δραχμὴν α'. χαλκάνθου δραχμὴν α'. λείοις χρῶ. [801] ἡ ἀνθίζουσα Μάγνου πρὸς σηπεδόνας, νομὰς, ἄνθρακας, πτερύγια, ὦτα πυορροοῦντα, ποιεῖ καὶ πρὸς τὰς ἐν τῷ στόματι νομάς. ℔ στυπτηρίας σχιστῆς ≺ η'. χαλκίτεως ≺ στ'. σανδαράχης ≺ γ'. σιδίων ῥοᾶς ξηρῶν ≺ β'. χαλκάνθου ≺ α'.

unam, aluminis ſiſſilis obolos quatuor, ſalis ammoniaci obolos iv, cerae drach. ſeptem, obolos tres, reſinae pityinae aridae drach. quindecim, olei veteris heminam unam, arida in ſole cum aceto teruntur, quae liqueſieri poſſunt, liquantur et immittuntur, ubi rurſus contuderis aſſumens utitor. Apud Demoſthenem Maſſaliotam, qui medicamentum compoſuit, olei habet duas heminas.

[*Apionis ad carbunculos.*] ℔ Nitri rubri, arſenici, ſandarachae, chalcitidis, atramenti ſutorii, diphrygis, ſingulorum parem menſuram, aceto laevigentur et exiccatis rurſusque tritis utitor. *Apollonii organici.* ℔ Chryſocollae drach. unam, aluminis ſciſſilis drach. unam et rotundi drach. unam, ſandarachae drach. unam, ochrae drach. unam, miſyos crudi drach. unam, atramenti ſutorii ʒ j, tritis utitor. *Florida Magni ad putredines, nomas, carbunculos, pterygia, aures ſuppurantes. Valet etiam ad oris nomas.* ℔ Aluminis ſiſſilis drach. viij, chalcitidis drach. ſex, ſandarachae ʒ iij, mali punici corticis ſiccae drach. ij, atra-

Ed. Chart. XIII. [801.] Ed. Baſ. II. (391. 392.)

μίσυος ≺ β'. νίτρου ≺ β'. ὀμφακίνου ξηροῦ ≺ β'. χρῶ ξηρῷ καὶ μετὰ μέλιτος. (392) ἄλλο Διοδώρου. ℞ κηκίδος ὀμφακίνης ≺ δ'. μίσυος ≺ β'. χαλκίτεως ≺ β'. ἀρσενικοῦ ≺ β'. σανδαράχης ≺ β'. στυπτηρίας σχιστῆς, χαλκάνθου, λίθου Ἀσίου, διφρυγοῦς, νίτρου ἐρυθροῦ ἀνὰ ≺ α'. λείοις κατάπασσε παραπτόμενος πυρῆνι μήλῃ. ἴσχαιμος Ἀσκληπιάδου. Λευκίου καθηγητοῦ φάρμακον ἐπιτετευγμένον. ℞ χαλκίτεως ≺ ιστ'. μάννης ≺ ιβ'. τερμινθίνης ὄξει πεφυρμένης, ξηροῖς κατάπασσε τοὺς αἱμορῥαγοῦντας τόπους. ἐν ἄλλαις δύο εὑρήκαμεν γραφαῖς μᾶλλον. ℞ χαλκίτεως ≺ η'. μάννης ≺ ιστ'. τερμινθίνης πεφρυγμένης ≺ ιστ'. ὡς δὲ Διοσκορίδης ὁ Ταρσεὺς ἔδωκεν Ἀρείῳ τῷ Ἀσκληπιαδείῳ θαυμαστῶς κατέχον τὰς αἱμορῥαγίας. ℞ χαλκίτεως ≺ η'. μάννης ≺ ιστ'. ῥητίνης ξηρᾶς ≺ η'. γύψου ≺ η'. τὰ μὲν ἄλλα κόπτεται καὶ σήθεται καὶ μίγνυται καὶ ἀποτίθεται εἰς χαλκῆν πυξίδα. ἐπὶ δὲ τῆς χρήσεως ἴσον τοῦ φαρμάκου τῇ γύψῳ μίγνυται. ἐκ τῶν Ἡρακλείδου πρὸς αἱμορῥοΐδας. τούτῳ ἐχρήσατο πρὸς

mienti ſutorii ʒ j, miſyos ʒ ij, nitri drach. ij, omphacini ſicci drach. ij. Sicco et cum melle utitor. *Aliud Diodori.* ℞ Gallae omphacinae drach. iv, miſyos drach. ij, chalcitidis ʒ ij, auripigmenti ʒ ij, ſandarachae drach ij, aluminis ſiſſilis, atramenti ſutorii, lapidis Aſii, diphrygis, nitri rubri, ſingulorum drach. j, tritis inſpergito, comprimens ſcalpelli ſummo *Sanguinem ſiſtens Aſclepiadis, Lucii praeceptoris medicamentum confectum.* ℞ Chalcitidis drach. xvj, mannae drach. xij, terebinthinae aceto ſubactae. Siccis conſperge locos, unde ſanguis profluit. *In aliis duabus ſcripturis magis invenimus*, chalcitidis drach. octo, mannae ʒ xvj, terebinthinae frictae drach. xvj. *Dioſcorides Tarſeus tradidit Areo Aſclepiadeo medicamentum mirifice ſanguinis profluvia comprimens.* ℞ Chalcitidis drach. viij, mannae drach. ſedecim, reſinae ſiccae ʒ octo, gypſi ʒ octo Alia contunduntur, cribrantur, miſcentur, in aerea pyxide reponuntur. Ubi uſus poſtulat, pares portiones medicamenti cum gypſo miſcentur. *Ex libris Heraclidis, medicamentum*

Ed. Chart. XIII. [801.] Ed. Baſ. II. (392.)

τὰς τῶν μυκτήρων αἱμορῥαγίας, ἔριον καταβάπτων καὶ συστρέφων ὥσπερ ἐλλύχνιον. ℞ σιδίων ὀξείας ῥοιᾶς οὐγγίας γ'. στυπτηρίας Αἰγυπτίας οὐγγίας δ'. χαλκίτεως γο α'. λείοις χρῶ. ἐπὶ δὲ τῶν μυκτήρων ἔριον πληρώσας τοῦ φαρμάκου ἐντίθει. ὁ λεγόμενος Ἡρακλῆς πρὸς αἱμορῥαγίας. τούτῳ ἀντὶ καυτηρίου ἐχρήσατο, ἔστι δὲ ἐσχαρωτικόν. ποιεῖ καὶ πρὸς πτερύγια, καταστέλλει πᾶσαν ἐξοχὴν, ὀστᾶ ἀνάγει, ἀφίστησι λεπίδας. ℞ σώρεως ≺ δ'. χαλκάνθου ≺ δ'. χαλκίτεως κεκαυμένης ≺ δ'. ῥοὸς βυρσοδεψικοῦ ≺ δ'. λείοις χρῶ. ἴσχαιμον ἐπιτετευγμένον. ℞ μίσυος ξενικοῦ ≺ στ' χαλκάνθου ≺ στ'. πίτυος φλοιοῦ ≺ δ'. χαλκίτεως ≺ δ'. μάννης ≺ δ'. ἄλλοι κ'. γυψοῦ ≺ δ'. λείοις χρῶ. ἄλλο. ℞ λιβάνου γο α'. μίσυος ξενικοῦ ≺ δ'. κηκίδων ὀμφακίνων ≺ δ'. χαλκίτεως ≺ δ'. φελλῶν κεκαυμένων ≺ η'. ῥοῦς βυρσοδεψικῆς ≺ δ'. λείοις χρῶ.

ad haemorrhoidas. Hoc uſus eſt ad ſanguinis ex naribus profluvia, lanam intingens et convolvens tanquam ellychnium. ℞ Acidi mali punici corticis ʒ iij, aluminis Aegyptii ʒ iv, chalcitidis ʒ j, tritis utitor, naribus vero lanam medicamento repletam imponito. *Hercules cognomento, ad ſanguinis eruptiones hoc loco cauterii uſus eſt. Cruſtam autem inducit. Facit etiam ad pterygia, reprimit omnem excreſcentiam, oſſa reducit, removet ſquamas.* ℞ Soreos ʒ iv, atramenti ſutorii ʒ iv, chalcitidis uſtae drach. quatuor, rhu coriarii drach. iv, tritis utitor. *Sanguinem ſiſtens compoſitum.* ℞ Miſyos peregrini drach. vj, atramenti ſutorii drach. vj, piceae corticis ʒ iv, chalcitidis drach. iv, mannae drach. iv, alii xx, gypſi drach. iv, tritis utitor. *Aliud.* ℞ Thuris unciam j, miſyos peregrini drach. iv, gallae omphacinae ʒ iv, chalcitidis drach. iv, ſuberis uſti ʒ viij, rhu coriariae drach. iv, tritis utitor.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΓΕΝΗ ΒΙΒΛΙΟΝ Ζ.

Ed. Chart. XIII. [802.] Ed. Baſ. II. (392.)

Κεφ. α΄. Τὰς πολυχρήστους ὀνομαζομένας ἐμπλάστρους, ἐπειδὴ πολλαῖς διαθέσεσιν ἁρμόττουσι, διελόμενος, ἐν μὲν τῷ πρὸ τούτου γράμματι τὰς δυναμένας ἅμα τοῖς ἄλλοις οἷς ἐπαγγέλλονται καὶ τὰ δυσθεράπευτα τῶν ἑλκῶν ἰᾶσθαι, συνήθροισα. νυνὶ δ' ἐφ' ἕτερον γένος τῶν πολυχρήστων ἐμπλάστρων μεταβήσομαι πρὸς ἄλλα τε πολλὰ ποιούσης ἑκάστης καὶ μέντοι καὶ πρὸς τὰ σηπόμενα τῶν μορίων,

GALENI DE COMPOSITIONE MEDICAMENTORVM PER GENERA LIBER VI.

Cap. I. Superiore commentario emplaſtra dicta polychreſta, quod multis conveniant affectibus, diſtinguentes ea collegimus, quae praeterquam aliis, etiam ulceribus aegre ad ſanitatem pervenientibus mederi pollicentur. In praeſentia vero ad aliud emplaſtrorum genus multiplici uſui accommodatum digrediar, quae ſingula tum ad alia multa faciunt tum ad partes putreſcentes aliter affectas quam

Ed. Chart. XIII. [802. 803.] Ed. Baſ. II. (392.)

ἑτέρας ὄντα διαθέσεως, ταῦτα τῶν ἰδίως δυσθεραπεύτων ὀνομαζομένων ἑλκῶν. ἐπὶ μὲν γὰρ τούτων ἡ σηπεδὼν ἐπινέμεται καὶ διὰ τοῦτο καλοῦσι τὰς διαθέσεις ταύτας οἱ πολλοὶ τῶν ἰατρῶν νομὰς, ἐπ᾽ ἐκείνων δὲ περιγέγραπται καθ᾽ ἓν χωρίον ἄνευ σηπεδόνος, ὥστε καὶ τὰς φαγεδαίνας ὀνομαζομένας ἀνεσθίειν μὲν τὰ συνεχῆ, χωρὶς μέντοι τοῦ σήπειν αὐτὰ καὶ πυρετοὺς ἐπιφέρειν, ὅπερ εἴωθεν ἀκολουθεῖν τοῖς μετὰ σηπεδόνος νομώδεσι. κεφάλαιον δὲ τῆς ἰάσεως ἦν, ἐπὶ μὲν τοῦ προειρημένου γένους τῶν δυσθεραπεύτων ἑλκῶν, ἃ καὶ χειρώνεια καλοῦσιν, εὑρεῖν φάρμακα, καθόσον οἷόν τε μὴ δάκνοντα μὲν, ἰσχυρῶς δὲ ξηραίνοντα. ταυτὶ δὲ τὰ νῦν γραφησόμενα δακνώδη πάντ᾽ ἐστὶν, εἴ τις αὐτοῖς ἀκράτοις ἄνευ τοῦ μιχθῆναι κηρωτῇ χρῷτο. μιγνύμενα δὲ κηρωτῇ καθῆραι μὲν ἕλκος ῥυπαρὸν καὶ σαρκῶσαι δύναται καί τινα καὶ διαφορῆσαι σκληρότητα καὶ τάσιν, οὐ μὴν τὰ [803] δυσθεράπευτά γε ἰᾶσθαι. δηλοῖ δ᾽ αὐτῶν τὴν δύναμιν τὰ πάθη πρὸς ἃ πεπίστευται παραλαμβάνεσθαι καλῶς· ὃ καὶ κατὰ τὸν ἔμπροσθεν εἴρηται λόγον καὶ νῦν ἐρῶ, μεμνῆσθαι

ulcera, quae proprie curatu difficilia nuncupantur. Etenim has putrilago depaſcitur, eoque turba medicorum hos affectus nomas, id eſt *depaſtiones*, appellat, illa vero uno loco ſine putrilagine circumſcripta ſunt, ut et phagedaenae dictae vicina quidem depaſcunt, non tamen ea putrefaciunt febresque inferunt, quod iis, quae depaſtionem cum putrilagine ſuſtinent, accidere conſuevit. Summa curationis erat in praedicto ulcerum aegre curabilium genere, chironia quoque vocant, medicamenta invenire, quatenus licet mordacitatis expertia, valide autem exiccantia. Ad haec quae nunc ſcribentur, omnia mordacia ſunt, ſi quis ipſis ſolis non cerato temperatis utatur. Quae autem cerato miſcentur, purgare quidem ulcus ſordidum et carne replere poſſunt, atque etiam duritiem quandam et tenſionem diſcutere, non autem difficilia curatu ſanare. Indicant ipſorum facultatem affectus quibus bene adhiberi credita ſunt. Quod jam ſuperius admonui et nunc dicturus ſum, meminiſſe videlicet

Ed. Chart. XIII. [803.] Ed. Baſ. II. (392.)

χρὴ τῶν γεγραμμένων ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ, κατὰ μὲν τὰ πρῶτα βιβλία τὴν μέθοδον εἰπόντος μου, καθ' ἣν εὑρίσκονται τῶν φαρμάκων αἱ δυνάμεις, μετὰ τοῦ καὶ γυμνάσασθαι κατ' αὐτὴν ἐπὶ παραδειγμάτων πλειόνων, ἐν δὲ τοῖς ἑξῆς ἑκάστου κατ' ὄνομα μνημονεύσαντος. ὁ γὰρ ἐκείνων μεμνημένος εὐκόλως παρακολουθήσει τῷ λογισμῷ τῶν συνθέντων ταυτὶ τὰ φάρμακα τὰ νῦν ἡμῖν προκείμενα καὶ δηλονότι καὶ αὐτὸς ἕτερα συνθήσει, καθ' ὃν ἂν χρόνον ἀπορῇ τῶν ἤδη προπεπειραμένων. πολλὰ γὰρ τοιαῦτα συμβαίνει πολλοῖς ἐν ἀποδημίαις, ταῖς τε ἄλλαις καὶ μάλιστα ταῖς κατὰ πλοῦν, ὅπου γε καὶ κατὰ χώραν μενόντων ἀπώλετό τινων ἡ παρασκευὴ τῶν φαρμάκων, ἐξ ὧν ἐθεράπευον τοὺς δεομένους, ὥσθ' ὑπὸ λύπης αὐτοὺς συντακέντας ἀποθανεῖν. ἄριστον μὲν οὖν ἤδη τοῖς πεῖραν δεδωκόσι φαρμάκοις χρῆσθαι κατὰ τὴν εἰρημένην μέθοδον. εἰ δ', ὡς ἔφην, ἀπορήσαιμέν ποτε τούτων, ἔξιν ἔχειν αὐτοὺς τοιαύτην, ὡς δύνασθαι συντιθέναι παραπλήσια τοῖς ἤδη δεδωκόσιν ἱκανὴν πεῖραν, ὥσπερ πολλάκις κἀμὲ ὁρᾶτε πράτ-

oportet illorum, quae in opere de ſimplicibus medicamentis prodita ſunt. In cujus primis quinque libris methodum ſeu rationem expoſui, qua medicamentorum facultates inveniantur, ſimul quoque in pluribus exemplis ejus exercitatione propoſita, in ſequentibus vero ſingulorum nominatim mentionem feci. Nam illorum memor ex facili rationem eorum, qui haec medicamenta a nobis modo propoſita compoſuerunt, aſſequeris, et videlicet ipſe quoque alia conficies, quocunque tempore prius expertorum inopia laboraveris, multa ſiquidem hujusmodi non paucis contingunt in itinere, cum alio tum maxime navali. Quandoquidem etiam in patria quidam manentes, medicamentorum apparatum, unde aegros curabant, amiſerunt, ut prae triſtitia ipſi tabefacti perierint. Optimum igitur medicamenta jam explorata ſecundum dictam methodum uſurpare, ſin autem, ut dixi, nonnunquam haec deſideremus, habitum talem nos habere, quo ſimilia jam abunde expertis poſſimus componere, quemadmodum et me ſaepe agentem in itinere et alibi

Ed. Chart. XIII. [803.] Ed. Baſ. II. (372.)

τοντα κατά γε τὰς ἀποδημίας καὶ ἄλλως. ἔνια γοῦν τῶν αὐτοσχεδιασθέντων ἐν τοιαύταις περιστάσεσι βασανισθέντα τῇ πείρᾳ τῶν ἐνδοξοτάτων οὐδὲν ἐφάνη χείρω. τὴν μὲν γὰρ πρώτην αὐτῶν σύνθεσιν ἐκ στοχασμοῦ τεχνικοῦ ποιούμεθα, μετὰ ταῦτα δὲ ἀπὸ τῆς πείρας, ἐνίων μὲν φανέντων δοκιμωτάτων, ἐνίων δ' ἀπολειπομένων τοῦ σκοποῦ, δευτέρα πάλιν ἐπανόρθωσις γίνεται. καὶ τρίτη δ' ἐνίοτε πρὸς τὸ τέλειον ἄγουσα τῆς ἐπαγγελίας αὐτά. χωρὶς δὲ τῆς εἰρημένης μεθόδου κατά τε τὰ πρόσθεν ὑπομνήματα καὶ κατὰ τῆς θεραπευτικῆς πραγματείας, χρήσασθαί τε τοῖς ἔμπροσθεν εἰρημένοις ὀρθῶς ἀδύνατον, αὐτόν τε συνθεῖναι παραπλησίως ἐκείνοις ἔτι γε ἀδυνατώτερον. ἤδη τοίνυν ἄρξομαι τῶν τοιούτων ἐμπλάστρων. τὴν διὰ βοτανῶν γεγράφασιν ἅπαντες σχεδὸν οἱ τὰς ἐνδόξους ἐμπλάστρους ἀθροίσαντες ἐν γραφαῖς βίβλου μιᾶς ἢ πλειόνων, οὐ πολὺ διαφερόμενοι τῇ συμμετρίᾳ τῶν μιγνυμένων φαρμάκων ἁπλῶν. ἄρξομαι δὴ κἀντεῦθα τῶν τῷ Κρίτωνι γεγραμμένων, πρῶτον μνημονεύων ὡς Κρίτων ἔγραψεν ἐμπλάστρους ἐν τῷ δ'. περὶ τῶν ἁπλῶν φαρμάκων αὐτῇ λέξει.

vidiſtis. Nonnulla igitur, quae proprio marte in hujusmodi temporum occaſionibus condidi, poſtquam experientia probaſſem, nihil pejora vel celebratiſſimis apparuerunt. Nam primam ipſorum compoſitionem ex conjectura artificiali molimur, poſtea vero quum nonnulla per experimentum probatiſſima viſa fuerint, nonnulla a ſcopo abſint, ſecunda rurſus correctio ſit et tertia nonnunquam qua ad perfectionem ejus, quod praeſtare volumus, ipſa redigimus. At ſine methodo et in prioribus et in therapeutices libris expoſita, uti praedictis recte nemo poteſt, tantum abeſt ut ſimilia ipſis conficiat. Jam igitur hujusmodi emplaſtra exordiar. Emplaſtrum dia botanon appellatum prope omnes, qui inſignia emplaſtra in uno libro vel pluribus collegerunt, tradidere, non multum in mixturae ſimplicium medicamentorum ſymmetria diſcrepantes. Incipiam ergo et hic a Critone, emplaſtra illa commemorans, quae in quarto de ſimplicibus medicamentis ita ad verbum literis mandavit.

Ed. Chart. XIII. [803. 804.] Ed. Baſ. II. (393.)

Κεφ. β'. (393) [*Ἡ διὰ βοτανῶν Κρίτωνος.*] *Ἡ διὰ βοτανῶν, ᾗ χρῶμαι, ποιεῖ πρὸς καρκινώματα, σηπεδόνας· χειράδας εἰς διαπύησιν ἄγουσα καὶ ἐξιποῦσα λέπρας ἀφίστησι καὶ δοθιῆνας διαλύει, ποδαγρικοῖς ἁρμόζει, πώρους διαλύει, ἡ αὐτὴ κεφαλικὴ ἄνευ ἀνατρήσεως λεπίδας ἀφίστησιν, ἀνάγει ὀστᾶ, ἐπιξύει δὲ τὰ ὀστᾶ ἐπὶ ποσὸν, ἡ αὐτὴ πρὸς τὰ νεότρωτα πρὸς νομὰς ἔμμοτος ἀνακαθαίρει, πληροῖ σὺν ῥοδίνῃ κηρωτῇ ἑνὸς μέρους πρὸς δύο κηρωτῆς μέρη, ἐνίοτε δὲ γ' ἢ δ'. μιγνυμένου. σὺν δὲ μυρσίνῃ κηρωτῇ δυσὶ μέρεσιν ἢ τρισὶν ἐπουλοῖ.* ℞ *βοτανῶν ἐξ ἀνύδρων τόπων παραθαλασσίων, ἀναγαλλίδος τῆς τὸ κυανοῦν ἄνθος ἐχούσης ⊰ νστ'. μήκωνος κερατίτιδος ⊰ νστ'. πρασίου ⊰ νστ'. ὑοσκυάμου φύλλων ἁπαλῶν ⊰ νστ'. ταύτας εἰς ὅλμον βαλὼν, κόπτε ἕως θλασθῇ καὶ διαλυθῇ, μόνον μὴ τὸν* [804] *χυλὸν αὐτῶν δαπανήσῃς, ἔπειτα βαλὼν εἰς θυείαν τρῖβε. ἐν ἄλλῃ δὲ θυείᾳ ἔχε λεπίδος ἐρυθροῦ χαλκοῦ ⊰ κέ. μάννης ⊰ ἡ. ῥητίνης πιτυΐνης ξηρᾶς ⊰ ιστ'. ἀλόης ⊰ ιστ'. σχιστῆς ⊰ δ'.*

Cap. II. [*Emplaſtrum ex herbis Critonis.*] *Emplaſtrum ex herbis quo utor. Facit ad carcinomata, putredines, ſtrumas ad ſuppurationem perducit et exprimit, lepras amovet, furunculos ſolvit, podagricis prodeſt, calloſas durities emollit. Idem cephalicum ſine foratione ſquamas tollit, oſſa educit, aliquatenus tamen oſſa abradit. Idem ad nervorum vulnera et ad nomas linamento exceptum valet, repurgat, implet cum roſaceo cerato, una ipſius parte ad duas cerati, interdum tres vel quatuor adjecta. Cum myrteo cerato duabus partibus vel tribus cicatricem ducit.* ℞ Herbarum ex ſiccis locis maritimis, anagallidis, quae caeruleum florem habet ʒ lvj, papaveris ceratidis drach. lvj, marrubii drach. lvj, alterci foliorum tenerorum drach. lvj. Haec in pilam ſeu mortarium conjecta teruntur, quousque contuſa ſint ac diſſoluta, duntaxat ne eorum ſuccus abſumatur, poſtea injecta in mortarium terantur. In alio autem mortario habentur ſquamae aeris rubri ʒ xxvj, mannae drach. octo, reſinae pityinae ſiccae ʒ xvj, aloës drach. xvj, ſiſſilis aluminis ʒ iv, rotundi ʒ iv.

Ed. Chart. XIII. [804.] Ed. Baſ. II. (395.)

στρογγύλης ≺ δ'. ταῦτα λέαινε ἐν ἡλίῳ ὥστε γλοιοῦ πάχος ἔχειν σὺν ὄξει, ἔπειτα μίξας τὰς βοτάνας τρῖβε μέχρις ὅταν καλῶς ἐνωθῇ, εἶτα κηρωτὴν ποίησον ἐκ Χίου κηροῦ ≺ ρ'. οἱ δὲ μνᾶν α'. ἐλαίου παλαιοῦ κοτύλας β'. ζέσας μίσγε. Ἥρας οὕτως. τινὲς δὲ τὰς δύο ἀναγαλλίδας βάλλουσι, τινὲς δὲ καὶ χρυσοκόλλης καὶ γῆς Ἐρετριάδος καὶ ἅλὸς ἀμμωνιακοῦ καὶ ἀρσενικοῦ, σχιστοῦ ἀνὰ ≺ δ'. ἃ δὲ περὶ τῆς ἐμπλάστρου ταύτης Ἀσκληπιάδης γέγραφε καὶ ἐν τῷ πρὸ τούτου βιβλίῳ δεδήλωται, παραπλήσιά πως ὄντα τούτοις, διὸ καὶ περιττὸν ἔδοξέ μοι γράφειν αὖθις αὐτὰ, μέλλοντί γε τὸν κοινὸν λόγον ὑπὲρ αὐτῶν διέρχεσθαι νῦν. ὁ γάρ τοι πρῶτος συνθεὶς τὸ φάρμακον τοῦτο, βοτάναις ἐχρήσατο δριμείαις εἰς τὸ διαφορῆσαι σφοδρῶς τοὺς ἐν τοῖς πεπονθόσι μέρεσι μοχθηροὺς χυμοὺς, διὰ τοῦτο γοῦν καὶ ἐξ ἀνύδρων καὶ παραθαλασσίων τόπων εἶναι κελεύει, ἐναντίας δ' αὐταῖς ἄλλας ψυχρᾶς δυνάμεως, ἕνεκα τοῦ παρηγορῆσαι τὸ σφοδρὸν τῶν δριμέων, οἷαί πέρ εἰσιν ὅ τε ὑοσκύαμος καὶ ἡ μήκων. ἔχουσι γάρ τι καὶ πραϋντικὸν ὀδυνῶν, ναρκώδη ψύξιν ἐντι-

Haec in ſole laevigantur, ut ſordium craſſitudinem cum aceto habeant. Deinde herbae mixtae, donec probe coëant, teruntur. Poſtea ceratum facito ex Chiae cerae ℥ c, ſecundum alios mina j, olei veteris heminis duabus, radito et miſceto. Heras ita. Quidam vero duas anagallidas immittunt, aliqui et chryſocollae et terrae Eretriadis et ſalis ammoniaci et auripigmenti et ſciſſilis, ſingulorum drach. quatuor. Porro quae Aſclepiades de hoc emplaſtro praeceperit tum quia in praecedenti libro indicata, tum quia his fere ſimilia ſunt, ſupervacuum mihi videtur denuo de ipſis ſcribere, communem omnibus ſermonem nunc aggreſſuro. Primum ſane qui medicamentum hoc compoſuit, herbis acribus uſus eſt, ut humores pravos afflictis partibus infixos vehementer diſcuteret. Atque adeo ex ſiccis et maritimis locis eſſe jubet. Contrarias autem ipſis alias frigidae facultatis uſurpavit ad acrium vehementiam leniendam mitigandamque, quales ſunt altercum et papaver, habent enim quippiam etiam doloris mitigatorium, puta ſtupidam refrigerationem propinquis par-

Ed. Chart. XIII. [804.] Ed. Baſ. II. (393.)

θεῖσαι τοῖς πλησιάζουσι. νάρκη δὲ μετρίη ὀδύνης λυτικὴ, φησὶν Ἱπποκράτης. προσέθηκε δὲ καὶ τῶν μεταλλικῶν τήν τε λεπίδα τοῦ χαλκοῦ καὶ τὴν σχιστὴν στυπτηρίαν, ὑπὲρ ὧν ἔμπροσθεν εἶπον, ὅπερ ἑκάτερον τῶν φαρμάκων ἁρμόττει κακοήθεσιν ἕλκεσιν. ἀλόην δ' ἐκ τῶν στυφόντων καὶ ξηραινόντων ἀδήκτως φαρμάκων ἔμιξε καὶ τὴν μάνναν τῶν πεσσόντων τε καὶ παρηγορούντων καὶ διαπνϊσκόντων. τὴν δὲ πιτυΐνην ὡς ὕλην εἰς ἐμπλάστρου γένεσιν, ὥσπερ γε καὶ τὸν κηρὸν καὶ τὸ ἔλαιον, ἅμα δὲ καὶ τούτῳ συμβαίνει πραΰνεσθαι δι' αὐτῶν τὸ σφοδρὸν τῶν δριμέων φαρμάκων. ἡ γε μὴν πιτυΐνη ῥητίνη καὶ τὸ ξηραίνειν ἔχει καὶ ὅσῳ περ ἂν ξηροτέρα τοσούτῳ μᾶλλον οἵαν περ ἀξιοῖ βάλλειν. ἐνίους δέ φησι μεμιχέναι τῷ φαρμάκῳ καὶ χρυσοκόλλης καὶ γῆς Ἐρετριάδος, ἀμφοτέρων τὰ δυσθεράπευτα τῶν ἑλκῶν ἰωμένων. ἔμπαλιν δὲ τούτοις ἅλες ἀμμωνιακοὶ καὶ τὸ καλούμενον ἀρσενικὸν ἐρεθίζειν ἕλκη πέφυκεν ὑπὸ δριμύτητος, ἀλλὰ καὶ τοῖς σηπεδονώδεσιν ἁρμόττει. καὶ διὰ τοῦτο πρὸς μὲν τὰ χειρώνεια τῶν ἑλκῶν οὐ πάνυ τι χρήσιμόν ἐστι τὸ προ-

tibus inferentes. *Stupor enim mediocris dolorem ſolvit*, ait Hippocrates. Appoſuit autem ex metallis quoque aeris ſquamam et alumen ſciſſile, quibus prius diximus, quod ſane utrumque medicamentum ulceribus malignis convenit. Aloën vero miſcuit ex iis, quae aſtringunt et ſine morſu exiccant, medicamentis, item mannam ex iis, quae concoquunt, leniunt et ad ſuppurationem perducunt, pityinam ceu materiam emplaſtro conficiendo idoneam, ſicut et ceram et oleum. At ſimul cum hoc acrium medicamentorum vehementiam ipſa mitigant, pityina tamen etiam ſiccare poteſt et quo ſiccior, hoc magis, qualem injicere praecipit. Nonnullos ait miſcuiſſe medicamento chryſocollam et terram Eretriadem, ambo curatu difficilium ulcerum remedia. E contrario ſal ammoniacus et quod auripigmentum vocatur, propter acrimoniam ulcera natura apta ſunt irritare, atqui etiam putridis conveniunt. Proinde non admodum utile eſt propoſitum nobis in ſermone medicamentum ad ulcera chironia. In quibus vero putredo aliqua ſubeſt, hanc comprimere ido-

Ed. Chart. XIII. [804. 805.] Ed. Baſ. II. (393.)

κείμενον ἐν τῷ λόγῳ φάρμακον. ἐφ᾽ ὧν δὲ σηπεδών τις ὑπάρχει, παῦσαι ταύτην ἐπιτήδειόν ἐστι, διαφοροῦν τοὺς ἐργαζομένους αὐτὴν ἰσχῶρας. ἡ δ᾽ αὐτὴ δύναμις τοῦ φαρμάκου καὶ τὰς χοιράδας ἰᾶται. ἐπεὶ δὲ ῥυπτικά τινα τῶν ἐμβεβλημένων ἐστὶν ἐν αὐτῷ, διὰ τοῦτο καὶ λέπρας καθαίρει. σκοπὸς μὲν γὰρ ἐπὶ τοῦ παθήματος τούτου τὸ οἷον ἀπολεπίσαι τὸ κατεσκληρυσμένον τοῦ δέρματος. ἐργάζεται δὲ τοῦτο τὰ ὑπερξηραίνοντα μετὰ τοῦ ῥύπτειν. εἰ μὲν γὰρ εἰς τὸ κατὰ φύσιν ἐπανελθεῖν ἠδύνατο τοῦ δέρματος ἡ διάθεσις, οὐκ ἄν τις τὸ κατεξηρασμένον ὑπερεξήραινεν. ἐπεὶ δὲ οὐχ οἷόν τέ ἐστι τὸ ἤδη λεπρῶδες ἰαθῆναι, δεύτερος ἂν εἴη σκοπὸς, ὅσπερ ἐπὶ πάντων τῶν ἀνιάτων ἐστὶ κοινὸς, ἐκκόψαι τοῦ σώματος τὸ ἀνίατον. ἐκκόπτεται δὲ ποτὲ μὲν σιδήρῳ, ποτὲ δὲ πυρὶ, ποτὲ δὲ φαρμάκῳ ἤτοι καυστικοῖς ἢ διαφορητικοῖς τε ἅμα καὶ ῥυπτικοῖς, ὁποῖόν ἐστι τὸ προκείμενον νῦν. ὥσπερ οὖν οὗτος ὁ λόγος κοινός ἐστιν ἐπὶ πάσης λέπρας, οὕτως καὶ ὁ περὶ τῆς σαρκώσεως. ἐπεὶ γὰρ, ὡς ἐν τῷ τρίτῳ τῆς θεραπευτικῆς μεθόδου δέδεικται, τὰ σαρκωτικὰ καλούμενα φάρμακα δυνάμεώς ἐστιν [805] ἀδήκτου

neum eſt, ſaniem, quae illam facit, diſcutiens. Eadem medicamenti facultas et ſtrumis medetur. Verum quia deterſoria quaedam continet, ideo quoque lepras purgat, etenim conſilium in hoc affectu eſt, cutis induratam ſummam partem veluti deglubere, id quod ea efficiunt, quae praeterquam quod ſupra modum ſiccant etiam detergent. Nam ſi cutis vitium in naturalem habitum redire poſſit, nemo exiccatum ſupra modum ſiccaret, quoniam vero quod leproſum jam eſt, curationem nullam habet, proximum fuerit, qui in omnibus inſanabilibus ſcopus communis eſt, incurabilem partem ex corpore excindere. Excinduntur autem nonnunquam ferro, interdum igne, nonnunquam medicamentis vel adurentibus vel diſcutientibus ſimul et detergentibus, quale eſt modo commemoratum. Quemadmodum igitur hic ſermo omnis leprae communis eſt, ſic et ille qui de carnis repletione tractat. Nam quia carne explentia dicta medicamenta, ſicut in tertio libro de morbis curandis oſtenſum eſt, ſa-

Ed. Chart. XIII. [805.] Ed. Baſ. II. (593.)

ῥυπτικῆς. ὅσα δὲ τῆς ὕλης ταύτης ἐστὶν, εἰς τοῦτο τὸ νῦν ἡμῖν προκείμενον ἐν τῷ λόγῳ φάρμακον, ἔχει μὲν τὸ ῥυπτικὸν, οὐκ ἔχει δὲ τὸ ἄδηκτον· διὰ τοῦτο μίγνυμεν αὐτοῖς ὑγρὰν κηρωτὴν ἐκ κηροῦ καὶ ῥητίνης συγκειμένην τετηκότων ἐν ἐλαίῳ. ὁ μὲν γὰρ κηρὸς καὶ τὸ ἔλαιον ὥσπερ ἀμβλυτικὰ δριμυτήτων ἐστὶν, οὕτως ἐμπλαστικὰ καὶ διὰ τοῦτο ῥύπου γεννητικά. ἡ ῥητίνη δὲ τὸ ἄδηκτον ἔχουσα τὸ ἐμπλαστικὸν οὐκ ἔχει, ῥυπτικῆς οὖσα δυνάμεως ἕλκεσι μὲν ἤδη δακνώδους, τοῖς δὲ ἀνελκώτοις ἀδήκτου. τὴν δ' ἐν τῇ μίξει συμμετρίαν στοχαστικῶς μὲν πρὸ τῆς πείρας, ἐπιστημονικῶς δὲ μετὰ τὴν πεῖραν εὑρήσομεν ἅμα τῷ γινώσκειν, ὅτι τὸ μὲν καθαρὸν ἕλκος ἀκριβῶς ἀδήκτου δεῖται δυνάμεως τοῦ ῥυπτικοῦ, τὸ δὲ ῥυπαρὸν ἰσχυροτέρου. τούτου γὰρ ὁ ῥύπος ἐστὶ πρόβλημα, τὸ καθαρὸν δὲ γυμνὸν ὁμιλεῖ τῷ ψαύοντι. καὶ μέντοι καὶ τῶν σωμάτων αὐτῶν τὰ μὲν αἰσθητικωτέραν ἔχει τὴν οὐσίαν τὰ δὲ δυσαισθητικωτέραν, καὶ τὰ μὲν μαλακωτέραν, τὰ δὲ σκληροτέραν. διὰ τοῦτο οὖν καὶ ὁ Κρίτων ἐπὶ τοῦ προκειμένου φαρμάκου πρὸς ἓν μέρος

cultatem habent deterſoriam citra mordacitatem, quae vero hujus ſunt materiae, in hoc praeſens medicamentum nobis propoſitum, abſterſorium quidem habent, mordicationis autem non ſunt expertia, ideo humidum ceratum ex cera reſinaque in oleo liqueſactis confectum ipſis miſcemus. Siquidem cera et oleum, ut acrimoniam obtundunt, ita ſunt emplaſtica, eoque ſordes producunt. Reſina vero morſus expers emplaſticam virtutem non habet, ſed deterſoriam, ulceribus quidem jam mordacem, non ulceratis blandam et ſine morſu. Caeterum mixturae ſymmetriam conjectura quidem ante experientiam, verum ſcientifice poſt experientiam, deprehendemus, noſcemusque ſimul purum ulcus deterſoriam vim ſine morſu requirere, ſordidum validius, quippe cujus propugnaculum eſt ſordities, purum autem nudum contingenti occurrit. Quin etiam ex corporibus ipſis nonnulla ſenſibilem magis ſubſtantiam habent, quaedam minus, alia molliorem, alia duriorem, quae ratio eſt cur Crito in propoſito medicamento ad unam partem ipſius nonnun-

Ed. Chart. XIII. [805.] Ed. Baſ. II. (393.)

αὐτοῦ ποτὲ μὲν δύο μέρη τῆς κηρωτῆς, ἐνίοτε δὲ τρία ἢ τέτταρα κελεύει μιγνύειν, οὐ μὴν διωρίσατο πότε μὲν τὰ δύο μέρη, πότε δὲ τὰ πλείω χρὴ μιγνύειν, ὡς τοῦ χρησομένου τῷ φαρμάκῳ τριβήν τινα ἔχοντος ἤδη κατὰ τὴν τέχνην καὶ λογίσασθαι δυναμένου τὰ λεγόμενα νῦν ὑπ' ἐμοῦ. διὰ ῥοδίνου μέντοι ἐσκευάσθαι τὴν κηρωτὴν βέλτιον, οὐ μὴν πολλή γε ἡ ὑπεροχὴ κατὰ τὰ τοιαῦτα τῶν ἑλκῶν ἐστιν, εἰ καὶ δι' ἐλαίου τακείη. τὸ γάρ τοι ῥόδινον ἐπὶ τῶν ἐχόντων τι φλεγμονῶδες, ἄμεινον ἐλαίου. τὰ σαρκωθησόμενα δὲ πάντως ἐστὶν ἀφλέγμαντα. καλῶς δὲ προσεγράψατο ὁ Κρίτων ἐπὶ τῶν ἐπουλώσεως δεομένων ἑλκῶν διὰ μυρσίνου χρῆναι τὴν κηρωτὴν ἐσκευάσθαι, στύψεως γάρ ἐστιν ἐκείνοις χρεία. ταῦτ' ἀρκεῖ κατά γε τὸ παρὸν εἰρῆσθαι περί τε τῶν σαρκωτικῶν καὶ τῶν ἐπουλωτικῶν φαρμάκων. ἡ μὲν γὰρ τῆς χρήσεώς τε καὶ συνθέσεως αὐτῶν μέθοδος ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν εἴρηται· ἡ δὲ ἐπὶ τῶν κατὰ μέρος ὑλῶν γυμνασία τῆς νῦν οὖσα πραγματείας κατὰ τὸ μετὰ τοῦτο βιβλίον εἰρήσεται.

quam duas cerati, aliquando tres vel quatuor miſceri jubeat, non tamen diſtincte pronunciavit, quando duas, quando plures adjicere oporteat, tanquam qui medicamento utetur verſatus jam in arte ſit et quae a me nunc dicuntur ſecum aeſtimare queat. Roſaceo quidem praeparari ceratum praeſtat, non tamen inſignis exceſſus in hujusmodi ulceribus eſt, etiam ſi oleo liqueſiat, attamen in iis, quae phlegmones quippiam habent, roſaceum oleo potius eſt. Porro carne implenda omnino a phlegmone tuta ſunt. Pulchre autem Crito adſcripſit in ulceribus, quae ad cicatricem duci poſtulant, myrteo oportere ceratum praeparari, aſtrictione enim illis opus eſt. Haec in praeſentiarum dixiſſe ſatis ſit tum de medicamentis carnem gignentibus, tum de iis, quae cicatricem inducunt. Etenim uſus et compoſitionis ipſorum methodus in medendi methodi libris expoſita eſt, in particularibus autem materiis exercitatio cum hujus ſit operis, hoc ipſo libro exponetur.

Ed. Chart. XIII. [805.] Ed. Baſ. II. (393. 394.)

[Ἔμπλαστρος διὰ σκίλλης.] Ἄλλην ἐφεξῆς τῇδε τῆς αὐτῆς κατὰ γένος δυνάμεως ἔγραψεν ὁ Κρίτων ἔμπλαστρον αὐτοῖς ὀνόμασιν ὧδε. ℞ χαλκίτεως, ἀριστολοχίας στρογγύλης ἀνὰ ⊰ λ'. οἱ δὲ ⊰ ιε'. ἴριος ⊰ λ'. οἱ δὲ ⊰ ιε'. πιτυΐνης ξηρᾶς ⊰ λ'. οἱ δὲ ⊰ ιε'. ἀμμωνιακοῦ ⊰ ιε'. σμύρνης ⊰ ιε'. στύρακος ⊰ ιε'. λεπίδος ἐρυθροῦ χαλκοῦ ⊰ ιε'. σκίλλης ὀπτῆς ⊰ ρη'. ὄξος δριμύτατον τρῖβε ἐπὶ ἡμέρας μ'. τοῖς ὑπὸ κύνα καύμασι. τὴν δὲ λεπίδα πρῶτον (394) καὶ τὸν στύρακα κατ' ὀλίγον ἐξ ἑκατέρου αὐτῶν, εἶτα ἀμμωνιακὸν καὶ χαλκὸν καὶ τὴν σκίλλαν ἐπιβαλὼν, ἵνα κατεργασθῇ, εἶτα τὴν ῥητίνην κατ' ὀλίγον, μετὰ ταῦτα τὴν σμύρναν, εἶθ' ὅταν ταῦτα λεῖα ᾖ, τὰ λοιπὰ ξηρά. ἐκπληρωθεισῶν δὲ τῶν ἡμερῶν, κηρωτὴν ποίει τοιαύτην. κηροῦ λίτρας ε'. οἱ δὲ ⊰ σμ'. τερμινθίνης λίτραν α'. οἱ δὲ ⊰ λ'. ἐλαίου ξέστας β' S''. οἱ δὲ κοτύλας στ' χαλβάνης ⊰ λ'. πίσσης ὑγρᾶς ⊰ λ'. ἐσχάτην ἀποδίδου τὴν χαλβάνην, εἶτα ψύξας ἀναλάμβανε ἐπιμελῶς. αὕτη μὲν ἡ σύνθεσις τοῦ φαρμάκου. περὶ δὲ τῆς χρήσεως αὐτοῦ τάδε

[*Emplaſtrum ex ſcilla.*] Aliud deinde ejusdem generalis potentiae emplaſtrum his verbis Crito conſcripſit. ℞ Chalcitidis, ariſtolochiae rotundae, ſingulorum ʒ xxx, alii quindecim, iridis drach. triginta, alii quindecim, pityinae ſiccæ drach. triginta, alii quindecim, ammoniaci drach. xv, myrrhae drach. xv, ſtyracis drach. xv, ſquamae aeris rubri drach. xv, ſcillae toſtae drach. cviij, aceto acerrimo diebus quadraginta terito, quando caniculae ſidus oritur, ſquama primum et ſtyrax, paulatim ex utroque, deinde gutta ammoniaci et aes et ſcilla injiciuntur, ut elaborentur paulo poſt eſina, inde myrrha, quum laevia facta fuerint, reliqua cca miſcentur. Expletis autem diebus ejusmodi ceratumfacito. ℞ Cerae lib. quinque, alii ʒ ducentas quadraginta, erebinthinae libram unam, alii drach. triginta, olei ſextarios duos et dimidium, alii heminas ſex, galbani drach. triginta picis liquidae drach. xxx, poſtremo galbanum indito, deinde ubi refrigeravis, curioſe excipito. Haec quidem medicamenti compoſitio. De uſu autem ejus haec ad ver-

Ed. Chart. XIII. [805. 806.] Ed. Baſ. II. (394.)

γράφει κατὰ λέξιν ὁ Κρίτων. ἐν τῇ χρήσει ἀκράτῳ μὲν χρῶ τῷ φαρμάκῳ, ἐπὶ καταγμάτων ἐν κεφαλῇ καὶ συρίγγων καὶ νομῶν καὶ ὑπερσαρκωμάτων καὶ πρὸς ἀνευρυσμὸν στομίων καὶ πρὸς ὑποφοράν. [806] ἀνιεμένην δὲ θέλων αὐτὴν ποιῆσαι, ἵνα γένηται σαρκωτική τε καὶ ἐπαυλωτικὴ, μέρει ἑνὶ τοῦ φαρμάκου ιβ'. μέρη πρόσβαλε κηρωτῆς ῥοδίνης. ἐπὶ δὲ τῶν πυρικαύτων ἑνὶ μέρει η'. πρόσβαλε. ταῦτα δὲ περὶ τῆς χρήσεως τοῦ φαρμάκου καλῶς ἔγραψεν ὁ Κρίτων, ὡς δριμεῖ μὲν αὐτῷ καὶ ἀναστομωτικῷ καὶ διαφορητικῷ καὶ διὰ τοῦτο καὶ ξηραντικῷ χρησάμενος ἐπὶ συρίγγων καὶ ὑπερσαρκωμάτων καὶ ἐπὶ σηπεδόνων, τουτέστι νομῶν, καὶ πρὸς ἀνευρυσμὸν στομίων, ὥσπερ ἐστὶν ἐπὶ κόλπων τῶν ατενοστόμων. ἐπὶ δὲ τῶν ἐν κεφαλῇ καταγμάτων, ὅταν χωρὶς ἀτρήσεως ἐπιχειρῶμεν αὐτὰ θεραπεύειν, ἔστι δὲ τὰ τοιαῦτα μὴ διασχόντα μέχρι μηνίγγων. ἕνεκα δὲ τοῦ σαρκῶσαι μίγνυς τῆς ῥοδίνης κηρωτῆς μέρη ιδ'. μέχρι συνουλώσεως. ἄμεινον δὲ εἰπεῖν μέχρι πληρώσεως τῆς ἐν τοῖς ἕλκεσι κοιλότητος. ἐξ ἀνάγκης γὰρ τὰ νομώδη τῶν ἑλκῶν, ὅπερ ἔφην εἶναι ταὐτὸν ἐν τῷ σηπεδονώδει, θεραπευόμενα πρὸς τῶν ἰσχυ-

bum Crito ſcribit. Sincero medicamento utitor in capitis fracturis, fiſtulis, nomis et excreſcentiis, item ad ora venarum adaperta et hypophoram, id eſt ulcus dehiſcens. Sin voles diluere, quo carni generandae idoneum fiat et cicatricem inducat, parti uni medicamenti duodecim cerati roſacei adjicito, in ambuſtis uni parti octo immittito. Haec ſane de uſu medicamenti Crito recte tradidit, tanquan acri ipſo et aperienti et diſcutienti, ideoque et exiccanti uſus in fiſtulis, ſupercreſcentia carnis, putredine, hoc eſt nome, et oſculorum adapertionibus, quemadmodum ſunt in nibus et anguſtis orificiis. In capitis autem fracturis, cum ſine foratione curationem molimur, ſunt autem tales, qua adusque membranas cerebri non perveniunt, verum caris producendae gratia cerati partes quatuordecim miſcas, donec ad cicatricem pervenerint, melius autem eſ dicere, donec ulcerum cavitas repleta fuerit, neceſſario nim depaſcentia ulcera, quod dixi idem eſſe in putriginoſa, a

Ed. Chart. XIII. [806.] Ed. Baſ. II. (394.)

ῥῶν φαρμάκων ἐστὶν, ὁποῖον καὶ τὸ προκείμενον, πρῶτον μὲν ἀποῤῥύπτει τὰ σηπόμενα μόρια καὶ κατὰ τοῦτο γίνεται κοῖλα. μετὰ δὲ τὸ παύσασθαι τὴν σηπεδόνα καθάρσεώς τε καὶ πληρώσεως δεῖται, κἂν πειδὰν πληρωθῇ, τηνικαῦτα καὶ τῶν ἐπουλούντων. αὐτὸ δὲ τὸ φάρμακον, ὅταν μήπω κηρωτῇ μιχθῇ, δριμὺ τυγχάνον, οὐ μόνον ἀδύνατόν ἐστι σαρκοῦν, ἀλλὰ καὶ καθαίρει τὰ ὑπερσαρκοῦντα, καθάπερ αὐτὸς ὁ Κρίτων ἔφη. καὶ τούτου γε μάλιστα μεμνῆσθαι προσήκει λελεγμένου καὶ κατὰ τὴν πρὸ ταύτης ἔμπλαστρον, ἣν διὰ τῶν βοτανῶν ὠνόμασεν, ὅτι πάντα τὰ ἐκ τῶν θερμαινόντων καὶ τῶν ῥυπτικῶν συγκείμενα, κἂν ἰσχυρῶς ᾖ δριμέα, κηρωτῇ μιγνύμενα σαρκωτικὰ γίνεται. τινὲς δὲ ἀπογινώσκουσιν αὐτῶν, ὅταν ἤτοι διπλασίᾳ τὴν κηρωτὴν μίξαντες ὁρῶσιν ἔτι δάκνουσαν οὕτως, ὡς μὴ δύνασθαι σαρκοῦν, ὥσπερ ἐπὶ ταύτης ἔχει τῆς ἐμπλάστρου. πολὺ γὰρ οὖσα δριμυτέρα τε καὶ δακνωδεστέρα τῆς διὰ βοτανῶν ἄχρηστος εἰς τὰς σαρκώσεις ἐστὶ, κἂν τετραπλάσιον μιχθῇ τῇ κηρωτῇ. συνετοῦ μὲν τοίνυν ἐστὶ χρεία καὶ τετριμμένου περὶ τὴν τῶν

validis medicamentis curantur, quale eſt et modo propoſitum. Primum quidem putreſcentes partes avelluntur, atque hinc cavae redduntur. Ubi vero putredo ceſſaverit, purgationem repletionemque requirunt, ac poſteaquam repleta fuerint, tunc etiam cicatricem inducentia deſiderant. Ipſum autem medicamentum cum cerato nondum mixtum fuerit, quia acre eſt, non ſolum carnem generare non poteſt, ſed etiam ſupercreſcentia aufert, quemadmodum ipſe Crito dixit. Atque hujus meminiſſe maxime oportet, quod dictum eſt et in ſuperiori emplaſtro, quod ex herbis appellavit, multa videlicet ex calefacientibus et abſtergentibus compoſita, licet admodum acria, ſi cum cerato temperentur, carnem progignere. Nonnulli deſperant de ipſis, cum vel duplo copioſiore cerato mixto mordere adhuc conſpiciant, adeo ut carnem producere non poſſint, quemadmodum in hoc emplaſtro habet. Nam quum multo acrius magisque mordax ſit, eo quod ex herbis inſcribitur ad carnem creandam inutile eſt, quamvis quadruplo mixtum cerato fuerit. Prudentis igi-

Ed. Chart. XIII. [806.] Ed. Baſ. II. (394.)

τοιούτων φαρμάκων χρῆσιν, ἐν ἀρχῇ μὲν εὐθέως ἐπινοοῦντος ποσαπλᾶ δεῖται μίγνυσθαι τῇ κηρωτῇ, μετὰ δὲ τὴν πρώτην χρῆσιν ἔτι δριμυτέρου τοῦ φαρμάκου φανέντος ἢ ὥστε σαρκοῦν δύνασθαι, στοχάσασθαι πόσον ἔτι προσθεῖναι δεῖ τῆς κηρωτῆς, ὥσπερ ἐπὶ τῆς προκειμένης ὁ Κρίτων ἐποίησε. μὴ γάρ τοι δόκει κατὰ πρῶτον εὐθέως στοχασμὸν εὑρεῖν αὐτὸν ὡς χρὴ δωδεκαπλάσιον μίγνυσθαι τὴν κηρωτὴν, ἀλλ' ὅτι πλέονα μὲν τῆς μιγνυμένης τῇ διὰ τῶν βοτανῶν ἔγνω, τὸ δ' ὅσον πλέονα μετὰ τὸν πρῶτον στοχασμὸν εὗρεν. εἰ γὰρ ὀκταπλασίου μιχθείσης ἔτι δακνῶδες ἐφαίνετο, δεκαπλασίως ἐνέμιξεν, ὥσπερ γε εἰ καὶ δεκαπλάσιον, ἐπὶ τὴν δωδεκαπλάσιον ἦκεν. ἐπεὶ δ', ὡς ἔφην, παρά τε τὸ πλῆθος τοῦ ῥύπου καὶ τὴν ὑγρότητα τοῦ ἕλκους τό τε εὐαίσθητον καὶ δυσαίσθητον τῶν συμπασχόντων, ἔτι τε τὴν μαλακότητα καὶ τὴν σκληρότητα τῆς τοῦ σώματος ἕξεως, ὑπαλλάττεσθαι χρὴ τὴν ποσότητα τῆς μιγνυμένης κηρωτῆς, ὅπερ εἴρηται πολλάκις, ἐννοεῖν ἡμᾶς δεῖ μεμνημένους τὴν ποσότητα τῆς χρήσεως ἐν τοῖς τοιούτοις γράφεσθαι, πᾶσιν εὐπετοῦς ἐφ' ἑκά-

tur eſt et in hujusmodi medicamentis uſurpandis verſati, initio quidem ſtatim intelligere, quot partes cerato miſceri oporteat, ſi autem poſt uſum primum medicamentum aerius adhuc apparuerit, quam ut carnem generare queat, conjicere quantum adhuc ex cerato adjiciendum veniat, ſicut Crito in propoſito factitavit. Neque enim exiſtimes eum prima ſtatim conjectura inveniſſe duodecim cerati partes miſceri oportere, ſed ſcivit copioſius quam quod emplaſtro ex herbis immittitur miſceri, quanto vero copioſius, poſt primam conjecturam reperit. Si namque octo partibus mixtis mordax etiamnum apparebat, decem admiſcuit, quemadmodum ſi etiam decem, ad duodecim pervenit. Quoniam vero, ut dixi, pro ſordium copia et ulceris humiditate tum eorum, quae ſimul afficiuntur ſentiendi acumine et hebetudine, item mollicie et duritie corporis habitus, cerati quantitatem immutare convenit, quod ſaepe dictum eſt, conſiderare nos expedit, recordantes quantitatem uſus in

Ed. Chart. XIII. [806. 807.] Ed. Baſ. II. (394.)

τερα τῆς ἐντεῦθεν ὁδοῦ πρὸς τὰ ἄλλα γιγνομένης ἄχρι τῶν ἄκρων. ἄκρα δὲ λέγω τὰ πρὸς ἅπάντων τῶν ὁμογενῶν σκοπῶν συμπληρώματα, περὶ ὧν ἓν εἰπόντος μου παράδειγμα νῦν ὑμᾶς χρὴ διὰ παντὸς αὐτοῦ μεμνημένους, μηκέτι ἀξιοῦν πολλάκις ἀκούειν ὑπὲρ αὐτοῦ. φημὶ δὴ σκοποὺς ὁμογενεῖς εἶναι τοῦ μὲν πλείστην μίγνυσθαι τὴν κηρωτὴν τό τε καθαρὸν εἶναι καὶ ξηρὸν τὸ ἕλκος, εὐαίσθητόν τε τὸ τοῦ θεραπευομένου σῶμα καὶ μαλακόν. [807] τοῦ δὲ ἐλαχίστην ὑγρότητά τε πολλὴν κατὰ τὸ ἕλκος καὶ ῥύπον καὶ σκληρὸν καὶ δυσαίσθητον τὸ τοῦ κάμνοντος σῶμα. καλῶς μέντοι πᾶσι τοῖς συντεθεῖσιν αὐτὸ διαφορητικοῖς οὖσιν ἡ τοῦ χαλκοῦ λεπὶς ἐμίχθη ξηραντικὸν οὖσα φάρμακον, ἔχουσα δ' οὐκ ὀλίγον ἐν αὐτῇ στύψεως. οὐ μόνον δὲ ἐπὶ ταύτης τῆς ἐμπλάστρου γινώσκειν ὑμᾶς χρὴ διὰ μίξεως πολλῆς κηρωτῆς σαρκωτικήν τε τὴν ἐμπλαστρον καὶ ἐπουλωτικὴν τῶν μὴ κακοήθων ἑλκῶν γινομένην, ἀλλὰ κἀπὶ τῶν ἄλλων ἁπασῶν, ὅσαι τῆς αὐτῆς εἰσι δυνάμεως, ἐφεξῆς δ' αὐταῖς ἔγραψεν ὁ Κρίτων, τήν γε δι' ἀκόνης ᾗ χρῆσθαί φησιν αὐτὸς καὶ οὕτως ἐκέλευσε συντιθέναι.

hujusmodi omnibus deſcribi, quum utroque facilis illinc via ad alia usque ad ſumma fiat, ſumma dico omnium ejusdem generis ſcoporum completiones. De quibus ſi unum exemplum nunc propoſuero, vos ſemper ipſius meminiſſe oportet, neque ſaepius de eo velle audire. Dico igitur ſcopos congeneres eſſe plurimi quidem cerati miſcendi ulcus purum et ſiccum eſſe, corpus ejus qui curatur facili ſenſu et molle, pauciſſimi vero adjiciendi humiditatem multam in ulcere ac ſordiciem, corpus aegri durum parumque ſentiens. Bene tamen omnibus, quae id componunt, diſcutientibus galbani ſquama admixta eſt, medicamentum exiccans, ſed quod non parum aſtringat. Non ſolum autem in hoc emplaſtro cognoſcendum vobis eſt propter cerati copioſam mixturam carne explens et ulceribus malignis cicatrici obducendae idoneum evadere, ſed etiam in aliis omnibus, quae ejusdem facultatis ſunt. His ſubjungit Crito medicamentum dia acones, id eſt ex cote, quo ſe uti affirmat, ita componendum praecipiens.

Ed. Chart. XIII. [807.] Ed. Baf. II. (394.)

[Ἡ δι' ἀκόνης.] Ἡ δι' ἀκόνης ἐν χρήσει ἡμῖν οὖσα ποιεῖ πρὸς τὰ χρόνια πάντα καὶ ἰδίως πρὸς κεφαλαλγίαν ἐπὶ τὸ μέτωπον ἐπιτιθεμένη καὶ πρὸς πλευροῦ ἀλγήματα χρόνια, πρὸς ποδαγρικοὺς, ἰσχιαδικοὺς, ὤμων πόνους, ὀδονταλγίας, τοῖς τετριμμένοις μέρεσιν ἐντιθεμένη. κατασπᾷ καὶ ἔμμηνα ἐπάνω τοῦ κτενὸς ἐπιτιθεμένη. βοηθεῖ δὲ καὶ τοῖς τὸν στόμαχον ἀλγοῦσι καὶ ῥευματιζομένοις καὶ τροφὴν μὴ κρατοῦσιν, ἔστι δὲ καὶ πάγχρηστος χωρὶς κατακαύματος καὶ τῶν μὴ ἀνεχομένων δριμέος φαρμάκου· ἁρμόζει καὶ πρὸς σκληρίαν ἥπατος καὶ σπληνὸς καὶ πρὸς χοιράδας καὶ πρὸς ἰσχιαδικούς. ἰδίως δὴ χρῆσις ἐπ' αὐτῶν γιγνέσθω ἡμέραις ἑπτά. ἐὰν δὲ τρυφεροὶ ὦσι, πέντε, ὕδατος τὸ μέρος ἢ ἐλαίου μὴ ἁπτέσθω, ἕως οὗ ψυδρακώσῃ καὶ ἰχῶρας ἐπισπάσηται παχεῖς, εἶτα λύσας τῇ λευκῇ κηρωτῇ δι' ὕδατος χρῶ, ἐὰν δὲ πρακτικώτερον ἐθέλῃς, τῇ διὰ πεπέρεως ἀκόνῃ. ℔ κηροῦ, χαλβάνης, τερμινθίνης, πιτυΐνης φρυκτῆς, ἐλαίου δαφνίνου, ἐλαίου παλαιοῦ ἀνὰ λίτραν α'. λεπίδος χαλκοῦ λίτραν α' S''.

[*Emplaſtrum ex cote*] *Ex cote medicamentum quod nobis in uſu eſt. Facit ad omnia diuturna et peculiariter ad capitis dolorem, fronti impoſitum, valet ad laterum dolores longos, juvat podagricos, iſchiadicos, ſcapularum dolores, dentium cruciatus, attritis partibus impoſitum. Educit etiam et extrahit menſes pectini ſuprapoſitum. Auxiliatur ſtomacho laborantibus tum iis, qui fluxu vexantur et cibum vel alimenta non retinent. Eſt etiam prorſus utile ſine aduſtione et iis, quae acre medicamentum non ſuſtinent, convenit etiam ad duritiem jecinoris et lienis, nec non ad ſtrumas et iſchiadicos. Proprie jam uſus in ipſis fiat diebus ſeptem, ſi molles ſunt, quinque. Aquam pars vel oleum non attingat, donec ulcuſcula, quae pſydracia dicuntur, fecerit et ſaniem craſſam attraxerit. Deinde albo cerato ſolvens ex aqua utitor, ſin efficacius voles medicamento acone, quod ex pipere conſtat.* ℔ Cerae, galbani, terebinthinae, pityinae frictae, olei laurini, olei veteris, ſingulorum lib. j, ſquamae aeris libram unam et di-

Ed. Chart. XIII. [807.] Ed. Baſ. II. (394. 395.)

ἰοῦ γο σι'. ἀμμωνιακοῦ θυμιάματος γο α'. νάπυος, ἀδάρκης, θείου ἀνὰ γο α'. ἀβροτόνου, κενταυρίου, χαλκάνθου, ἁλὸς ἀμμωνιακοῦ, λιβάνου, ὁλὸς κοινοῦ, στυπτηρίας στρογγύλης, λιθαργύρου, προπόλεως, κόκκου Κνιδίου ἀνὰ γο γ'. πάντα ὁμοῦ κόψας καὶ σήσας ἀναλάμβανε τοῖς στυπτικοῖς μετὰ τῶν ἐλαιῶν. αὕτη μὲν ἡ τῆς προκειμένης ἐμπλάστρου σύνθεσις οὐ μικρῶς διαφέρουσα τῆς προγεγραμμένης θερμότητι. νᾶπυ γοῦν ἔχει καὶ ἀδάρκην, θεῖόν τε καὶ κόκκον Κνίδιον εἰς (395) τοσοῦτον ἥκοντα θερμότητος, ὡς ἑλκοῦν οἷς ἂν ἐπὶ πλέον ὁμιλήσῃ. καὶ δάφνινον δὲ τῶν ἱκανῶς θερμαινόντων ἐστὶ καὶ μετὰ ταῦτα χάλκανθός τε καὶ οἱ ἅλες. ἐμάθετε δὲ ὅτι καὶ στύψεως ταῦτα μετέχει, βραχείας μὲν οἱ ἅλες, πολλῆς δὲ ὁ χάλκανθος. ἀλλὰ καὶ περὶ τῆς μίξεως τῶν στυφόντων φαρμάκων τοῖς διαφορητικοῖς εἴρηται πρόσθεν ἐπὶ τῶν πολυχρήστων ἐμπλάστρων. ὅλως γὰρ οὐδὲν δύναται γενέσθαι πολύχρηστον, εἰ μὴ καὶ τῆς ἐναντίας δυνάμεως μετέχει. ἄν τε γὰρ ἁπλῶς διαφορητικὴ δύναμις ᾖ μόνη, πρὸς ἓν εἶδος ἁρμόσει παθῶν, ὃ διαφορεῖσθαι προσῆκεν, ἄν τε

midiam, aeruginis uncias ſex, guttae ammoniaci unciam j, ſinapis, adarcae, ſulfuris, ſingulorum unciam j, abrotoni, centaurii, atramenti ſutorii, ſalis ammoniaci, thuris, ſalis communis, aluminis rotundi, argenti ſpumae, propolis, cocci Cnidii, ſingulorum ʒ iij. Omnia ſimul contunduntur et cribrata aſtringentibus cum oleis excipiuntur. Haec ſane propoſiti emplaſtri compoſitio eſt, non parum ſuperiori praeſtans caliditate, ſinapi enim habet et adarcen, ſulfur et crocum Cnidium, tanto calore praedita, ut ulcus faciant, quibus diutius adhaeſerint. Jam et laurinum ex iis eſt, quae abunde caleſaciunt, deinde atramentum ſutorium et ſal; didiciſtis autem haec aſtrictionis quoque non eſſe expertia, ſalem paucae, ſed atramentum ſutorium multae. Verum de aſtringentium medicamentorum mixtura cum digerentibus antea in emplaſtr ; uſus multiplicis expoſitum eſt. Omnino enim quippiam variis utile eſſe non poteſt, niſi contrariae quoque virtutis participet; ſi enim digerens

Ed. Chart. XIII. [807. 808.] Ed. Baſ. II. (395.)

στυπτικῆς, πρὸς ἓν ἕτερον, ἐφ' οὗ τὸ ἐπιῤῥέον ἀναστέλλειν προσήκει. διὸ τὰ μὲν στύφοντα τοῖς ἀρχομένοις ἔξ ἐπιῤῥοῆς ὑγρῶν γεννᾶσθαι πάθεσιν ἁρμόττει. τὰ δὲ διαφοροῦντα χωρὶς τῆς τῶν στυφόντων μίξεως, ἐφ' ὧν σωμάτων οὐδὲν ἐπιῤῥυῆναι δύναται διὰ τὸ προκεκενῶσθαι, ὡς ἐάν γε περιουσία τις ᾖ χυμῶν, οὐ μόνον διαφορεῖται τὸ περιεχόμενον ὑγρὸν ἐν τοῖς πεπονθόσιν, ἀλλὰ καὶ παραγίνεται πρὸς αὐτὰ τῶν διαφορούντων ἕλκειν πεφυκότων ὑφ' ἑαυτὰ, καθάπερτὰ περιεχόμενα ψαύοντα τῶν ὑγρῶν, οὕτως καὶ τὰ κατὰ βάθος ὄντα τοῦ σώματος. εὐλόγως δὴ μίγνυται τοῖς διαφορητικοῖς, [808] τά τε σταλτικὰ καὶ ἀποκρουστικὰ προσαγορευόμενα, τοῦ μὲν ἐπὶ τὴν σύνθεσιν αὐτῶν ἀφικομένου τῷ λογισμῷ τούτῳ χρησαμένου, τῆς πείρας δὲ μαρτυρούσης τῷ λογισμῷ. εἰκότως οὖν κατὰ τὸ προκείμενον φάρμακον, καίτοι σκοπὸν ἔχοντος θερμῆναί τε καὶ ξηρᾶναι καὶ διὰ τοῦτο καὶ ψύδρακας ποιεῖν, ἐμίχθη τι καὶ τῶν στυφόντων, ἀλλ' οὐχ ἱκανά γε πρὸς πολλὰ θερμαίνοντα σφοδρῶς φάρμακα, δύο ταῦτα χάλκανθος καὶ ἅλες, ἀλλὰ καὶ λεπὶς χαλκοῦ κατὰ τὸν αὐ-

virtus ſimpliciter ſola eſſet, ad unam ſpeciem affectuum conduceret, quam diſcutere conveniret, ſi vero aſtringens ad aliam unam, ubi quod influit, reprimendum eſt. Quare incipientibus ex humorum influxu generari affectibus aſtringentia conveniunt, diſcutientia vero ſine aſtringentium mixtura, ubi nihil propter evacuationem prius factam influere poteſt; nam ſi ſuperfluitas quaedam humorum exiſtat, non ſolum diſcutitur humor in affectis partibus contentus, ſed etiam ad ipſas accedit, quum diſcutientia ad ſe trahere nata ſint, ſicut contentos et contiguos humores, ita etiam in corporis profundo repoſitos. Miſcentur ergo diſcutientibus ſiſtentia et reprimentia merito, quum qui ad ipſorum compoſitionem deſcendit, ratione hac uſus ſit, experientia vero atteſtante rationi. Quare non injuria, licet conſilium ſcopumque habeat in propoſito caleſacere et exiccare, eoque etiam ulcera concitare, mixtum eſt et aſtringentium quidpiam. Sed non ſufficiunt ad multa vehementer caleſacientia medicamenta duo haec, atramentum ſutorium et ſal. Quin

Ed. Chart. XIII. [808.] Ed. Baſ. II. (395.)

τὸν ἐμίχθη λογισμὸν ἥ τε στυπτηρία, διὰ τὸ σφοδρῶς στύφειν καὶ τοὔνομα λαβοῦσα τοῦτο. ἄλλη. ἄλλην ἔμπλαστρον ἔγραψεν ὁ Κρίτων ἐνδοξοτάτην, ἣν ὀνομάζει Μεσιανὴν, ἕτερον ὕλης ἔχουσα γένος τῆς προγεγραμμένης καὶ τῆς μελλούσης ὑπ' ἐμοῦ γραφήσεσθαι νῦν ἐφεξῆς, ἣν αὐτὸς ὁ Κρίτων ἀνίκητον ὀνομάζει, συγκειμένην ἐκ δριμέων τῶν πλείστων φαρμάκων, οὐκ οὔσης τῆς Μεσιανῆς τοιαύτης, ὡς μετὰ ταῦτα δειχθήσεται κατὰ τὸν οἰκεῖον αὐτῆς καιρόν. καὶ μέντοι καὶ κεφαλικὰς ἄλλας ὀνομάζων, ὧν ἡ καθόλου δύναμις ὀλίγον ὕστερον εἰρήσεται, γράψας ἐφεξῆς τῇ Μεσιανῇ τὴν καλουμένην, μετὰ ταῦτα ἀνίκητον ὑφ' ἑαυτοῦ γράφει, παραπλησίας δυνάμεως οὖσαν τῇ προγεγραμμένῃ, ἣν δι' ἀκόνης ἑκάλει. ἔχει δὲ ἡ περὶ αὐτῆς λέξις τοῦ Κρίτωνος ὧδέ πως αὐτοῖς ὀνόμασιν. ἡ ἀνίκητος ἐν χρήσει ἡμῖν οὖσα. ἔστι δὲ πάγχρηστος, ἐπισπᾶται, ῥήσσει, ἀνακαθαίρει, κολλᾷ, ἐξιποῖ, διὰ σπληνίου καὶ παραθέσεως σωλήνων καὶ ἀνιεμένη ἔχουσα πάντοτε πηλὸν δι' ὀξελαίου. διαχεῖ δὲ καὶ τὰς σκληρίας καὶ ταῖς συνολκαῖς τῶν νεύρων βοηθεῖ, ἐπιτιθεμένη χωρὶς

etiam aeris ſquama pari ratione mixta eſt et alumen, quod a vehementer aſtringendo ſtypteria appellatum eſt. Aliud emplaſtrum celeberrimum ſcripſit Crito, quod Meſianum appellat, diverſum materiae genus habens a ſuperiore et illo, quod mox a me ordine ſuo deſcribetur. Vocat hoc Crito ipſe anicetum, id eſt invictum, ex acribus pluribus medicamentis compoſitum, quum Meſianum tale non ſit, ut poſtea ſuo tempore demonſtrabitur. Quin etiam cephalica alia nominans, quorum generalis facultas paulo poſt explicabitur, poſt Meſianum tradita, invictum ab ipſo appellatum ſubjungit, ejusdem facultatis cum praeſcripto, quod dia acones, id eſt ex cote, vocitabat. Verba Critonis in hunc modum ſonant. *Aniceton in uſu nobis eſt, utile ad omnia, extrahit, rumpit, purgat, glutinat, excolat ſplenii modo et cum canalibus impoſitum ac dilutum ex oleo et aceto, conſtringit undique. Diſcutit autem duritias. Et nervorum contractiones juvat ſine perfuſione impoſitum ne refrige-*

Ed. Chart. XIII. [808.] Ed. Baſ. II. (395.)

ἐμβροχῆς, ἵνα μὴ περιψύχωνται. καὶ ἐν μέρει ἀλείμματος ποιεῖ ἀνιεμένη ὡς ἄκοπος. παύει γὰρ καὶ τοὺς ἐν ἀρχαῖς τῶν νόσων κόπους καὶ τοὺς ἐξ ἀδήλης αἰτίας. ἔστι δὲ καὶ μάλαγμα ἐπὶ τῶν ἀκρωτηρίων ἐν μεγάλοις σπληνίοις ἐπιτιθεμένη. ἔστι δὲ καὶ ἐναίμων κολλητικὴ, ἐπειδὰν ῥαφῇ ἢ ἀγκτηριασθῇ, πτύγματος ἐκ μόνου ὄξους προσεπιτιθεμένου τῷ σπληνίῳ, θέρους μὲν ψυχροῦ, χειμῶνος δὲ θερμοῦ. ποιεῖ καὶ πρὸς τὰ ἐν τοῖς πέλμασι καὶ πρὸς κόμματα, σηπεδόνας τε καὶ περὶ δακτύλους διαθέσεις καὶ τὰ σὺν τραύμασι κατάγματα. ἔνεστι μήτε σαρκωτικῷ μήτε ἐπουλωτικῷ ἑτέρῳ χρῆσθαι, ἀλλὰ μόνῃ πιστεύειν. ποιεῖ καὶ πρὸς ἀνθρωπόδηκτα καὶ κυνόδηκτα καὶ θηριόδηκτα. μέγιστον δ' ἐστὶν αὐτῆς ἐπάγγελμα τὸ τὰ ἐν κατακαλύψει ἀποστήματα ἐν κώλῳ καὶ περιτοναίῳ μὴ ἐᾷν γίνεσθαι, ὅταν γε μὴ φθάσῃ πυωθῆναι ἢ γενόμενα λεπτοποιῆσαι καὶ εἰς ἔντερα συῤῥῆξαι. ἐπιτίθεσθαι δὲ δεῖ τῷ τόπῳ σπλήνιον καὶ ἐπάνω πίλημα ἐξ ὀξελαίου θερμοῦ καὶ ἐμβρέχειν δὶς τῆς ἡμέρας. μὴ λῦε δὲ εἰ μὴ διὰ τριῶν ἢ τεσσάρων ἡμερῶν, εἶτα μετὰ τὸ πυριᾶσαι,

rentur. Et unguenti vice dilutum facit ut acopon, ſiſtit enim morborum principiis laſſitudines et eas quae ſine cauſa manifeſta proveniunt. Eſt etiam malagma extremarum corporis partium in magnis ſpleniis impoſitum, item crusta glutinat, futuris vel fibulis juncta, ſi plicatum linteum ex ſolo aceto ſplenio imponas, aeſtate quidem frigidum, hieme autem calidum. Facit ad plantae pedis vitia, ad contuſiones, putredines et digitorum affectus, item fracturas cum vulneribus. Licet neque carnem generante, neque quod cicatricem inducat, alio uti, ſed ſoli credere. Valet ad hominum, canum et ferarum morſus. Maximum hoc eſt quod pollicetur, nempe abſceſſus latentes in colo et peritonaeo prohibere ne fiant, antequam in vomicam exierint aut factos extenuare et inteſtina conjicere. Imponendum autem eſt ſplenium loco et deſuper centunculum ex aceto et oleo calente, fovendumque bis quotidie. Non ſolvetur autem niſi triduo vel quatriduo. Deinde poſt

Ed. Chart. XIII. [808. 809.] Ed. Baſ. II. (395.)

ἀτμίδα πάλιν ἐπιτίθει. ἐπεκλήθη δὲ ἀνίκητος διὰ τὰ θαυμαστὰ καὶ πολλὰ αὐτῆς ἔργα. ℔ λεπίδος χαλκοῦ ⊰νη'. πυρέθρου, σταφίδος ἀγρίας, κόκκου κνιδείου, νάπυος σπέρματος, κάγχρυος, περιστερᾶς κόπρου, ἀριστολοχίας λεπτῆς, ἰοῦ, κυπέρου, εὐζώμου σπέρματος, κυμίνου ἀνὰ ⊰ιστ'. νίτρου ⊰λβ'. ἅλὸς ἀμμωνιακοῦ ⊰ λβ'. δαφνίδων ⊰ ρκ'. μάννης ⊰ ρκ'. ἴρεως ⊰ ρκ'. ὄξους δριμέος ξε. ιστ'. ἐψήματος ἰσχάδων κυάθους δ' S''. κόψας καὶ σήσας ἅπαντα ὁμοῦ λειοτρίβει σὺν τῷ ὄξει ἐν τοῖς ὑπὸ κύνα καύμασιν. ξηροῦ δὲ καὶ χλωροῦ γενομένου πρόσβαλε τὶ τῶν σύκων ἀφέψημα, καὶ συμμαλάξας ἀναιροῦ καὶ ἀποτίθει εἰς χύτραν χαλκῆν ἐρυθροῦ χαλκοῦ. τὸ δ' ἔψημα τῶν ἰσχάδων ἔχει οὕτως. ℔ ἰσχάδων λιπαρῶν λι. ε'. ὕδατος ξε. στ'. ἕψε ἕως ἂν περιλειφθῶσι ξε. β'. ἡ δὲ χρῆσίς ἐστιν ἓν μέρος τοῦ φαρμάκου ὄξει ἀνιεμένου, ὡς γλοιῶδες γενέσθαι πρὸς ἓξ τοῦ ῥητινοκήρου. [809] ἔστι δὲ τὸ μὲν ἄκρατον ῥητινόκηρον κηροῦ μέρος ἓν, ῥητίνης φρυκτῆς μέρη τρία σὺν ἐλαίῳ ὀλίγῳ τετηκότα· τὸ δὲ μέσον

fomenta madorem rurſus imponito. Vocatum autem eſt inſuperabile propter miranda et multa ipſius opera. ℔ Squamae aeris drach. quinquaginta octo, pyrethri, ſtaphidis agriae, cocci cnidii, ſinapis ſeminis, canchryos, columbini ſtercoris, ariſtolochiae tenuis, aeruginis, cyperi, erucae ſeminis, cumini, ſingulorum drach. ſedecim, nitri drach. triginta duas, ſalis ammoniaci drach. xxxij, lauri baccarum drach. cxx, mannae drach. cxx, iridis drach. cxx, aceti acris ſextarios ſedecim, decocti caricarum cyathos quatuor et dimidium. Tuſa cribrataque omnia ſimul cum aceto ad laevorem teruntur ſub aeſtu caniculae. Ubi ſiccum et viride evaſerit, ſicuum decoctum adjicitur et ſimul emollita tolluntur et in olla aeris rubri reponuntur. Decoctum autem caricarum ita habet. ℔ Caricarum pinguium lib. v, aquae ſextarios vj, coque donec ſextarii duo relicti fuerint. Uſus eſt una pars medicamenti aceto diluti, ut ſordes repraeſentet, ad ſex partes reſinoceri, id eſt reſinae cum cera junctae. Eſt autem ſincerum reſinocerum cerae pars una, reſinae ſtrictae tres cum oleo pauco liquefacto, medium cerae pars

Ed. Chart. XIII. [809.] Ed. Baf. II. (395.)

κηροῦ μέρος ἓν, ῥητίνης μέρη δύο· τὸ δ' ἀνειμένον καὶ εὔκρατον κηροῦ μέρος ἓν, ῥητίνης μέρος ἕν· τὸ δ' ἐκλελυμένον κηροῦ μέρη δύο, ῥητίνης μέρος ἕν· τὸ δ' ὑπερανειμένον κηροῦ μέρη τρία, ῥητίνης μέρος ἕν. ἱστορεῖται καὶ ἐπ' ἀγρίου λειχῆνος ἡρμοκέναι ἄκρατον ἐπιῤῥιφέν. ταῦτα μὲν ὁ Κρίτων ἔγραψεν αὐτοῖς ὀνόμασιν. ἐγὼ δὲ ἀπὸ τοῦ τελευταίου τῶν εἰρημένων αὐτῷ τὴν ἀρχὴν ποιήσομαι τοῦ λόγου. τοὺς ἀγρίους λειχῆνας ὀνομάζουσιν, ὅταν ὑπὸ μὲν τῶν ἀσθενῶς ξηραινόντων φαρμάκων ὁρῶσιν αὐτοὺς μηδὲν ὠφελουμένους, ὑπὸ δὲ τῶν ἰσχυρῶς ἐρεθιζομένους. χρεία τοίνυν ἐπ' αὐτῶν ἐστι φαρμάκου δραστηρίου μὲν ἱκανῶς, οὐ μὴν δακνώδους σφοδρῶς, ὅπερ, ὡς ἔφην, ἐκ στοχασμοῦ τεχνικοῦ συντεθὲν ὑπὸ τῆς πείρας βασανίζεται. σύγκειται δὲ τὸ προκείμενον φάρμακον ἐκ πολλῶν δριμέων λεπτομερῶν τε καὶ διαφορητικῶν. ἔχει δέ τινα καὶ τῶν ἀδήκτως ῥυπτικῶν καί τινα τῶν ἐπ' ὀλίγον στυφόντων. τὰ μὲν οὖν δριμέα τῶν ἐν αὐτῷ πύρεθρόν τε καὶ νᾶπυ καὶ κόκκος κνίδειος καὶ ἡ τῆς περιστερᾶς κόπρος, ἰός τε καὶ δαφνὶς καὶ νίτρον, εἶθ' ἅλες ἀμμω-

una, reſinae duae, dilutum vero et abunde temperatum cerae pars una, reſinae tantundem, diſſolutum cerae partes duae, reſinae una, quod ſupra quam dilutum cerae partes tres, reſinae una. Scribitur etiam agreſti licheni, id eſt *impetigini,* conveniſſe, purum injectum. Haec Crito ad verbum prodidit. Ego a fine eorum quae dixit ſermonis principium ſtatuam. Agreſtes impetigines nominant, quum a medicamentis imbecilliter ſiccantibus nihil juvari vident, a validis autem irritari. Opus igitur in ipſis eſt medicamento efficaci abunde, non tamen vehementer mordaci, quod, ut dixi, ex artificiali conjectura compoſitum experientia probatur. Conſtat propoſitum medicamentum ex multis acribus tenuiorum partium et diſcutientibus, habet autem et quaedam citra mordicationem detergentia et nonnulla parum aſtringentia. Itaque acria ex iis quae continet ſunt pyrethrum, ſinapi, coccus cnidius, columbinum ſtercus, aerugo, baccae lauri, nitrum, ſal ammoniacus, item acetum acre,

Ed. Chart. XIII. [809.] Ed. Baſ. II. (395. 396.)

νιακοὶ καλούμενοι καὶ πρὸς αὐτοῖς ὄξος τὸ δριμύ. τοιουτον γὰρ ἀξιοῖ βάλλειν. τὰ δὲ ῥυπτικὰ τελέως μὲν ἄδηκτά ἐστιν ἴρις τε καὶ ἀριστολοχία καὶ τούτων ἔτι μᾶλλον, ὡς ἐκ τοῦ γένους τῶν ἤδη πεπτικῶν εἶναι, μάννα, γενναιότερον δὲ κάγχρυ καὶ σταφὶς ἀγρία. τούτων δ' ἔτι γενναιότερον κύμινόν τε καὶ τὸ τοῦ εὐζώμου σπέρμα. τὸ δὲ κύπερον ἔστι μὲν ἀδήκτως ξηραντικὸν, ἔχει δέ τι καὶ στυπτικὸν, ὥσπερ καὶ ἡ τοῦ χαλκοῦ λεπὶς, ἰσχυρὸν οὖσα φάρμακον. ἔδει γὰρ, ὡς πρόσθεν ἐδείχθη, μετέχειν τι καὶ τῆς στυπτικῆς δυνάμεως τὸ φάρμακον τοῦτο, καὶ διὰ τοῦτό γε λεπὶς ἐμίχθη δαψιλής. εἰ δὲ καὶ ἡ μάννα ὄντως εἴη μάννα καὶ μὴ λιβανωτὸς, εἴη ἂν καὶ αὕτη στυπτικὸν ἔχουσά τι. βέβληται δὲ καὶ αὕτη δαψιλεστέρα πολὺ τῆς λεπίδος, εἰκότως, ἵνα πραΰνῃ τὸ σφοδρὸν τῶν δριμέων (396) φαρμάκων, μετὰ τοῦ πέττειν τὰ κατὰ τὸν πεπονθότα τόπον ὑγρά. πραϋντικώτατον δὲ καὶ πεπτικώτατον ἅμα τῷ διαφορεῖν πώς ἐστι τὸ τῶν ἰσχάδων ἀφέψημα. ταῦτ' οὖν ἅπαντα μιχθέντα πολύχρηστον εἰκότως εἰργάσατο τὸ φάρμακον. εἰς δὲ τὸ δραστήριον αὐτῶν μέ-

tale namque injiciendum cenſet. Detergentium ſumme quidem lenia immordaciaque ſunt iris et ariſtolochia, atque his adhuc magis, ut ex genere concoquentium jam ſit, manna, generoſius autem canchrys et ſtaphis agria, his adhuc praecellit cuminum et erucae ſemen. Cyperum ſine morſu quidem exiccat, ſed nonnihil etiam aſtringit, quemadmodum et aeris ſquama, validum et ipſum medicamentum. Oportebat enim, ut prius demonſtratum eſt, medicamentum hoc aſtringentis facultatis utcunque eſſe particeps, eoque ſquama copioſe admixta eſt. Si vero et manna revera manna ſit et non thus, ipſa quoque aliquantulum aſtringit. Injecta eſt autem et haec multo copioſior quam ſquama, merito, ut acrium medicamentorum vehementiam leniat, ſimulque humores in afflicta parte contentos coquat. Porro caricarum decoctio mitigantiſſima eſt et maxime coquit, ſimulque quodammodo digerit. Haec igitur omnia mixta multi uſus medicamentum jure effecerunt. Acetum vero

Ed. Chart. XIII. [809. 810.] Ed. Baſ. II. (396.)

γιστα συντελεῖ τὸ ὄξος, ἐν ᾧ κελεύει λειοῦσθαι τὰ φάρμακα κατὰ τὸν θερινὸν ἥλιον. πάντα γὰρ τὰ οὕτω σκευασθέντα λεπτομερῆ γίγνεται καὶ διὰ τοῦτο μέχρι τοῦ βάθους τῶν σωμάτων ἡ δύναμις αὐτῶν καταδύεται.

Κεφ. γ'. [Περὶ τῶν ὑπὸ τοῦ Ἥρα γεγραμμένων τοῦ αὐτοῦ γένους ἐμπλάστρων.] Τὴν μὲν διὰ τῶν βοτανῶν, ἣν ὅπως ὁ Κρίτων σκευάζει προὔγραψα, καὶ αὐτὸς ὁ Ἥρας ὁμοίως σκευάζει, καθότι καὶ ὁ Κρίτων ἐμνημόνευσεν αὐτοῦ. διαφέρεται δὲ ἐν τῇ διὰ σκίλλης σκευασίᾳ. τοῦ μὲν γὰρ ἀμμωνιακοῦ καὶ τῆς σμύρνης καὶ τῆς πιτυΐνης ῥητίνης καὶ τοῦ στύρακος καὶ τῆς λεπίδος καὶ τῆς σκίλλης τοσοῦτον μιγνύει τοῖς ἄλλοις ὁ Κρίτων ὅσον ὁ Ἥρας. ἐπὶ δὲ τῆς ἀριστολοχίας καὶ τῆς ἴρεως διαφέρεται. γράψαντος γὰρ τοῦ Ἥρα ἀριστολοχίας στρογγύλης ≺ λ'. ἴρεως ξηρᾶς ≺ λ'. οἱ δὲ ιε'. [810] καὶ μετὰ ταῦτα πάλιν ὁ Κρίτων οὕτως ἔγραψεν. ℔ ἀριστολοχίας ≺ λ'. ἴρεως ≺ λ'. ἄλλοι μ'. ἐπὶ τῷ τέλει τῆς σκευασίας τοῦ Ἥρα γράψαντος. ἐκπληρωθεισῶν δὲ τῶν ἡμερῶν, κηρωτὴν ποίει τοιαύτην. ℔ κηροῦ λίτρας ε'. οἱ δὲ ≺ μ'. τερμινθίνης λίτραν α'. οἱ δὲ ≺ λ'. ἐλαίου πα-

efficaciam eorum plurimum juvat, in quo medicamenta aeſtivo ſole conteri praecipit, omnia enim ſic praeparata tenuem ſubſtantiam acquirunt, eoque in corporis altum facultas ipſorum penetrat.

Cap. III. [*De ſcriptis ab Hera ejusdem generis emplaſtris.*] Emplaſtrum ex herbis quo modo Crito praeparet prius poſui, et ipſe Heras ſimiliter conficit, ſicut Crito ejus meminit. Differt tamen in confectione emplaſtri ex ſcilla confecti, nam ammoniaci, myrrhae, reſinae pityinae, ſtyracis, ſquamae et ſcillae tantum cum aliis Crito miſcet, quantum Heras, ſed in ariſtolochia et iride diſcordat, quippe Heras ſcripſit ariſtolochiae rotundae drach. triginta, iridis ſiccae drach. triginta, alii quindecim. Crito autem ſic protulit. ℔ Ariſtolochiae ℥ xxx, iridis drach. xxx, alii xl. Rurſus quoque poſt haec Heras juxta confectionis finem tradit, expletis diebus ceratum hujusmodi facito. ℔ Cerae libras quinque, alii drach. xl, terebinthinae libram unam, alii

Ed. Chart. XIII. [810.] Ed. Baſ. II. (396)

λαιοῦ ξέστας β' S''. οἱ δὲ κοτύλας στ'. ἐμοὶ δ' οὐκ ἀρέσκει ἀντὶ τῶν ε'. λιτρῶν τοῦ κηροῦ μιγνύναι τῷ φαρμάκῳ ≺ σμ'. ποτὲ μὲν γὰρ ἀντὶ τῆς λίτρας ≺ ρ'. γράφουσιν αὐτοί, ποτὲ δὲ ἀντὶ τῆς μνᾶς, οὐδέποτε δὲ λίτραν οὕτως μικρὰν οὐδεὶς ἐγραψεν, ὡς ≺ μη'. εἶναι. τοῦτο γὰρ συμβαίνει βαλλομένων ≺ σμ'. ἀντὶ τῶν ε'. λιτρῶν. ὡσαύτως δὲ οὐδὲ ἀντὶ τῆς λίτρας τῆς τερμινθίνης ≺ λ'.

Κεφ. δ'. [Ἡ Σεραπίωνος.] Καὶ ταύτην ἔγραψεν ὁ Κρίτων ἐν τῇ φαρμακίτιδι βίβλῳ κατὰ τήνδε τὴν λέξιν. ἡ Σιραπίωνος, ἣν τινες Αἰγυπτίαν, οἱ δὲ Ἀφροδίτην καλοῦσι. ποιεῖ δὲ πρὸς πᾶν τραῦμα καὶ δεῖ αὐτῇ ἐπιμένειν μὴ ἀπελπίζοντας. ποιεῖ πρὸς νύγματα καὶ σκόλοπας καὶ παρωτίδας, κατατίτρησίν τε καὶ φύματα καὶ ἐξιποῦσα παρακολλᾷ, ποιεῖ καὶ πρὸς πᾶσαν σκληρίαν καὶ πρὸς ἐπιννυκτίδας καὶ πρὸς ἐπιφορὰν τῶν ἄρθρων καὶ πρὸς τὰ θλάσματα τῶν ὤτων, ποιεῖ καὶ πρὸς τὰ πρεσβυτικὰ καὶ χειρώνεια καὶ παχύχειλα ἕλκη. ℥ ἐλαίου παλαιοῦ κο. γ'. λιθαργύρου ≺ σ'. ἀμμωνια-

drach. triginta, olei veteris ſextarios duos et dimidium, alii heminas ſex. Mihi vero non placet pro quinque libris cerae drach. ccxl. medicamento miſcere. Interdum namque loco librae centum drach. ſcribunt, interdum loco minae, atqui nullus unquam libram tam exiguam poſuit, ut drach. xlviij, penderet; hoc enim accidit, dum pro quinque libris drachmae ducentae quadraginta immittuntur, ſic neque pro libra terebinthinae drach. triginta.

Cap. IV. [*Emplaſtrum Serapionis*] Et hoc Crito in opere medicamentario in haec verba conſcripſit. *Emplaſtrum Serapionis, quod nonnulli Aegyptium, alii Venerem vocant. Facit ad omne vulnus, cui innitendum eſt, omni deſperatiane abjecta. Valet ad punctus, aculeos, parotidas, perforationem, phymata, excolando conglutinat. Tollit omnem duritiem, juvat epinyctidas, articulorum epiphoram, aurium contuſiones. Sanat et ulcera ſenilia, chironia et quae craſſas oras obtinent.* ℥ Olei veteris heminas tres, argenti ſpumae drach. ducentas, guttae ammo-

Ed. Chart. XIII. [810] Ed. Baſ. II. (396)

κοῦ θυμιάματος ≺ ρξή· ῥητίνης κολοφωνίας, πιτυΐνης ≺ ξή· κηροῦ ≺ ρξή· χαλβάνης ≺ κ'. ἰοῦ ≺ ν'. οἱ δὲ ≺ κ'. σμύρνης ≺ δ'. οἱ δὲ ≺ ή'. ἔψε λιθάργυρον, ἔλαιον ἕως μετρίως δοκῇ συνεστράφθαι, εἶτ' ἄρας τὴν λοπάδα προσέμβαλλε ἀμμωνιακὸν, εἶτα ῥητίνην, εἶτα κηρόν. τήξας δὲ ἓν ἕκαστον αὐτῶν προσεχόντως, ἵνα μὴ προσκαῇ, ἄρας πάλιν χαλβάνην ἀποδίδοθι καὶ ἰὸν, εἶτα ἐπιθεὶς ἐπὶ τὸ πῦρ, ἕως μηλίνη γένηται καὶ εὐσύστατος, ἔψε. ἔσχατον δὲ ἄρας τὴν σμύρναν ἀποδίδου καὶ κινήσας κατάχεε, ἀναλαμβάνων ἐν δέρματι ἀποτίθεσο.

Κεφ. ε'. [Ὡς Ἀνδρόμαχος ἔγραψε τὰς προειρημένας ἐμπλάστρους.] Τρεῖς συνθέσεις ἔγραψεν ὁ Ἀνδρόμαχος ταύτης τῆς ἐμπλάστρου, τὴν πρώτην μὲν βραχὺ διαφωνοῦσαν τῇ προγεγραμμένῃ Κρίτωνος, ἐφεξῆς δ' ἄλλας β'. πλέονα διαφωνίαν ἐχούσας. ἡ δὲ ἐπαγγελία τοῦ φαρμάκου καὶ ἡ σκευασία γέγραπται καλῶς ἔμπροσθεν ὑπὸ τοῦ Κρίτωνος· ὁ δ' οὖν Ἀνδρόμαχος οὕτως ἔγραψε περὶ αὐτῆς. ἡ διὰ τῶν βο-

niaci drach. centum ſexaginta octo, reſinae colophoniae, pityinae drach. ſexaginta octo, cerae drach. centum ſexaginta octo, galbani ʒ xx, aeruginis drach. quinquaginta, alii viginti, myrrhae drach. quatuor, alii octo. Argenti ſpuma coquitur ex oleo, donec mediocriter coiviſſe viſa fuerint. Deinde olla ab igne depoſita gutta ammoniaci immittitur, poſtea reſina, poſtremo cera. Ubi ſingula curioſe liqnata fuerint, ne adurantur, olla ab igne rurſus ſublata, galbanum aſpergitur et aerugo, iterum ſuper ignem ponitur, coquiturque donec melinum fiat et juſtam craſſitiem nanciſcatur, poſtremo ſublato myrrha adjicitur, ac ubi moveris, defundito, pelleque excipiens reponito.

Cap. V. [*Ut Andromachus praedicta emplaſtra conſcripſerit.*] Tres hujus emplaſtri confectiones tradidit Andromachus, primam a praeſcripta Critonis nonnihil diſſentientem, deinde alias duas magis evariantes. Titulum autem medicamenti et praeparationem recte prius Crito conſcripſit. Andromachus in hanc ſententiam de ea prae-

Ed. Chart. XIII. [810. 811.] Ed. Baſ. II. (396.)

τανῶν. ♃ ἀναγαλλίδος τῆς τὸ κυάνεον ἄνθος ἐχούσης ⊲ νστ'. πρασίου ⊲ νστ'. μήκωνος ἀγρίου ⊲ νστ'. ὑοσκυάμου χλωροῦ ⊲ νστ'. λεπίδος ⊲ κε'. λιβάνου ⊲ η'. ῥητίνης ξηρᾶς ⊲ ιστ'. ἀλόης ⊲ ιστ'. σχιστῆς ⊲ δ'. κηροῦ μνᾶν α'. ἐλαίου παλαιοῦ κοτύλας β'. ὄξους. πολλοὶ μὲν τῶν δύο ἀναγαλλίδων ἔβαλλον εἰς τὴν διὰ τῶν βοτανῶν, Θεόκριτος δὲ καὶ γῆς Ἐρετριάδος καὶ χρυσοκόλλης καὶ ἁλὸς ἀμμωνιακοῦ καὶ ἀρσενικοῦ ἀνὰ ⊲ δ'.

[811] Κεφ. στ'. [Ἄλλαι ἐμπλαστροι τοῦ αὐτοῦ γένους, περὶ ὧν ὁ Ἀνδρόμαχος ἔγραψεν.] Πρὸς γαγγραίνας καὶ σηπεδόνας καὶ νομὰς παλαιὰς καὶ κακοήθεις, Ἰσιδώρου Ἀντιοχέως. ♃ λιθαργύρου ⊲ δ'. ἰοῦ ξυστοῦ ⊲ η'. ἐλαίου κυάθους στ'. Τάλιος Αἴλιος κυάθους ιβ'. καὶ ἰοῦ σκώληκος. τὴν δὲ λιθάργυρον καὶ τὸν ἰὸν λεῖα ἐμβαλὼν εἰς χύτραν καὶ ἐπιχέας ἐλαίου κυάθους τρεῖς, ἕψε ἐπὶ πυρὸς μαλακοῦ, κινῶν σπάθῃ ξυλίνῃ, ἕως ἂν γένηται χλωρὰ, εἶτα ἄρας ἀπὸ τοῦ πυρὸς καὶ εἰς θυείαν κατεράσας τρῖβε ἕως ἐστὶ θερμὸν

cepit. *Emplaſtrum ex herbis.* ♃ Anagallidis coeruleum florem habentis ʒ lvj, marrubii ʒ lvj, papaveris agreſtis ʒ lvj, alterci viridis ʒ lvj, ſquamae ʒ xxv, thuris drach. viij, reſinae ſiccae drach. xvj, aloës drach. xvj, aluminis fiſſilis drach. quatuor, cerae minam unam, olei veteris heminas duas, aceti. Multi quidem utriusque anagallidis. Theocritus autem et terrae Eretriae et chryſocollae et ſalis ammoniaci et auripigmenti, ſingulorum ʒ iv, in emplaſtrum ex herbis conjecit.

Cap. VI. [*Alia emplaſtra ex eodem genere de quibus ſcripſit Andromachus.*] *Ad gangraenas, putredines, nomas veteres et cacoëthes, Iſidori Antiochei.* ♃ Argenti ſpumae drach. quatuor, aeruginis raſae drach. viij, olei cyathos ſex. Talius Aelius cyathos xij et aeruginis ſcoleciae. Argenti ſpuma et aerugo in cacabum laevigata mittitur, olei tres cyathi ſuperfunduntur, coquitur pruna non acri, moveturque ſpatha lignea donec viride fiat. Poſtea ab igne ſublata, ac mortario ſuperfuſa contunditur, dum

Ed. Chart. XIII. [811.] Ed. Baſ. II. (396.)

ἐπὶ πλέον. εἶτα πάλιν εἰς τὴν χύτραν ἐπιχέας τοῦ ἐλαίου κυάθους γ'. κινῶν μὴ προσκαῇ, ἕως ἂν γένηται μηλίνη, ἕψει καὶ πάλιν κατακενώσας τρῖβε ὡς κολλύρια. καὶ πάλιν ἀνελόμενος εἰς τὴν χύτραν ἕψε κινῶν, ἕως ἂν γένηται ἐρυθρὰ, καὶ κατακενώσας εἰς θυείαν πάλιν τὸ τρίτον τρῖβε ἐπὶ πλέον καὶ πάλιν τὸ τέταρτον ἕψε εἰς τὴν χύτραν, ἵνα συστραφῇ, καὶ πάλιν ἕως ἐστὶ θερμὴ κατεράσας καὶ τρίψας ἀνελοῦ καὶ ἀπόθου εἰς πυξίδα ἐρυθρὰν καὶ χρῶ πρὸς τὰ εἰρημένα. ἐφεξῆς δὲ τῇ προγεγραμμένῃ περὶ ἑτέρας ἐμπλάστρου κατὰ λέξιν οὕτως ἔγραψεν ὁ Ἀνδρόμαχος. ὑγρὰ ἔμπλαστρος πρὸς νομὰς ᾗ χρῶμαι καὶ ἄλλα πολλά. ℞ κηροῦ ⊲ η'. ῥητίνης τερμινθίνης ⊲ η'. στέατος ταυρείου τεθεραπευμένου ⊲ δ'. χαλκίτεως ⊲ β'. λεπίδος χαλκοῦ ⊲ γ'. μάννης λιβάνου ⊲ β'. κηκίδος ὀμφακίνης ⊲ δ'. ἐλαίου μυρσίνου κοτύλας ε'. τὰ ξηρὰ σὺν ὄξει καὶ μέλιτι, εἶθ' οὕτως τὰ τηκτὰ καταχεῖται.

Κεφ. ζ'. [*Πολύχρηστοι φαιαί. πρὸς τὰ τῆς τέχνης ἔργα χρείαν εἶναι μεθόδου τε καὶ ἀσκήσεως*] Ὅτι τῶν βοη-

calidum eſt diutius, deinde rurſus tres olei cyathos in ollam fundito, movetoque ne aduratur, quousque melinum fiat incoquito. Ac rurſus eximens terito, ut collyria, iterumque excipiens in ollam coquito movendo, quousque rubrum colorem accipiat. Quin etiam tertio ex cacabo in mortarium deſuſa diutius terito, atque iterum quarto in olla coquito, ut in unum coeant. Rurſusque dum calet, deſuſa tritaque excipito et in rubra pyxide deponito ad praedictaque utitor. Poſt commemoratum emplaſtrum, alterius deinceps his verbis Andromachus meminit. *Humidum emplaſtrum ad nomas, quo utor et ad alia multa.* ℞ Cerae drach. octo, reſinae terebinthinae drach. octo, adipis taurini curati drach. quatuor, chalcitidis drach. duas, ſquamae aeris drach. tres, mannae thuris drach. duas, gallae immaturae drach. quatuor, olei myrtei heminas quinque. Arida cum aceto et melle ſumuntur, deinde ſic liquabilia ſuperfunduntur.

Cap. VII. [*Fuſcae multiplicis uſus. Ad artis opera methodo et exercitatione opus eſſe.*] Quod auxiliorum quae-

Ed. Chart. XIII. [811.] Ed. Baſ. II. (396. 397.)

θημάτων ἔνια μὲν ὁ λόγος εὑρίσκει μόνος, ἔνια δὲ ἡ πεῖρα, καὶ αὕτη τοῦ λόγου μὴ χρῄζουσα, τινὰ δ' ἀμφοῖν ἀλλήλοις συνεργούντων δεῖται, πολλάκις ὑμῖν ἐπιδέδεικται, καὶ πρός γε τούτοις ὅτι τὰ διὰ λόγου καὶ πείρας εὑρισκόμενα στοχαστικῇ μὲν ὁδῷ χρῆται πρὸς τὴν τῶν ζητουμένων εὕρεσιν, ἐλπισθέντα δὲ τῷ λόγῳ βεβαιοῦται τῇ πείρᾳ· καὶ μέντοι καὶ ὡς τῆς στοχαστικῆς ἐλπίδος οὐκ ὀλίγη ἐστὶν ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἡ διαφορὰ, καθάπερ καὶ καθ' ὅλον τὸν βίον. οὐ γὰρ ὁμοίως ἐλπίζομεν ὑετὸν ἔσεσθαι κατά γε τὰς χειμερινὰς τροπὰς καὶ τὴν τοῦ κυνὸς ἐπιτολήν. ἐν μὲν γὰρ ταῖς χειμεριναῖς τροπαῖς σπανιάκις οὐ γίνεται, κατὰ δὲ τὴν τοῦ κυνὸς ἐπιτολὴν σπανιάκις γίνεται. πάντων δὲ τῶν κατὰ τὰς τέχνας ἔργων ὑπὸ συνεχοῦς ἀσκήσεως ἀκριβουμένων οὐκ ἀρκεῖ τὸ καθόλου μόνον ἐν αὐταῖς καταμαθεῖν, ἀλλὰ κἂν τοῖς κατὰ μέρος ἐνεργῆσαι χρὴ πολλάκις. ἡ γὰρ διὰ τῶν ἀτελῶν ἐνεργειῶν ἄσκησις ὁδός ἐστιν ἐπὶ τὴν τῶν τελείων κτῆσιν. διὰ τοῦτ' οὖν κἀγὼ κατὰ πάσας τὰς πραγματείας, ἃς ὑμῖν τοῖς ἑταίροις ἀξιώσασιν (397) ἐποιησάμην, οὐκ ἠρκέσθην μόνον τοῖς καθόλου θεωρήμασιν, ἀλλὰ καὶ γυμνά-

dam ratio ſola invenit, quaedam experientia, quae et ipſa rationem non requirit, nonnulla utriusque opem poſtulant, ſubinde vobis demonſtratum eſt. Ad haec etiam quod quae ratione et experientia comperta ſunt, conjecturali via ad eorum, quae inquiruntur, inventionem, utuntur, quae vero per rationem ſeparata ſunt, experientia confirmantur. Quin etiam ſpei conjecturalis non mediocrem, quemadmodum et in univerſa vita, majoris minorisque eſſe differentiam, non enim pluviam hiemali ſolſtitio et caniculae ortu futuram ſimiliter ſperamus, quae hiemali frequenter, ſub caniculae aeſtu raro accidit. Porro quum omnia artium opera frequenti firmentur exercitio, non ſatis eſt generalia ipſarum addiſcere duntaxat, ſed etiam in particularibus exerceri ſubinde oportet, nam quae per imperfectas actiones fit exercitatio, ad perfectarum poſſeſſionem via eſt. Quare ego quoque in omnibus commentariis, quos vobis amici petentibus compoſui, non ſolis communibus theorematicis con-

Ed. Chart. XIII. [811 812.] Ed. Baſ. II. (397.)

σματα πολλὰ προσέγραψα, δι' ὧν ἤλπιζον ὑμῖν ἐναργιστέραν τε καὶ βεβαιοτέραν ἔσεσθαι τὴν γνῶσιν αὐτῶν. ὥσπερ οὖν ἐπὶ τῶν ἄλλων ἁπάντων μερῶν τῆς ἰατρικῆς, οὕτω κἀπὶ τῆς τῶν νευροτρώτων θεραπείας ἔγραψα, πρώτην μὲν ὑμῖν ἐπιδείξας τὴν λογικὴν ὁδὸν εἰς τὴν τῶν βοηθημάτων εὕρεσιν. ἐφεξῆς δὲ ταύτῃ τὰς ὕλας, ἐν αἷς τὰς εὑρεθείσας ὑπὸ τοῦ λόγου δυνάμεις ἐμά[812]θετε περιεχομένας. ἐν γὰρ τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ὑπομνήμασιν ια'. τὸν ἀριθμὸν οὖσι τὰς ἐν ταῖς κατὰ μέρος ὕλαις δυνάμεις ἁπάσας γε ἢ τὰς πλείστας χρησιμωτάτας ἔγραψα. πρὸς γάρ τοι τὴν εὐπορίαν τῶν βοηθημάτων ἐδείχθη τοῦτ' ἀναγκαῖον ὑπάρχειν, οὐ μόνον δὲ εἰς τὸ δύνασθαι καὶ ὑμᾶς αὐτοὺς ἄνευ τῶν ἐσκευασμένων φαρμάκων ἐν ἀπορίαις εὐπορεῖν τῶν βοηθημάτων, ὡς Ἐρασίστρατός ποτε τοῦ τῶν βοτανῶν εὐπόρησε χυλοῦ μὴ παρόντος αὐτοῦ στοματικοῦ φαρμάκου κατὰ τὸ χωρίον ἐκεῖνο τῆς ὁδοιπορίας, ἀλλὰ κἂν αὐτῶν συνθέντων ἀπολέσητε τὰς γραφὰς, ὅμως ὑμᾶς αὐτοὺς δύνασθαι

tentus fui, ſed exempla multa etiam exercendi gratia adjeci, quibus ipſorum cognitionem vobis evidentiorem magisque firmam fore ſperabam. Quemadmodum igitur in aliis omnibus medicinae partibus, ita et in nervorum vulnerum curatione ſcripſi, primum vobis rationalem viam oſtendens, qua ad praeſidiorum inventionem perveniatis, deinde materias, quibus vires a ratione inventas contineri didiciſtis, ſiquidem in commentariis, qui undecim numero ſunt de ſimplicium medicamentorum facultate, particularium materiarum vires univerſas vel plurimas easque utiliſſimas expoſui. Nam ut praeſidiis nunquam deſtitueremini, hoc eſſe neceſſarium demonſtravimus, non ſolum ut vos ipſi quoque in praeparatorum ab aliis medicamentorum inopia, auxiliorum copiam haberetis, ſicut olim Eraſiſtratus, quum ſtomaticum medicamentum in illo profectionis loco ad manum non eſſet, interdum herbarum ſuccos, quibus abundabat, uſurpavit, ſed etiam, ut ſi illorum auctorum ſcriptiones perierint, ipſi queamus ſimilia perditis conficere.

Ed. Chart. XIII. [812.] Ed. Baſ. II. (397.)

συντιθέναι παραπλήσια τοῖς ἀπολομένοις. καὶ μέντοι καὶ πρὸς τὸ καλῶς χρῆσθαι τοῖς ὑφ' ἑτέρων ἠυρημένοις ἡ διὰ τῆς προκειμένης πραγματείας ἄσκησις ὠφέλιμός ἐστι. τί δεῖ λέγειν ὅτι καὶ πρὸς τὸ διακρίνειν δύνασθαι τά τε περιττῶς ἐμβεβλημένα τοῖς συνθέτοις φαρμάκοις καὶ κατὰ τοὐναντίον, ὅσα παραλέλειπται τοῖς πρώτοις συντιθεῖσιν; ὡς ἐπὶ τῶν κατὰ τὸ γ'. βιβλίον ἔδειξα τὸν λόγον ποιούμενος, ἐπὶ τῶν τοῖς νευροτρώτοις ἁρμόττοντων, ὡσαύτως δὲ καὶ νῦν ἐπιδείξω, γυμνάζων ὑμᾶς ἐπὶ τοῖς ὑπὸ τῶν ἐμοῦ πρεσβυτέρων ἰατρῶν ἠυρημένοις. ἡ μὲν γὰρ καθόλου μέθοδος οὔτε μετὰ διορισμῶν ἀκριβῶς οὔτ' ἄνευ διορισμῶν ἐλλιπῶς ἐγράφη τινὶ τῶν πρόσθεν, ἀλλ' οὐδὲ φάρμακον ἐπαγγελλόμενον ἰᾶσθαι τοὺς νυγέντας νεῦρον ὑπό τινος ὀξέος, οἷαί πέρ εἰσιν αἱ βελόναι καὶ τὰ γραφεῖα τῶν παιδίων, ἔγραψέ τις αὐτὸ τοῦτο μόνον ἄριστα ποιεῖν δυνάμενον, ἐμοῦ πλῆθος οὐκ εὐαρίθμητον ἐν τῷ προειρημένῳ γράμματι διελθόντος αὐτῶν. πολύχρηστα μέντοι φάρμακα γράψαντες ἀξιόλογά τινες αὐτῶν, ὅσοι γε ἐπιμελέστεροι πρὸς τοῖς ἄλλοις οἷς ἐπαγγέλλονται

Inſuper, ut ab aliis inventis recte utamur, exercitatio ex propoſito opere accedens profuerit. Quid opus eſt ut dicam illam quoque adjumento eſſe, ut quae compoſitis medicamentis ſuperfluo injecta ſint et contra quae primi illorum auctores omiſerint, diſcernere poſſimus? ſicut in tertio libro oſtendimus, ſermonem de medicamentis ad nervorum vulnera idoneis facientes. Ita vero et nunc indicabimus, exercentes vos in iis, quae me ſeniores medici invenerunt. Univerſalis etenim methodus neque cum diſtinctionibus exacte, neque ſine iis imperfecte a quoquam priorum tradita eſt, imo nec medicamentum, quod curare promittat nervos ab acuto aliquo punctos, cujusmodi ſunt acus et puerorum ſtili, quisquam memoriae prodidit, quod ipſum hoc ſolum facere optime poſſit, at ego certe eorum innumerabilem copiam praedicto libro percenſui. Quidam tamen ipſorum nimirum diligentiores cum multi uſus medicamenta notatu digna ſcripſiſſent, praeter alia quae facere ipſa pol-

Ed. Chart. XIII. [812.] Ed. Baf. II. (397.)

ποιεῖν αὐτὰ προσέθηκαν, ἐνίοτε μὲν ὡς καὶ τοῖς νευροτρώτοις ἐστὶν ὠφέλιμα, ποτὲ δὲ ὡς ταῖς τῶν νεύρων τε καὶ μυῶν διακοπαῖς, ἔστι δὲ ὅτε καὶ νύξεσιν αὐτῶν ἢ θλάσεσιν ἀρήγειν ἔφασαν αὐτά. ὑμῖν δὲ ἐξ ὧν ἐμάθετε πάρεστι γνωρίζειν πρὸ τῆς πείρας εἴτε δυνατά τις ἐπαγγέλλεται περὶ ὧν ἔγραψεν εἴτ' ἀδύνατα. πάρεστι δὲ καὶ τὰ χωρὶς ὧν πέφυκε ποιεῖν γεγραμμένα φάρμακα γνωρίζειν ὑμῖν, ἐφ' ὧν ἐστι χρηστέον αὐτοῖς. ἵνα γοῦν ὡς ἐπὶ παραδείγματος ἄρξωμαί τινος ἐμπλάστρου φαρμάκου πολυχρήστου, ἐπὶ δευτέρου τῇ τάξει γεγραμμένου κατὰ τὴν φαρμακωνῖτιν Ἀνδρομάχου βίβλον, ἣν ἐποιήσατο τῶν ἔξωθεν τῷ σώματι προσφερομένων, ἄνευ τοῦ δηλῶσαι πρὸς τίνα μάλιστα χρηστέον αὐτῇ, γυμνάσασθαι πάλιν ὑμῖν πάρεστιν, ὅπως χρὴ γνωρίζειν ἐκ τῶν γεγραμμένων φαρμάκων ἁπλῶν, τὴν δύναμιν τοῦ συνθέτου.

Κεφ. η'. [Φαιὰ Αἰγυπτία Ἀνδρομάχου.] Ὁ μὲν γὰρ Ἀνδρόμαχος οὕτως ἔγραψε κατὰ λέξιν. ℞ φαιὰ Αἰγυπτία. ℞ λιθαργύρου ≺ μδ'. κίκεως κο. στ'. κηροῦ ≺ ρμδ'. ἀμμωνιακοῦ θυμιάματος ≺ οβ'. τερμινθίνης ≺ λστ'. ἐρίων κεκαυ-

licentur, adjunxere interdum quidem et nervorum vulneribus esse accommoda, interdum nervorum et musculorum praecisionibus, aliquando etiam puncturis ipsorum vel contusionibus auxiliari. Vobis autem ex iis, quae didicistis licet cognoscere ante experientiam, possibiliane quis, an impossibilia, de quibus scripsit, polliceatur. Praeterea et ea, sine quibus descripta medicamenta agere nata sunt, vobis intelligere integrum est, in quibus ipsis est utendum. Ut igitur ceu exempli gratia exordiar emplastrum quoddam, medicamentum multiplicis usus, quod Andromachus in libro de medicamentis extrinsecus corpori adhibitis, ordine secundum posuit, haud indicans ad quae maxime ipso utendum sit. Exerceri rursus vobis licet, quomodo ex commemoratis simplicibus medicamentis compositi vires sint cognoscendae.

Cap. VIII. [*Fusca Aegyptia Andromachi.*] Andromachus enim ita ad verbum prodidit. *Fusca Aegyptia.* ℞ Argenti spumae ʒ xliv, ricini heminas vj, cerae ʒ cxliv, guttae ammoniaci ʒ lxxij, terebinthinae ʒ xxxvj, lanarum

Ed. Chart. XIII. [812. 813.] Ed. Baſ. II. (397.)

μένων ⊲ ιή. λεπίδος στομώματος ⊲ ή. λεπίδος χαλκοῦ ⊲ ή. ἀριστολοχίας ⊲ ή. λιβάνου ⊲ ή. ἔνιοι δὲ σμύρνης ⊲ δ'. ὀποπάνακος ⊲ β'. θαλάσσης ⊲ ν'. εἰς ἐμβροχὴν κηροῦ. αὕτη μὲν ἡ γραφὴ τοῦ φαρμάκου καλοῦ καὶ πολυχρήστου κατὰ ἀλήθειαν ὄντος, ἀλλὰ αὐτός γε παρέλιπεν εἰπεῖν ἐπὶ τίνων αὐτῷ χρηστέον. εἰ μὲν οὖν προειρηκὼς ἑκάστου γε τῶν ἁπλῶν φαρμάκων τὴν δύναμιν, ὥσπερ ἡμεῖς ἐποιήσαμεν ἐν ὑπομνήμασιν ἕνδεκα, μέθοδόν τέ τινα γεγραφὼς καθόλου [813] συνθέσεως φαρμάκων, ὡς ἐγὼ κατὰ τὸ πρὸ τοῦδε τοῦ βιβλίου πεποίημαι, προὔβαλλε ζῶσι τοῖς ἑτέροις τοιαύτας γραφὰς ἕνεκα γυμνασίας, ὅπως ἀποκρίνοιντο πρὸς τίνα παθήματα δύναται χρήσιμον ὑπάρχειν, ἐπηνέσαμεν ὄντως αὐτοῦ τὴν διδασκαλίαν. ἐπεὶ δ' οὐδὲν τούτων ἐποίησε, παντοίως ἄν τις αὐτῷ μέμψαιτο. διὰ τοῦτο οὖν εἰκότως αἱ φαρμακίτιδες αὐτοῦ βίβλοι παμπόλλων φαρμάκων ἀρίστων ἔχουσαι συνθέσεις ἠμέληνται τοῖς ἰατροῖς. ἐν γὰρ τοῖς χιλίοις εἷς τις δοκεῖ τὸ τέλος ἔχειν τῆς τέχνης, οἱ δ' ἄλλοι

uſtarum ʒ xviij, ſquamae ſtomomatis ʒ viij, ſquamae aeris ʒ viij, ariſtolochiae ʒ viij, thuris ʒ viij. Nonnulli myrrhae ʒ iv, opopanacis ʒ duas, marinae aquae drach. quinquaginta ad ceram conſpergendam. Haec quidem ſcriptura medicamenti boni et re vera uſus multiplicis eſt, verum ipſe dicendum omiſit, in quibus eo utendum erit. Si igitur cujusque ſimplicis medicamenti facultate ante expoſita, quemadmodum nos in undecim libris factitavimus et methodo quapiam univerſali compoſitionis medicamentorum ſcripta, ſicut a nobis quoque praecedente libro factum eſt, viventibus amicis hujusmodi ſcriptiones exercitii gratia protuliſſet, ut ad quos affectus utile eſſe compoſitum medicamentum poſſet, decernerent, nimirum hominis inſtitutum laudaſſemus, quoniam vero nihil horum egit, quis non ipſum omnino accuſatione dignum cenſeat? Unde medicamentarii ipſius libri, qui complurium optimorum medicamentorum compoſitiones habent, merito a medicis neglecti ſunt, nam inter ſexcentos vix unus artis abſolutionem habere videtur,

Ed. Chart. XIII. [813.] Ed. Baſ. II. (397.)

τοῖς ἰδιώταις ὡσαύτως ἀγαπῶσιν, ἐὰν τοῖς σαφῶς γεγραμμένοις φαρμάκοις ὀρθῶς χρῆσθαι δύνωνται. καὶ τί δεῖ λέγειν περὶ τῶν τοιούτων ἰατρῶν; ὅπου δὲ καὶ τῶν ἐμπειρικῶν ὀνομαζομένων ἔνιοι καίτοι ἀξιόλογοι διὰ τῶν τῆς τέχνης ἔργων ὀφθέντες, ὅμως ἀγνοεῖν φασιν ᾧτινι λογισμῷ τῶν συνθέτων φαρμάκων ἕκαστον εὑρηται, καὶ τί λέγω λογισμῷ; τὴν ἀρχὴν γὰρ οὐ λογισμῷ φασιν εὑρῆσθαι τῶν τοιούτων οὐδέν. ἄχρηστος οὖν αὐτοῖς ἐστιν ἡ τῆς φαιᾶς ταύτης ἐμπλάστρου γραφὴ, τὸ χρῶμα μόνον ἐν τῷ προγράμματι διδασκούσης χωρὶς τῆς κατὰ δύναμιν ἐπαγγελίας, ἣν ἄμεινον ἦν γεγράφθαι πρὸ τοῦ χρώματος. ἐπεὶ τοίνυν ὁ Ἀνδρόμαχος εἰπεῖν παρέλιπε τὴν δύναμιν αὐτῆς, ἡμεῖς εὑρεῖν πειραθῶμεν ἐκ τῆς τῶν μιγνυμένων φαρμάκων ἰδέας τε καὶ δυνάμεως. ἡ μὲν δὴ λιθάργυρος ὅτι τῆς μέσης οὖσα κράσεως ἐν τῷ θερμαίνειν καὶ ψύχειν ἀποκεχώρηκε βραχὺ πρὸς τὸ ξηραίνειν ἐμάθετε. καὶ μέντοι καὶ τὴν χρείαν αὐτῆς εἰς τὰς ἐμπλάστρους ἔγνωτε διττὴν ὑπάρχουσαν, εἰ μὲν ἄτηκτος μείνειεν, ὡς ὕλης μόνον, εἰ δὲ τακείη καὶ ὡς ξηραίνειν δυνα-

alii idiotarum modo ſatis habent, ſi medicamentis manifeſto ſcriptis recte uti queant. At quid oportet dicere de hujusmodi medicis? Quum etiam empiricorum nonnulli, ut vocant, quamvis celebres ex artis operibus conſpiciantur, tamen ignorare ſe fateantur, quanam ratione unumquodque compoſitorum medicamentorum inventum fuerit. Atqui quid ego dico ratione? protinus enim ne ullum ex ejusmodi medicamentis inventum eſſe ratione pronunciant. Inutilis igitur ipſis eſt ſuſci hujus emplaſtri ſcriptura, quae colorem tantum in titulo docet, vires non item, quas ante colorem ſcriptas eſſe praeſtiterat. Quoniam itaque Andromachus facultatem ipſius dicere neglexit, nos ex mixtorum ſpecie et facultate invenire conemur. Argenti ſpumam medii temperamenti caleſaciendo et refrigerando, paulum ad ſiccitatem inclinare didiciſtis, praeterea uſum eſt in emplaſtris eſſe duplicem, nempe ſi non liqueſiat, ceu materiae duntaxat momentum adferre, ſi liquata fuerit, etiam ſiccare

Ed. Chart. XIII. [813.] Ed. Baſ. II. (397.)

μένης καὶ μᾶλλον εἰ ἐπὶ πλέον ἐψηθείη. νυνὶ μέντοι ζήτημά ἐστι ἐπὶ πόσον ἐψηθήσεται, κο. στ'. γράψαντος τοῦ Ἀνδρομάχου μίγνυσθαι χρῆναι τοῦ κίκεως, ὅπερ ἐστὶν ἐλαίου κίκινου. πόσων γὰρ οὐγγιῶν τὴν ἐκ τῆς Ῥωμαϊκῆς λίτρας εἶναι βούλεται κοτύλην, οὐκ ἐδήλωσε· καίτοι βέλτιον ἦν ἐν Ῥώμῃ βεβιωκότα λιτρῶν μὲν καὶ ξεστῶν καὶ οὐγγιῶν μεμνῆσθαι, παραλιπεῖν δὲ τὸ τῆς κοτύλης ὄνομα ταῖς ἔξω τῆς Ἰταλίας πόλεσιν Ἑλληνικαῖς ὑπάρχον ἐν χρήσει. εἰ μὲν οὖν ἐν ἁπάσαις αὐταῖς ταὐτὸ ἦν ὄνομα τῆς κοτύλης, οὐδὲν ἂν ἦν ζήτημα. νυνὶ δὲ ἐπειδὴ παμπόλλη διαφορὰ κατὰ τὸ ποσὸν ἐν αὐταῖς ἐστιν, ἐχρῆν αὐτὸν εἰπεῖν ἤτοι γε ὅτι τὴν Ἀττικὴν λέγω κοτύλην ἢ τὴν Ἀλεξανδρεωτικὴν ἢ τὴν Ἐφεσίαν ἤ τινα ἄλλην. οἱ μὲν οὖν πλεῖστοι τῶν γραψάντων περὶ μέτρων καὶ σταθμῶν θ'. φασὶν οὐγγιῶν τῶν ἐκ τῆς Ῥωμαϊκῆς λίτρας τὴν ὑπὸ τῶν ἰατρῶν ἐν τοῖς φαρμακίτισι βιβλίοις γεγραμμένην κοτύλην. ἄλλοι δὲ τὴν τῶν ιβ'. φασὶν οὐγγιῶν ὑπ' αὐτῶν λέγεσθαι, καθάπερ ἐν Ῥώμῃ τὴν λίτραν τοῦ ἐλαίου συνήθως ὀνομάζουσιν. ἤδη δέ τινος ἤκουσα λέ-

poſſe, idque magis ſi diutius cocta fuerit. Nunc tamen quaeſtio eſt, quatenus incoqui debeat, quum Andromachus ſex heminas ricini, quod eſt olei ricinini, miſcendas eſſe tradiderit. Quot enim unciarum Romanae librae heminam eſſe velit non explicuit, etſi melius erat hominem qui Romae degerat librarum, ſextariorum et unciarum meminiſſe, relinquere autem cotyles, id eſt heminae, vocabulum Graecis civitatibus extra Italiam uſitatum. Si ergo in omnibus ipſis idem nomen heminae eſſet, nulla utique foret quaeſtio, nunc vero quum permagna quantitatis inter eas ſit differentia, conveniebat ipſum monere, ſe vel Atticam vel Alexandreoticam vel Epheſiam vel aliam quampiam heminam dicere. Nam permulti, qui de menſuris et ponderibus ſcripſerunt, novem unciis Romanae librae heminam medicos in medicorum libris aeſtimaſſe produnt, alii duodecim unciis ab eis reputari affirmant, ſicut Romae olei libram ex more appellant. Jam vero quendam

Ed. Chart. XIII. [813. 814.] Ed. Baſ. II. (397. 398.)

γοντος γο ιστ'. Ῥωμαϊκὰς ἔχειν τὴν ἐν ταῖς φαρμακίτισι βίβλοις γεγραμμένην ὑπὸ τῶν ἰατρῶν κοτύλην, οὐ μικρὰ δέ ἐστι διαφορὰ πρὸς τὴν τοῦ φαρμάκου δύναμιν ἢ μεγάλας ἐμβάλλειν ἢ μικρὰς τὰς κοτύλας. ἐγὼ γοῦν ἐν τῇ Ῥώμῃ (398) τὴν τοῦ ἐλαίου καλουμένην λίτραν, ἣν διὰ τῶν κατατετμημένων κεράτων μετροῦσιν, ἔστησά ποτε βουλόμενος μαθεῖν ὁπόσον ἔχει σταθμὸν τοῦ βάρους. εὗρον δὲ καὶ ταῖς σταθμικαῖς δέκα οὐγγίαις ἴσας τὰς μετρικὰς τοῦ ἐλαίου ιβ'. διὸ γράφειν ἐχρῆν ἐπιμελέστερον ἐν ταῖς φαρμακίτισι βίβλοις τοὺς ἰατροὺς, ὁποίας τινὰς κελεύουσι βάλλεσθαι τὰς οὐγγίας ἢ τὰς λίτρας τῶν ὑγρῶν φαρμάκων, πότερα τὰς μετρικὰς ἢ τὰς σταθμικάς. πρόδηλον γὰρ, ὅτι τῶν ὑγρῶν τούτων σωμάτων, ὥσπερ καὶ τῶν στερεῶν, τὰ μέν ἐστι βαρύτερα, τὰ δὲ κουφότερα. καὶ λέλεκταί μοι κατὰ λόγον ἕτερον ἑκάστου τῶν εἰς τὰ φάρμακα βαλλομένων ὑγρῶν ὁ σταθμὸς, [814] ἀλλὰ νῦν γε τὸ προκείμενον ἀναλάβωμεν. τὰς γάρ τοι τρεῖς κοτύλας, εἰ μὲν ἐξ ἐννέα τις οὐγγιῶν μετρικῶν ἑκάστην θείη, τὰς μὲν τρεῖς οὐγγιῶν ἑπτὰ καὶ κ'. ἐργάσεται. τεμνομένης

audivi, qui heminam a medicis in medicamentorum commentariis traditam ſedecim uncias Romanas pendere diceret. At non parum refert ad medicamenti facultatem vel magnas vel parvas heminas injicere. Ego ſane olei libram Romae vocatam, quam per inciſuris diſtincta cornua metiuntur, ponderavi quandoque diſcere cupiens quantum gravitatis pondus contineret, inveni duodecim olei menſurales, decem unciis ponderum aequales. Quare medicos in libris de medicamentis accuratius ſcribere oportebat, quales videlicet uncias vel libras medicamentorum liquidorum immitti vellent, menſuralesne an ponderum; perſpicuum enim eſt, liquidorum horum corporum, ſicut etiam ſolidorum alia graviora, alia leviora eſſe. Ac ſingulorum liquidorum, quae in medicamenta mittuntur, pondus alio libro declaravimus, ſed in praeſentia id quod propoſitum eſt repetamus. Etenim ſi novem unciarum menſuralium ſingulas heminas eſſe ſtatueris, ex tribus ſeptem et viginti uncias produces, ſi in

Ed. Chart. XIII. [814.] Ed. Baſ. II. (398.)

δὲ ἑκάστης αὐτῆς εἰς ἡ. δραχμὰς, τὰς δραχμὰς ἑξουσι διακοσίας ιστ. εἰ δὲ ἐκ τῶν ιβ. οὐγγιῶν ἑκάστην κοτύλην ὑπάρχειν ὑπόθοιτο, γενήσονται μὲν στ. καὶ λ. οὐγγίαι, δραχμαὶ δὲ σπη. τεμνομένης εἰς ἡ. δραχμὰς ἑκάστης οὐγγίας. πεπείραμαι δ' ἐγὼ πολλάκις ἐν ἐλαίῳ λιθάργυρον ἑψηκὼς τὴν μὲν σύμμετρον αὐτῆς μίξιν ἴσην τῇ σταθμικῇ λίτρᾳ τῆς λιθαργύρου, τῇ μετρικῇ δὲ τοῦ ἐλαίου γίγνεσθαι. εἰ δὲ ἐμβάλλοι τις ἔλαιον πλέον, ἑψομένην τε δηλονότι πλείονι χρόνῳ, ξηραντικωτέραν γιγνεσθαι. ἐπὶ δὲ τῶν λευκῶν ἐμπλάστρων διὰ τὸ χρῶμα μίγνυμεν καὶ τὸ ψιμύθιον τῇ λιθαργύρῳ, τοὐπίπαν ἴσον ἴσῃ κατὰ τὸν σταθμόν. ἐμβάλλεται δὲ ἡ κοτύλη τῶν θ'. οὐγγιῶν, ὡς πρὸς τὴν σταθμικὴν λίτραν τῆς λιθαργύρου, βουλομένοις φυλάττειν τὸ χρῶμα, διὰ τὸ τὴν πλείονα ἕψησιν ἐργάσασθαι μελαντέραν τὴν λιθάργυρον, ἀλλ' ἧττον ἐχέκολλον γίνεται τὸ φάρμακον, ἐλαίου βληθέντος ὀλίγου. διό τινες ἔμιξαν ἤτοι τὴν τερμινθίνην ῥητίνην ἢ τὴν κολοφωνίαν καλουμένην τὴν διαυγῆ, καθ' ὅσον οἷόν τε πειρώμενοι μήτε τὴν χρόαν βλάψαι μήτε τὴν δύναμιν τοῦ φαρμάκου,

octo drachmas quamque unciam dividas, drachmas ducentas et ſedecim habebis, ſi duodecim unciis ſingulas heminas aeſtimes, fient nimirum ſex et triginta unciae, drach. vero cclxxxviij, ſingulis unciis in octo drachmas diviſis. Expertus ſum ego plerumque, quum argenti ſpumam ex oleo coxiſſem, commoderatam ipſius mixturam librae quidem argenti ſpumae ponderali, menſurali vero olei parem fieri, quod ſi copioſius oleum injicias et coctam videlicat diutius majorem vim ſiccandi aſſumere. In candidis emplaſtris coloris gratia ceruſſam quoque argenti ſpumae miſcemus, omnino aequalem pondere. Immittitur autem homina novem unciarum juxta ponderalem argenti ſpumae libram, colorem ſervare volentibus, eo quod diuturnior coctio nigriorem argenti ſpumam efficiat, ſed oleo pauco indito medicamentum glutinans evadit. Proinde quidam vel terebinthinam reſinam vel quam vocant colophoniam quantum licet pellucentem miſcuerunt, conantes neque colorem of-

Ed. Chart. XIII. [814.] Ed. Baſ. II. (398.)

προσθεῖναί τε τῆς ῥητίνης μίξει τὸ δυσαπόπτωτον αὐτῇ, διὰ τὸ ψαθυρὸν γίνεσθαι τὸ φάρμακον, ἂν ἐν ἐλαίῳ τοσούτῳ τοσοῦτον ἕψηται τῆς λιθαργύρου τε καὶ τοῦ ψιμυθίου. τινὲς δὲ κατὰ τὸν αὐτὸν λόγον ἐνέβαλον ἑψημένῳ τῷ φαρμάκῳ τὸν λευκὸν κηρόν. τῇ μέντοι διπλάσιον ἐχούσῃ τὸ ἔλαιον λιθαργύρῳ, κἂν μηδὲν ἐπεμβάλλῃς ῥητινώδες ἢ κηρώδες, ὑπάρξει τὸ ἐχέκολλον ἐκ τῆς ἑψήσεως, καὶ πολύ γε μᾶλλον, ἐὰν τριπλάσιον μίξῃς τὸ ἔλαιον τῇ λιθαργύρῳ, τουτέστιν ἐὰν τρεῖς μετρικὰς ἐλαίου μίξεις τρισὶ σταθμικαῖς τῆς λιθαργύρου. εἰκὸς οὖν ἐστι τὸν Ἀνδρόμαχον θ'. τῶν μετρικῶν οὐγγιῶν ἀξιοῦν ἐμβάλλεσθαι τὸ κίκινον ἔλαιον, ὡς γίγνεσθαι τῶν ἐξ κοτυλῶν οὐγγίας νδ'. μετρικὰς, ὅπερ ἐστὶ ταὐτὸν λίτρας μετρικαῖς Ῥωμαϊκαῖς δ'. καὶ S''. εὔδηλον δ' ὅτι μὴ παρόντος ποτὲ ἡμῖν τοῦ κικίνου τὸ παλαιὸν ἔλαιον ἀντ' αὐτοῦ παραληψόμεθα. καὶ τὸ σικυώνιον δ' ἐγὼ πολλάκις ἐνέβαλον εἰς τὰς διαφορητικὰς ἐμπλάστρους, κἀκείνου μὴ παρόντος, ἕτερον ἔλαιον αὐτοσχεδιάσας, ὅμοιον ἐκείνοις εἰργασάμην, ἐναφεψήσας αὐτῷ ῥίζας σικύου ἀγρίου καὶ βρυω-

ſendere, neque medicamenti facultatem, adjicereque reſinae mixturae tenacitatem, quo non facile decidat, quippe medicamentum, ſi tanto oleo tantum argenti ſpumae et ceruſſae coquatur, arenidum ac friabile redditur. Nonnulli eadem ratione cocto medicamento albam ceram indiderunt. Spumae tamen argenti duplum olei habenti, ſi nihil etiam reſinoſum vel ceroſum immittas, ex coctione glutinans erit, et multo magis, ſi cum argenti ſpuma olei triplum miſceas, hoc eſt ſi tres olei menſurales uncias cum tribus argenti ſpumae ponderalibus committas. Conſentaneum igitur eſt Andromachum novem unciis menſuralibus oleum ricini immitti jubere, ut ſex heminae uncias quinquaginta quatuor expediant menſurales, quod idem eſt ac ſi dicas, menſurae Romanae lib. iv ſ. At clarum eſt ricini inopia interdum vetus oleum ejus loco aſſumendum eſſe. Ego ſubinde et ficyonium injeci emplaſtris diſcutientibus, et quum illud non adeſſet, aliud mea ipſius induſtria ſimile illis effeci radici-

Ed. Chart. XIII. [814.] Ed. Baſ. II. (598.)

γίου καὶ ἀλθαίας. ὅτι δὲ διαφορητικόν τε καὶ μαλακτικὸν εἶναι βούλεται τὸ προκείμενον φάρμακον ὁ Ἀνδρόμαχος ἔνδηλον ἐκ τοῦ κίκινον ἔλαιον ἐμβάλλειν αὐτῷ καὶ πλεῖστον ἀμμωνιακὸν θυμίαμα. τῇ γὰρ λιθαργύρῳ τὸν μὲν κηρὸν ἴσον εἶναι βούλεται τῷ σταθμῷ, τὸ δ' ἀμμωνιακὸν S''. καίτοι κατὰ πολλὰς τῶν ἐνδόξων ἐμπλάστρων οὐχ ἡμίσεος, ἀλλὰ δ'. μέρους ἢ ε'. καὶ πολλάκις ἑβδόμου τε καὶ ὀγδόου καί ποτε δεκάτου βαλλομένου τοῦ φαρμάκου τούτου κατὰ τὸν σταθμὸν, ὡς πρὸς τὴν λιθάργυρον. περὶ δὲ τοῦ κηροῦ μεμαθήκαμεν ὡς ὕλης ἔχει τάξιν ἐν ταῖς τῶν τοιούτων φαρμάκων συνθέσεσιν, οὐ δυνάμεως δραστηρίου συντέλειαν. ὑπάρχει δὲ καὶ αὐτῷ βραχεῖά τις δύναμις μαλακτικὴ, ἀλλ' οὐ διὰ ταύτην ἐν τῷ προκειμένῳ φαρμάκῳ παρείληπται, καθάπερ οὐδ' ἡ τερμινθίνη ῥητίνη, καίτοι πολὺ πλαστικωτέρα κατὰ δύναμιν οὖσα τοῦ κηροῦ. καὶ γὰρ μαλάττει μᾶλλον αὐτοῦ καὶ προσέτι θερμαίνει καὶ διαφορεῖ, τοῦ κηροῦ μηδ' ἕτερον ἔχοντος τούτων. ἀλλὰ τὸ ἀμμωνιακὸν θυμίαμα μόνον ἐμβληθὲν αὐχμηρὸν ἐργάσεται τὸ φάρμακον. ὡς δ' εἰς

bus cucumeris agreſtis, bryoniae et althaeae in eo decoctis. Quod vero propoſitum medicamentum diſcutiens emolliensque Andromachus eſſe cupiat, ricinini olei et copioſa guttae ammoniaci mixtura, palam indicat, nam argenti ſpumae ceram pondere parem, ammoniacum dimidium eſſe praecipit, et ſi in multis nobilibus emplaſtris non dimidium, ſed quarta pars vel quinta, crebro ſeptima et octava, nonnunquam decima, pondere ad argenti ſpumae proportionem medicamenti hujus immittatur. De cera didicimus, quod in hujusmodi medicamentorum compoſitionibus materiae locum obtinet, non facultatis efficaciam adjuvat. Adeſt vero et ei vis quaedam emolliendi exigua, ſed non illius ergo medicamento praeſenti admixta eſt, quemadmodum nec terebinthina reſina, quamquam multo viribus quam cera praeſtantior, etenim magis mollit quam illa, item caleſacit et diſcutit, ex quibus cera ne alterum quidem efficit. Verum gutta ammoniaci ſola impoſita ſqualidum aridumque reddet medicamentum. Quantum vero ad emplaſtri confectio-

Ed. Chart. XIII. [814. 815.] Ed. Baſ. II. (398)

ἐμπλαστροποιΐαν, οὐδὲ γὰρ χεῖρον οὕτως ὀνομάσαι, χρήσιμός ἐστιν ὅ τε κηρὸς καὶ ἡ ῥητίνη. τὸ γάρ τοι μαλάττειν τε καὶ διαφορεῖν ὑπάρχει τῷ φαρ[815]μάκῳ κἀκ μόνου τοῦ ἀμμωνιακοῦ πρωτεύοντος μὲν ἐν τοῖς μαλακτικοῖς, ἐναμίλλου δὲ καὶ τοῖς διαφορητικοῖς ὄντος. ἀναμνησθέντες δὲ τῶν ἐν τῷ ε΄. τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως εἰρημένων, ὁποίαν τινὰ τὴν κρᾶσιν εἶναι χρὴ τοῖς τοιούτοις φαρμάκοις, οὐδὲν ἔτι δεηθήσεσθε νεωτέρας διδασκαλίας. αἱ μὲν γὰρ πρῶται δυνάμεις δραστικαὶ τοῖς φαρμάκοις εἰσὶν ἐν θερμότητι καὶ ψυχρότητι καὶ ὑγρότητι καὶ ξηρότητι· δεύτεραι δὲ αἵ τε μαλακτικαὶ καὶ διαφορητικαὶ καὶ ἀποκρουστικαὶ καὶ ἑλκτικαὶ καὶ πεπτικαί τε καὶ ῥυπτικαὶ καὶ σηπτικαί, καθάπερ γε καὶ τρίται κολλητικαὶ τραυμάτων, ἐπουλωτικαί τε καὶ σαρκωτικαί. καὶ τὸ συγκείμενον οὖν ἔξ ἐλαίου κικίνου καὶ ἀμμωνιακοῦ θυμιάματος φάρμακον ἱκανόν ἐστι διαφορεῖν τε καὶ μαλάττειν καὶ δηλονότι καὶ ξηραίνειν, ὕλην ἐπιτηδείαν προσειληφὸς τὸν κηρόν τε καὶ τὴν ῥητίνην καὶ τὴν ἐπὶ τὸ πλέον ἐψημένην λιθάργυρον. ἐπεμβάλλειν δ' αὐτῷ κελεύει

nem, hoc eſt emplaſtropoeiam, neque enim ita appellaſſe nocet, attinet, utilis eſt tum cera tum reſina, quippe mollit diſcutitque medicamentum vel ſolius ammoniaci beneficio, quod quidem inter emollientia principatum occupat, in diſcutientibus vero concertat. Porro ſi quae in libro quinto de ſimplicium medicamentorum facultate dicta ſunt, in memoriam revocaveritis ad intelligendum qualenam hujusmodi medicamentis temperamentum eſſe oporteat, nihil adhuc recentiori diſciplina indigebitis. Nam primae facultates effectivae medicamentis ſunt, in calore, frigiditate, humiditate et ſiccitate, ſecundae emollientes, diſcutientes, repercuſſoriae, attractrices, coctrices, deterſoriae et exedentes, quemadmodum et tertiae dicuntur, quae glutinant vulnera cicatricem inducunt et carnem generant. Compoſitum igitur ex oleo ricinino et gutta ammoniaci medicamentum abunde poteſt diſcutere, emollire et nimirum etiam ſiccare, ubi materiam idoneam aſſumpſerit, ceram, reſinam et diutius coctam argenti ſpumam. Ad haec vero jubet injicere lanas

Ed. Chart. XIII. [815.] Ed. Baſ. II. (398.)

καὶ τῶν κεκαυμένων ἐρίων καὶ ἀριστολοχίας, διαφορητικωτάτων τε καὶ ξηραντικωτάτων φαρμάκων, ἐφ' οἷς πεπτικοῦ καὶ παρηγορικοῦ φαρμάκου μνημονεύει τοῦ λιβανωτοῦ. εἰ δὲ καὶ τῆς σμύρνης ἐμβάλλοιμέν τι καὶ ὀποπάνακος, ἐνίους γάρ φησι καὶ τούτων τι μιγνύναι τῷ φαρμάκῳ, τὴν μὲν σμύρναν ἴσμεν οὐκ ἀγεννῶς θερμαίνουσάν τε καὶ ξηραίνουσαν, τὸν δὲ ὀποπάνακα καὶ γενναιότερον ἔτι ταῦτ' ἄμφω δρῶντα καὶ προσέτι λεπτυντικῆς τε καὶ διαφορητικῆς ὄντα δυνάμεως. ἀλλὰ τούτου μὲν ὀλίγιστον ἐμβάλλεται, δειδιότος οἶμαι τοῦ προσθέντος αὐτὸ τὴν δριμύτητα τοῦ φαρμάκου καὶ βουλομένου μὴ μόνον διαφορητικήν τε καὶ μαλακτικὴν ἐργάσασθαι τὴν ἔμπλαστρον, ἀλλὰ καὶ τραύμασιν ἐπιτηδείαν. διὰ τοῦτο οὖν αὐτῷ καὶ τὴν λεπίδα τοῦ χαλκοῦ τε καὶ τοῦ στομώματος ἔμιξε, φάρμακα στυπτικὴν ἔχοντα δύναμιν ἅμα τῷ ξηραίνειν ἰσχυρῶς. διὰ γοῦν τὴν τούτων μίξιν ἐπί τε τῶν ἐναίμων τραυμάτων ἄλλων θ' ἑλκῶν οὐκ ὀλίγων ἀγαθὸν γίγνεται φάρμακον ἡ προκειμένη κατὰ λόγον ἔμπλαστρος Αἰγυπτία. καὶ μέντοι καὶ πρὸς ἀποστήματα καὶ πάνθ'

uſtas, ariſtolochiam, medicamenta plurimum diſcutientia et exiccantia. Praeterea meminit medicamenti concoquentis et diſcutientis nempe thuris. Quod ſi myrrhae nonnihil et opopanacis adjicit, quosdam enim ait et ex iis aliquid miſcere medicamento, illam ſane ſcimus non ignavitur calefacere et exiccare, opopanacem vero et generoſius adhuc haec utraque efficere, inſuper attenuandi, diſcutiendique facultate praeſtare, ſed hujus quidem pauxillum inditur, timente, opinor, eo qui ipſum apponit medicamenti acrimoniam et volente non ſolum diſcutiens emolliensque emplaſtrum, ſed vulneribus quoque idoneum efficere. Propterea igitur et ſquamam aeris et ſtomomatis cum ea miſcuit, quae praeterquam quod valide ſiccant, aſtringendi etiam vim ſortita ſunt. Ego propter horum mixturam propoſitum nobis in ſermone emplaſtrum Aegyptium cruentis vulneribus ulceribusque aliis non paucis bonum medicamentum redditur. Quin etiam ad abſceſſus et omnia quae diſcuti

Ed. Chart. XIII. [815.] Ed. Baſ. II. (398 399)

ὅσα διαφορεῖσθαι δεῖται, πολλάκις ἀκηκόατε τὰ μὲν ἅμα τοῖς διαφορητικοῖς φαρμάκοις ἔχοντά τι καὶ τῶν στυπτικῶν ἀσφαλέστερα γίγνεσθαι, τὰ δὲ χωρὶς τῶν στυφόντων δραστικώτερα μέν, οὐκ ἀσφαλῆ δέ. πολλάκις γὰρ ἐπισπᾶται ῥεύματα πληθωρικοῦ τοῦ θεραπευομένου σώματος ὄντος ἢ κακοχύμου. κενὸν δ' εἴπερ εἴη τὸ σῶμα καὶ ἀπέριττον, ἑτοιμότερον ἀφικνεῖται τοῦ τέλους τὰ διαφορητικώτερα φάρμακα μόνα παραλαμβανόμενα χωρὶς τῶν στυπτικῶν. ὀλίγοις δὲ προσφερόμενα ἐπὶ τοιούτοις σώμασι (399) τὰ φάρμακα διὰ τοῦτο ἀσφαλέστερον ἔδοξεν εἶναι μιγνύναι τι καὶ τῶν ἀποκρουστικῶν. οὕτω τοι καὶ τῇ διὰ τῶν ἁλῶν ἐμπλάστρῳ διαφορητικῇ προσέθεσάν τινες χαλκάνθου βραχύ, καίτοι καὶ τῶν ἁλῶν αὐτῶν ἐχόντων τι στυπτικόν. τὸ τοίνυν προκείκενον φάρμακον εὕρηται μὲν διαφορητικὸν ἰσχυρῶς, ὡς καὶ πῦον ἤδη τό γε μὴ πάνυ πολὺ, χωρὶς τοῦ διατρῆσαι τὸ δέρμα, διαφορεῖν δύνασθαι, μαλακτικὸν δὲ τῶν σκιῤῥουμένων τε καὶ ὀπωσοῦν σκληρυνομένων, κολλητικὸν δὲ μεγάλων τραυμάτων, ὥσπερ γε καὶ τῶν ἤδη κακοηθευομένων ἑλκῶν ἐπου-

poſtulant, ſubinde audiviſtis medicamenta, quae ſimul cum diſcutientibus etiam aſtringentium aliquod capiunt, tutiora fieri, quae vero ſine aſtringentibus diſcutiunt, efficaciora quidem, ſed non perinde tuta. Saepe enim fluxiones attrahunt dum corpus quod curatur plethoricum eſt vel pravo ſucco obnoxium, ſin autem vacuum corpus eſt ac ſuperfluitatibus liberum, promptius medicamenta, quae magis diſcutiunt, ſola ſine aſtringentibus aſſumpta ad finem perveniunt, at quum pauca id genus corpora, quibus medicamenta afferuntur, reperias, iccirco ſecurius eſſe viſum eſt miſcere etiam nonnulla repellentia. Ita ſane et emplaſtro diſcutienti, quod ex ſale conficitur, quidam adjecerunt chalcanthi paululum, quamvis et ſal ipſe aſtringens quippiam poſſideat. Igitur propoſitum medicamentum vehementer diſcutere compertum eſt, ut etiam pus jam non admodum copioſum ſine cutis perforatione diſcutere queat, emollire ſcirrhoſa et quomodocunque indurata, item magna vulnera conglutinare, quemadmodum et ulceribus jam ad malignita-

Ed. Chart. XIII. [815. 816.] Ed. Baſ. II. (399.)

ἰωτικὸν ἁπάντων τε τῶν ἄλλων παθημάτων, ὅσα διαφορητικῆς τε ἅμα καὶ ἀποκρουστικῆς μετρεῖται δυνάμεως, ἐν οἷς ἐστι καὶ τὰ κατὰ τοῦ μετώπου ῥευματιζομένων ὀφθαλμῶν ἐπιτιθέμενα, καλούμενα δὲ ὑπὸ τῶν ἰατρῶν ἀνακολλήματα. ταὐτὸν δὲ τοῦτο τὸ φάρμακον ἐπιτήδειον ἔσται καὶ τοῖς γεγυμνωμένοις νεύροις, εἰ καὶ τετμημένα κατά τι μέρος αὐτῶν τύχοι. τὰ γάρ τοι διακεκομμένα τὸν ἐκ τῆς συμπαθείας οὐκ ἔχοντα κίν[816]δυνον ἔτι καὶ τὴν αἴσθησιν ἀφαιρεῖται τῶν ὑποκειμένων ἑαυτῷ σωμάτων, εἰς ἃ κατίσχεται. δεῖταί γε μὴν καὶ ταῦτα τοιούτου φαρμάκου. τὰ γὰρ ὑγραίνοντα σήπει ῥᾳδίως αὐτά, διὰ τοῦτο καὶ οἱ ξηραντικοὶ κυκλίσκοι, καίτοι στύφοντες ἱκανῶς, ὅμως ἁρμόττουσι τοῖς γεγυμνωμένοις νεύροις, ἅ γε μήπω φθάσαντα πρὸς τὴν ἀκμὴν τῆς φλεγμονῆς ἀφίκετο. ταῦτα γὰρ ἀγανακτεῖ καὶ παροξύνεται πρὸς τῶν τοιούτων φαρμάκων. ἀλλὰ περὶ μὲν τούτων ἐπὶ προήκοντι τῷ λόγῳ ῥηθήσεται· περὶ δὲ τῆς προκειμένης ἐμπλάστρου τὰ λείποντα τῷ λόγῳ προσθῶμεν. ἐπεὶ δὲ οἱ πολλοὶ τῶν ἰατρῶν ἀγνοοῦντες ἐπιτιθέασι τὰς τοιαύτας ἐμπλάστρους σκληρὰς, ἄμεινον ἐμμότους ποιῆσαι τήξαν-

tem declinantibus cicatricem obducere, aliisque omnibus affectibus, qui diſcutiendi ſimul et repellendi facultatem deſiderant, in quibus ſunt et quae fronti, dum oculi fluxione laborant, imponuntur, vocata a medicis anacollemata. Idem hoc medicamentum conveniet et nervis denudatis, etſi in parte ſua ipſorum quapiam ablecti fuerint; etenim praeciſi periculo, quod ex conſenſu oritur, carentes, adhuc etiam ſubjectis ſibi partibus, in quae inferuntur, ſenſum adimunt, indigent ſane et hi quoque tali medicamento, nam quae humectant, facile eos putreſaciunt. Ob quod et paſtilli ſiccantes, etſi abunde aſtringant, tamen denudatis nervis conveniunt, qui nondum ad phlegmones vigorem pervenerunt, hi namque indignantur irritanturque ab hujusmodi medicamentis. Sed de his poſtea. Quae de propoſito emplaſtro dicenda reſtant, apponamus. Quoniam plerumque medici ex inſcitia, id genus emplaſtra dura imponunt, quum liquata linamentis excipere praeſtaret, vel

Ed. Chart. XIII. [816.] Ed. Baſ. II. (399.)

τας ἢ κατὰ τὴν σκευασίαν εὐθὺς ἐργάσασθαι μαλθακάς. ἔπειτα δὲ ὅταν ἐπὶ μεγάλων διαιρέσεων, ἐν αἷς γεγύμνωται νεῦρα, πειραθῶσιν αὐτῶν, ἐλπίζουσιν ἐπὶ τῶν νυγμάτων ἔσεσθαι πολὺ μᾶλλον ὠφελίμους, ἀγνοοῦντες κἀνταῦθα μέγιστόν τι θεώρημα, περὶ οὗ διελέχθην ἤδη διδάσκων ὑμᾶς ἐν τῷ λόγῳ μὲν πρῶτον ἐξεῦρον, εἶθ' ὑπὸ τῆς πείρας ἔγνων βεβαιούμενα, διὰ τοῦτο καὶ νῦν ἀναμιμνήσκω. πολὺ γὰρ θερμοτέρων τε καὶ διαφορητικωτέρων δέονται φαρμάκων αἱ νύξεις τῶν νεύρων ἥπερ ὅταν ὅλον γυμνωθῇ, τραύματος ἀξιολόγου γενομένου. τὰ γάρ τοι γυμνωθέντα τὰς τῶν δριμέων τε καὶ θερμῶν πάνυ φαρμάκων ἐπιθέσεις οὐ φέρει διὰ τὴν δῆξιν, ἀλλὰ τῶν χαλαστικῶν καὶ διαφορητικῶν δεῖται μεμιγμένων συμμέτρως τοῖς στύφουσι φαρμάκοις. ἀλλὰ καὶ ὅτι βέλτιόν ἐστι τὰ πέριξ τοῦ τραύματος καταλαμβάνειν τοῖς δριμέσι τε καὶ λεπτομερέσι καὶ διαφορητικοῖς ἱκανῶς, ὁποῖόν ἐστι τὸ διὰ τοῦ εὐφορβίου. ἐγὼ μὲν οὖν ἐτεκμηράμην τὴν προκειμένην ἔμπλαστρον ἱκανὴν εἶναι ποιεῖν ἃ προείρηκα, καὶ σκευάσας ταύτην εὗρον τὴν πεῖραν μαρτυροῦσαν. ὥστε-

etiam in conſectione ſtatim molliuſcula reddere, poſtea quum in magnis diviſionibus, ubi nervi denudati ſunt, experimentum de ipſis fecere, ſperant in puncturis multo utiliora fore, ignorantes et hic maximam quandam ſpeculationem, de qua differui modo vos docens quae ratione inveni, inde per experientiam confirmari cognovi, propterea etiam tunc admoneo. Multo namque calidiora et quae diſcutiant magis medicamenta punctus nervorum requirunt quam quum omnino denudati fuerint vulnere inſigni facto, quippe nudi acria calidaque admodum medicamenta propter eroſionem morſumque non ferunt, verum laxantia diſcutientiaque aſtringentibus mediocriter mixta poſtulant. At quoniam etiam melius eſt ambientes vulneris particulas acribus et tenuibus multumque diſcutientibus, quale eſt ex euphorbio confectum, contegere, nos ſane propoſitum emplaſtrum ſatis poſſe quae praedixi efficere conjectavimus, eique praeparato experientia teſtimonium acceſſit. Poſtea in-

Ed. Chart. XIII. [816.] Ed. Baſ. II. (399.)

ρον δέ ποτε καὶ ταῖς Ἀσκληπιάδου τε καὶ Κρίτωνος ἐντυγχάνων φαρμακίτισι βίβλοις ἔγνων αὐτοὺς γεγραφότας, οὐχ ὥσπερ καὶ Ἀνδρόμαχος ἀδιορίστως, ἀλλὰ μετὰ διορισμῶν σαφῶς ἥν τινα δύναμιν ἔχει. διά τε οὖν τοῦτο καὶ διότι διαφωνοῦσιν ἐν τῇ σκευασίᾳ, κατά τινα τῷ Ἀνδρομάχῳ, κάλλιον ἔδοξέ μοι προσγράψαι καὶ τὰς ἐκείνων αὐτῶν λέξεις, ἔπειθ' οὕτως εἰπεῖν τι καὶ περὶ τῆς ἐν τῇ συνθέσει τοῦ φαρμάκου διαφωνίας αὐτῶν.

Κεφ. θ'. [Περὶ τῶν γεγραμμένων ὑπ' Ἀσκληπιάδου καὶ Κρίτωνος περὶ τῆς προκειμένης ἐμπλάστρου.] Περὶ τῆς ὑπ' Ἀνδρομάχου γεγραμμένης Αἰγυπτίας ἐμπλάστρου ὁ Ἀσκληπιάδης οὕτως ἔγραψεν. Ἀνδρομάχου Αἰγυπτία ἄναιμος, τραυματική. ποιεῖ πρὸς νεύρων καὶ μυῶν διακοπάς, ποιεῖ πρὸς νύγματα, περιθλάσεις, παρατρίματα, λυγίσματα. ἔστι δὲ καὶ ὀφθαλμιώντων παρακόλλημα. ποιεῖ κεφαλαλγικοῖς καὶ πρὸς πολλὰς διαθέσεις χρήσιμόν ἐστι τὸ φάρμακον. ℔ λιθαργύρου, κηροῦ ἀνὰ ≺ ρμδ'. ἀμμωνιακοῦ θυμιάματος ≺ οβ'. τερμινθίνης ≺ λστ'. ἐρίων οἰσυπηρῶν κεκαυμένων

terdum in Aſclepiadis et Critonis libros medicatorios incidens deprehendi ipſos non ut Andromachus quoque indiſtincte, ſed cum manifeſta diſtinctione facultatem ipſius ſcriptitaſſe. Igitur tum hujus gratia, tum quod in confectione in quibusdam ab Andromacho diſſentiant, ſatius viſum eſt mihi etiam eorundem verba ſubjungere, deinde ita et de ipſorum diſcordia in medicamenti compoſitione nonnihil dicere.

Cap. IX. [*Quae Aſclepiades et Crito de propoſito Aegyptio emplaſtro conſcripſerint.*] De emplaſtro Aegyptio ab Andromacho tradito Aſclepiades in hunc modum diſſerit. *Andromachi Aegyptium, cruentis vulneribus accommodatum. Facit ad nervorum muſculorumque praeciſiones, punctus, contuſiones, juvat attritus, artuum fracturas, eſt et lippientibus collyrium, confert capite dolentibus, ſummatim ad multos affectus utile eſt medicamentum.* ℔ Argenti ſpumae, cerae, ſingulorum drach. cxliv, guttae ammoniaci drach. lxxij, terebinthinae drach. triginta ſex,

Ed. Chart. XIII. [816. 817.] Ed. Baſ. II. (399.)

≺ ιή. λεπίδος χαλκοῦ ≺ η΄. λεπίδος στομώματος ≺ η΄. λιβάνου ≺ η΄. ἀριστολοχίας στρογγύλης ≺ η΄. κίκεως κο. γ΄. ταῦτα προειπὼν ὁ Ἀσκληπιάδης ἐφεξῆς γράφει τὸν τρόπον τῆς ἑψήσεως, οὐδὲ τοῦτο τὸ μέρος τῆς συνθέσεως ἐπὶ τῶν ἐμπλάστρων φυλάξαντος τοῦ Ἀνδρομάχου, παραλέλειπται γὰρ ἐν ἁπάσαις σχεδόν. ἀλλὰ περὶ μὲν τῶν ἑψήσεων εἴρηται μὲν οὐκ ὀλίγα κατὰ τὸ δ΄. γράμμα καὶ νῦν [817] *εἰρήσεται μετ' ὀλίγον. ἄξιον δὲ ἐπισκέψασθαι τὸ τῆς διαφωνίας, ἣν ἐν τῇ ποσότητι τῶν ἁπλῶν φαρμάκων ἐποιήσατο πρὸς τὸν Ἀνδρόμαχον ὁ Ἀσκληπιάδης. οὐ γὰρ ἓξ κοτύλας τοῦ κίκεως, ὥσπερ ὁ Ἀνδρόμαχος, ἀλλὰ τρεῖς ἐμβάλλειν ἀξιοῖ, κατὰ δὲ τὴν ἀριστολοχίαν οὐδὲν προδιορισαμένου τοῦ Ἀνδρομάχου, προσέθηκεν αὐτὸς τὸ στρογγύλην, ὥσπερ γε καὶ κατὰ τὸ κεκαυμένον ἔριον τὸ οἰσυπηρόν. τὸν μέντοι σταθμὸν ἴσον ἐμβάλλει τῷ Ἀνδρομάχῳ. γράφει γοῦν οὕτως. ℞ ἐρίων οἰσυπηρῶν κεκαυμένων ≺ ιή. ἀριστολοχίας στρογγύλης ≺ η΄. ἃ δ' ἐπὶ τέλει προσέθηκεν ὁ Ἀνδρόμαχος οὐδὲ ὅλως ἔγραψεν ὁ Ἀσκληπιάδης, οὔτε περὶ τῆς*

lanae ſuccidae uſtae drach. xviij, ſquamae aeris drach. octo, ſquamae ſtomomatis drach. octo, thuris drach. octo, ariſtolochiae rotundae ʒ viij, ricini heminas tres. Haec praefatus Aſclepiades deinceps coquendi modum tradit, Andromacho neque hanc partem compoſitionis in emplaſtris obſervante, ſiquidem in omnibus fere omiſit. Verum de coctione dicta ſunt non pauca in libro quarto et nunc paulo poſt dicetur. Aequum autem eſt inſpicere controverſiam, quam Aſclepiades in ſimplicium medicamentorum quantitate cum Andromacho ſuſcepit, non enim ſex heminas ricini, ut Andromachus, ſed tres injicere praecepit. Caeterum in ariſtolochia nullam Andromachus diſtinctionem fecit, ipſe rotundam adjecit, ſicut et in lana uſta, ſuccidam addidit, quamquam idem pondus, quod Andromachus immittat. Haec igitur ipſius verba ſunt. ℞ Lanae ſuccidae uſtae drach. duodeviginti, ariſtolochiae rotundae drach. viij. Quae vero ad calcem poſuit Andromachus, neque omnino Aſclepiades

Ed. Chart. XIII. [817.] Ed. Baſ. II. (399.)

σμύρνης οὔτε περὶ τοῦ ὀποπάνακος εἰπών τι, πολὺ δὲ μᾶλλον οὐδὲ περὶ τῆς θαλάσσης, ἃ σαφῶς προγράψαντος τοῦ Ἀνδρομάχου, θαλάσσης εἰς ἐμβροχὴν κηροῦ ≺ ν'. τοῦτο γὰρ οὔτε ὁ Ἀσκληπιάδης οὔτε ὁ Κρίτων προσέγραψε. τὴν μέντοι ἀριστολοχίαν τὴν στρογγύλην ὁ Κρίτων ὁμοίως τῷ Ἀσκληπιάδῃ βάλλει, καθάπερ καὶ τῶν οἰσυπηρῶν ἐρίων τάς τε ≺ ιή. ἐλαίου τε κικίνου, κατὰ λέξιν γὰρ οὕτως ἔγραψε κοτύλας στ'. ἡ δὲ ἕψησις τῆς ἐμπλάστρου παρὰ μὲν Ἀσκληπιάδου γέγραπται τόνδε τὸν τρόπον. ἕψε λιθάργυρον καὶ κίκινον ἕως συστραφῇ, εἶτα τὰς λεπίδας, καὶ ὅταν εὔχρους γένηται, τὰ λοιπὰ ἐπίβαλλε. παρὰ δὲ τῷ Κρίτωνι τόνδε τὸν τρόπον. ἕψε λιθάργυρον μετὰ κικίνου, ἕως μέλιτος σχῇ τὸ πάχος. τούτου δὲ γενομένου ἐπίπασσε τὰς λεπίδας καὶ συνέψε ἐφ' ἱκανὸν, ἕως ἀμόλυντος γένηται, ἔπειτα τερμινθίνην καὶ κηρὸν, ἡνωμένοις δὲ ἀμμωνιακὸν προμαλαχθὲν παρὰ πυρὶ τοῖς δακτύλοις. βαστάζων δὲ ἤδη ἀπὸ τοῦ πυρὸς ἔμπασσε τῶν οἰσυπηρῶν ἐρίων τὴν κόνιν, μετέπειτα ἐπὶ τέλει τὸν λίβανον, εἶθ' οὕτως ἀναιροῦ. καὶ περὶ

meminit, neque de myrrha neque de opopanace quicquam loquutus, multo magis de marina, quae manifeſto Andromachus praepoſuit, marinae, inquiens, ad ceram irrigandam drach. quinquaginta. Hoc enim nec Aſclepiades nec Crito adjunxit, attamen ariſtolochiam rotundam Crito aeque ac Aſclepiades indidit, quemadmodum et lanae ſuccidae drach. octodecim et olei ricinini, ita enim ad verbum ſcripſit, heminas ſex. Coctionem emplaſtri Aſclepiades his verbis docet, argenti ſpumam et ricininum incoquito, donec in unum coëant deinde ſquamas; ubi color bonus apparet, reliqua immittito. Apud Critonem hoc modo traditur, argenti ſpuma cum ricino coquitur dum mellis ſpiſſitudinem habeat, hoc facto ſquamae inſperguntur abundeque incoquuntur, quousque digitos non inquinent, poſtea terebinthina et cera, ubi in unum coierint, ammoniacum prius apud ignem digitis emollitum, quum jam ab igne deponitur, lanae ſuccidae pulvis inſpergitur, poſtremo thus, deinde ita tolluntur. Porro

Ed. Chart. XIII. [817.] Ed. Baſ. II. (399. 400.)

τῆς ἐπαγγελίας δὲ τοῦ φαρμάκου ἐπιμελέστερον ὁ Κρίτων ἔγραψε κατὰ λέξιν οὕτως. Αἰγυπτία τηροῦσα χωρὶς φλεγμονῆς πᾶσαν διαίρεσιν καὶ πᾶν θλάσμα. εὐθετεῖ δὲ καὶ πρὸς πᾶν δῆγμα τῶν θηρίων, ὠφελεῖ δὲ καὶ τὰς γιγνομένας φλεγμονὰς χωρὶς ἑλκῶν. ἀγαθὴ δὲ καὶ πρὸς πόνους νεύρων καὶ μυῶν τοὺς δίχα φανερᾶς αἰτίας γινομένους.

Κεφ. ι'. [Ἄλλη Ἀνδρομόχου φαιά.] Ἔγραψε καὶ ἄλλας φαιὰς ὁ Ἀνδρόμαχος ὁμογενεῖς πως τῇ προγεγραμμένῃ. καλεῖ δὲ τὴν μὲν ἑτέραν Ἀθηνᾶν, τὴν δὲ ἑτέραν νυγματικήν. ἔστι δὲ ἡ μὲν Ἀθηνᾶ τῆς νυγματικῆς πρὸς πλέονας διαθέσεις ἁρμόττουσα καὶ μάλι(400)στα τὰς μεθ' ἑλκῶν, ἐπεὶ ποικιλωτέρα τέ ἐστι καὶ στυφόντων φαρμάκων ἔτι μᾶλλον μετέχει. ἡ δὲ νυγματικὴ χαλαστικωτέρα τε καὶ ἀνωδυνωτέρα ταύτης ἐστί. περὶ μὲν οὖν τῆς προτέρας τῶν εἰρημένων φαρμάκων οὕτως ἔγραψε κατὰ λέξιν. φαιὰ Ἀθηνᾶ. ℔ λιθαργύρου ≺ ρ'. τερμινθίνης ≺ λστ'. κηροῦ ≺ κε'. μίλτου Σινωπικῆς ≺ κδ'. ἀμμωνιακοῦ θυμιάματος ≺ λστ'. χαλβάνης ≺ ιβ'. ἀλόης ≺ η'. διφρυγοῦς ≺ η'. κεκαυμένου χαλ-

et ad quae medicamentum valeat, accuratius Crito his verbis expoſuit. Aegyptia omnem diviſionem contuſionemque a phlegmone praeſervat, valet ad quoslibet ferarum morſus juvat phlegmonas ſine ulceribus factas, benefacit etiam nervorum et muſculorum doloribus ſine cauſa obortis.

Cap. X. [*Alia Andromachi fuſca*] Scripſit alia quoque fuſca Andromachus ſuperiori quodammodo genere ſimilia, vocat alterum Minervam, alterum nygmaticum, id eſt, puncturis accommodatum. Minerva quidem ad plures affectus quam nygmaticum convenit, praeſertim cum ulceribus conſiſtentes, quoniam magis varia eſt, magisque aſtringentibus inſuper medicamentis participat, nygmaticum vero magis hac laxat et doloris mitigantius eſt. Itaque de priore medicamento ita ad verbum ſcriptum reliquit. *Fuſcum Minervae.* ℔ Argenti ſpumae drach. centum, terebinthinae drach. triginta ſex, cerae drach. viginti quinque, minii Sinopici drach. viginti quatuor, guttae ammoniaci drach. triginta ſex, galbani ʒ xij, aloës ʒ viij, diphrygis ʒ viij, aeris

Ed. Chart. XIII. [817. 818.] Ed. Baſ. II. (400.)

κοῦ ⊲ στ'. μαστίχης ⊲ στ'. ἀριστολοχίας ⊲ ε'. προπόλεως ⊲ ε'. μάννης ⊲ στ'. λεπίδος χαλκοῦ ⊲ στ'. λίθου Ἀσίου ⊲ γ'. τριφύλλου σπέρματος ⊲ β'. συμφύτου ῥίζης ⊲ α'. καὶ τετρώβολον, ἐλαίου κοτύλας δ'. περὶ τῆς ἑτέρας φαιᾶς αὐτοῖς ὀνόμασιν οὕτως ἔγραψεν ὁ Ἀνδρόμαχος. φαιὰ νυγματική. ♃ ἀμμωνιακοῦ ⊲ η'. κηροῦ νεοῦ ⊲ η'. τερμινθίνης ⊲ γ'. χαλκοῦ κεκαυ[818]μένου ⊲ η'. πίσσης ξηρᾶς ⊲ μ'. ὡς δὲ Ζήνων μνᾶς S''. τέταρτον, λιθαργύρου ⊲ δ'. ἀλόης Ἰνδικῆς ⊲ β'. ἀριστολοχίας ⊲ β'. χαλβάνης ⊲ β'. ἰοῦ ⊲ α'. οἱ δὲ ⊲ β'. λιβάνου ⊲ β'. ἐλαίου χειμῶνος κοτύλας δ'. θερείας ὄγδοον, ὄξους κοτύλης ἥμισυ, εἰς ἄνεσιν τοῦ ἀμμωνιακοῦ. καὶ ἄλλας δὲ πολλὰς ἔγραψεν ἅμα ταύταις ὁ Ἀνδρόμαχος ἐμπλάστρους, οὐδὲν ἄλλο προσθεὶς αὐταῖς ἢ τὸ τοῦ χρώματος ὄνομα, συγκειμένας ἐκ τῶν ἐναντίων ταῖς δυνάμεσι φαρμάκων, ἀλλὰ τινὲς μὲν αὐτῶν ἐπικρατοῦν ἔχουσι τὸ χαλαστικόν τε καὶ ἀνώδυνον, τινὲς δὲ διαφορητικόν τε καὶ ῥυπτικὸν, τινὲς δὲ τὴν στύψιν· ὥστε καὶ ἡμᾶς χρὴ πάσαις

ulli ʒ vj, maſtiches ʒ vj, ariſtolochiae drach. v, propolis ʒ v, mannae ʒ vj, ſquamae aeris ʒ vj, lapidis Aſii ʒ iij, trifolii ſeminis ʒ ij, ſymphyti radicis ʒ j, obolos iv, olei heminas iv. De altero fuſco ſic ad verbum Andromachus ſcripſit. *Fuſcum nygmaticum.* ♃ Guttae ammoniaci ʒ viij, cerae recentis ʒ viij, terebinthinae drach. iij, aeris uſti drach. octo, picis aridae drach. quadraginta. Ut Zeno vult, minae dimidium et quartam portionem, argenti ſpumae drach. quatuor, aloës Indicae drach. duas, ariſtolochiae drach. ij, galbani drach. duas, aeruginis drach. j, alii duas, thuris drach. duas, olei per hiemem heminas quatuor, per aeſtatem octavam partem, ammoniacum ex tribus aceti cyathis diluitur. Jam vero et alia multa cum his emplaſtra prodidit Andromachus, nihil aliud ipſis apponens quam coloris nomen, quae conſtant quidem ex contrariis facultate medicamentis, ſed alia ipſorum laxandi et doloris tollendi vim majorem obtinent, quaedam diſcutiendi et detergendi, nonnulla aſtringendi. Quare nos etiam ipſos omnibus fidentes commode

Ed. Chart. XIII. [818.] Ed. Baſ. II. (400.)

αὐταῖς θαῤῥοῦντας ἐπιτηδείως ἑκάστῃ χρῆσθαι, πρὸς μὲν τὰ δυσεπούλωτα καὶ κακοήθη τῶν ἑλκῶν ταῖς στυπτικὸν ἐχούσαις πλέον· ἔνθα δὲ παρηγορῆσαί τε καὶ χαλάσαι πρόκειται· ταῖς τὸ χαλαστικόν· ἔνθα δὲ ἑλκύσαι τε καὶ διαφορῆσαι, ταῖς τὰ θερμαίνοντα καὶ πρὸς ἑαυτὰς τὰς ἐν βάθει διαθέσεων ἐπισπώμενα μοχθηρὰς ὑγρότητας. ἐνίαις δὲ καὶ τοῦτο προσγέγραπται. φαιὰ λιτὴ ᾗ χρῶμαι. τρεῖς γὰρ ἐφεξῆς οὐ πολυμιγμάτους ἔγραψε τοιαύτας, ὧν καὶ αὐτῶν τὴν σύνθεσιν ἔδοξέ μοι βέλτιον εἶναι προσγράψαι κατὰ τὴν ἐκείνου λέξιν αὐτοῦ. φαιὰ λιτὴ ᾗ χρῶμαι. ♃ λιθαργύρου ≺ κδ'. κίκεως κοτύλην α'. χαλκοῦ κεκαυμένου ≺ δ'. μάννης ≺ δ'. ῥητίνης ≺ δ'. κολοφωνίας ≺ η'. ἄλλη ἀνώδυνος Ἰσιδώρου. ♃ λιθαργύρου ≺ λστ'. κηροῦ ≺ λστ'. ἐλαίου κοτύλην α' S''. ῥητίνης κολοφωνίας ≺ ιε'. λεπίδος χαλκοῦ ≺ θ'. μάννης ≺ ν'. ἕψε. ἄλλη ᾗ χρῶμαι. ♃ λιθαργύρου ≺ ρμδ'. ῥητίνης ξηρᾶς ≺ ρμδ'. λεπίδος ≺ κδ'. ἐλαίου κοτύλας γ'. ὥσπερ δὲ ταύταις ταῖς προγεγραμμέναις τρισὶ προσέγραψε, ταῖς μὲν ὅτι

uti convenit ad ulcera, quae vix cicatricem recipiunt et cacoëthe, fortius aſtringentibus; ubi lenire et laxare propoſueris, magis laxantibus; ubi trahere et diſcutere conaris, iis quae caleſaciendi facultatem praepollentem habent, quaeque pravos humores in profundo ad ſeſe trahunt. Quibusdam et hoc adjectum eſt, fuſcum lite, quo utor. Tria enim deinceps talia non variae mixturae deſcripſit, quorum ipſorum etiam confectionem ipſiusmet verbis allegare melius eſſe videtur. *Fuſcum lite, quo utor.* ♃ Argenti ſpumae drach. xxiv, ricini heminam unam, aeris uſti drach. quatuor, mannae drach. quatuor, reſinae drach. quatuor, colophoniae drach. octo. *Aliud Iſidori ad dolorem ſedandum.* ♃ Argenti ſpumae drach. xxxvj, cerae drach. triginta ſex, olei heminam j ſ, reſinae colophoniae drach. quindecim, ſquamae aeris drach. ix, mannae drach. quinquaginta, incoquito. *Aliud, quo utor.* ♃ Argenti ſpumae drach. cxliv, reſinae liccae drach. cxliv, ſquamae drach. viginti quatuor, olei heminas tres. Quemadmodum autem his commemoratis tribus adjunxit aliis quod ipſe utatur, aliis quod dolori

Ed. Chart. XIII. [818.] Ed. Baſ. II (400.)

χρῆται αὐτὸς, ταῖς δὲ ὅτι ἀνώδυνός ἐστιν, οὕτως ἑτέραις μαρτυρεῖ, θηριακὰς αὐτὰς ὀνομάζων. ἡ γοῦν ἀπὸ τῆς ἀρχῆς τρίτη κατὰ λέξιν οὕτως γέγραπται. θηριακὴ ᾗ χρῶμαι. καὶ μετὰ ταύτην ἄλλη πάλιν, ἧς πρόγραμμά ἐστι τοιοῦτον, Εὐπατόριος θηριακή. ἀλλὰ περὶ μὲν τῶν θηριακῶν ἐν τοῖς ἑξῆς εἰρήσεται. νυνὶ δὲ περὶ τῶν φαιῶν ἔτι τῶν ὑπ' Ἀνδρομάχου γεγραμμένων εἰπεῖν βούλομαι, μεμφόμενος αὐτῷ διότι τάς τε ἐπαγγελίας αὐτῶν παρέλιπεν εἰπεῖν καὶ τὰς σκευασίας. εὐθέως γοῦν τῇ πρώτῃ πασῶν γεγραμμένῃ τῶν φίλων τις ἰατρῶν ἐχρήσατο πάμπολλα ποιούσῃ. καὶ γὰρ ἐπουλωτικὴ τῶν δυσεπουλώτων ἐστὶ καὶ μάλισθ' ὅταν τετυλωμένα καὶ σκληρὰ χείλη περιέχῃ τὸ ἕλκος. ἁρμόττει δὲ καὶ πρὸς σηπεδόνας καὶ πρὸς σύριγγάς τε καὶ κόλπους καὶ τὰ μεγάλα τραύματα καὶ ὅλως ἐστὶ πολύχρηστος. ἡ δὲ τῶν συντιθέντων αὐτὴν φαρμάκων συμμετρία κατὰ τόδε γέγραπται. ℔ λιθαργύρου ≺ ρμδ'. ἐλαίου κοτύλας ε'. ἀσβέστου ≺ μή'. λιβάνου ≺ μή'. χαλκοῦ κεκαυμένου ≺ μή'. τερμινθίνης ≺ μή'. ἀριστολοχίας ≺ μή'. πίσσης δραχμὰς ἐνενήκοντα ἕξ, κηροῦ δραχμὰς ἐνενήκοντα ἕξ, ἀμμωνιακοῦ δρα-

leniendo ſit, ita de aliis teſtimonium perhibuit, theriacas ipſa nominans. Tertium igitur ab initio his verbis traditum eſt. *Theriaca, qua utor.* Hanc ſequitur alia rurſus, cui praeſcriptum ſic eſt: *Eupatorios theriaca.* Verum de theriacis poſtea dicemus, nunc autem de fuſcis adhuc quae prodidit Andromachus dicere cogito, quorum quod vires ille et confecturas neglexit, accuſandus eſt. Statim igitur primo omnium ſcripto amicus quidam medicus uſus eſt, permulta facienti. Etenim ulcera, quae cicatricem aegre ducunt, praeſertim ubi calloſa et dura labra ulcus amplectantur, claudit. Prodeſt etiam putredini, fiſtulis, ſinus jungit et magna vulnera. Summatim multiplicis uſus eſt. Componentium ipſam medicamentorum ſymmetria hunc in modum ſcripta eſt. ℔ Argenti ſpumae ʒ cxliv, olei heminas v, calcis vivae ʒ xlviij, thuris ʒ xlviij, aeris uſti ʒ xlviij, terebinthinae ʒ xlviij, ariſtolochiae ʒ xlviij, picis drach. xcvj,

Ed. Chart. XIII. [818. 819] Ed. Baſ. II. (400.)

χμὰς ἐνενήκοντα ἓξ. οὕτως μὲν ὁ Ἀνδρόμαχος ἔγραψεν. ἔξεστί σοι καὶ δι' ἐλάττονος συμμετρίας αὐτὴν σκευάζειν, ἑκάστου τῶν εἰρημένων τέταρτον μόριον μιγνύντα. γενήσεται γὰρ ἡ σύνθεσις τοιάδε. ℞ λιθαργύρου ≺ λστ'. ἀσβέστου δὲ καὶ χαλκοῦ κεκαυμένου καὶ λιβανωτοῦ καὶ τερμινθίνης καὶ ἀριστολοχίας τὸ τρίτον ἑκάστου σταθμῷ τῆς λιθαργύρου, τουτέστι ≺ ιβ'. εἶτα πίσσης καὶ κηροῦ καὶ ἀμμωνιακοῦ θυμιάματος, ἑκάστου τὸ διπλάσιον τῶν εἰρημένων πέμπτων φαρμάκων, τῆς ἀριστολοχίας λέγω καὶ τερμινθίνης καὶ λιβάνου καὶ [819] χαλκοῦ κεκαυμένου καὶ ἀσβέστου. χρὴ δὲ τὴν ἄσβεστον ἀκατάσβεστον δηλονότι καὶ πρόσφατον εἶναι, οὕτω τὸ φάρμακον καὶ πρὸς τὰ σηπεδονώδη χρήσιμον γίνεται. ἅπαντα δὲ διὰ δραχμῶν γράψας ὁ Ἀνδρόμαχος τὰ φάρμακα κάλλιον ἂν ἐπεποιήκει κατὰ τὴν αὐτὴν συμμετρίαν καὶ τοῦ ἐλαίου μνημονεῦσαι, ὡς ἔλκειν τὸ βαλλόμενον δραχμὰς τοσάσδε ἢ εἰ μὴ τοῦτο. πάντως γοῦν ἐχρῆν αὐτὸν τῆς Ῥωμαϊκῆς λίτρας μνημονεῦσαι. νυνὶ δὲ κοτύλην γράφει, τὴν συνήθη περὶ τοῦ μέτρου τούτου καταλιπὼν ἡμῖν

cerae drach. xcvj, ammoniaci drach. xcvj. Ita quidem Andromachus ſcripſit. Licet tibi etiam minori mixtura ipſum praeparare, ſingulorum quae numeravimus quartam partem miſcendo, fiet enim compoſitio talis. ℞ Argenti ſpumae drach. triginta ſex, calcis vivae, aeris uſti, thuris, terebinthinae, ariſtolochiae, ſingulorum tertiam argenti ſpumae partem, hoc eſt drach. duodecim, deinde picis, cerae, guttae ammoniaci, ſingulorum duplo majus pondus, quam in dictis quinque medicamentis erit, ariſtolochia dico, terebinthina, thure, aere uſto et calce, quam vivam et recentem eſſe oportet. Ita medicamentum etiam ad putrida utile fiet. Quum autem Andromachus omnia medicamenta per drachmas ſcripſerit, melius egiſſet, ſi et olei ſecundum eandem ſymmetriam meminiſſet, ut quod injiceretur, totidem drachmas penderet, aut ſi non hoc, certe conveniebat ipſum Romanorum librae mentionem facere, nunc autem heminam ſcribit, conſuetam de hac menſura ambiguitatem no-

Ed. Chart. XIII. [819.] Ed. Baſ. II. (400.)

ἀμφιβολίαν, εἴτ' ἐννέα μετρικῶν οὐγγιῶν, εἴτε δώδεκα βούλεται τὴν κοτύλην εἶναι. κατὰ δὲ τὴν ἐμὴν γνώμην ἡ μὲν τελεία συμμετρία τὰς γο στ'. τοῦ σταθμοῦ λαμβανέτω, διὰ τὸ τὴν Ῥωμαϊκὴν λίτραν ἕλκειν γο ιβ'. κατὰ δὲ τὸ δ'. ἂν σκευάσῃς, εὔδηλος ἡ ἀναλογία. εὔδηλον δὲ καὶ ἐὰν δραχμὰς εἴπῃ τις εἰς τὴν τελείαν συμμετρίαν λαμβάνεσθαι υπ'. διὰ τὸ τὴν σταθμικὴν οὐγγίαν η'. δραχμὰς ἕλκειν. καὶ ἄλλη δέ τίς ἐστιν ἐν ταῖς φαιαῖς ὑπ' Ἀνδρομάχου γεγραμμένη, λαμβάνουσα καὶ αὕτη τὴν ἀκατάσβεστον τίτανον, ὁμογενὴς τῇ προγεγραμμένῃ. προγράφει δ' αὐτῆς, φαιὰ Εὐβούλου καὶ σκευάζει κατὰ τὴν ὑπογεγραμμένην συμμετρίαν. ♃ λιθαργύρου λίτραν α'. κηροῦ μνᾶν α'. χαλκοῦ κεκαυμένου ⊰ ιβ'. ἰοῦ ⊰ ιβ'. τερμινθίνης ⊰ ιβ'. ῥητίνης ξηρᾶς ⊰ ιστ'. ἀμμωνιακοῦ θυμιάματος ⊰ η'. λιβάνου ⊰ ιβ'. ὀποπάνακος ⊰ η'. ἐλαίου κοτύλας δ'. ὄξους κοτύλας δ'. ἔν τισι τῶν ἀντιγράφων κοτύλης S''. γέγραπται καὶ δηλονότι διττῶς ἔξεστιν αὐτὴν σκευάζειν, εἰδότα τὸ πλέον ὄξος ἰσχυρότατον ἐργάζε-

bis relinquens, novemne videlicet menſurales uncias, an duodecim eſſe heminam velit. Mea quidem ſententia perfecta ſymmetria ſex uncias ponderis capiet, quia Romanorum libra xij, uncias pendit. Si ex quarta parte componis, nota eſt proportio, nec latere arbitror vel ſi drachmas quis dicat ad abſolutam ſymmetriam quadringentas octoginta aſſumi, eo quod ponderalis uncia octo drachmas valeat. Inſuper aliud quoddam inter fuſca ab Andromacho poſitum eſt, quod et ipſum calcem vivam recipit, ejusdem cum ſuperiore generis. Praeponit autem ei, *Fuſcum Eubuli.* Et ſecundum hanc ſymmetriam praeparat. ♃ Argenti ſpumae libram unam, cerae minam unam, aeris uſti drach. duodecim, aeruginis drach. duodecim, terebinthinae drach. duodecim, reſinae ſiccae drach. ſedecim, guttae ammoniaci drach. octo, thuris drach. duodecim, opopanacis drach. octo, olei heminas quatuor, aceti heminas quatuor, in quibusdam exemplaribus ſcriptum eſt heminae dimidium. Et nimirum dupliciter conficere ipſum licet ſcienti copioſius acetum

Ed. Chart. XIII. [819.] Ed. Baſ. II. (400.)

σθαι τὸ φάρμακον. καὶ μὴν καὶ ἄλλην φαιὰν, ἧς αὐτὸ τοῦτο προέγραψεν. ἄλλη φαιά. ἔγραψεν ὁ Ἀνδρόμαχος ἀξιόλογον ἑκάστου, τοῦτ' ἔστι τὸ φάρμακον διὰ θαλάσσης σκευαζόμενον, ἐπὶ τῶν παραπλησίων ταῖς προγεγραμμέναις ἁρμόττειν δυνάμενον. ἔστι δὲ ἡ σύνθεσις αὐτοῦ τοιάδε. ℥ λιθαργύρου μνᾶς S''. κηροῦ μνᾶς S''. χαλκίτεως τέταρτον, λεπίδος χαλκοῦ ⊲ ιστ'. λιβάνου ⊲ ἡ'. τερμινθίνης τέταρτον ὄγδοον. λέγει δὲ δηλονότι τῆς μνᾶς, ἀμμωνιακοῦ θυμιάματος τέταρτον, θαλάσσης κοτύλην μίαν, οἱ δὲ κοτύλης ἥμισυ, κίκεως κοτύλας γ'. τὸ ἀμμωνιακὸν σὺν τῇ θαλάσσῃ. ταῦτα μὲν ὁ Ἀνδρόμαχος ἔγραψεν, ἄχρι τοσούτου τὴν σκευασίαν μνημονεύσας, ὥστ' εἰπεῖν ὅτι τὸ ἀμμωνιακὸν σὺν τῇ θαλάσσῃ προδιαβρέχεται δηλονότι. περὶ δὲ τῆς χαλκίτεως καὶ τῆς λεπίδος οὐδὲν ἔγραψε, καίτοι καὶ τούτων δυναμένων μετὰ τῆς θαλάττης λειοῦσθαι, καθάπερ γε καὶ συνέψεσθαι τῇ λιθαργύρῳ καὶ τῷ κηρῷ καὶ τῇ τερμινθίνῃ. ἵνα τοίνυν μήτ' ἄλλην φαιὰν ζητῆτε παρὰ μηδενὶ τῶν ἄλλων, προσθήσω ἄλλας δύο γεγραμμένας ὑπὸ τοῦ Ἀνδρομάχου. κα-

valentiſſimum medicamentum efficere. Quin etiam aliud fuſcum, cui hoc ipſum praeponitur. *Aliud fuſcum.* Refert Andromachus ſingulorum connexum, hoc eſt medicamentum ex marina praeparatum, ſimilibus vitiis, quibus praeſcripta, accommodum. Compoſitio ejus talis eſt. ℥ Argenti ſpumae minae dimidium, cerae minae dimidium, chalcitidis quartam minae portionem, ſquamae aeris drach. ſedecim, thuris drach. octo, terebinthinae quartam partem et octavam, minae videlicet, guttae ammoniaci quartam partem, marinae aquae heminam unam, alii heminae dimidium, ricini heminas tres, ammoniacum marina diluitur. Haec ſane Andromachus retulit, eatenus confectionis mentionem faciens, ut diceret ammoniacum cum marina prius videlicet diluendum. De chalcitide vero et ſquama nihil poſuit, quamquam et haec ex marina laevigari queant, ſicut etiam coqui cum argenti ſpuma, cera et terebinthina. Ut igitur nullum aliud fuſcum a quovis alio quaeratis, adjiciam alia duo ejusdem

Ed. Chart. XIII. [819. 820.] Ed. Baſ. II. (400. 401)

λεῖ δ' αὐτῶν τὴν μὲν ἑτέραν (401) τοῦ Φθειρογράφου, ἣν διὰ τούτων συγκεῖσθαί φησι. ♃ λιθαργύρου ≺ ρ'. ῥητίνης δραχμὰς ν'. ἀμμωνιακοῦ θυμιάματος ≺ λ'. κηροῦ ≺ ν'. ἰοῦ ξυστοῦ δραχμὰς ιβ'. λεπίδος χαλκοῦ ≺ β'. ἀριστολοχίας ≺ η'. κενταυρίου ῥίζης δραχμὰς η'. ἐλαίου κοτύλας β'. τὴν δὲ τοῦ Ἰρίωνος οὕτως συγκεῖσθαί φησι. ♃ λιθαργύρου ≺ ρμδ'. πίσσης ξηρᾶς ≺ ρμδ'. τερμινθίνης δραχμὰς οβ'. ἀμμωνιακοῦ θυμιάματος ≺ οβ'. μάννης, λιβάνου ἀνὰ ≺ ρβ'. στέατος μοσχείου ≺ ρμδ. κηροῦ δραχμὰς λστ'. ἀριστολοχίας ≺ θ'. χαλκοῦ κεκαυμένου δραχμὰς θ'. ἰοῦ ξυστοῦ ≺ θ'. χαλβάνης ≺ θ'. ὀποπάνακος δραχμὰς θ'. ὄξους κοτύλης S''. ἐλαίου κοτύλην α' S''. κίκεως [820] ἴσον, εὔδηλον ὅτι τὴν λιθάργυρον καὶ τὴν πίσσαν καὶ τὸ μόσχειον στέαρ διπλάσιον βούλεται τῷ σταθμῷ τῆς τερμινθίνης εἶναι καὶ τοῦ θυμιάματος καὶ τοῦ λιβάνου, τετραπλάσιον δὲ τοῦ κηροῦ. τῆς δ' ἀριστολοχίας καὶ τοῦ κεκαυμένου χαλκοῦ καὶ τοῦ ἰοῦ καὶ τῆς χαλβάνης καὶ τοῦ ὀποπάνακος ἑκκαιδεκαπλάσιον. καὶ τοῦτο τὸ φάρμακον ἱκανῶς ἐστι πολύχρηστον, ὥσπερ καὶ τὰ ἄλλα τὰ

Andromachi. Vocat alterum ipſorum, Phtheirographi, quod haec recipere dicit. ♃ Argenti ſpumae drach. centum, reſinae drach. quinquaginta, guttae ammoniaci drach. triginta, cerae ʒ l, aeruginis raſae drach. duodecim, ſquamae aeris drach. ij, ariſtolochiae drach. octo, centaurii radicis drach. octo, olei heminas duas. Irionis autem medicamentum ex his conſtare ait. ♃ Argenti ſpumae drach. cxliv, picis ſiccae drach. cxliv, terebinthinae drach. lxxij, guttae ammoniaci drach. lxxij, mannae, thuris ſingulorum drach. cij, ſevi vitulini drach. cxliv, cerae drach. triginta ſex, ariſtolochiae drach. novem, aeris uſti drach. novem, aeruginis raſae drach. novem, galbani drach. novem, opopanacis drach. novem, aceti heminae dimidium, olei heminam j ß, cicini, tantundem. Perſpicuum eſt terebinthinae, guttae et thuris partes duplo pondere ab argenti ſpuma, pice, ſevo vitulino ſuperari velle, cerae quadruplo, aeris uſti, aeruginis, galbani, opopanacis ſexcuplodecuplo. Atque hoc medicamentum abunde in uſum venit multiplicem, quemadmodum

Ed. Chart. XIII. [820.] Ed. Baſ. II. (401.)

προγεγραμμένα, καὶ χρῆσθαι δεῖ πᾶσιν αὐτοῖς θαῤῥοῦντα. Ἑλλησποντία, ὡς Ἀνδρόμαχος. ἔνδοξον οὖσαν καὶ ταύτην τὴν ἔμπλαστρον ἔγραψεν ὁ Ἀνδρόμαχος ἐν ταῖς φαιαῖς ἐν τῇδε τῇ συμμετρίᾳ. ℔ λιθαργύρου ≺ ρ'. πίσσης ≺ ν'. λαδάνου ≺ κε'. ἰοῦ ξυστοῦ ≺ η'. χαλκοῦ κεκαυμένου ≺ η'. λεπίδος ≺ β'. ἐλαίου παλαιοῦ ≺ σ'.

Κεφ. ια'. [Ἑλλησποντία Ἥρα.] Ἐπεὶ δὲ διαφέρεται πρὸς τὸν Ἥραν ἐν τῇ τοῦ φαρμάκου συνθέσει ὁ Ἀνδρόμαχος, ἔδοξέ μοι καὶ τὰ ὑπὸ τοῦ Ἥρα γεγραμμένα προσθεῖναι, κατὰ λέξιν οὕτως ἔχοντα. Ἑλλησποντία διαπνευστική, ἀφλέγμαντος. πρὸς χοιράδας, φύγεθλα, παρωτίδας ἐπιτεθὲν τὸ σπληνίον ἐπισπᾶται, πυοποιεῖ, ῥήσσει, κολλᾷ καὶ καθόλου ποιεῖ ἐπὶ πάντων τῶν πυρικαύτων, παρηγορεῖ δὲ καὶ ποδαγρικούς. ℔ ἐλαίου παλαιοῦ ≺ ρ'. πίσσης ξηρᾶς δραχμὰς ν'. λαδάνου ≺ κε'. λιθαργύρου ≺ ρ'. ἰοῦ ξυστοῦ δραχμὰς η'. χαλβάνης ≺ δ'. τὴν λιθάργυρον μετὰ τοῦ ἐλαίου λειοτριβήσας ἔψε. ἡνίκα δὲ συστρέφεται, πρόσβαλλε τὴν πίσ-

et alia praecedentia, quibus omnibus audacter utendum eſt. *Helleſpontia ut Andromachus.* Celebre et hoc emplaſtrum inter fuſca retulit Andromachus hac ſymmetria. ℔ Argenti ſpumae drach. centum, picis drach. quinquaginta, ladani drach. viginti quinque, aeruginis raſae drach. octo, aeris uſti drach. octo, ſquamae drach. duas, olei veteris drach. ducentas.

Cap. XI. [*Helleſpontia Herae.*] Quoniam vero Andromachus ab Hera in medicamenti compoſitione differt, viſum mihi eſt et Herae prodita adjungere, quae ad verbum ita ſonant. *Helleſpontia perſpiratu diſcutiens, phlegmonem propulſans, valet ad ſtrumas, panos, parotidas, impoſitum ſplenium attrahit, pus maturat, rumpit, conglutinat, in ſumma omnibus igne combuſtis benefacit, mitigat etiam podagricos.* ℔ Olei veteris drach. centum, picis ſiccae drach. quinquaginta, ladani drach. viginti quinque, argenti ſpumae drach. centum, aeruginis raſae drach. octo, galbani drach. quatuor, argenti ſpuma ex oleo trita coquitur, quum autem coëunt, pix et aerugo immittuntur,

Ed. Chart. XIII. [820.] Ed. Baſ. II. (401.)

σαν καὶ τὸν ἰὸν, εἶτα λάδανον καὶ τὴν χαλβάνην καὶ οὕτως κατεράσας εἰς θυείαν, μάλασσε καὶ χρῶ. τινὲς δὲ ὑπὲρ τοῦ εὔχρουν αὐτὴν γενέσθαι καὶ φαιὰν, μίσγουσι καὶ λεπίδος ◁ ἡ. ἄλλως γὰρ γίνεται μελαντάτη. ταύτῃ καὶ ἐπὶ ποδαγρῶν ἐχρησάμην πολλάκις καὶ ἐποίησεν ἄκρως. δεῖ δὲ δαδίοις ἀντὶ ξύλων χρῆσθαι. πρόδηλον δ' ὅτι διαφωνοῦσιν οἱ ἄνδρες ἐν μὲν τοῖς ἄλλοις βραχύ τι, κατὰ δὲ τὴν τοῦ ἐλαίου συμμετρίαν πάμπολυ. διπλάσιον γὰρ ἢ κατὰ τὸν Ἥραν ὁ Ἀνδρόμαχος ἐμβάλλει. δύναται δὲ καὶ ἑτέρως σκευάζεσθαι, γινωσκόντων ἡμῶν ἐὰν μὲν πλεῖον ἔλαιον ἐμβληθῇ, χρονιωτέραν γενέσθαι τὴν ἕψησιν δηλοῖ, αὐτό τε τὸ φάρμακον γενήσεσθαι ξηραντικώτερον. ἐὰν δὲ ἔλαττον, ἀντέχειν τε τὴν ἕψησιν ἐσομένην καὶ τὸ φάρμακον ἧττον ἔσεσθαι ξηραντικόν

Κεφ. ιβ'. [*Αἱ ὑπὸ Δαμοκράτους γεγραμμέναι πολύχρηστοι. Τυρία ἀνεπίδετος.*]

Τούτοις ἀκολούθως βούλομ' ἐμπλάστρων φράσαι,
Ἀνεπιδέτων χρήσεις τε καὶ τὰς συνθέσεις.
Ποιοῦσι πρὸς τὰς μὴ μεγάλας διαιρέσεις,

deinde ladanum galbanumque, atque ſic in mortarium transfuſa molliuntur et uſui ſunt. Quidam, ut boni coloris ſit et fuſcum, miſcent etiam ſquamae drach. octo, nam alioqui ſit nigerrimum. Hoc in podagris etiam non ſemel uſus ſum et ceſſit feliciſſime. Oportet autem taedas lignorum loco uſurpare. Manifeſtum eſt autem viros inter ſe diſſentire in aliis paululum, in olei vero ſymmetria plurimum, nam duplo copioſius, quam Heras, Andromachus immittit. Poteſt item praeparari aliter, quum ſciamus, ſi plus olei injectum fuerit, diuturniorem fore coctionem innuere, ipſumque medicamentum magis exiccans futurum, ſin minus, remorari coctionem futuram et medicamentum invalidius exiccaturum.

Cap. XII. [*Quae ſcripſit Damocrates uſus multiplicis medicamenta. Tyrium emplaſtrum.*]

Poſt haec referam emplaſtrorum adhaereſcentium
Sine faſciis, quis uſus et confectio.
Ad diviſiones faciunt non magnas bene,

Ed. Chart. XIII. [820. 821.] Ed. Baf. II. (401.)

Καὶ πρὸς τὰ μείζω σαρκὸς αὐτῆς τραύματα,
Τά τ' ἐξ ἐπιπολῆς τῶν τετραπόδων δήγματα,
Αἷ καὶ δοθιῆνας διαφοροῦσι προσφάτους.
Στομοῦσι δὲ τοὺς ἔχοντας ἤδη καὶ πύον,
Κομιζόμεναί τε τὰς ἐπ' αὐτοῖς ἐσχάρας
Τάχιστ' ἐπουλώσουσι δίχα χειρουργίας.
Καὶ τῷ μετώπῳ ἐπιτεθεῖσαι ῥεύματα
Ὀφθαλμιώντων ῥᾷστ' ἐπίσχουσιν μόναι.
Τούτου δ' ἀμείνω τοῦ γένους πρώτην φράσω
[821] Ἔμπλαστρον, εὐπόριστον, εὔχρουν, δραστικὴν,
Καλῶ δὲ Τυρίαν. λαμβάνει γὰρ πορφύρας
Τὸ χρῶμα Τυρίας, ἂν γένηθ' ὃν δεῖ τρόπον.
Σκεύαζε δ' οὕτως. τῆς καλῶς λιθαργύρου
Ἐμβαλλε λίτρας ε'. καὶ κηροῦ α'.
Καὶ πιτυΐνης γ'. τῆς λιπαρᾶς καὶ ἀξύλου.
Ἰοῦ δὲ χαλκοῦ τοῦ καλοῦ καὶ χαλβάνης,
Χαλκοῦ τε κεκαυμένου καὶ λεπίδος καλῆς

Et carnis ipſius ampliora vulnera.
Medicantur a quadrupede et morſos corpore
Summo, recentes diſcutiunt furunculos,
Quibusque jam pus eſt, vapore digerunt.
Item auferendo cruſtas, iis celerrime
Cicatricem inducunt opera nulla manus.
In fronte poſita fluxus quam promptiſſime
Lippientium cohibent, ſola quamvis ceperis.
Hujus generis praeſtantius primum efferam
Emplaſtrum facile inventu, cui color bonus
Atque efficacia, Tyriam nos dicimus,
Tyriam colore referat id quod purpuram,
Si quo decet modo fiat. Sic praepara.
Sit libra injecta quinquies lithargyri
Boni, ſemel cerae capiatur, inſuper
Ter pityinae pinguis lignoſae ac neutique.
Aeruginis praeſtantis aeris, galbani,
Aerisque combuſti, pariter ſquamae bonae,

Ed. Chart. XIII. [811.] Ed. Baf. II. (401.)

Τέσσαρας ἑκάστου μίγματος βάλλ' οὐγγίας.
Λιπαροῦ δ' ἐλαίου ιε'. λίτρας καὶ μίαν.
Ἔψει δὲ τὴν ἔμπλαστρον οὕτως ἐπιμελῶς,
Βαλὼν μετ' ἐλαίου λειοτάτην λιθάργυρον,
Εἰς κεραμίαν τε μείζω καὶ καινὴν χύτραν,
Ἀνάτριβε χερσὶν, εἶτα κίνει καὶ σπάθῃ,
Ἕψε τ' ἐπὶ λάβρας καὶ διηνεκοῦς φλογός.
Ὅταν δὲ μέλιτος λαμβάνῃ τὴν σύστασιν,
Ἰόν τε καὶ ιὴν λεπίδα προσβαλὼν, ἄφες
Ἑψεσθ' ἐφ' ἱκανόν. εἶτα χαλκὸν πρόσβαλε.
Πάλιν τ' ἀφεὶς ἐπὶ ταχὺν ἕψεσθαι χρόνον,
Ἀπόχεον ὀλίγον χύτρας τοῦ φαρμάκου.
Ψύξας τ' ἀνάτριψον χερσὶ καὶ τοῖς δακτύλοις,
Εὔχρουν τ' ἰδὼν καὶ σκληρὸν, οὕτως πρόσβαλε
Τὴν πιτυΐνην καὶ κηρόν. εἶθ' ἡνωμένων
Πάντων ἐπιμελῶς, πάλιν ἀπόσταξον βραχύ.
Κἂν μὲν βλέπῃς εὔχρουν τε καὶ κεκραμένην,
Ἆρον παραχρῆμα τὴν χύτραν ἀπὸ τοῦ πυρὸς,

Cujusque miſceto quaternas uncias.
Pinguis olei ſex et decem pondo addito.
At curioſe emplaſtrum coquito in hunc modum.
Lithargyrum mitte ex oleo laeviſſimam,
Fictilem in ollam novam, ſed hanc majuſculam.
Ubi conteres manibus, movebis ac ſpatha,
Deinde flamma acri, atque continua coquens.
Quum mellis accipit jam ſpiſſitudinem,
Aerugo et ſquama miſceantur, incoqui
Permittito ſatis, dehinc aes adjungito.
Rurſus coqui parvo relinquens tempore,
Paululum defundens ex olla medicaminis,
Refrigeratum manibus et digitis teras.
Boni coloris atque durum ubi conſpicis,
Sic pityinam ceramque reliquis indito.
Deinde cunctis rite unitis paululum,
Stillato rurſus, et colorem ſi bonum
Et temperamentum vides, mox tollito

Ed. Chart. XIII. [821.] Ed. Baſ. II. (401.)

Καὶ χαλβάνην πρόσβαλλε προμεμαλαγμένην.
Ἂν δ' ᾖ παρὰ πολὺ σκληρότερον τὸ φάρμακον,
Ἔλαιον αὐτῷ πρόσβαλ' εἰς εὐκρασίαν
Οὕτω κατηθῶν, εἶτ' εἰς ἕτερον ἀγγεῖον
Ψυχρὸν, μάλασσε χερσὶ καὶ οὕτως τ' ἀποτίθου.
Ἄλλην ὑπογράψω τῇ πρὸ ταύτης ὁμογενῆ.
Ποιεῖ δὲ πρὸς ἃ εἶπον ἔμπροσθεν πάθη,
Πάντων ἐπουλοῖ κρεῖττον αὕτη φαρμάκων,
Ἕλκη δυσαλθῆ καὶ τυλώδη καὶ χρόνια.
Τὰν τῷ προσώπῳ γινόμεν' ἐξανθήματα
Αὕτη θεραπεύει δίχα τινὸς δηγμοῦ κακοῦ,
Ἕδρας τ' ἐχούσας ῥαγάδας καὶ σκληρίας
Τὰς κονδυλώδεις καὶ τύλους ἀποβάλλεται.
Σκεύαζε δ' οὕτως. μνᾶν λιθαργύρου καλῆς.
Μνᾶ δέ ἐστι λίτρα καὶ τρίτον λίτρας μέρος.
Κηροῦ δὲ καλοῦ Ποντικοῦ μνᾶς ἥμισυ,
Ἰοῦ τέταρτον μνᾶς, μέρος ξυστοῦ καλοῦ,
Χαμαιλέοντος μέλανος ὄγδοον μέρος.

Ab igne fictilem et ſubactum galbanum
Apponito. Si pharmacum ſit durius
Multo, reſolves oleo, faciens ſic bonam
Temperiem. In aliud inde vas transfundito,
Frigidum et ſubactum manibus; ita reponito.

Aliud ejusdem cum ſuperiore generis ſubjiciam.

Medetur ante quos citavi affectibus,
Nec eſt quod ulceribus malis diutinis
Colloque preſſis applicet felicius
Cicatricem, etiamque ore natas puſtulas
Perſanat absque roſione, rhagadas
Ani, nodoſus durities callos demit.
Sic praepara. Lithargyri minam boni,
Sed mina libra eſt, ejus et pars tertia,
Minae ſemis probatae cerae Ponticae et
Aeruginis minae quadrantem raſilis,
Atri chamaeleontis octavam probi

Ed. Chart. XIII. [821.] Ed. Baſ. II. (401. 402.)

[c]Ῥίζα δέ ἐστιν ἡ καλὴ ἡ Κρητικὴ,
Τὸ α'. εἶτα Κιλίκιος. παλαιοῦ
Τε ἐλαίου μνᾶς ἐπιῤῥεπέστερον βραχὺ
[b]Ἐὰν δὲ μὴ παρῇ, κέχρησο προσφάτῳ.
[e]Ἔψει δὲ λείαν, τὴν λιθάργυρον βαλὼν
Καὶ πᾶν ἔλαιον εἰς χύτραν, κινῶν σπάθῃ.
[a]Ὅταν δὲ συστῇ καὶ γένηται μηλίνη,
[d]Ἰὸν παράπασον, εἶτα κηρὸν πρόσβαλε,
Τήξας τε τοῦτον, βαστάσας τ' ἀπὸ τοῦ πυρὸς
Χαμαιλέοντος ὀλίγον παράπασον.
[f]Ὅταν δ' ἐνωθῇ πάντα καὶ ψυγῇ ποσῶς,
(402) Κατέρασον εἰς θυείαν, οὕτως τε ἀποτίθου.

Αἰγυπτία.

Αἰγυπτία τηροῦσα χωρὶς φλεγμονῆς
Πᾶσαν διαίρεσιν καὶ πάντα θλάσματα,
Καὶ δήγματα πάντων τετραπόδων, τῶν θ' ἑρπετῶν,
[d]Ὅσαι τ' ἐγένοντο χωρὶς ἑλκῶν φλεγμοναὶ,
Πόνους τε νεύρων καὶ μυῶν δίχ' αἰτίας.

Partem, radix bona eſt regione Cretica,
Naſcens primum, Cilicia deinde: praeter havc
Olei vetuſti plusquam mina paululo.
Quod ſi non fuerit, uſurpato vel recens.
Lithargyron laevem ſimulque oleum nova
Totum ſiglina conditum, rudicula
Movens coquito. Ubi conſtiterit et melinon
Fuerit, adjicito aeruginem, ceram dein,
Qua jam liquente ab igne tollens ollulam,
Chamaeleontis paululum conſpergito.
Unita quum refrigerataque quod ſatis
Transfundito in pilam, poſt ſic reponito.

Aegyptium.

Aegyptium perſeverans absque phlegmone
Diviſa quaelibet contuſaque omnia,
Quadruplum morſus cunctorum et ſerpentium,
Item ſubortas absque ulceribus phlegmonas,
Nervos dolentes citra cauſam et muſculos

Ed. Chart. XIII. [821. 822.] Ed. Baſ. II. (402.)

Ταύτην ἐπαινῶν Ἀνδρόμαχος ἐν φαρμάκοις
Ἔχων μεγίστην ἕξιν ἐδίδου φίλοις.
Εἶναι δὲ δραχμὰς ἔλεγε μὲν λιθαργύρου
Τρὶς μ'. καὶ ἑτέρας δὶς ιβ'.
Κηροῦ δὲ λευκοῦ Ποντικοῦ ταύταις ἴσας,
[822] Ἀμμωνιακοῦ δὲ τοῦ καθαροῦ τρὶς κ'.
Καὶ δώδεκ' ἄλλας, λιβάνου δὲ δὶς δ'.
Λεπίδος δὲ χαλκοῦ καὶ λεπίδος στομώματος,
Πάλιν δ' ἑκάστου μίγματος δὶς δ'.
Τερμινθίνης τε τῆς καθαρᾶς τρὶς ιβ'.
Λέκ' ὀκτὼ δ'. ἐλαίου κικίνου κοτύλας μέτρῳ,
Ἐρίων ιή'. τῶν ὑπαρῶν κεκαυμένων.
Καίειν δ' ἔφασκεν αὐτὰ τοῦτον τὸν τρόπον,
Εἰς λοπάδα καινὴν ἢ χύτραν πλατύστομον
Ἐνθέντα ἔριον οἰσυπηρὸν δαψιλὲς,
Τὸ σῶμα προχρίσαντ' ἢ γύψῳ ἢ κόνει,
Ἢ γῇ κεραμικῇ, μεθ' ὕδατος μεμιγμένῃ
Ἐν πυρὶ λάβρῳ καίοντα, ὅταν ᾖ ῥάδιον,

Laudans hoc Andromachus dabat ſodalibus
Suis in pharmacis peritus maxime.
Ajebat eſſe ter quadraginta quidem
Denarios lithargyri et duodecim
Bis alteros, cerae quoque albae Ponticae
Totidem, ammoniaci ter viginti lucidi
Et duodecim alios, thuris et bis quatuor.
Squamae vero aeris et ſquamae ſtomomatis,
Cujusque rurſus mixturae bis quatuor.
Purae terebinthinae ter addas duodecim,
Octodecim heminas oleique ciceos,
Combuſtae totidem ſordidae lanae heminas.
Docebat ipſam iſto modo comburere,
Ollae recenti, quae ſit ore latior,
Impone lanam copioſe ſuccidam,
Operculum gypſo prius vel glutino
Vel terra ſigulari, cui ſit commixta aqua,
Illinito, ſed largo igne mox comburito,

Ed. Chart. XIII. [822.] Ed. Baſ. II. (402.)

Κόψαντα σῆσαι. τό γε δοκεῖν καλῶς ἔχειν,
Καίειν δ' ὁμοίως αὐτὰ κἀν τοῖς κριβάνοις,
Κἀν τοῖς ἵπνοις τοῖς ἄγαν πεπυρωμένοις,
Οὕτως τε λειῶν, λάμβανε ὃν δεῖ σταθμόν.
Ἑψεῖν δὲ κελεύει λειοτάτην λιθάργυρον,
Καὶ πᾶν κίκινον καὶ μίξαντ' ἐν καινῇ χύτρᾳ,
Μέλιτός γε πάχος γενομένου τοῦ φαρμάκου,
Λεπίδα παραπάσσειν καὶ συνεψεῖν ἐφ' ἱκανόν,
Ἕως ἂν γένηται ἀμόλυντον, βάλλειν τότε
Τερμινθίνην καὶ κηρὸν, εἶθ' ἡνωμένοις
Ἀμμωνιακὸν μαλαχθὲν ὑπὸ τῶν δακτύλων.
Μέλλοντα δ' αἴρειν τὴν χύτραν ἀπὸ τοῦ πυρὸς,
Λεῖον προσεμπάττειν λίβανον, ἐμβάλλειν τε
Καὶ τῶν οἰσυπηρῶν τὴν κόνιν παρ' ἐσχάτην,
Πρὸ τοῦ λιβανωτοῦ δὲ μικρὸν ὕστερον.
Τινὲς δὲ βουλόμενοι τοῦτο τὸ φάρμακον
Ἴδιον λέγεσθαι, βαστάσαντες τὴν μίαν

Contuſa, facile quando cribro incernere
Fuerit, habere recte tunc videtur.
In clibanis quoque ipſa et in fornacibus
Ignitis, nimium ſimiliter exurere.
Ita capiebat tritorum, quem eſt par, modum.
Coquere lithargyron jubet laeviſſimam,
Totumque ricinum, temperatis invicem,
Mellisque facta tandem ſpiſſitudine,
Squamam aſpergere, concoquere et quantum ſufficit,
Usque adeo, dum non inquinet, et tunc addere
Terebinthinam et ceram, dein quum coiverint,
Ammoniacum confectum digitis mollius.
Poſturus ab igne ollam, thus tritum inſpergito.
Penultimum, ac lanae immundae pulviſculum,
Sed ante thus pauxillulo aut poſt tempore.
Quidam volentes iſtud proprio pharmacum
Dici titulo, quum depoſitus eſt cacabus,

Ed. Chart. XIII. [822.] Ed. Baſ. II. (402.)

Λεπίδος μιᾶς βάλλουσι τὰς ἑκκαίδεκα,
Χρῶνται δὲ χαλκοῦ λεπίδος, οὐ στομώματος.

Ἄλλη.

Οὐδέν τι χεῖρον τῆς προτέρας Αἰγυπτίας,
Ποιοῦσα ταὐτὰ, ποτὲ δὲ καὶ κρεῖττον, παχὺ
Ἂν σκευάσῃ τις ἐπιμελῶς τὸ φάρμακον,
Χρήσηται αὐτῷ μὴ παρέργως πρὸς ταὐτά.
Ἔχει δ' ἐλαίου ε'. λίτρας, κικίνου ἴσας,
Λιθαργύρου δὲ τέσσαρας χρυσίτιδος,
Λεπίδος δὲ χαλκοῦ μή. δραχμὰς,
Τερμινθίνης τε τῆς καλῆς τρὶς ιβ'.
Μάννης, λιβάνου τε ταὐτὸ τῇ τερμινθίνῃ,
Ἀμμωνιακοῦ δὲ τοῦ καθαροῦ λίτρας β'.
Κηροῦ δὲ λευκοῦ Ποντικοῦ λίτρας β' S''.
Ἕψε δ' ἔλαιον, λεπίδα, τὴν λιθάργυρον,
Ἕως συνέλθῃ καὶ γένητ' εὔχρουν ἄγαν,
Σκληρά θ' ἱκανῶς ἔμπλαστρος, εἶθ' οὕτως βαλεῖν
Τερμινθίνην καὶ κηρὸν, εἶτα δακτύλοις

Squamae unius bis octo indunt denarios.
Squama autem utuntur aeris non ſtomomatis.

Aliud.

Nihil priore pejus agit Aegyptio,
Eadem at melius et quandoque, ſi confecerit
Craſſum accurate medicamentum quiſpiam,
Utetur ad eadem ipſo non improſpere.
Olei libras et ricini quinque continet,
Chryſitidisque argenti ſpumae quatuor,
Squamae aeris terque ſexdecim denarios,
Terebinthinae praeſtantis ter duodecim,
Mannaeque thuris tantundem, pondo duo
Ammoniaci ſinceri, cerae Ponticae
Albae duas libras ſemiſſem et inſuper.
Coquito oleum, ſquamam, nec non lithargyron,
Donec coierint et color ſit optimus,
Fiatque ſatis emplaſtrum durum, deinde ſic
Terebinthinam pones ceramque, hinc mollius

Ed. Chart. XIII. [822. 823.] Ed. Baſ. II. (402.)

Ἀμμωνιακὸν μαλαχθὲν, εἶτα τὴν χύτραν
Ἀπὸ τοῦ πυρὸς ζέουσαν ἄρας, τότε βαλεῖς
Τὴν μάνναν, ἤδη ψυχομένου φαρμάκου.
Ἐποίησα ταύτην πολλάκις λιθαργύρου
Χωρὶς, μολυβδαίνης ἐμβαλὼν καλῆς ἴσον,
Ἡδιστά τ' ἐχρησάμην πρὸς ἃ προείπομεν.
Πεποιημένην τε χρώματος βελτίονος.

Κεφ. ιγ'. [Περὶ τῶν διαφορητικῶν καὶ ἐπισπαστικῶν ἐμπλάστρων.] Οἱ τὰς τῶν συνθέτων φαρμάκων δυνάμεις γράψαντες ἐκάλεσάν τινας τῶν ἐμπλάστρων ἐπισπαστικὰς, ὥσπερ ἑτέρας διαφορητικάς. ἐνίαις δ' αὐτῶν ἑκάτερον ἐμαρτύρησαν ἐπισπᾶσθαί τε καὶ διαφορεῖν. καὶ γὰρ πλησίον ἀλλήλων εἰσὶν αἱ δυνάμεις, ἥ θ' ἑλκτικὴ τῶν ἐκ τοῦ βάθους, ἥ τε διαφορητικὴ τῶν ἐλχθέντων. αἵ τε γὰρ ἕλκουσαι καὶ διαφοροῦσί τι πάντως, αἵ τε διαφοροῦσαι καὶ ἕλκουσιν. ἀλλ' ἐπι[823]κρατεῖ κατὰ μὲν τὰ διαφορητικὰ τῶν φαρμάκων ἡ διαφορητικὴ δύναμις, κατὰ δὲ τὰ ἑλκτικὰ ἡ ἑλκτ.κή. σύγκεινται μὲν οὖν ἑλκτικαὶ διὰ τῶν ἁπλῶν φαρμάκων, ὅσαι

Ammoniacum digitis confectum, poſtea
Fervente ab igne cacabo depoſito
Mannam injicies jam frigerato pharmaco.
Frequenter hoc feci citra lithargyron,
Molybdaenae bonae pari ſumpto modo,
Uſusque ſum ad quae dixi, jam ſuaviſſime
Probatiorisque id coloris condidi.

Cap. XIII. [*De emplaſtris diſcutientibus et extrahentibus.*] Qui compoſitorum medicamentorum facultates deſcripſerunt, emplaſtra quaedam extrahentia, ſicut alia diſcutientia nominarunt, alii utraque extrahere et diſcutere teſtati ſunt, etenim vicinae ſibi facultates ſunt eorum, quae in alto latent, attractrix et attractorum diſcutrix. Nam quae trahunt, etiam nonnihil omnino diſcutiunt, et quae diſcutiunt, pariter trahunt, verum in diſcutientibus medicamentis diſcuſſoria facultas, in trahentibus attractix praepollet. Conſtant itaque attractrices ſimplicibus medicamen-

Ed. Chart. XIII. [823.] Ed. Baſ. II. (402.)

δύναμιν ἔχουσιν, ἐκ τοῦ βάθους ἐπὶ τὸ δέρμα τὰς περιουσίας τῶν ὑγρῶν ἐπισπᾶσθαι, αἱ διαφορητικαὶ δὲ ἐκ τῶν διαφορεῖν τὸ ἐλχθὲν πεφυκυιῶν. ἵνα δὲ ἔμπλαστρος γένηται, καθάπερ ἐν τοῖς ἔμπροσθεν ἐρρέθη, τῷ μὲν γὰρ λιθαργύρου μίγνυται, τῷ δὲ ῥητίνης, τῷ δὲ κηροῦ, τῷ δὲ ἐλαίου, τῷ δὲ πίττης, οὔτε διαφορητικὴν δύναμιν ἀξιόλογον οὔθ' ἑλκτικὴν ἐχόντων τῶν τοιούτων, ὥσπερ ἡ πρόπολις ἢ τίτανος ἢ μυελὸς ἢ χαλβάνη ἢ τὸ τῆς Ἀσίας πέτρας ἄνθος ἢ ἀφρὸς νίτρου ἢ ἀφρόνιτρον ἢ ὄξος ἢ κονία στακτὴ, πέπερί τε καὶ νᾶπυ καὶ στρουθίον, οἵ τ' ἐδώδιμοι τῶν ἁλῶν, οἵ τε ἀμμωνιακοὶ καὶ πρὸς τούτοις ἄλλα πολλὰ, περὶ ὧν τῆς δυνάμεως ἐν τῇ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ λέλεκται. νυνὶ δὲ τὰς πεῖραν ἱκανὴν ἤδη δεδωκυίας ἐμπλάστρους ἐρῶ, τοσοῦτον ἔτι περὶ αὐτῶν εἰπὼν, ὡς ἔνιοι καὶ τῶν στυφόντων φαρμάκων τοῖς ἐπισπαστικοῖς προσέμιξαν εὐλαβούμενοι τὸ γιγνόμενον, ἐφ' ὧν ἔσται περιουσία χυμῶν. ἕλκουσι γὰρ ἐνίοτε πλέον ἢ προσῆκεν, ὡς μὴ μόνον ἐκ τῶν κατὰ τὸ θεραπευόμενον μέρος ἐν βάθει τὴν ὁλκὴν, ἀλλὰ κἀκ τῶν

tis, quae humorum ſuperfluitates ex profundo in cutem extimam poſſunt extrahere. Diſcuſſoriae ex iis conflantur, quae attractum poſſunt ſuapte natura diſcutere. Ut autem emplaſtrum fiat, quemadmodum ſupra dictum eſt, huic argenti ſpuma, illi reſina, alii oleum, reliquo pix admiſcetur, quae nec inſignem diſcutiendi facultatem, nec extrahendi continent, ſicut vel propolis vel calx vel medulla vel galbanum vel Aſiae petrae flos vel ſpuma nitri vel aphronitrum vel acetum vel lixivia ſtacte, piper, ſinapi et ſtruthium, ſalesque tum qui edi poſſunt tum ammoniaci, ad haec pleraque alia, de quorum facultate in commentario ſimplicium medicamentorum dictum eſt. Nunc autem emplaſtra, quae jam experimento ſatis probata ſunt, exequar, tantum adhuc ipſis adjiciens, quod nonnulli etiam aſtringentia medicamenta extrahentibus miſcuerunt, veriti, quod accidit, ubi humorum ſuperfluitas fuerit, trahunt ſiquidem plus interim quam convenit, ut non ſolum ex parte, quae euratur, attractionem in alto, ſed etiam ex

Ed. Chart. XIII. [823.] Ed. Baſ. II. (402.)

πέριξ ἁπάντων ποιεῖσθαι. λέλεκται δέ μοι καὶ πρόσθεν ἐν τῷ τῶν σαρκωτικῶν δυνάμεων λόγῳ τὰς ἐπισπαστικάς τε καὶ διαφορητικάς, ὥσπερ γε καὶ τὰς ἐπὶ μᾶλλον ἡ χρὴ ῥυπτούσας ἁπάσας, γίγνεσθαι σαρκωτικὰς μίξει κηρωτῆς, ἐφ' ὧν μὲν ἡ δύναμις ἰσχυρὰ πλέονος, ἐφ' ὧν δὲ ἀσθενὴς ἐλάττονος. ἐὰν δὲ φθάσῃ τὸ σύνθετον ἐπισπαστικὸν ἢ διαφορητικὸν φάρμακον ἔχειν τι καὶ στυπτικὸν, οὐ χρὴ τῷ τοιούτῳ φαρμάκῳ χρῆσθαι σαρκωτικῷ, διὰ τὸ τὰς στυπτικὰς δυνάμεις εἰς μὲν τὰς κολλήσεις τῶν τραυμάτων τε καὶ κόλπων καὶ τὰς ἐπουλώσεις τῶν ἑλκῶν εἶναι χρησίμους, εἰς δὲ τὰς σαρκώσεις ἀχρήστους. εἴρηται γὰρ ἱκανῶς ἡμῖν ἤδη περὶ τούτου.

Κεφ. ιδ'. [*Αἱ ὑπ' Ἀνδρομάχου γεγραμμέναι διαφορητικαί τε καὶ ἐπισπαστικαί. ἁλυκὴ πρὸς πολλά.*] ℞ Ἁλῶν κοινῶν λίτρας δ'. λεπίδος χαλκοῦ γο δ'. μάγματος λίτρας S''. μάννης λίτραν α'. κηροῦ λίτρας ιδ'. κυπρίνου ἐλαίου λίτρας ιστ'. ὄξος. Ἄλλη Θευδᾶ σαρκοφάγου πρὸς κακοήθη, σύριγγας, τερηδόνας, χοιράδας. ℞ ῥητίνης τερμινθίνης γο δ'.

omnibus vicinis moliantur. Comprehenſum eſt et antea, quum de carnem generantibus facultatibus ageremus, extrahentia et diſcutientia, velut omnia, quae magis quam oportet detergunt, carnis explentia fieri cerati mixtura, in quibus facultas quidem valida eſt copioſioris, in quibus imbecilla, paucioris. Quod ſi compoſitum extrahendi vel diſcutiendi praeditum facultate medicamentum, aſtringens quoque aliquid habeat, tali medicamento ad carnem generandam, propter vim aſtrictoriam utendum non eſt, quae ad vulnera glutinanda et ſinus, tum ad ulcerum cicatricem ducendam utilis eſt, ad carnis productionem non ita. Dictum mihi eſt abunde jam de hoc.

Cap. XIV. [*Andromachi emplaſtra ad diſcutiendum et extrahendum. Halicon*, id eſt *ſalſum*, *ad multa.*] ℞ Salis communis lib. iv, ſquamae aeris uncias quatuor, magmatis ſelibram, mannae lib. j, cerae lib. xiv, olei Cyprini lib. xvj, acetum adjicitur. *Aliud Theudae Sarcophagi ad maligna, fiſtulas, teredines et ſtrumas.* ℞ Reſinae terebin-

Ed. Chart. XIII. [823. 824.] Ed. Baſ. II. (402. 403.)

λιβάνου γο δ'. κηροῦ γο δ'. λιθαργύρου γο α'. οἱ δὲ ἀρσενικοῦ ἴσον (403) ἀντὶ τῆς λιθαργύρου, λεπίδος ἐρυθρᾶς γο δ'. ἰοῦ ξυστοῦ γο η'. ἁλὸς ἀμμωνιακοῦ γο στ'. ὄξους κοτύλην α'. ἐγὼ πλέον ἐλαίου κοτύλην α'. οἴνου κοτύλην α'. ὄξους σκιλλητικοῦ κοτύλην. ἄλλη διαφορητικὴ Κανδίδου ᾗ χρῶμαι. ♃ τερμινθίνης λίτρας γ'. κηροῦ λίτραν ν'. χαλβάνης οὐγγίας β'. νίτρου οὐγγίας β'. Ἀσίου οὐγγίας β'. λιβάνου λίτρας δ'. μυελοῦ ἐλαφείου γο δ'. ἀμμωνιακοῦ θυμιάματος λίτρας S''. προπόλεως οὐγγίας γ'. ἐλαίου δαφνείου οὐγγίας στ'. στέατος ταυρείου λίτρας ἥμισυ, τὰ ξηρὰ κατὰ τῶν τηκτῶν. ἄλλη πρὸς χοιράδας παρὰ Νυμφοδότου. ♃ Ἀσίου λίθου ≺ η'. ἀφρονίτρου ≺ η'. ἀσβέστου ≺ ιστ'. στέατος μοσχείου ≺ ιστ'. κηροῦ ≺ κδ'. τερμινθίνης ≺ λβ'. ἄλλη διαφορητικὴ βρογχοκήλων, ᾗ Κλήμης Σερτώριος ἐθεραπεύθη καὶ πρὸς σκληρίας. ♃ λιθαργύρου ≺ ν'. πιτυΐνης ῥητίνης ≺ μ'. ἐλαίου παλαιοῦ κο[824]τύλας ι'. χαλβάνης ≺ δ'. ἐν ἄλλῳ γο α'. χαλκοῦ κεκαυμένου ≺ κ'. ἀμμω-

thinae ℥ iv, thuris ℥ iv, cerae uncias quatuor, argenti ſpumae unciam j, quidam auripigmenti aequale pondus pro argenti ſpuma ponunt, ſquamae rubrae ℥ iv, aeruginis raſae ℥ viij, ſalis ammoniaci ℥ ſex, aceti heminam unam. Ego amplius capio, nempe olei heminam, vini heminam, aceti ſcillitici tantundem. *Aliud ad diſcutiendum candidi, quo utor.* ♃ Terebinthinae lib. iij, cerae lib. I, galbani unc. ij, nitri ℥ ij. Aſii uncias ij, thuris lib. iv, medullae cervinae ℥ iv, guttae ammoniaci ſelibram, propolis uncias tres, olei laurini ℥ vj, ſevi taurini ſelibram. Quae ſicca ſunt liquidis admiſcentur. *Aliud ad ſtrumas auctore Nymphodoto.* ♃ Aſii lapidis drach. octo, aphronitri drach. octo, ſevi vitulini drach. ſedecim, calcis vivae drach. ſedecim, cerae drach. viginti quatuor, terebinthinae drach. triginta duas. *Aliud diſcutiens bronchocelen,* id eſt *gutturis tumorem, quo Clemens Sertorius curatus eſt et ad duritias.* ♃ Argenti ſpumae drach. I, reſinae pityinae drach. xl, olei veteris heminas x, galbani drach. iv, in alio ℥ j, aeris uſti ℥ xx, guttae

Ed. Chart. XIII. [824.] Ed. Baſ. II. (403.)

νιακοῦ θυμιάματος ≺μ΄. σχιστῆς ≺ δ΄. μάννης λιβάνου ≺ δ΄. κηροῦ ≺ ν΄. ἐσχάτην τὴν χαλβάνην καὶ τὴν μάνναν. ἄλλη ἡ διὰ τῶν ἀσπίδων διαφορητικὴ χοιράδων καὶ πρὸς ποδάγρας. ℞ τερμινθίνης, λίθου Ἀσίου, ἀσφάλτου ἀνὰ ≺ τξ΄. ἀφρονίτρου, μοσχείου, κηροῦ, δαφνίδων, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ ≺ τμ΄. λίθου πυρίτου ≺ π΄. ἀσβέστου ≺ ρη΄. ἄλλως μνᾶν α΄. ἀσπίδων σποδοῦ ≺ ρμ΄. ἐλαίου παλαιοῦ κοτύλας β΄. ἐσχάτην τὴν σποδὸν, ψυγέντος τοῦ φαρμάκου, εἰ δὲ μὴ, ἀπόλλυται. ἄλλη ἐπισπαστικὴ ἡ τοῦ Σαρκευθίτου. ℞ τερμινθίνης μνᾶν α΄. κηροῦ μνᾶν α΄. νίτρου μνᾶς β΄. βδελλίου ≺ λβ΄. ἀμμωνιακοῦ θυμιάματος ≺ λβ΄. ἐλαίου κοτύλας β΄. θαλάσσης ἢ ἅλμης κοτύλας β΄. μίλτου ≺ λβ΄. ἄλλη ἡ Κτησιφῶντος, ἃ μὲν διαλύων, τὰ δὲ συνάγων καὶ ῥύπτων. ℞ ἀφρονίτρου λίτραν α΄. μάννης λιβάνου λίτραν α΄. κονίας στακτῆς λίτραν α΄. τινὲς καὶ ὄξους λίτραν α΄. ἄλλη δι' ἁλῶν ἐπισπαστική. ℞ ἁλῶν κοινῶν ≺ π΄. ψιμυθίου ≺ π΄. ἐλαίου παλαιοῦ κοτύλας μ΄. ἄλλως γ΄. χαλκάν-

ammoniaci drach. quadraginta, aluminis fiſſilis drach. iv, mannae thuris drach. iv, cerae drach. l, poſtremo galbanum et mannam injicito. *Aliud ex aſpidibus ad diſcutiendum ſtrumas, item ad podagras.* ℞ Terebinthinae, lapidis Aſii, bituminis, ſingulorum drach. trecentas ſexaginta, aphronitri, vitulini, cerae, baccarum lauri, guttae ammoniaci, ſingulorum drach. cccxl, lapidis pyrites drach. lxxx, calcis vivae drach. cviij, alias minam unam, aſpidum cineris drach. cxl, olei veteris heminas duas, poſtremo cinis medicamento refrigerato inſpergitur, ſin minus, perit. *Aliud ad extrahendum Sarcenthitae.* ℞ Terebinthinae minam j, cerae minam j, nitri minas duas, bdellii drach. xxxij, guttae ammoniaci ʒ xxxij, olei heminas ij, marinae vel muriae heminas duas, mini ʒ xxxij. *Aliud Cteſiphontis, quaedam diſſolvens, quaedam cogens et detergens.* ℞ Aphronitri lib. j, mannae thuris lib. j, lixiviae ſtactae libram unam, quidam etiam aceti lib. j, addunt. *Aliud ex ſale ad extrahendum.* ℞ Salis communis drach. lxxx, ceruſſae ʒ lxxx, olei veteris heminas xl, alias iij, atramenti ſutorii ʒ xxiv,

Ed. Chart. XIII. [824.] Ed. Baſ. II (403.)

θου ⊲ κδ'. ὄξους κοτύλης ἥμισυ. ἄλλο ἡ δι' ἁλῶν ἄλλως. ℞ ψιμυθίου ⊲ η'. ἁλῶν κοινῶν ⊲ ν'. ἐλαίου παλαιοῦ κοτύλας η'. ἄλλως β'. ἀριστολοχίας ⊲ η'. προπόλεως ⊲ ι'. ταύτην Σίλων ἐπῄνει. ἄλλη ἡ διὰ πελαγίας γῆς διαφορητική. ℞ λιθαργύρου μνᾶς δ'. γῆς πελαγίας τέταρτον, ἁλὸς ἀμμωνιακοῦ τέταρτον, ψιμυθίου τέταρτον, κηροῦ τέταρτον, ὄξους κοτύλην α'. ἐλαίου κοτύλας δ'. ἄλλη ἡ τοῦ Κυρτοῦ ἐπισπαστική. ℞ ἴρεως Ἰλλυρικῆς ⊲ ν'. μάννης ⊲ ν'. τερμινθίνης ⊲ ν'. ἀφρονίτρου ⊲ ν'. κισσήρεως ⊲ ν', ἀμμωνιακοῦ θυμιάματος ⊲ κε'. χαλβάνης ⊲ ισ'. ἄλλως στ'. κάγχρυος ⊲ ιβ'. ἥμισυ, κηροῦ ⊲ ρ'. οἱ δὲ ἡ. ἐλαίου κοτυλην α'. ἄλλη ἡ διὰ δαφνίδων. ℞ ῥητίνης, νίτρου πυῤῥοῦ, κηροῦ νέου, δαφνίδων, κολοφωνίας, στέατος μοσχείου, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ ⊲ ο' κυπρίνου κοτύλης ἑκκαιδέκατον, τινὲς δὲ ἐξοῦ ⊲ ν'. ἄλλη ἐπισπαστικὴ Ἁρπάλου. ℞ ἀμμωνιακοῦ θυμιάματος ⊲ η'. κηροῦ ⊲ δ'. ἴρεως ⊲ δ'. μάννης ⊲ δ'. πεπέρεως ⊲ δ'. θείου ἀπύρου ⊲ δ'. κισσήρεως ⊲ δ'.

aceti heminae ß. *Aliud ex ſale aliter.* ℞ Ceruſſae ʒ viij, ſalis communis drach. l, olei veteris heminas viij, aliter duas, ariſtolochiae drach. viij, propolis drach. x. Hoc Silo commendabat. *Aliud ex terra pelagia diſcutiens.* ℞ Argenti ſpumae minas iv, terrae pelagiae quartam portionem ſalis ammoniaci quartam portionem, ceruſſae, quartam portionem, cerae quartam portionem, aceti heminam, olei heminas iv. *Aliud Cyrti ad attrahendum.* ℞ Iridis Illyricae drach. l, mannae drach. l, terebinthinae drach. l, aphroniti drach. l, pumicis drach. l, guttae ammoniaci drach. xxv, galbani ʒ xvj, alias vj, canchryos ʒ xij ß, cerae drach. centum, alii octo, olei heminam unam. *Aliud diadaphnidon,* id eſt *ex baccis lauri.* ℞ Reſinae, nitri rufi, cerae recencentis, baccarum lauri, colophoniae, ſevi vitulini, guttae ammoniaci, ſingulorum ʒ lxx. Cyprii decimam ſextam heminae partem, nonnulli autem viſci ʒ l. *Aliud attrahens, Harpali.* ℞ Guttae ammoniaci drach. viij. cerae ʒ iv, iridis ʒ iv, mannae ʒ iv, piperis ʒ iv. ſulfuris vivi drach. iv,

Ed. Chart. XIII. [824.] Ed. Baſ. II. (403.)

τερμινθίνης ≺ η'. ἐλαίου ὀλίγον. ἄλλη ἐπισπαστικὴ Ἁρπάλου. ℞ τερμινθίνης μνᾶς η'. κισσήρεως ≺ ιε'. νίτρου ≺ ιστ'. ἀμμωνιακοῦ θυμιάματος ≺ ιστ'. κηροῦ ≺ δ'. ἐλαίου βραχύ, μίλτου, ὥστε χρῶσαι τὰ ξηρὰ σὺν ὄξει. ἄλλη. ℞ σινάπεως ≺ δ'. νίτρου ≺ δ'. κηροῦ ≺ η'. τερμινθίνης ≺ λ'. δαφνίδων ≺ δ'. ἀσβέστου ≺ δ'. ἐλαίου κοτύλας ἑκκαιδέκατον, κυπρίνου ≺ η'. ἄλλη πῦον διαφοροῦσα. ℞ κηροῦ, τερμινθίνης ῥητίνης, πίσσης ξηρᾶς, στέατος μοσχείου, νίτρου πυῤῥοῦ, δαφνίδων, ἀσβέστου, κισσήρεως, ἀμμωνιακοῦ θυμιάματος, ἑκάστου ἴσον. ἄλλη Κοδάμου ἢ Νικοδήμου βασιλέως. ℞ κηροῦ ≺ ρ'. νίτρου πυῤῥοῦ ≺ ρ'. ῥητίνης φρυκτῆς ≺ ρ'. ἀμμωνιακοῦ θυμιάματος ≺ κε'. προπόλεως ≺ κε'. ἰξοῦ δρυΐνου ≺ ιβ'. ἥμισυ, ἐλαίου ξέστην α'. κονίας στακτῆς ξέστην α'. ἄλλη διαφορητικὴ μελικηρίδων. ℞ ἐλαίου παλαιοῦ ≺ ρ'. λιθαργύρου ≺ ϟα'. ἀμμωνιακοῦ θυμιάματος, χαλβάνης ἀνὰ ≺ ιϑ'. ἄλλη. ℞ λιθαργύρου ≺ ρ'. ἁλῶν κοινῶν ≺ ξ'. ἐλαίου παλαιοῦ κοτύλας στ'. ἄλλως α'. ἄλλη ἐπισπαστικὴ

pumicis drach. iv, terebinthinae ʒ viij, olei parum. *Aliud attrahens Harpali.* ℞ Terebinthinae minas viij, pumicis ʒ xv, nitri ʒ xvj, guttae ammoniaci ʒ xvj, cerae ʒ iv, olei parum, minii quod poſſit ea colorare, arida cum aceto ſubiguntur. *Aliud.* ℞ Sinapeos ʒ iv, nitri ʒ iv, cerae drach. viij, terebinthinae ʒ xxx, baccarum lauri ʒ iv, calcis vivae drach. iv, olei decimam ſextam heminae portionem, Cyprii drach. octo. *Aliud ad pus diſcutiendum.* ℞ Cerae, terebinthinae reſinae. picis ſiccae, ſevi vitulini, nitri rufi, baccarum lauri, calcis vivae, pumicis, guttae ammoniaci, ſingulorum aequale pondus. *Aliud Codami vel Nicomedis regis.* ℞ Cerae ʒ c, nitri rufi ʒ c, reſinae frictae drach. centum, guttae ammoniaci ʒ xxv, propolis drach. xxv, viſci quercini drach. xij ſ, olei ſextarium j, lixiviae ſtactae ſextarium j. *Aliud diſcutiens Meliceridas.* ℞ Olei veteris ʒ c, argenti ſpumae ʒ xcj, guttae ammoniaci, galbani utriusque ʒ xix. *Aliud.* ℞ Argenti ſpumae ʒ c, ſalis communis ʒ lx, olei veteris heminas ſex, aliter unam. *Aliud attra-*

Ed. Chart. XIII. [824. 825.] Ed. Baſ. II. (403.)

καὶ διαφορητικὴ πολύχρηστος. ♃ λιθαργύρου λίτραν α'. ψιμυθίου λίτραν α'. χαλβάνης λίτραν α'. ἁλὸς ὀρυκτοῦ λίτρας S''. ἰοῦ ξυστοῦ λίτρας ἥμισυ, ἐλαίου ξέστας γ'. χαλκάνθου γο β'. [825] ἄλλη διαφορητικὴ ἡ διὰ τοῦ στρουθίου. ♃ λιθαργύρου λίτρας β'. ἐλαίου λίτρας γ'. ψιμυθίου γο δ'. πίσσης γο δ'. τερμινθίνης γο δ'. κηροῦ γο β'. μάννης γο γ'. ἀριστολοχίας γο β'. στρουθίου γο β'. κηκίδων γο γ'. οἴνου καλοῦ κοτύλας γ'. οἶνον ἔσχατον κατάῤῥαινε. ἄλλη διαφορητικὴ, ὡς Σκριβώνιος. ♃ λιθαργύρου λίτρας ε'. ἐλαίου λίτρας ε'. πιτυΐνης ξηρᾶς λίτρας ε'. προπόλεως λίτρας ἡ'. τῆς δρυΐνης γο γ'. ἄλλη ἐπισπαστικὴ καὶ διαφορητική. ♃ κηροῦ νέου ≺ ρ'. ῥητίνης πιτυΐνης ξηρᾶς ≺ ρ'. νίτρου ≺ ρ'. ἐλαίου κοτύλας γ'. τινὲς λιβάνου ≺ ρ'. κονίας στακτῆς κοτύλας γ'. πρὸς σκληρίας δὲ μίσγεται ἀμμωνιακοῦ θυμιάματος ≺ ιβ'. χαλβάνης ἴσον, ἰοῦ ξυστοῦ, προπόλεως, δρυΐνης ἴσον. ἄλλη πρὸς χοιράδας Μινουκιανοῦ, ᾗ χρῶμαι κατὰ κόρας. ♃ τερμινθίνης λίτραν α'. κηροῦ λίτρας ἡ'. προπόλεως λίτραν α'. χαλβάνης λίτρας ἡ'. ἰξοῦ δρυΐνου λίτρας ἡ'. τήξας ταῦτα,

hens et diſcutiens ad multa utile. ♃ Argenti ſpumae lib. j, ceruſſae lib. j, galbani lib. j, ſalis foſſilis ſelibram, aeruginis raſae libram dimidiam, olei ſextarios tres, atramenti ſutorii ℥ ij. *Aliud ad diſcutiendum e ſtruthio.* ♃ Argenti ſpumae lib. ij, olei lib. iij, ceruſſae ℥ iv, picis ℥ iv, terebinthinae ℥ iv, cerae ℥ ij, mannae ℥ iij, ariſtolochiae ℥ ij, ſtruthii ℥ ij, gallae ℥ iij, vini boni heminas iij, vinum ultimum infundito. *Aliud ad diſcutiendum ut Scribonius.* ♃ Argenti ſpumae lib. v, olei lib. v, pityinae ſiccae lib. v, propolis lib. viij, viſci de quercu lecti ℥ iij. *Aliud trahens et diſcutiens.* ♃ Cerae novae ℥ c, reſinae pityinae ſiccae ℥ c, nitri ℥ c, olei heminas iij, nonnulli thuris ℥ c, lixiviae ſtactae heminas iij. *Ad duritias*, guttae ammoniaci ℥ xij, miſceto, galbani tantundem, aeruginis raſae, propoleos, viſci de quercu lecti, paria pondera. *Aliud ad ſtrumas Minutiani, quo utor frequenter.* ♃ Terebinthinae lib. j, cerae lib. viij, propolis lib. j, galbani lib. viij, viſci de quercu lecti lib. viij. His liquefactis, faecis uſtae ℥ ij,

Ed. Chart. XIII. [825.] Ed. Baſ. II. (403.)

ἔμπασσε τρυγὸς κεκαυμένης γο β'. ἀφρονίτρου λίτρας η'. εἶτα θεὶς ἀπ' ἀνθρακιᾶς, πρόσβαλε ἐλαίου κοτύλας γ'. εἶτα καθελὼν ἔμπασσε σικύου ἀγρίου ῥίζης γο α'. ξιφίου ῥίζης γο δ'. Ἀσίου ἄνθους γο δ'. ἄλλη Ἀντιπάτρου. ℞ νίτρου λίτραν α'. τερμινθίνης λίτραν α'. ἐλαίου παλαιοῦ λίτραν α'. ὕδατος ξέστην α'. καὶ πλεῖον, ὅταν ἑψόμενον μὴ πομφολύξῃ, πρόσβαλε ἀμμωνιακοῦ θυμιάματος γο β'. χαλβάνης γο α'. βδελλίου γο α'. λιβάνου γο β'. σανδαράχης γο β'. λίθου Ἀσίου γο β'. ὁ Ἄσιος καὶ ἡ σανδαράχη σὺν ἐλαίῳ ὀλίγῳ λεαίνεται, τὰ τηκτὰ ἀναξύεται καὶ μίσγεται τοῖς ξηροῖς. ἄλλη διαφορητικὴ Ἀντιπάτρου. ℞ μολυβδαίνης ⊲ τ'. κηροῦ ⊲ ρν'. τερμινθίνης ⊲ λ'. χαλκίτεως ⊲ στ'. χαλβάνης ⊲ η'. σμύρνης ⊲ η'. μάννης ⊲ η'. ἐλαίου χειμῶνος κοτύλας δ'. θερείας κοτύλας γ'. ἄλλη Ξενοκράτους ἀνώδυνος, διαφορητικὴ, ὡς Κάστος, ἡ Πολυστόμου πρὸς ποδάγρας. ℞ ψιμυθίου ⊲ ρν'. κηροῦ λίτρας γ'. τερμινθίνης ⊲ λ'. ἀφρονίτρου ⊲ λ'. ἐλαίου παλαιοῦ κοτύλας γ'. ἄλλη διαφορητικὴ μελικηρίδων, Ἀλεξάνδρου. ℞ ἁλὸς Σπανοῦ λίτραν α'. λιθαργύρου λίτραν α'.

inſpergito, aphronitri lib. viij. Deinde ubi carbonibus impoſueris, olei heminas iij, injicito, poſtea ſublatis cucumeris agreſtis radicis unciam inſpergito, gladioli radicis ℥ iv, Aſii floris tantundem. *Aliud Antipatri.* ℞ Nitri, terebinthinae, olei veteris, ſingul. lib. j, aquae ſextarium et amplius, ubi cocta non ebullierit, immittito guttae ammoniaci ℥ ij, galbani ℥ j, bdellii ℥ j, thuris ℥ ij, ſandarachae ℥ ij, lapidis Aſii ℥ ij. Aſius et ſandaracha ex oleo pauco laevigantur, liquabilia raduntur et aridis miſcentur. *Aliud ad digerendum Antipatri.* ℞ Molybdaenae ℥ ccc, cerae ℥ cl, terebinthinae ℥ xxx, chalcitidis ℥ vj, galbani ℥ viij, myrrhae ℥ viij, mannae ℥ viij, olei per hiemem heminas iv, per aeſtatem tres. *Aliud Xenocratis, dolorem ſedans ad diſcutiendum, ut Caſtus. Medicamentum Polyſtomi ad podagram.* ℞ Ceruſſae ℥ cl, cerae libras tres, terebinthinae drach. triginta, aphronitri drach. triginta, olei veteris heminas tres. *Aliud ad digerendum meliceridas. Alexandri.* ℞ Salis Hiſpani libram unam, argenti ſpumae li-

Ed. Chart. XIII. [825.] Ed. Baſ. II. (403. 404.)

ψιμυθίου λίτραν α'. κηροῦ γο α'. τερμινθίνης γο α'. χαλβάνης ℈ καὶ ὀποπάνακος γο β'. σινάπεως γο στ'. ἐλαίου παλαιοῦ λίτρας γ'. ὄξους ξέστας η'. Ἄλλη, Ὑγεία διαφορητικὴ καὶ ἐπισπαστικὴ πρὸς μαστοὺς διὰ ἰξοῦ. ♃ λιθαργύρου λίτρας β'. ἐλαίου λίτρας β'. ἰξοῦ δρυΐνου γο δ'. κηκίδων γο δ'. Ἄλλη κενωτικὴ πύων, ὡς Ἀσκληπιάδης χωρὶς συῤῥήξεως. ♃ ῥητίνης λίτρας β'. κηροῦ λίτρας β'. νίτρου λίτρας η'. βουτύρου λίτραν α'. στέατος λεοντείου λίτρας στ'. ἐλαίου παλαιοῦ λίτραν α'. τῆκε ὁμοῦ, καθ' ἡμέραν χρῶ ἐμπλάσσων τοῦ φαρμάκου. (404) Ἄλλη ἐξιπωτικὴ ὑγρῶν καὶ ἀποστημάτων, μάλιστα ἐν γόνασι καὶ ἄρθροις, ἄτερ τομῆς ἕλκουσα, ἀφλέγμαντος καὶ τραυματική. ♃ μολύβδου σκωρίας ≺ ρ'. τερμινθίνης ≺ ρ'. ἐλαίου παλαιοῦ κοτύλας β'. ἐσχάτην ῥητίνην. Ἄλλη διαφορητικὴ καὶ συῤῥήσσουσα καὶ ἐπουλωτικὴ, προκλητικὴ, ᾗ χρῶμαι. ♃ ἰξοῦ δρυΐνου ≺ ξ'. πίσσης ≺ ν'. ἀμμωνιακοῦ θυμιάματος ≺ ρ'. κηροῦ ≺ ν'. ῥητίνης φρυ-

bram unam, ceruſſae libram unam, cerae unciam unam, terebinthinae unciam unam, galbani vel etiam opopanacis uncias duas, ſinapeos uncias ſex, olei veteris libras tres, aceti ſextarios octo. *Aliud, ſanitas, digerens et extrahens ad mammillas ex viſco.* ♃ Argenti ſpumae libras duas, olei libras duas, viſci quercini trientem, gallae trientem. *Aliud pus vacuans ſine ruptura, ut Aſclepiades.* ♃ Reſinae libras duas, cerae libras duas, nitri libras octo, butyri libram unam, adipis leonini libras ſex, olei veteris libram unam, ſimul liquefacito. Quotidie emplaſtri modo imponens medicamentum, utitor. *Aliud expreſſorium humores et abſceſſus, maxime in genu et articulamentis ſine inciſione extrahens a phlegmone praeſervat, vulneribus utiliter admovetur.* ♃ Plumbi ſtercoris drach. centum, terebinthinae drach. centum, olei veteris heminas duas, poſtremo reſinam. *Aliud digerens, cutem rumpens, cicatricem ducit, humores evocat, quo utor.* ♃ Viſci quercini drach. ſexaginta, picis drach. quinquaginta, guttae ammoniaci drach. centum, cerae drach. quinquaginta, reſinae frictae drach. quindecim, lapidis pyritis drach. decem, gal-

Ed. Chart. XIII. [825. 826.] Ed. Baſ. II. (404.)

κτῆς ≺ ιε'. λίθου πυρίτου ≺ ι'. χαλβάνης ≺ η'. μάννης ≺ δ'. ἴριος Ἰλλυρικῆς ≺ δ'. κάγχρυος ≺ δ'. κόπρου περιστερῶν ≺ δ'. ἔν τισι καὶ μέλιτος κοτύλας δ'. ἔν τισι καὶ προπόλεως ≺ κ'. τὰ τηκτὰ τήξας, ἔμπασσε τοῖς ξηροῖς.

[826] Κεφ. ιε'. [*Αἱ ὑπ' Ἀσκληπιάδου γεγραμμέναι ἐπισπαστικαί.*] *Λευκὴ ἐπισπαστική.* ποιεῖ πρὸς χοιράδας καὶ παρωτίδας καὶ τὰ κατὰ μέρος ἀποστήματα, ποιεῖ πρὸς σύριγγας καὶ αἰγίλωπας, ὥστε χωρὶς τομῆς ἀπαλλάττειν, ποιεῖ πρὸς τὰ ῥευματικὰ καὶ δυσαλθῆ, ποιεῖ ὑδρωπικοῖς. ϟ λιθαργύρου ≺ π'. ψιμυθίου ≺ π'. ἁλῶν ≺ π'. ἐλαίου παλαιοῦ ξέστην α'. τρῖβε ἅλας, ψιμύθιον, λιθάργυρον, ἐπιβάλλων τούτοις τὸ ἔλαιον, ἔπειτα μίξας ἐπιμελῶς καὶ βαλὼν εἰς ἄγγος κεραμοῦν, ἔψε κινῶν συνεχῶς μέχρις ἁμολύντου, καὶ εἰς θυείαν ἐξεράσας καὶ ἀνακόψας ἀνελόμενος χρῶ. ἄλλη. ϟ λιθαργύρου ≺ ρ'. ψιμυθίου ≺ ι'. ἁλῶν ≺ ν'. ἐλαίου κοτύλας γ'. κηροῦ ≺ ν'. τερμινθίνης ≺ ιβ'. σκεύαζε κατὰ

bani drach. octo, mannae drach. quatuor, iridis Illyricae drach. quatuor, canchryos drach. quatuor, ſtercoris columbini drach. quatuor, alibi et mellis heminas quatuor. In aliis quibusdam et propoleos drach. viginti, liquefactis, quae liquabilia ſunt, ſicca inſperge.

Cap. XV. [*Quae ſcripſerit Aſclepiades attrahentia.*] *Album attrahens, facit ad ſtrumas et parotidas et particulares abſceſſus, curat ſiſtulas et aegilopas, ut ſine inciſione liberet, valet ad rheumatica et curatu difficilia, benefacit hydropicis.* ϟ Argenti ſpumae drach. lxxx, ceruſſae drach. lxxx, ſalis drach. octoginta, olei veteris ſextarium unum. Sal, ceruſſa, argenti ſpuma ex oleo ipſis adjecto teruntur, deinde curioſe mixta et in vas fictile conjecta coquuntur moventurque aſſidue, donec non inquinent, dehinc in mortarium transfuſa rurſusque tunſa excipiuntur et uſui ſunt. *Aliud.* ϟ Argenti ſpumae drach. centum, ceruſſae drach. decem, ſalis drach. quinquaginta, olei heminas tres, cerae drach. quinquaginta, terebinthinae drach. duodecim. praeparato ad modum praedictum. *Aliud.*

Ed. Chart. XIII. [826.] Ed. Baſ. II. (404.)

τρόπον. ἄλλη. ℞ μάννης ≺ ιστ'. στυπτηρίας σχιστῆς ≺ η'. ἐλαίου παλαιοῦ κοτύλας β'. ἄλλη. ℞ λιθαργύρου λίτραν α'. ψιμυθίου λίτραν α'. ἁλῶν ὀρυκτῶν λίτραν α'. κηροῦ ≺ ν'. τερμινθίνης ≺ κε'. μάννης ≺ ιστ'. στυπτηρίας σχιστῆς ≺ η'. ἐλαίου παλαιοῦ κοτύλην α' S''. ἄλλη Λευκίου πρὸς τὰς προειρημένας διαθέσεις, φάρμακον ἐπιτετευγμένον. ποιεῖ πρὸς τὰ ῥευματικὰ τῶν ἑλκῶν καὶ τὰ χρόνια καὶ δυσαλθῆ. ℞ λιθαργύρου ≺ ρ'. ψιμυθίου δραχμὰς ρ'. ἁλὸς ἀμμωνιακοῦ ≺ ρ'. χαλκάνθου ≺ ρ'. πιτυΐνης ≺ ρ'. ἐλαίου παλαιοῦ ξέστας γ'. ὄξους ξέστην α'. κηροῦ ≺ ν'. σκεύαζε κατὰ τρόπον. ἄλλη Ὑγιεινή, φάρμακον ἐπιτετευγμένον πρὸς τὰς προειρημένας διαθέσεις. ℞ λιθαργύρου ≺ ρ'. ψιμυθίου ≺ ρ'. ἁλῶν ≺ ρ'. στυπτηρίας ὑγρᾶς ≺ ρ'. ἐλαίου παλαιοῦ ξέστας ι'. ὄξους ξέστην α'. κηροῦ λίτρας S''. ῥητίνης τερμινθίνης λίτρας S''. σκεύαζε κατὰ τρόπον. ἄλλη μέλαινα ἐπίσπαστικὴ, πρὸς χοιράδας ποιεῖ, παρωτίδας καὶ τὰ κατὰ μέρος ἀποστήματα, διαλύει πᾶσαν σκληρίαν. ἔστι δὲ καὶ μα-

℞ Mannae drach. ſedecim, aluminis ſciſſilis drach. octo, olei veteris heminas duas. *Aliud.* ℞ Argenti ſpumae libram unam, ceruſſae libram j, ſalis foſſilis libram unam, cerae drach. quinquaginta, terebinthinae drach. viginti quinque, mannae drach. ſedecim, aluminis ſiſſilis drach. octo, olei veteris heminas duas et dimidiam. *Aliud Lucii ad praedictas diſpoſitiones medicamentum compoſitum, facit ad ulcera rheumatica, diuturna et vix ſanabilia.* ℞ Argenti ſpumae ʒ c, ceruſſae ʒ c, ſalis ammoniaci ʒ c, atramenti ſutorii ʒ c, pityinae ʒ c, olei veteris ſextarios ij, aceti ſextarium j, cerae ʒ l, praeparato ad modum praedictum. *Aliud ſalubre medicamentum ad praedictos affectus compoſitum.* ℞ Argenti ſpumae ʒ c, ceruſſae ʒ c, ſalis ʒ c, aluminis liquidi ʒ c, olei veteris ſextarios decem, aceti ſextarium unum, cerae ſelibram, reſinae terebinthinae ſelibram, conficito ad modum praedictum. *Aliud nigrum attrahens. Valet ad ſtrumas, parotidas et particulares abſceſſus, diſſolvit omnem duritiem. Praeſtat item ma-*

Ed. Chart. XIII. [826.] Ed. Baſ. II. (404.)

λαγμα ἀγαθὸν, ὡς ἐχρήσατο Ἀντώνιος ὁ ῥιζοτόμος. ποιεῖ πρὸς τὰς περὶ ἄρθρων διαθέσεις. ℔ ἁλῶν ὀρυκτῶν λίτραν α'. λιθαργύρου λίτραν α'. γλοιοῦ καθαρωτάτου λίτρας τέσσαρας καὶ χαλβάνης ≺ ν'. τρῖβε ἅλας, λιθάργυρον, εἶτα ἐπιβαλὼν τὸν γλοιὸν ἀνάκοπτε φιλοπόνως, καὶ βαλὼν εἰς ἄγγος κεραμοῦν καὶ θεὶς ἐπὶ τὸ πῦρ ἕψε κινῶν συνεχῶς, καὶ ὅταν ἀμόλυντον γένηται, ἆρας ἀπὸ τοῦ πυρὸς, ἐπίβαλλε τὴν χαλβάνην, κοπεῖσαν ὑπέρῳ ξυλίνῳ καὶ ὅταν διαλυθῇ, κατεράσας εἰς θυείαν καὶ ἀνακόψας χρῶ. ἄλλη, ᾗ ἐχρήσατο Ἀνδρόμαχος, ποιεῖ πρὸς χοιράδας, παρωτίδας καὶ τὰς ἐπὶ τῶν μασθῶν σκληρίας καὶ τὰ κατὰ μέρος ἀποστήματα, τὸ περικείμενον ὑγρὸν ἐπισπᾶται καὶ κόλπους παρακολλᾷ. ποιεῖ πρὸς σύριγγας, αἰγίλωπας, ποιεῖ πρὸς ῥευματικὰ τῶν ἕλκων χρόνια καὶ δυσαλθῆ. ℔ ψιμυθίου ≺ π' ἁλῶν ὀρυκτῶν ≺ π'. χαλκάνθου ≺ ιβ'. ἐλαίου παλαιοῦ κοτύλας γ'. ὄξους κοτύλας δ'. ἕψε λειοτάτως ἅλας, ψιμύθιον μετὰ τοῦ ἐλαίου καὶ κίνει μέχρις ἀμολύντου καὶ ὅταν εὖ ἔχῃ, ἆρας ἀπὸ τοῦ

lagmatis boni vicem, ſicut uſus eſt Antonius herbarius. Item facit ad articulorum vitia. ℔ Salis foſſilis lib. j, argenti ſpumae libram unam, ſtrigmenti puriſſimi libras quatuor, galbani drach. quinquaginta. Salem et argenti ſpumam conterito, deinde ſtrigmento adjecto ſtudioſe rurſus tundito, in vas fictile conjecta, ignique ſuprapoſita coquito, movens ſine requie, et quum non amplius inquinat, ab igne depoſito galbanum ligneo piſtillo tunſum addito, ubi ſoluta fuerint, in pilam transfundito, ibique contuſis utitor. *Aliud, quo uſus eſt Andromachus. Facit ad ſtrumas, parotidas, mammarum duritias, particulares abſceſſus. Contentum humorem extrahit, ſinus jungit, juvat fiſtulas, aegilopas. Facit ad fluentia ulcera vetera et vix ſanabilia.* ℔ Ceruſſae drach. octoginta, ſalis foſſilis drach. octoginta, atramenti ſutorii drach. duodecim, olei veteris heminas tres, aceti heminas quatuor. Salem in tenuiſſimum pulverem redactum ceruſſamque ex oleo coquito, ac dum non inquinet, moveto. Ubi bene habuerint, depolitis ab

Ed. Chart. XIII. [826. 827.] Ed. Baſ. II. (404.)

πυρὸς, ἐπίβαλλε τὴν χάλκανθον λειανθεῖσαν μετὰ ὄξους καὶ μικρὸν ἐπιῤῥαίνων συνεχῶς καὶ προσέχων μὴ ἀναζέσῃ, ἔπειτα εἰς θυείαν ἐξεράσας καὶ ἀνακόψας, ἀνελόμενος χρῶ.

[827] Κεφ. ιστ'. [Αἱ ὑπ' Ἀσκληπιάδου γεγραμμέναι διαφορητικαὶ κατὰ τὴν ἐκείνου λέξιν.] Τῶν δὲ ὄγκων διαλυθέντων καὶ εἰς ὑγρὸν ἀναδοθέντων χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις. κηρίνη Κτησιφῶντος πρὸς χοιράδας, γαγγλία, παρωτίδας καὶ τὰς ἐπὶ τῶν μασθῶν ἀποστάσεις ὡς οὐδὲν ἄλλο τῶν φαρμάκων τούς τε ὄγκους διαλύει, τό τε παρακείμενον πᾶν ὑγρὸν κομίζεται διὰ τῶν ἀραιωμάτων καὶ τοὺς κόλπους παρακολλᾷ. ποιεῖ πρὸς σύριγγας, αἰγίλωπας, ὥστε χωρὶς τομῆς ἀπαλλάττειν. ἔστι δὲ καὶ μάλαγμα ἀγαθὸν, ἰσχιαδικοῖς, ποδαγρικοῖς, ἀρθριτικοῖς μετὰ τοὺς παροξυσμοὺς ἐπιτιθέμενον, τῆς ὅλης διαθέσεως ἀπαλλάττειν, τὰ δὲ τῆς σκευασίας ἔχει οὕτως. ℔ κηροῦ λίτραν α'. τερμινθίνης λι. α'. νίτρου λίτραν α'. ἐλαίου παλαιοῦ λίτραν α'. ὕδατος κο. α'. τρῖβε νίτρον καὶ ὕδωρ, ὥστε παντελῶς διαλυθῆναι καὶ βαλὼν εἰς ἄγγος κεραμοῦν καὶ θεὶς

igne atramentum ſutorium aceto tritum immittito, et exiguum continue inſpergens, cave, ne efferveſcat, deinde in mortarium transfuſa, rurſusque tunſa excipito et utitor.

Cap. XVI. [*Quae ſcripſit Aſclepiades diſcutientia, ex illius verbis.*] *Tumoribus diſſolutis et in humorum digeſtis, infra ſcriptae compoſitiones conveniunt. Cerine Cteſiphontis. Valet ad ſtrumas, ganglia, parotidas, mammarum abſceſſus, ut nullum aliud medicamentum, tumores reſolvit et quicquid humidi continetur, rarefaciendo elicit. Sinus glutinat, juvat fiſtulas et aegilopas, ut citra inciſionem liberet, eſt etiam malagma utile iſchiadicis ſeu coxariis, id eſt coxae morbo laborantibus, podagricis, arthriticis, poſt acceſſiones impoſitum toto affectu levat.* Haec recipit cerae libram unam, terebinthinae libram unam, nitri libram unam, olei veteris libram unam, aquae heminam unam. Nitrum et aquam terito, ut ex toto ſolvantur, et in vas fictile conjecta igni imponito, vaſe cooperto co-

Ed. Chart. XIII. [827.] Ed. Baſ. II. (404.)

ἐπὶ τὸ πῦρ ἔψε πωμάσας τὸ ἄγγος καὶ ἐκ διαλειμμάτων κινῶν. ὅταν δὲ ὁ πολὺς ψόφος ἀπολήξῃ, ἐπίβαλλε τὰ τηκτὰ, κινῶν συνεχῶς μέχρις ἀμολύντου, εἰς θυείαν ἐξεράσας καὶ ἀνακόψας ἀνελόμενος χρῶ ἢ σκεύαζε κατὰ τρόπον τοῦτον. τὰ τηκτὰ τήκεται καὶ ὅταν διαλυθῇ, ἐπιβάλλομεν τούτοις τὸ νίτρον λεανθὲν μετὰ τοῦ ὕδατος καὶ κατὰ μικρὸν ἐπιβάλλοντες καὶ κινοῦντες συνεχῶς καὶ προσέχοντες μὴ ἀναζέσῃ. ἄλλη, ᾗ ἐχρήσατο Μενεκράτης, ἰδίως ἐπὶ τῶν χοιράδων καὶ ταῖς ἐπὶ τῶν μασθῶν σκληρίαις, κατατίτρησι γὰρ αὐτὰς καὶ τὸ περικείμενον ὑγρὸν ἐκκρίνει καὶ τοὺς κόλπους παρακολλᾷ καὶ εἰς οὐλὴν ἄγει. ℔ κηροῦ λίτραν α'. ῥητίνης τερμινθίνης λίτραν α'. ῥητίνης ξυλώδους λίτραν α'. χαλβάνης λίτραν α'. ἐλαίου παλαιοῦ λίτραν α'. ἀφρονίτρου λίτραν α'. σμύρνης τέφρας ξε. α'. ὃς ἄγγει γο γ'. τὰς ῥητίνας βαλὼν εἰς ἄγγος χαλκοῦν ἢ κεραμοῦν καὶ θεὶς ἐπὶ τὸ πῦρ τῆκε καὶ διαλύσας ἐκ τούτων, ὅσον ἐξαρκεῖ διαλῦσαι τὴν χαλβάνην, ἔπειτα ὁμοῦ τὰ τηκτὰ μίξας ἔψε μέχρις ἀμολύντου, εἶτα ἄρας ἀπὸ τοῦ πυρὸς, ἔα ψυγῆναι καὶ τούτοις ἐπίβαλλε

quito, ex intervallis moveto. Quum autem ſtrepere adeo deſierit, liquabilia injicito, movens aſſidue, donec non inquinent, in mortarium transfuſa rurſus tundito, inde excipiens utitor. Vel hac ratione praeparatur, quae liquari poſſunt, prius liquefacimus, et quum diſſoluta fuerint, nitrum ex aqua laevigatum adjiciemus, idque paulatim moventes aſſidue, caventesque ne effervescat. *Alia, qua uſus eſt Menecrates, praecipue in ſtrumis et mammarum duritie, quippe perforat eas et contentum humorem excernit, ſinus jungit et ad cicatricem perducit.* ℔ Cerae libram unam, reſinae terebinthinae libram unam, reſinae lignoſae libram unam, galbani libram unam, olei veteris libram unam, aphronitri libram unam, myrrhae cineris ſextarium, qui pendit uncias tres. Reſinas in vas aereum aut fictile injectas ignique impoſitas liquefacito. Ubi percolaveris quantum ſatis eſt galbano emolliendo, poſtea liquabilia ſimul mixta, quousque non inquinent, coquito, deinde ab igne repoſita refrigerari ſinito, et his aphroni-

Ed. Chart. XIII. [827.] Ed. Baſ. II. (404.)

ἀφρόνιτρον καὶ κινῶν συνεχῶς καὶ ἀνακόψας ἐπίβαλλε ταῖς τέφραις λειοτάταις, καὶ ἀναμίξας ἀνελόμενος χρῶ, λύων διὰ ε΄. εἶτα διὰ τρίτης, ἕως κατατρηθῇ τὰ περὶ τοὺς ὄγκους, εἶτα καθ' ἡμέραν λύων θεράπευε. ἄλλη, ἡ διὰ τοῦ ἀφρονίτρου, ὑπὸ τινῶν δὲ Διονυσία λεγομένη, φάρμακον ἐπιτετευγμένον πρὸς τὰς προειρημένας διαθέσεις, ᾗ ἐχρήσατο Λάργος. ℔ κηροῦ λίτραν α΄. τερμινθίνης λίτραν α΄. μάννης λίτραν α΄. ἀφρονίτρου λίτραν α΄. ἐλαίου ξε. α΄. ὕδατος πηλοποιϊκοῦ ξε. α΄. μίσυος ὠμοῦ γο β΄. συντίθει κατὰ τρόπον. ἄλλη ἡ διὰ τοῦ Ἀσίου, φάρμακον ἐπιτετευγμένον πρὸς τὰς προειρημένας διαθέσεις. ℔ κηροῦ λίτραν α΄. τερμινθίνης λίτραν α΄. νίτρου λίτραν α΄. λιβάνου ἡμίλιτρον, λίθου Ἀσίου ἄνθους ἡμίλιτρον, ἐλαίου κυπρίνου ἡμίλιτρον, ὕδατος πηλοποιϊκοῦ τὸ αὔταρκες, τὰ ξηρὰ διαλύεται πηλοποιϊκῷ, ὥστε γλοιοῦ ἔχειν τὸ πάχος καὶ λεαίνεται φιλοπόνως. τὰ δὲ τηκτὰ τήκεται καὶ ψύχεται καὶ τοῖς λεανθεῖσιν ἐπιβάλλεται, ἀνακόψαντες καὶ ἀνελόμενοι χρώμεθα. ἄλλη Ἀσιανὴ τοῦ Νεαπολίτου, ποιεῖ πρὸς τὰς προειρημένας διαθέσεις. ℔ κηροῦ

trum adjungito, movens continue, et contuſa cineribus laeviſſimis injicito, poſtquam permiſcueris, excipito et utitor, quinto quoque die ſolvito, deinde terito donec tumores forati fuerint, poſtea quotidie inter curandum ſolvito. *Alia ex Aphronitro, a quibusdam Dionyſia dicta, medicamentum ad praedictos affectus compoſitum, quo uſus eſt Largus.* ℔ Cerae libram unam, terebinthinae libram unam, mannae libram unam, aphronitri libram unum, olei ſextarium unum, aquae lutulentae ſextarium unum, miſyos crudi uncias duas, componito, ſicut dixi. *Aliud ex Aſio, medicamentum ad praedicta vitia compoſitum.* ℔ Cerae lib. j, terebinthinae lib. j, nitri lib. j, thuris ſelibram, lapipis Aſiii floris ſelibram, olei Cyprini ſelibram, aquae lutificae quod ſatis eſt. Arida cum aqua lutifica diſſolvuntur, ut ſordium craſſitudinem habeant, et ſtudioſe laevigantur, quae liquari poſſunt, liquefiunt, et refrigerantur, tritis immittuntur, ubi contuderimus, excipientes utimur. *Aliud Aſianum Neapolitae, facit ad eadem.* ℔ Cerae lib. j ß,

Ed. Chart. XIII. [827. 828.] Ed. Baſ. II. (404. 405.)

λι. α' S''. νίτρου ἐρυθροῦ λίτραν (405) α'. λίθου Ἀσίου ἄνθους λίτραν α' S''. μάννης ἡμίλιτρον, σμύρνης γο γ'. ἐλαίου παλαιοῦ λίτραν α'. ὕδατος πηλοποιϊκοῦ κο. α'. σκεύαζε κατὰ τρόπον. ἄλλη, ποιεῖ πρὸς τὰς προειρημένας διαθέσεις. ♃ κηροῦ ◁ ρ'. τερμινθίνης ◁ ρ'. νίτρου ἀφροῦ λίτραν α'. ἐλαίου παλαιοῦ λίτραν α'. μάννης λιβάνου λίτραν α'. [828] λίθου Ἀσίου ἄνθους ἡμίλιτρον, χαλβάνης ◁ ιβ'. προπόλεως ◁ ιβ'. ἀμμωνιακοῦ θυμιάματος ◁ ιβ'. ὕδατος πηλοποιϊκοῦ τὸ αὐταρκες. ἄλλη κιρρὰ ἐκ τῶν Δαμοκράτους, ποιεῖ πρὸς τὰς προειρημένας διαθέσεις. ♃ λιθαργύρου λίτραν α'. ψιμυθίου λίτραν α'. ἁλὸς ὀρυκτοῦ λίτραν α'. μίλτου σινωπίδος ἡμίλιτρον, κηροῦ γο β'. χαλβάνης γο β'. τερμινθίνης γο β'. ἐλαίου παλαιοῦ κο. γ'. ὄξους, ὥστε τὴν Σινωπίδα λῦσαι, σκεύαζε κατὰ τρόπον. ἄλλη, ποιεῖ πρὸς τὰς προειρημένας διαθέσεις. ♃ λιθαργύρου λίτραν α'. ψιμυθίου λίτραν α'. ἁλὸς ὀρυκτοῦ λίτραν α'. μίλτου Σινωπίδος ἡμίλιτρον, κηροῦ γο δ'. χαλβάνης γο β'. ῥητίνης τερμινθίνης γο β'. ἐλαίου παλαιοῦ κο. γ'. ὄξους, ὥστε τὴν Σινωπίδα διαλῦσαι, σκεύαζε κατὰ

nitri rubri libram unam, lapidis Aſii floris lib. j ß, mannae ſelibram, myrrhae ʒ iij, olei veteris lib. j, aquae lutificae heminam j, praeparatur ſuperiore modo. *Aliud ad easdem affectiones.* ♃ Cerae ʒ c, terebinthinae ʒ c, nitri ſpumae lib. j, olei veteris libram unam, mannae thuris libram unam, lapidis Aſii floris ſelibram, galbani drach. duodecim, propolis drach. duodecim, guttae ammoniaci drach. duodecim, aquae lutificae, quod ſufficit. *Aliud gilvum ex libris Damocratis, eadem efficiens,* ♃ Argenti ſpumae libram unam, ceruſſae libram unam, ſalis foſſilis libram unam, minii Sinopici ſelibram, cerae uncias duas, galbani uncias duas, terebinthinae uncias duas, olei veteris heminas tres, aceti quantum Sinopico ſolvendo ſufficit, conficito ut ſuperiora. *Aliud ad eadem.* ♃ Argenti ſpumae lib. j, ceruſſae libram unam, ſalis foſſilis libram unam, minii Sinopici ſelibram, cerae uncias quatuor, galbani uncias duas. reſinae terebinthinae uncias duas, olei veteris heminas tres, aceti quo rubrica diſſolvatur, conficito, ut

Ed. Chart. XIII. [828.] Ed. Baſ. II. (405.)

τρόπον. ἄλλη ἡ διὰ τῆς μαστίχης, ποιεῖ πρὸς τὰς προειρημένας διαθέσεις. ℞ κηροῦ λίτραν α'. μαστίχης, μάννης λιβάνου, Σινωπίδος, ἀφρονίτρου ἀνὰ ἡμίλιτρον, ἐλαίου μυρσίνου γο γ'. θαλάσσης κο. γ'. ἄλλη ἡ τοῦ Νεαπολίτου, ποιεῖ πρὸς τὰς προειρημένας διαθέσεις. ℞ λιθαργύρου λίτραν α'. ψιμυθίου λίτραν α'. ἁλῶν ὀρυκτῶν λίτραν α'. μίλτου Σινωπίδος ἡμίλιτρον, κηροῦ ἡμίλιτρον, πιτυΐνης ἡμίλιτρον, χαλβάνης γο β'. ἐλαίου κο. γ'. ὄξους τὸ ἱκανόν.

Κεφ. ιζ'. [Αἱ ὑπὸ Δαμοκράτους γεγραμμέναι διαφορητικαί.]

Ἔμπλαστρος ἀγαθὴ διαφοροῦσα, μηλίνη,
Τὰς μὴ παλαιὰς χοιράδας τῶν παιδίων,
Τὰς περὶ μύας τε καὶ τὸ δέρμα σκληρίας
Καὶ τὰς μενούσας φλεγμονὰς πλέω χρόνον,
Πληροῖ τε σάρκα καὶ εἰς ἐπούλωσιν ἄγει.
Σκευάζεται δ' οὕτως· καλῆς λιθαργύρου
Τὸ πολὺ λίτραν, ψιμυθίου ἡμίλιτρον,
Τούτοις παραδίδωσι λίτραν νέου

dixi. *Aliud ex maſtiche ad eadem.* ℞ Cerae libram unam, maſtiches, mannae thuris, Sinopidis, aphronitri, ſingulorum ſelibram, olei myrtei uncias iij, marinae aquae heminas tres. *Aliud Neapolitae ad eadem.* ℞ Argenti ſpumae libram unam, ceruſſae libram unam, ſalis foſſilis libram unam, minii Sinopici ſelibram, cerae ſelibram, pityinae ſelibram, galbani uncias duas, olei heminas tres, aceti quantum ſatis eſt.

Cap. XVII. [*Diſcuſſoria ſcripta a Damocrate.*]

Ad digerendum melinum emplaſtrum efficax
Infantium ſtrumas non veteris, inſuper
Et duritias muſculorum, item et cutis
Et phlegmonas, quae durant multo tempore,
Carnem replet, ducit cicatricem probe,
Sic conficitur. Excellentis lithargyri
Plerumque libram, item ceruſſae ſelibram,
Ad haec recepta pondo libram quoque novi

Ed. Chart. XIII. [828.] Ed. Baſ. II. (405.)

Ἐλαίου λιπαροῦ, τὴν λιθάργυρον βαλὼν,
Ἕψε μετ' ἐλαίου καὶ ῥυπῶδες τῷ πάχει
Ποιῶν, προσαπόδος ψιμυθίου λεῖον τότε.
Ὅταν δ' ἴδῃς ἀμόλυντον, εὔκρατόν τ' ἄγαν,
Μικρῷ γε μᾶλλον σκληροτέραν, προσέμβαλε
Κηροῦ, πιτυΐνης, ὧν τακέντων, τὴν χύτραν
Ἀπὸ τοῦ πυρὸς ζέουσαν ἄρας, τότε
Βάλλ' ἀμμωνιακὸν, χερσὶ καὶ τοῖς δακτύλοις
Πλατυνθεὶς, ὡς εἴωθε. κηρὸς παρὰ πυρὶ,
Ἔπειτα κινῶν τῇ σπάθῃ τὸ φάρμακον,
Καὶ πάλιν μαλάσσων χερσίν· οὕτως ἀποτίθου.

Ἄλλη.

Ἄλλη πρὸς πάντα ταῦτα. τὰς δὲ χοιράδας
Μᾶλλον διαφορεῖ, τοὺς πονοῦντας δ' ὠφελεῖ,
Ἔχοντας εὐλάβειαν εἰς ἀπόστασιν
Ὑποχονδρίου μετά τινος ὄγκου καὶ φόβου.
Μέλαινα δ' οὖσα, σκευασίαν ταύτην ἔχει,
Πίσσης διΰγρου καὶ ξηρᾶς λίτρας β'.

Pinguis olei. Immiſſa eſt ollae lithargyrus
Ex oleo coquitur, ubi jam ſpiſſitudinem
Habet ſordis, laevem ceruſſam tum capit.
Quum non inficiens, temperie et bona admodum,
Pauloque durius videris, immittitur
Cera et pityina, quibus liquatis ollula
Ab igne ſervens tollitur; tunc protinus
Ammoniacum, tum cera manibus, ut ſolet,
Atque digitis ſubacta juxta ignem inditur.
Poſtea movetur pharmacum rudicula.
Rurſusque mollitur manibus, ſic conditur.

Aliud.

Aliud ad omnia haec. Strumas ipſas vero
Magis reſolvit et laborantes juvat,
Praecordia ne abſceſſus, quibus eſt cautio,
Tumore quopiam, atque metu exerceat.
Hanc obtinet confecturam, nigrum quia eſt,
Picis humidae, ſiccae, pondo libras duas.

Ed. Chart. XIII. [828 829.] Ed. Baſ. II. (405.)

Πυκνῆς τε ὑελώδους πρόσβαλ' ἀσφάλτου β'.
Φρυκτῆς πιτυΐνης δ'. κηροῦ δὲ γ'.
Λιβάνου δὲ λίτραν α'. καὶ μέρος τρίτον,
Χαλκοῦ δὲ λεπίδος οὐγγίας δὶς δ'.
Κοινοῦ ἐλαίου προσφάτου ε'. οὐγγίας,
Λεῖε λίβανόν τε καὶ λεπίδα, παρεγχέων
Ὄξους τὸ μέτριον καὶ λεάνας ἐπιμελῶς
Πάχος ποιήσας μέλιτος, ἕψησον τότε
Κηρόν τε καὶ τὰ λοιπὰ μετ' ἐλαίου νέου,
Οὕτως τε κατάχει θερμὰ τῶν λελεασμένων,
Μίξας τ' ἐπιμελῶς πάντα χερσὶν εὐτόνως,
Ἀποτίθου, φυλάττων δέρματι σκεπασμένην,
Ποιεῖ γὰρ ἐπίπαγόν τε καὶ τραχύνεται.
[829] Αἷ δι' ἁλῶν διαφορητικαὶ Δαμοκράτους.
Σκεύαζε καὶ τοῦτ', ὡς κράτιστον φάρμακον.
Καλοῦ ψιμυθίου καὶ καλῆς λιθαργύρου,
Λίτρας ἑκάστης καὶ ἁλῶν δέκ' οὐγγίας.
Ἅλας δέ ἐστι πᾶν τὸ λευκὸν εἰς φάρμακον

Denſique vitrei duas bituminis,
Frictae pityinae quatuor, cerae capit
Tres, thuris unam libram et partem tertiam,
Squamae aeris uncias pariter bis quatuor.
Recentis olei communis quinque uncias.
Thus, ſquama teritur, quibus aceti apponitur
Menſura juxta. Ut curioſe trita ſunt
Et craſſitudinem mellis tenent, coques,
Ceram, reliquaque tum ſimul oleo novo,
Et ſic laevigatis calida ſuprafundito.
Ubi diligenter manibus omnia robore
Commiſcueris, contectum pelle condito.
Nam exaſperantur cruſtula atque obducitur.

Damocratis compoſitiones ex ſale diſcuſſoriae.

Hoc praeparato ſimul, ut praeſtans pharmacum.
Bonae ceruſſae et argenti ſpumae bonae,
Cujusque pondo, denasque ſalis uncias.
Omnis vero eſt ſal albus multum pharmaco

Ed. Chart. XIII. [829.] Ed. Baf. II. (405.)

[b]Ἱκανῶς εὔχρηστον, ἀλλὰ βέλτιον πολὺ
[b]Ἀμμωνιακόν τε καὶ καθαρὸν θαλάσσιον,
Καὶ τρὶς ἐλαίου πολυετοῦς λίτρας σταθμόν.
[c]Ἕψε δὲ ἔλαιον καὶ τὰ λοιπὰ ὁμοίως λεῖα,
[a]Ἕως γένηται σκληρότερα μαλάγματος,
[b]Ἀποκείμενα γὰρ γίγνεται μαλακώτερα.

[a]Ἄλλη.

[a]Ἄλλη ἀμείνων, διαφορεῖ γὰρ σκληρίας.
Πασῶν ἄμεινον τὰς ἄγαν κεχρονισμένας,
Καὶ βρογχοκήλας καὶ μεγάλας μελικηρίδας,
Τὰς δυσμεταβόλους χοιράδας, τάς τ' ἀγκύλας.
Σκεύαζε δ' οὕτως, ἁλὸς λειοτάτου λίτραν,
Λύο τε λιτοῦ ψιμυθίου καὶ χαλβάνης
Οὐγγίας β'. τὸ δ' αὐτὸ καθαρᾶς προπόλεως,
[b]Ἀριστολοχίας, χαλβάνης ἴσον μέρος,
Καλοῦ τ' ἐλαίου πολυετοῦς λίτρας β'.
[a]Ἂν δ' ᾖ παχύτατον πρόσβαλε ἄλλην μίαν,
[c]Ἕψει δ' ὁμοίως καὶ καλῶς κεκραμένην.

Futuro utilis, atqui longe praeſtantior
Ammoniacus, confectus et purus mari,
Et tres vetuſti libras olei pendere.
Oleum coquito, reliqua et trita ſimili modo
Quo duriora adusque ſint malagmate,
Nam ſepoſita multo remolleſcunt magis.

Aliud.

Aliud melius, nam duritias diſcutit
Cunctis valentius inveteratas nimis.
Et bronchocelas et magnas meliceridas,
Et coutumaces ſtrumas, nec non ancylas.
Sic conficitur. Libram ſalis laeviſſimi
Tenuis, duas ceruſſae, tot at galbani,
Fac uncias, totidem purae propoleos,
Ariſtolochiae binas pariter uncias,
Praeſtantis olei libras annoſi duas,
Craſſiſſimum ſi fuerit, addes alteram.
Coquito ſimiliter, temperatumque probe

Ed. Chart. XIII. [829.] Ed. Baſ. II, (405.)

Ἀπὸ τοῦ πυρὸς βάσταζε καὶ λείαν τότε
Ἀριστολοχίαν παραπάσεις, προσεμβαλὼν
Μεμαλαγμένην πρόπολίν τε καὶ τὴν χαλβάνην.
Ἄλλη διαφορητικὴ Δαμοκράτους δι' ἀσβέστου.
Λίαν ἀγαθὴ, διαφοροῦσα χοιράδας,
Στέλλουσα πᾶν οἴδημα καὶ τὰς ἥπατος,
Ἡ σπληνός γ' ὑδαρεῖς διαθέσεις ἰωμένη,
Οὖρων ἄγουσα δαψιλεῖς τὰς ἐκκρίσεις,
Τὰς ἰσχιάδας λύει τε τὰς κεχρονισμένας.
Ταύτῃ Οὐλβιανὸς εὐφυὴς νεανίας
Χρώμενος, ὠφέλει πολλοὺς πάνυ.
Ἔχει δὲ λίτραν Ποντικοῦ κηροῦ μίαν,
Μίαν τε φρυκτῆς καὶ μίαν τῆς πιτύϊνης,
Ἀσβέστου τε προσφάτου οὐγγίαν α'.
Στυπτηρίας τε σχιστῆς οὐγγίαν α'.
Ἴσον δ' ἐνὶ τούτων ἀρρενικοῦ τοῦ Ποντικοῦ.
Τούτοις παραχέας ὄξος εὐῶδες, βραχὺ
Λέαινε ἐφ' ἱκανὸν ἐν ὑγείᾳ μείζονι,

Ab igne tollito, laevigatam tunc quoque
Ariſtolochiam inſperges, injeceris ubi
Mollita, propolim ſcilicet atque galbanum.

Aliud ad diſcutiendum Damocratis ex calce viva.

Valde bonum, ſtrumas ſolvit per halitum,
Omnem tumorem reprimit, nec non hepatis
Vel ſplenis affectus aquoſos curat et
Excretionem urinae valde promovet,
Et inveteratas diſſolvit coxendices.
Nempe Ulpianus hoc juvenis induſtrius
Utens auxiliabatur aegris plurimis.
Sed continet libram cerae unam Ponticae,
Unamque frictae, praeterea unam pityinae.
Calcis recentis vivae quoque pondo unciam,
Aluminis ſciſſi ſimiliter unciam,
Aequale pondo arſenicique Pontici.
His ſuaveolentis paulum aceti affundito.
Majore tere in mortario, quoad ſit ſatis.

Ed. Chart. XIII. [829.] Ed. Baſ. II. (405. 406.)

Κηρῷ δὲ ῥητίνῃ τε προσβαλὼν βραχὺ·
Ἔλαιον, τήξας ἐπὶ πυρὸς λάβρου φλογὸς,
Μιγνύς τ' ἐπιμελῶς πάντα καὶ μαλάγματα
Ποιῶν τ' ἀμολύντου τὸ πάχος, ἔχ' ἀποκείμενον.
Χρώμενος ἐφ' ὧν δεῖ προσφάτῳ τῷ σπληνίῳ.
Ἔλεγε δ' ὁ Κράτιστος καὶ πατὴρ τοῦ φαρμάκου,
Καὶ πρὸς νόσων τε τῶν μακρῶν ἀπαλλαγὰς,
Εὔχρηστον εἶναι καὶ καλὸν τὸ φάρμακον,
(406) Ἐφ' ὧν τε χρόνιος φλεγμονὴ σπλάγχνων τινὸς
Ὑποχόνδριον πεποίηκε σκληρὸν ἢ μέγα
Σφόδρ' ὠφελεῖν, ἱδρῶτας γὰρ ἐπιφέρει
Καὶ τὰς σκληρίας λύει τῶν ὑποχονδρίων,
Ἀπαλλαγάς τε τῶν νόσων ποιεῖ ταχὺ,
Καὶ τὰς ἐποχὰς δὲ τῶν φυσικῶν καταμηνίων
Ἄγει βραχείαις ἡμέραις ἐπικείμενον.
Ἐγὼ δ' ἀφαιρῶν τὴν τίτανον, στυπτηρίαν
Λιπλῆν ἔβαλλον καὶ τὸ φάρμακον ποιοῦν
Ἀμεινον ἔγνων, οὐ ποιοῦν τὰ ψυδράκια.

Ceraeque reſinae miſcens paululum
Olei, liquato flamma ignis quam acerrimi.
Ac temperans omnia, faciens malagmata.
Nec pharmaci inquinantis craſſitudinem
Reponito. Utens excipe novo ſplenio.
Ajebat optimus medicamenti pater
Morbis diuturnis praeſidium ſuſcipi
Iſtud bonum, quibus item longa viſceris
Cujuslibet inflammatio praecordia
Induraverit, auxiliari vel maxime.
Quippe id ſudores excitat, praecordiis
Duritiem tollit, morbos ſolvit protinus.
Retenta naturalia diu menſtrua
Paucis diebus adeo impoſitum provocat.
Nos calce dempta, duplum alumen indimus,
Et melius pharmacum erat, haud faciens puſtulas.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΓΕΝΗ ΒΙΒΛΙΟΝ Η.

Ed. Chart. XIII. [830.] Ed. Baſ. II. (406.)

Κεφ. α'. Μαλάγματα καλοῦσιν οἱ ἰατροὶ τὰ τῶν ἐσκληρυσμένων σωμάτων παρὰ φύσιν μαλακτικὰ, θερμῆς μὲν ἅπαντα κράσεως ὄντα μετρίας, οὐ μὴν ξηραίνοντά γε, καθάπερ οὐδὲ ὑγραίνοντα σαφῶς. μέσα γάρ πως ὄντα τά γε ἀκριβῶς μαλακτικὰ τῶν ὑγραινόντων τε καὶ ξηραινόντων, οἷον χύσιν τινὰ τῆς οὐσίας τῶν σκληρυνομένων ἐργάζεται. καλεῖται δὲ μαλακτικὰ, κἂν ἐφ' ἑτέρων βραχὺ παραλλάττῃ

GALENI DE COMPOSITIONE MEDICAMENTORVM PER GENERA LIBER VII.

Cap. I. Malagmata vocant medici quae partes praeter naturam induratas emolliunt, calida omnia temperamento mediocri praedita, non tamen exiccantia, quemadmodum nec humectantia manifeſto. Nam quum exacte mollientia medium quodammodo ordinem inter humectantia ſiccantiaque ſortiantur, indureſcentium ſubſtantiae veluti fuſionem quandam moliuntur. Nominantur autem malactica,

Ed. Chart. XIII. [830 831.] Ed. Baſ. II. (406.)

πρός τε τὸ ξηραίνειν καὶ ὑγραίνειν, ἐὰν μόνον αὐτοῖς ὑπάρχῃ τὸ χεῖν τὴν ὑποκειμένην οὐσίαν, ὧν ψαύει μορίων, ὃ γίνεται δηλονότι διὰ τὸ μετρίαν αὐτοῖς εἶναι θερμότητα, καὶ ὅτι γε μετὰ τὸ χυθῆναι τὴν σκληρότητα τῶν διαφορητικῶν ἐστι χρεία φαρμάκων εἴρηται κατά τε τὸ ε'. τῆς περὶ τῶν ἁπλῶν φαρμάκων δυνάμεως καὶ τὸ ιδ'. τῆς θεραπευτικῆς μεθόδου. ἡ μὲν οὖν ἀρίστη θεραπεία τῶν σκληρυνομένων, ἃ δὴ καὶ σκιῤῥοῦνται μὴ θεραπευθέντα διὰ τῆς κατὰ μέθοδον ἰατρικῆς, γίνεται τοῦ θεραπεύοντος θεωροῦντος ἐπὶ πόσον ἡ τοῦ θεραπευομένου σώματος οὐσία προήκει φύσεως παρὰ τὴν σύμμετρον ὑγρότητα καὶ ξηρότητα, καθάπερ γε καὶ τὴν τοῦ πάθους αὐτοῦ σύστασιν, εἰς ὅσον ἤυξηται, καὶ πρὸς τούτοις ἐν αὐτοῖς τοῖς μαλάττουσι φαρμάκοις τὸ μᾶλλόν τε καὶ ἧττον. εἰς ταῦτα γὰρ ἀποβλέποντί σοι στοχαστικὴ μὲν, ἀλλὰ μετὰ τέχνης ἡ πρώτη χρῆσις τοῦ μαλακτικοῦ ἔσται φαρμάκου. μετὰ δὲ μίαν ἢ β'. [831] ἡμέρας εἴτ' ἐπιτεῖναι προσῆκεν, εἴτ' ἐκλῦσαι τὴν δύναμιν τοῦ φαρμάκου νοήσεις, ὡς ἐπί τε τῶν ἔμπροσθεν εἴρηται καὶ

id eſt *mollientia*, licet in aliis paululum ad ſiccandi humectandique virtutem inclinent, ſi modo ſubjectam partium, quas contingunt, ſubſtantiam queant diffundere, quod nimirum propter moderatum in eis calorem accidit. Ac quod ubi durities diffuſa fuerit, diſcutientium medicamentorum uſus veniat, in quinto de ſimplicium facultate medicamentorum et in decimo quarto therapeutices methodi libro comprehenſum eſt. Indureſcentia igitur, quae ex recta medendi methodo non curata ſcirrhum contrahunt, optime curabuntur, ſi medicus ſpectet, quantum aegri corporis ſubſtantia a mediocri humiditate ac ſiccitate receſſerit, quemadmodum etiam ſi affectus conſtitutionem, quatenus ſit aucta, inſpiciat, praeterea conſideret inter ipſa medicamenta, quae magis, quae minus emolliant. Hunc namque ſpectanti primus uſus emollientis medicamenti conjecturalis quidem erit, ſed cum artificio. At poſt unum aut alterum diem num intendere medicamenti virtutem an remiſſere conveniat,

Ed. Chart. XIII. [851.] Ed. Baſ. II. (406.)

κατὰ τὴν θεραπευτικὴν μέθοδον. οἱ μὲν οὖν ἰατροὶ συνέθεσαν φάρμακα μαλακτικὰ καὶ διαφορητικὰ ὡς πρὸς ἀμφοτέρους ἀποβλέποντει τοὺς σκοποὺς, τόν τε τῆς χύσεως τοῦ ἐσκληρυσμένου καὶ σκιῤῥουμένου μορίου, τόν τε τῆς διαφορήσεως, οὐκ ἐναλλὰξ ἑκατέρῳ χρώμενοι, καθάπερ ἐμὲ πράττοντα βλέπετε πολλάκις, ἀλλ' ἀεὶ τὰ δύο διὰ τοῦ συνθέτου φαρμάκου ποιοῦντα. εὔδηλον δ' ὅτι κατὰ τὴν μίξιν ἤτοι τὰ μαλάττοντα πλεονά ἐστιν ἢ τὰ διαφοροῦντα, καὶ τό γε μᾶλλόν τε καὶ ἧττον ἐν αὐτοῖς οὐκ ὀλίγον. εὔδηλον δὲ ὅτι πολλάκις ἴσα ταῖς δυνάμεσι μίγνυνται, καὶ χρὴ καθάπερ ἐπὶ τῶν ἄλλων φαρμάκων, οὕτως κἀπὶ τούτων παρασκευάσασθαι τῷ βουλομένῳ καλῶς ἰατρεύειν πλείω φάρμακα τῶν ὁμογενῶν, ἢ πάντως γε δύο μίγνυσθαι, τό τε ἰσχυρότατον ἐν τῷ γένει καὶ τὸ μετριώτατον, ἵνα ἐκ τῆς διαφόρου μίξεως αὐτῶν ἐπικαίρου γενομένης ἐργάζηται τὰ μεταξὺ τῶν ἄκρων πάμπολλα φάρμακα. οὐ γὰρ τὴν αὐτὴν ἔχει δύναμιν τὸ στέαρ βδελλίῳ τε καὶ στύρακι καὶ ἀμμωνιακῷ θυμιάματι, καθάπερ οὐδὲ αὐτῶν τῶν στεάτων τὸ χήνειόν τε

intelliges, ut in prioribus et medendi methodo dictum eſt. Quapropter medici emollientia et diſcutieutia medicamenta composueruut, ceu ſcopos ambos ſibi proponentes, tum ut partis duritiem, quae jam in ſcirrhum degenerat, diffunderent, tum ut per halitum diſcuterent, non viciſſim utroque utentes, quemadmodum me frequenter facere conſpicitis, verum ſemper duo ipſa compoſito medicamento mollientes. Notum porro eſt omnibus in mixtura vel emollientia vel diſcutientia eſſe copioſiora tum majoris minorisque rationem in ipſis eſſe non exiguam. Conſtat quoque ſubinde paria facultatibus miſceri, ac neceſſe eſt ſicut in aliis medicamentis, ita in his etiam, ſi probe mederi cupias, plura ejusdem generis medicamenta vel certe duo parata habeas, validiſſimum puta totius generis et moderatiſſimum, ut ex varia ipſorum mixtura convenienti facta, multa quae intra ſumma contineantur medicamenta efficias. Non enim adeps eandem facultatem obtinet quam bdellium, ſtyrax et gutta ammoniaci, quemadmodum nec inter ipſos adipes anſerinus et

Ed. Chart. XIII. [831.] Ed. Baf. II. (406.)

καὶ ὀρνίθειον ἢ παρδάλειον ἢ λεόντειον ἢ ὑαίνης ἢ τινος ἄλλου ζώου. κατὰ γὰρ τὴν κρᾶσιν τοῦ ζώου καὶ τὸ στέαρ ἐστι, τῶν μὲν θερμοτέρων θερμαντικώτερον, τῶν δὲ ξηροτέρων ξηραντικώτερον, καὶ γινώσκουσί γε οἱ πολλοὶ τῶν ἰατρῶν ἰσχυρότατον μὲν εἶναι κατ' ἄμφω, λέγω δὴ τὸ θερμαίνειν τε καὶ διαφορεῖν, τὸ τοῦ λέοντος στέαρ. ἐγγὺς δὲ αὐτῷ τὸ τῶν παρδάλεων, ὡς ὀλίγον ἔχειν τὸ μαλακτικόν. ἧττονα δὲ ἐν τῷ θερμαίνειν τε καὶ διαφορεῖν ἔχει τὸ χήνειον τὴν δύναμιν, ἔχει δέ τι πλέον ἐν τῷ μαλάττειν. ἀνάλογον δὲ ἀφέστηκε τοῦδε καὶ τὸ τῶν ἀλεκτορίδων. τούτοις μὲν οὖν ἅπασι καὶ τὸ λεπτομέρεστερον εἶναι τῶν ἐν τοῖς τετράποσι ζώοις ὑπάρχει. διαφορὰ δὲ πάλιν ἐν ἐκείνοις ἐστὶ παμπόλλη, τοῦ μὲν ὑείου μαλακωτάτου τε καὶ ὑγροτάτου καὶ διὰ τοῦτο ἀσθενεστάτου τῶν ἄλλων ὄντος, ὡς ἁρμόττειν ἐπὶ σωμάτων μὲν ἁπαλῶν, οἷα τὰ τῶν γυναικῶν ἐστι καὶ παίδων καὶ εὐνούχων καὶ τῶν ἁβροδιαίτων ἀνδρῶν ἐν σκιατροφίᾳ καὶ ἀγυμνασίᾳ καὶ λουτροῖς πλείοσι ποτίμων ὑδάτων ἐκτεθηλυσμένα. τὸ δὲ τῶν αἰγῶν τε καὶ βοῶν, εἰς ὅσον ἰσχυρότερον τοῦ τῶν ὑῶν ἐστιν, εἷς τοσοῦτον σώμασί

gallinaceus vel pardi vel leonis vel hyaenae vel alterius cujuspiam animalis, nam ſecundum animalis temperamentum etiam adeps eſt, nempe calidiorum magis calefacit, ſiccorum vero evidentius ſiccat. At vulgus medicorum novit leoninum adipem in utroque, calefaciendo dico et digerendo, longe eſſe valentiſſimum. Proximum locum habet pardi adeps, adeo ut parum emolliat. Minore autem in calefaciendo ac diſcutiendo praeditus virtute eſt anſerinus, habetque plus quiddam in molliendo, pari ſpatio ab hoc recedit adeps gallinaceus. Hi igitur omnes tenuiorum partium ſubſtantiam inter quadrupeda animantia obtinent. At differentia rurſus permagna in illis eſt, quum ſuillus quidem molliſſimus ac humidiſſimus eoque aliorum imbecillimus ſit, ut teneris corporibus conveniat, cujusmodi habent mulieres, pueri, eunuchi et viri delicatiores in umbra, otio et frequentibus potabilis aquae balneis effoeminati. Caprarum vero et boum pingue quanto ſuillo eſt validius, tanto magis corpo-

Ed. Chart. XIII. [831.] Ed. Baſ. II. (406.)

τε καὶ φύσει σκληροτέροις καὶ τοῖς σκιῤῥωδεστέροις τῶν σκληροτέρων ἁρμόττει. τὸ δὲ τῶν ταύρων καὶ τράγων ἐπὶ τῶν ἰσχυροτέρων σωμάτων τε καὶ παθῶν. ἡ δὲ αὐτὴ καὶ τοῖς ἄλλοις ὑπάρχει πρὸς ἄλληλα διαφορὰ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον. ἄρξομαι δὲ ἀπὸ τῶν ἀσθενεστέρων, πρότερον ὑπὲρ τοῦ κατὰ τὴν σκληρότητα καὶ σκίῤῥωσιν πάθους προειπών. κοινοῦ γὰρ συμβεβηκότος τοῖς φλεγμαίνουσι καὶ τοῖς σκληρυνομένοις τοῦ κατὰ τὴν ἐπέρεισιν τῶν δακτύλων ἀντιβατικοῦ, διορίζεται τὰ πάθη τῷ τ' ἐπωδύνῳ καὶ τῷ ἀνωδύνῳ, τοῦτο γὰρ οὐκέτι κοινὸν ἀμφοῖν. ὥσπερ δὲ ἐν τοῖς ἄλλοις ἅπασιν ὅσα μεταπίπτειν εἰς ἄλληλα πέφυκεν, ἔνεστι μεθόριον ἀμφοτέρων ἠρέμα μέτοχον, οὕτως καὶ τῶν φλεγμονωδῶν ὄγκων πρὸς τοὺς ἄνευ φλεγμονῆς σκίῤῥους, οἷοί περ οἱ τῶν ἐσκληρυσμένων εἰσὶν, ὑπάρχει τις ἐν τῷ μεταξὺ διάθεσις, ἀνώδυνος μὲν, εἰ μὴ τοὺς δακτύλους ἐπερείδοις, ὀδυνωμένη δὲ τοῦτο πραττόντων, ἣν σαφοῦς τε καὶ συντόμου διδασκαλίας ἕνεκα ἤτοι φλεγμονὴν σκιῤῥώδη λεκτέον ἢ σκίῤῥον φλεγμονώδη, μὴ προσέχοντας ἐνταῦθα τῷ

ribus natura durioribus, et inter duriora ſcirrhoſioribus convenit, taurorum hircorumque in validioribus tum corporibus, tum affectibus proficit. Eadem vero et aliis in minoris majorisque ratione inter ſe eſt differentia. Porro ab imbecillioribus auſpicabor, ſi prius de duritiei ac ſcirrhi affectu quaedam praelibavero. Nam quum phlegmone laborantibus et indureſcentibus commune ſit accidens, digitis prementibus reniti, diſtinguuntur affectus doloris ſenſu et indolentia, hoc enim non amplius utrisque commune eſt. Quemadmodum vero in aliis omnibus, quae ſuapte natura recidere in ſe mutuo poſſunt, ineſt confinium utriusque aliquatenus particeps, ita quoque ulcerum phlegmonoſorum cum ſcirrhis absque phlegmone, quales induratis accidunt, media quaedam eſt dispoſitio doloris quidem expers, ſi non digitos imprimas, dolens autem ſi id facias, quam clarioris breviorisque diſciplinae gratia vel phlegmonem ſcirrhoſam vel ſcirrhum phlegmonoſum dicemus, non hic tumoris magnitudini animum attendentes. Nam phlegmone et ſcirrhus

Ed. Chart. XIII. [831. 832.] Ed. Baſ. II. (406. 407.)

κατὰ τὸν ὄγκον μεγέθει. τῆς γὰρ ἰδέας τῶν παθῶν ἐστιν, οὐ τοῦ καθ' ἕτερον αὐτῶν ποσοῦ φλεγ[832]μονὴ καὶ σκιῤῥος ὀνόματα, μεγάλης μὲν φλεγμονῆς γενομένης ἢ διὰ τὸ τοῦ φλεγμαίνοντος μορίου μέγεθος ἢ διὰ τὴν τοῦ παρὰ φύσιν ὄγκου, μικρᾶς δὲ τῆς ἤτοι μικρὸν τόπον κατειληφυίας ἢ βραχὺν ὄγκον ἐχούσης. εἰρήσεται δὲ νῦν ἐμοὶ μικρᾶς φλεγμονῆς καὶ μικροῦ σκίῤῥου θεραπεία, καθάπερ καὶ μεγάλης τε καὶ μεγάλου, κατὰ τὰς τῶν παθῶν ἰδέας. νοηθήσεται γὰρ ἐκ τούτων καὶ τῶν ἑτέρων λεγομένων μεγάλων τε καὶ μικρῶν ἡ θεραπεία. φλεγμονῆς μὲν οὖν μεγάλης διὰ καταπλασμάτων ἴασις γίνεται καί τινων ὑγρῶν φαρμάκων. τῆς δὲ μικρᾶς, ὅταν σκιῤῥώδει σκληρότητι μιχθῇ, καὶ διὰ καταπλασμάτων μέν ἐστιν ὅτε, καὶ διὰ φαρμάκων δὲ κηρωτοειδῶν τε καὶ ὑγρῶν, ἔτι τε τῶν μαλακτικῶν ἐμπλάστρων. διὰ τοιούτων δὲ καὶ τῆς μικρᾶς σκληρότητος ἡ ἴασις γίνεται, ἀλλ' ἐπὶ ταύτης μὲν ἁπλοῦς ὁ σκοπὸς, ὥσπερ καὶ τῆς φλεγμονῆς συνισταμένης. ἐπὶ δὲ τῆς ἐχούσης φλεγμονώδους τι σκληρότητος σύνθετος καὶ ὁ σκοπὸς γίγνεται.

(407) Κεφ. β'. [Περὶ τῆς παρύγρου.] Καὶ διὰ τοῦτο

nomina ſunt formae affectuum, non quantitatis in altero ipſorum, quum phlegmone vel propter partis inflammatae magnitudinem vel ob tumorem praeter naturam magna evadat, parva autem quum aut parvum locum poſſederit aut exiguum tumorem habuerit. Dicetur nunc mihi parvae phlegmones ſcirrhique parvi curatio, ſicut et magnae magnique pro affectuum ſpecie, hinc enim et aliorum, quae magna et parva dicuntur, curationis notio intelligetur. Itaque magna phlegmone cataplasmatis ac humidis quibusdam medicamentis ſanatur, parva, quum ſcirrhoſa durities mixta fuerit, itidem cataplasmatis, interdum vero medicamentis cerati modo confectis et liquidis inſuper et emollientibus emplaſtris. Talibus autem et parva durities tollitur, ſed in hac quidem ſimplex ſcopus, quemadmodum phlegmone conſiſtente eſt, quum vero durities phlegmonoſum quippiam habuerit, compoſitus quoque ſcopus efficitur.

Cap. II. [*De medicamento liquido.*] Ac ideo quo-

Ed. Chart. XIII. [832.] Ed. Baſ. II. (407.)

καὶ φάρμακον σύνθετόν πώς ἐστιν, οἷον καὶ τοῦτο τὸ πᾶσι γινωσκόμενον, ἐπηνημένον δὲ μεγάλως ὑπ' ἄλλων τέ τινων καὶ μάλιστα τοῦ Ἥρα, τὸ καλούμενον πάρυγρον. ἰᾶται γὰρ τοῦτο βραχεῖαν ἔτι φλεγμονὴν ἔχον τὸ μόριον, οὐ μετὰ πολὺν χρόνον τῆς σκευασίας, ἀλλ' εὐθέως ἐπιτιθέμενον. σκληρότητα δὲ ἀνώδυνον ἐπικτωμένου τοῦ πεπονθότος μορίου, κἂν ἔτι βραχεῖ χρονιώτερον ᾖ τοῦ προσφάτου, χρήσιμον ὑπάρχει. καθάπερ γε καὶ ἂν ἀπηλλαγμένον παντάπασι τὸ πεπονθὸς μόριον τῆς φλεγμονώδους διαθέσεως, ἄμεινον ἐπ' αὐτῷ τὸ χρονιώτερον φάρμακον. ἀνάλογον δὲ δηλονότι τῇ τῆς σκληρότητος ἐπιτάσει συναύξεσθαι τὸν χρόνον προσήκει τοῦ φαρμάκου, τὸ μέντοι λίαν ἐσκληρυσμένον μόριον οὐδὲ τὸ χρόνιον μαλάξει φάρμακον. μικτὴν γὰρ ἐπαγγελίαν τε καὶ δύναμιν ἔχει τοῦτο δὴ τὸ πάρυγρον ὀνομαζόμενον, ὅτι καὶ τὴν ὕλην μικτήν. εἴ γε τὸ μὲν ὕειον στέαρ καὶ ὁ κηρὸς ἀσθενέστατα τῶν μαλακτικῶν ἐστι, λιθάργυρος δὲ καὶ ψιμύθιον οὐδὲν ἔχει μαλακτικόν, ὡς ἐμάθομεν. ὁ δὲ ἐπαινέσας τὸ φάρμακον τοῦτο μάλιστα πάντων Ἥρας ἐκ τῶνδε συν-

que medicamentum quodammodo compoſitum eſt, veluti et hoc quod parygron nominant, omnibus cognitum, magnifice vero cum ab aliis quibusdam tum Hera commendatum. Medetur enim id parti parva adhuc phlegmone conflictanti, non multo poſt confectionem tempore, ſed protinus impoſitum, ubi vero duritiem a dolore alienam pars affecta acquiſierit, vel paulo recenti vetuſtius utile eſt, quemadmodum etiam ſi phlegmonoſo affectu omnino ſit libera, melius in ea vetuſtius medicamentum proficit. Enimvero medicamenti tempus pro duritiei intentione videlicet aequaliter augere convenit, etſi partem valde induratam ne vetus quidem medicamentum emollierit. Quippe varia hoc parygrum dictum medicamentum et promittit et poteſt, quoniam materiam mixtam quoque ſeu variam obtinet. Siquidem adeps ſuillus et cera mollientium ſunt imbecillima, argenti ſpuma vero et ceruſſa nihil habent quod emollire poſſint, quemadmodum antea didicimus. Porro Heras qui medicamentum hoc omnium maxime laudavit, ex hiſce

Ed. Chart. XIII. [832. 833.] Ed. Baſ. II. (407.)

τίθησιν αὐτὸ κατὰ τήνδε τὴν λέξιν. ℞ στέατος προσφάτου ὑείου ἐξινισμένου οὐγγίας μδ'. κηροῦ οὐγγίας κδ'. ψιμυθίου οὐγγίας στ'. λιθαργύρου οὐγγίας στ'. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν, χρόνῳ δὲ συνίσταται. καθάπερ γε καὶ κηρὸν καὶ στέαρ ὑείον ἔφην ἀσθενοῦς εἶναι δυνάμεως μαλακτικῆς, οὕτω κἂν ἐλαίῳ μίξῃς βραχύ τι κηροῦ, τὸ καλούμενον ὑπὸ τῶν ἰατρῶν κηρέλαιον ποιήσεις. εἶναι δὲ χρὴ δηλονότι τὸ ἔλαιον οὔτε τὸ καλούμενον ὀμφάκινόν τε καὶ ὠμοτριβὲς οὔτε τὸ θαλλοὺς ἐλαιῶν ἐν τῇ ἐργασίᾳ προσειληφός.

Κεφ. γ'. [*Αἱ τῶν μαλακτικῶν φαρμάκων κατὰ γένος διαφοραὶ καὶ δυνάμεις.*] Τὰ μὲν οὖν οὕτως ἀσθενῆ μαλακτικὰ καὶ τὰς μικρὰς θεραπεύει φλεγμονάς· τὰ δὲ τούτων ἀτονώτερα, τὰς ἄνευ φλεγμονῆς βραχείας σκληρότητας. τὰ δ' ἔτι τούτων ἰσχυρότερα τὰς μείζους, ὥσπερ καὶ τὰ τῆς ἐγγὺς ἡκούσης σκίρρου σκληρότητος ἰατικά, δραστικώτατά ἐστιν, ὁποῖον ὑπάρχει τό τε τῶν [833] μυελῶν γένος ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἀλλήλων διαφερόντων, ὡς ἐφεξῆς διαι-

ipſum conficit his verbis. ℞ Adipis ſuilli recentis curati pondo ℥ xliv, cerae pondo ℥ xxiv, ceruſſae pondo ℥ vj, argenti ſpumae tantundem. Quae liquari poſſunt ſiccis ſuperfunduntur, temporis autem ſpatio medicamentum conſiſtit ſpiſſaturque. Sicut ceram et adipem ſuillum imbecillae molliendi virtutis eſſe dixi, ita quoque ſi oleo pauxillum cerae miſceas, id quod a medicis Cerelaeon dicitur efficies. Oleum autem videlicet eſſe convenit, nec quod vocant omphacinum et omotribes, quaſi dicas immaturum et crudum, nec quod oleae ſurculos in confectione aſſumpſit.

Cap. III. [*Generalis mollientium medicamentorum differentia ac facultas.*] Itaque tam imbecillia mollientia etiam parvis medicantur inflammationibus, his autem vehementiora brevem duritiem ſine phlegmone perſanant, his adhuc validiora majores, quemadmodum et quae duritiem in ſcirrhum prope degenerantem curant, efficaciſſima ſunt; cujusmodi eſt medullarum genus in majoris minorisque ratione inter ſe differentium, ut deinceps explicabo, item

Ed. Chart. XIII. [833.] Ed. Baſ. II. (407.)

ῥήσω, τό τε τῶν βδελλίων ἀμφοῖν, Ἀραβικοῦ τε καὶ Σκυθικοῦ, τό τε τῶν στυράκων. καὶ γὰρ καὶ τούτων δραστικώτατος ὁ κατὰ τὴν χρόαν ὠχρὸς, ὅσπερ καὶ κάλλιστος ἐν Παμφυλίᾳ γεννᾶται. ὁ δὲ ἐπὶ τὸ φαιότερον ἀποκεχωρηκὼς τοῦδε πολλαχόθι τε γίνεται καὶ τῇ δυνάμει πολὺ τοῦ κατὰ τὸν ὠχρὸν ἀπολείπεται. ῥέπει δ' οὖν καὶ οὗτος αὐτὸς ἐν τῷ χρονίζειν ἐπὶ τὸ χρυσίζον χρῶμα. τούτῳ μὲν οὖν εἰς τὰς ἀντιδότους χρώμεθα διὰ τὸ σπανίζειν, ὥστε αὐτοκράτορί γε σκευάζων ὁτιοῦν διὰ στύρακος ἀεὶ τούτῳ χρήσῃ. κἂν τῶν πλησίον τις ᾖ μεγαλόφρων εἰς δαπάνην φαρμάκων, κἀκείνῳ συνθήσεις ἐκ τοιούτου στύρακος τὸ φάρμακον. ἐπὶ τῶν ἄλλων δὲ τοῦ φαιοτέρου τὸν ἄριστον ἐκλέξῃ, τῇ τε ὀσμῇ κρίνων μάλιστα καὶ τῇ χρόᾳ, φαυλότερος γὰρ ὁ μελάντερος. ἔστι δὲ τῶν ἰσχυρῶς μαλαττόντων τὰ σκιῤῥούμενα, τὸ καλούμενον ἀμμωνιακὸν θυμίαμα καὶ μᾶλλον αὐτοῦ τὸ λιπαρόν τε καὶ νέον. τούτων δὲ ἧττον μὲν, ἀλλὰ καὶ αὐτὰ δραστήρια αἴγειόν τε καὶ βόειον. ἐν αὐτοῖς δὲ τούτοις τὸ μὲν τῶν τράγων καὶ ταύρων ἰσχυρότερα, τὸ δὲ τῶν βοῶν καὶ τῶν αἰγῶν ἀσθενέστερα μὲν τούτων, οὐκ ἄπρακτα δὲ οὐδὲ

bdellium utrumque, Arabicum et Scythicum, inſuper ſtyraces, ſiquidem et horum efficaciſſimus eſt colore pallidus, qui etiam optimus in Pamphylia naſcitur; qui vero hoc magis fuſcus eſt, ubique provenit facultate multo pallidiore inferior, at temporis proceſſu et ipſe aureum colorem acquirit. Hoc itaque *priore inquiam* in antidotis propter penuriam utimur, ac tu propterea principi quodcunque ex ſtyrace praeparans ſemper hoc uteris. Item ſi familiarium quis in medicamentorum ſumptibus magnificus exiſtat, illi quoque ex hujusmodi ſtyrace medicamentum compones, in aliis optimum ex fuſco genere diliges et odore potiſſimum et colore judicium ejus ſumens, nam niger deterior eſt. Caeterum his quae indureſcentia valide emolliunt, gutta ammoniaci adſcribitur, eaque magis pinguis et nova. His minus, ſed tamen et ipſa efficacia ſunt caprarum boumque pinguia, inter ea ipſa hircorum ac taurorum validiora ſunt, boum vero et caprarum his quidem imbecilliora ſunt, non

Ed. Chart. XIII. [833.] Ed. Baſ. II. (407.)

αὐτά. τὸ δὲ τῶν ἐρίφων τε καὶ μόσχων ἔτι καὶ τούτων αὐτῶν ἀσθενέστερα, δραστικώτερα δὲ ὅμως ἐστὶ τοῦ χοιρείου. διαφορητικωτέραν δὲ τούτων δύναμιν, οὐ μαλακτικωτέραν ἔχει τὸ λεόντειον καὶ παρδάλειον, ὑαίνης τε καὶ χηνὸς, ὅσῳ καὶ λεπτομερεστέραν ἔχει τὴν οὐσίαν αἰγείου τε καὶ βοείου στέατος. τὸ δὲ τῶν ἀλεκτορίδων ἐν τῷ μεταξὺ τοῦ τε χηνείου καὶ τοῦ ὑείου τέτακται. καθάπερ γε καὶ τῶν μελῶν ἄριστος μὲν ὁ τῶν μόσχων. καὶ ῥητίναι μὲν ὅσαι μὴ δριμεῖαν ἔχουσι τὴν ὀσμὴν, μιγνύμεναι τῶν εἰρημένων τινὶ τὸ μὲν ἐχέκολλον τοῖς συντιθεμένοις φαρμάκοις παρέχονται, τὸ δὲ μαλακτικὸν αὐτῶν οὐκ ἀναιροῦσιν, ἐπιτηδειοτάτη δὲ ἥ τε Χία καλουμένη καὶ ἡ λάριξ ἐστί. μετὰ ταύτας δὲ ἡ πευκίνη καὶ μετ' ἐκείνην ἡ ἐλατίνη. δριμεῖα δὲ ἡ στροβιλίνη σφοδρῶς ἐστιν, ἀλιπὴς δὲ καὶ ξηραίνουσα μεγάλως ἡ πιτυΐνη, καλοῦσι δ' αὐτὴν ἰδίως φύσημα. ταύτας μὲν οὖν φευκτέον ἐστί. τῇ Χίᾳ δὲ καὶ τῇ ἐλατίνῃ χρηστέον οὐκ αὐταῖς καθ' ἑαυτὰς, ἀλλὰ μετὰ κηροῦ καί τινος τῶν ἄλλων, ὅ τι ἂν ἁρμόττειν δοκῇ τῇ διαθέσει. καὶ πίττα δὲ Βρυτία τὴν αὐτὴν ἔχει δύναμιν, ὡς ἂν ἐχέκολλόν τι καὶ λιπαρὸν ἔχουσα. τὴν

tamen et ipſa actionis expertia, hoedorum autem et vitulorum his ipſis adhuc imbecilliora ſunt, porcillo tamen efficaciora. At leonis, pardi, hyaenae et anſeris evidentius his diſcutiunt, non magis emolliunt, quanto etiam tenuiorem ſubſtantiam caprino et bubulo ſevo habent. Caeterum gallinaceum mediam inter anſerinum et ſuillum ſedem occupat, quemadmodum et medullarum optima eſt vitulina. Ac reſinae, quae non acrem odorem habent, ſi dictorum cuipiam miſcentur, tenacitatem in medicamentis compoſitis praebent, emolliendi facultatem non auferunt. Aptiſſima eſt, quae Chia vocatur, et larix, poſt has pinea, inde abietina, ſtrobilina vero vehementer acris eſt, pityina ſeu picea, quam proprie phyſema nominant, pinguitudinis expers admodum exiccat. Has igitur fugere, Chia vero et abietina uti oportet, non ipſis per ſe, verum cum cera et quopiam alio, quod affectui conducere videatur. Et vero pix Brutia facultatem eandem obtinet, ut quae glutinans quiddam ac

Ed. Chart. XIII. [833.] Ed. Baſ. II. (407.)

δὲ ἄλλην πίτταν οὐ μικτέον, ὥσπερ οὐδὲ τὴν ἄσφαλτον, ἐπὶ πλέον γὰρ ἥκουσι ξηρότητος. ἐμάθομεν δὲ ὅτι καὶ τὰ ξηραίνοντα τοῖς μαλάττουσίν εἰσιν ἐναντία. ἐπεὶ δὲ τὴν πευκίνην καὶ φρυκτὴν ῥητίνην εἰώθασι καὶ Κολοφωνίαν ὀνομάζειν, ἰστέον ὅτι καὶ ἄλλη τίς ἐστι Κολοφωνία παραπλήσιος τῇ Χίᾳ μαστίχῃ, μαλακτικὸν ἔχουσά τι, καθάπερ ἐκείνη τε καὶ ὁ λιβανωτός. ὑπάρχει δέ τι καὶ τῇ Αἰγυπτίᾳ μαστίχῃ μαλακτικὸν, ἀλλὰ τὸ πλέον αὐτῆς τῆς δυνάμεως πεπτικόν τε καὶ διαφορητικὸν ὑπάρχει. καὶ τῷ λιβάνῳ τόδε τι μαλακτικὸν ὑπάρχει, ἀλλὰ τοῦτο μὲν ἐψόμενον ἔστι χρήσιμον, ὥσπερ καὶ τὸ τῆς τήλεως σπέρμα, καὶ γὰρ καὶ τοῦτο μαλάττει καλῶς ἑψηθὲν, ἔτι δὲ καὶ μᾶλλον εἰ στέατι μιχθείη. τὰ δὲ χωρὶς ἑψήσεως διὰ τὸ ξηρὸν τῆς συστάσεως ἀνίεσθαι δεόμενα καὶ τήκεσθαι καὶ δύεσθαι καὶ λύεσθαι τῶν ἐλαιωδῶν τινος δεῖται. τοιαῦτα δ' ἐστὶν αὐτὸ τὸ ἔλαιον, ὅταν μηδὲν ἔχῃ στύψεως, ὅ τε ἐκ τῶν βαλανείων γλοιὸς, ἔτι τε τὸ καλούμενον σούσινον, καὶ πρὸς αὐτῷ πολλῷ μᾶλλον ἔτι τὸ Κομμαγηνόν. ἔτι δὲ καὶ τὸ βούτυρον ἐξ αὐτῆς τά-

pingue habeat. Caeterum pix alia non miſcenda eſt, ſicut nec bitumen, utpote juſto ſicciora, enimvero ea quae exiccant mollientibus eſſe contraria didicimus. Quoniam vero pineam et frictam reſinam et Colophoniam appellare conſueverunt, ſciendum venit et aliam quandam eſſe Colophoniam Chiae maſtichae perſimilem, molliens aliquid habentem, quemadmodum illa et thus. Inſuper Aegyptia maſtiche nonnihil emollit, ſed major virtutis ipſius portio concoquit diſcutitque. Item et thus quandam molliendi vim obtinet, verum hoc quidem coctum ex uſu eſt, veluti et ſoenigraeci ſemen, etenim et hoc probe coctum emollit, ac magis adhuc pingui permixtum. At quae citra coctionem ob conſiſtentiae ſiccitatem dilui, liquari mergique deſiderant, oleoſo quopiam indigent, cujusmodi ſunt oleum ipſum, quum nihil aſtrictionis habet, item balneorum ſtrigmenta, praeterea quod vocant ſuſinum, ad haec multo etiam magis commagenum. Hujus quoque ordinis eſt butyrum, tum althaeae et ſoeni-

Ed. Chart. XIII. [833. 834.] Ed. Baf. II. (407.)

ξεως τό τε τῆς ἀληθαίας ἀφέψημα καὶ τὸ τῆς τήλεως. μεταξὺ δὲ τῶν οὕτω μαλακῶν καὶ τῶν ἰσχυροτάτων, ὁποῖα τό τε βδέλλιόν ἐστι καὶ ὁ στύραξ, [834] τό γε ἀμμωνιακὸν θυμίαμα τὴν αὐτὴν δύναμιν, ἥνπερ καὶ πρόπολις ἔχει. τοῦ γε μὴν βδελλίου καὶ τοῦτο διοριστέον, ὅτι τὸ Σκυθικὸν ἄμεινον εἰς ταῦτα μακρῷ θατέρου τοῦ Ἀραβικοῦ, καὶ μάλιστα ὅταν ᾖ νέον τε καὶ μαλακὸν, ὃ καὶ λιπαρὸν ὀνομάζουσιν. ἔθος γὰρ καὶ τοῦτό ἐστιν ἐν τοῖς νεωτέροις ἰατροῖς ἐπὶ τῶν τοιούτων φαρμάκων τὸ μαλακτικώτερον λέγειν καὶ ὑγρότερον. ἔστι δὲ δηλονότι καὶ ὑγρότερον τοῦτο. καὶ ἡ χαλβάνη δὲ καὶ ὁ καλούμενος ὀποπάναξ πρὸς τῷ διαφορεῖν ἔχει τι καὶ μαλακτικόν. ὑπερέχει δὲ τῷ μὲν διαφορεῖν ὀποπάναξ, τῷ δὲ μαλάττειν τε καὶ πέττειν ἡ χαλβάνη. τοιαύτη μέν τίς ἐστι μαλακτικῶν φαρμάκων ἡ δύναμις. σὺ δ' ὅταν ἤτοι τι τῶν γεγραμμένων ἐν ταῖς φαρμακίτισι βίβλοις ἐξετάσῃς τε καὶ κρίνῃς ἢ συντιθῇς αὐτὸς, ἀκηκοὼς ἄρτι τὰς κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον ἐν τοῖς φαρμάκοις διαφορὰς, ἀκηκοὼς δὲ καὶ τὰς τῶν σωμάτων τε καὶ παθῶν, τὰ μὲν ἰσχυρὰ τοῖς ἰσχυροῖς, τὰ δὲ ἀσθενῆ τοῖς ἀσθενέσι προσά-

graeci decoctum. Porro inter tam mollia et validiſſima, quod genus ſunt bdellium et ſtyrax, gutta ammoniaci idem poteſt, quod et propolis; atqui hoc in bdellio diſtinguendrum eſt, quod Scythicum altero Arabico multo ad haec ſit braeſtantius, praecipue novum et molle, quod etiam pingue nominant. Conſuetudo ſiquidem haec eſt inter recentiores medicos in hujusmodi medicamentis, quod emollientius eſt pinguis appellaſſe, hoc autem videlicet humidius quoque eſt. Caeterum galbanum et qui opopanax dicitur, praeterquam quod diſcutiunt, etiam quid emolliens habent, opopanax autem diſcutiendo, galbanum emolliendo coquendoque praecellit. Talis ſane emollientium medicamentorum facultas eſt. Tum vero quum vel ſcriptum aliquod in libris medicamentariis diſcuſſeris et examinaveris, vel ipſe compoſueris, auditis nuper medicamentorum ſecundum majoris minorisque rationem differentiis, intellectis item corporum a ffectuumque diverſitatibus, valida validis, imbecillia imbe-

Ed. Chart. XIII. [834.] Ed. Baſ. II. (407. 408.)

ξεις. ἐν δὲ τῷ μετὰ τὸ πρόσθεν ἐπιτεθὲν ἕτερον ἐπιτιθέναι, καταντλεῖν (408) ἔλαιον ἁπλοῦν, λιπαρὸν ἁρμόττει τῷ πεπονθότι μορίῳ. τῶν δὲ ἐχεκόλλων ὀνομαζομένων φαρμάκων οὐδὲν ἀφελεῖν χρὴ, πρὶν αὐτόματον ἀποστῆναι, ἀλλὰ κἂν λούηταί τις, ἐᾶν ἐπικεῖσθαι. φυλάττεσθαι δὲ καὶ τὰ τῶν φαρμάκων ὑδάτων λουτρὰ καὶ μάλιστα ὅσα χαλκανθώδη τε καὶ στυπτηριώδη καὶ θειώδη· ταῦτα μὲν ἱκανὰ συνετοῖς ἀνδράσι καί τινα τριβὴν κατὰ τῆς τέχνης ἔργα κεκτημένοις.

Κεφ. δ'. [Αἱ τῶν μαλακτικῶν φαρμάκων κατ' εἴδη διαφοραὶ καὶ δυνάμεις.] Ἐπεὶ δὲ οὐ πάντες εἰσὶ τοιοῦτοι καὶ πρόκειται κατὰ τήνδε τὴν πραγματείαν, οὐχ ὥσπερ ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου, μόνην εἰπεῖν τὴν μέθοδον, ἀλλ' ἅμα παραδείγματι τῶν κατὰ μέρος ἑνί τε καὶ δευτέρῳ, προστεθῆναι δεῖ καὶ τὰ πείρᾳ προκείμενα φάρμακα, ἃ πρόσκειται τοῖς πρὸ ἡμῶν ἐν τῷ φαρμακευτικῷ μέρει τῆς τέχνης ἐνδόξοις, ἐπὶ τὰς κατ' εἴδη διαφορὰς ἐπὶ τῶν μαλακτικῶν φαρμάκων ἀφίξομαι τὴν ἀρχὴν ἀπὸ τῶν μαλακωτάτων ποι-

cillibus adhibebis. At ubi poſt primam medicamenti impoſitionem aliud applicas, oleo ſimplici pingui partem affectam fovere convenit. Porro ex iis quae tenacia nominantur, nullum auferendum eſt prius quam ſua ſponte abſcedat, imo etiam ſi laveris, permittenda ſunt. Vitanda autem medicamentoſarum aquarum lavacra, praeſertim quae chalcanthoſa, aluminoſa et ſulfuroſa ſunt. Haec quidem ſufficiunt viris cordatis ac prudentibus, quique in medicinae operibus exercitati peritiam aliquam ſunt adepti.

Cap. IV. [*Specialis emollientium medicamentorum differentia ac facultas.*] Quoniam vero omnes ejusmodi non ſunt et propoſuimus hoc commentario, non ut in opere de morbis curandis methodum ſolam exponere, verum ſimul cum particularium uno atque altero exemplo, medicamenta uſu comperta ſubjungere oportet, quae majores noſtri in pharmaceutica artis parte celebres literis mandaverunt, ad ſpeciales emollientium medicamentorum differentias perveniemus a molliſſimis, quae et parvis inflam-

Ed. Chart. XIII. [834.] Ed. Baf. II. (408.)

ησάμενος αὐτοῖς, ἃ καὶ τὰς μικρὰς ἴᾶται φλεγμονάς. τῶν συνθέτων μαλακτικῶν τὰ μέν ἐστιν, ὡς ἂν εἴποι τις, ἀσθενέστερα κατὰ τὴν πρώτην τάξιν. ἔνια δὲ οὐ πολλῷ τούτων ἰσχυρότερα κατὰ δευτέραν, καί τινα κατὰ γ'. ἕτερα. καὶ πρὸς αὐτοῖς κατὰ δ'. ἄλλα. χρῆσθαι δὲ προσῆκεν, ὡς προείρηται, πρὸς μὲν τὰς βραχείας σκληρότητας καὶ τὰ μαλακὰ σώματα τοῖς τῆς πρώτης τάξεως. πρὸς δὲ τὰ τούτων ἰσχυρότερα σώματά τε καὶ πάθη τοῖς τῆς δευτέρας, ὥσπερ γε καὶ τοῖς τῆς τρίτης καὶ τῆς τετάρτης ἀνάλογον. ὑπογράφουσι δὲ καὶ τὰ καθ' ἑκάστην αὐτῶν ἰδία.

[*Μαλακτικὰ φάρμακα πρώτης τάξεως.*] Βούτυρον ἡ ῥητίνη ἡ Κολοφωνία καὶ κηρὸς λευκὸς, μὴ παλαιὸς, ἴσα τῷ σταθμῷ τὰ γ'. τηκόμενα μετ' ἀλλήλων, μαλακτικὰ πρώτης τάξεώς ἐστι. καὶ ἡ πάρυγρος, ὅταν ᾖ πρόσφατος, ἡ χρονισθεῖσα δὲ διαφορητικωτέρα γίνεται, ἀσθενεστάτη δὲ τῶν μαλακτικῶν, κηρὸς μετὰ βουτύρου τακεὶς ἢ διὰ σουσίνου ἢ Κομμαγηνοῦ. καὶ τούτων ἀσθενέστερόν ἐστι τὸ καλούμενον κηρέλαιον, ὅταν εἰς λίτραν ἐλαίου χαλαστικοῦ μηδεμίαν

mationibus medentur, exorſi. Ex compoſitis emollentibus alia quidem, ut ita dicam, imbecilliora primo ordine ſtatuuntur, quaedam non multo his validiora ſecundo, et quaedam alia tertio, ad haec nonnulla quarto. Caeterum primi ordinis mollientibus ad exiguas durities et in mollibus ſeu teneris corporibus uti, ſicut praedictum eſt, expedit, ad fortiora his corpora et affectus ſecundi, quemadmodum et tertii et quarti pro illorum ratione. Subſcribam autem et eorum cujuslibet propria.

[*Emollientia medicamenta primi ordinis.*] Butyrum, reſina, colophonia et cera candida non vetuſta, ſingula tria pondere aequalia invicem liquata, primi ordinis emollientia ſunt. Et liquidum medicamentum, quod parygrum appellatur, eorum numero adſcribitur quum recens fuerit, veteraſcens autem majorem diſcutiendi vim acquirit. At emollientium imbecillimum eſt cera cum butyro liquefacta aut ex ſuſino aut commageno, atque his imbecillius eſt, quod dicitur cerelaeum, quaſi ex cera oleoque confectum, quum

Ed. Chart. XIII. [834. 835.] Ed. Baſ. II. (408)

ἔχοντος στύψιν ἐμβληθῶσι κηροῦ οὐγγίαι ιβ'. ἢ ἑκκαίδεκα. καὶ αἱ διὰ τῶν ὠῶν δὲ κηρωταὶ βραχύ τι χαλαστικὸν ἔχουσι. [835] ἰσχυρότεραι δὲ τούτων, ἀλλὰ ἀσθενεῖς ἔτι καὶ αὗται κηρωταὶ, αἱ δι' οἰσύπου καὶ ῥητίνης καὶ κηροῦ, τηκομένων ἴσῳ τῷ σταθμῷ. ἐὰν δὲ ἧ παλαιότεραί πως αὐτὰ, δήσεται μίξεως ἐλαίου τινὸς τῶν χαλαστικῶν ἢ σουσίνου ἢ Κομμαγηνοῦ ἢ στέατος ὑείου ἢ ὀρνιθείου ἢ χηνείου. μαλακτικὰ φάρμακα δευτέρας τάξεως. ὡς ἐν τοῖς ἁπλοῖς φαρμάκοις, ἐποιήσαμεν τέσσαρας τάξεις τῶν ὁμογενῶν, τὸ μᾶλλόν τε καὶ ἧττον ἐν αὐτοῖς ὁριζούσας, ἐνίων δ' ἔφην ἀμφίβολον εἶναι τὴν δύναμιν, εἴτ' ἐπὶ τελευτῇ τῆς πρώτης τάξεως εἴτ' ἐν ἀρχῇ τῆς δευτέρας, θετέον ἐστὶ τὴν δύναμιν αὐτῶν, ὡσαύτως καὶ περὶ τῆς δευτέρας τε καὶ τρίτης τῶν τε ταύταις ἑφεξῆς. ἐπ' ἐνίων δὲ θαῤῥήσας ἀποφαίνεσθαι τινὰ μὲν ἐν ἀρχῇ τῆσδε, τινὰ δὲ ἐπὶ τῇ τελευτῇ τῆσδε τῆς τάξεως ἔφην ὑπάρχειν, ὥσπερ ἔνια χωρὶς προσθήκης ἤτοι τῆς πρώτης ἢ τῆς δευτέρας ἢ τῆς γ'. ἢ τῆς δ'. τάξεως ἔφην εἶναι. πολλῆς δὲ πείρας τῆς κατὰ μέρος ἐπὶ πολλῶν τε σωμάτων καὶ

in libram olei laxantis nulla aſtringenti facultate praediti, cerae ℥ xij, vel xvj, injectae fuerint. Jam ex ovis cerata facta exiguam quandam laxandi facultatem poſſident. Valentiora his, verum imbecilla adhuc et ipſa cerata ex oeſypo, reſina et cera pari pondere liquefactis, ſin autem vetuſtiora quodammodo ipſa fuerint, olei cujusdam laxantis vel ſuſini vel commageni vel adipis ſuilli vel gallinacei vel anſerini mixturam requirunt. *Emollientia medicamenta ſecundi ordinis.* Quemadmodum in ſimplicibus medicamentis quatuor congenerum ordines fecimus, qui majoris in ſe minorisque rationem diſtinguunt, aliquorum autem ambiguam eſſe facultatem diximus, utrum ad primi ordinis finem, an in ſecundi initio locanda ſint, ita de ſecundo tertio reliquis deinceps. In quibusdam vero audacter pronuncians, alia in principio hujus, alia in tertio hujus ordinis conſiſtere dixi, ſicut nonnulla citra appoſitionem vel primi vel ſecundi vel tertii vel quarti ordinis eſſe retuli. Multum vero experientiae particularis in variis et corpo-

Ed. Chart. XIII. [835.] Ed. Baſ. II. (408)

παθῶν αἱ τοιαῦται τῶν ἀποφάσεων δέονται, διὸ κἂν μετ' ἐμέ τις ὁμοίως ἐμοὶ φιλόπονός τε καὶ ζηλωτικὸς ἀληθείας γένηται, μὴ προπετῶς ἐκ δυοῖν ἢ τριῶν χρήσεων ἀποφαινέσθω. πολλάκις γὰρ αὐτῷ φανεῖται διὰ τῆς μακρᾶς πείρας, ὥσπερ ἐφάνη κἀμοὶ, ὅτι τὰ κατὰ τὴν δευτέραν τάξιν εἰρημένα εἰς τὴν γ'. ἀρχομένην μετατεθῆναι δεῖ ἢ κατὰ τὴν ἀρχὴν ἁπλῶς τῆς γ'. ὅτε γὰρ καὶ τῶν σωμάτων τῆς διαφορᾶς, οἷς προσάγεται τὰ φάρμακα καὶ τῶν παθῶν αὐτῶν οὐκ ὀλίγην ἐχόντων ἐν τῷ μᾶλλόν τε καὶ ἧττον τὴν ὑπεροχὴν, χαλεπώτατόν ἐστιν ἐπὶ πᾶσιν ἀπόφασιν ποιήσασθαι μίαν, ἐξ ἐπιμέτρου δὲ καὶ αὐτῶν τῶν φαρμάκων τῶν ἁπλῶν οὐ μικρὰν ἐχόντων διαφοράν. ἐμοῦ δὲ ἐπὶ τῶν ἀρίστων καθ' ἕκαστον εἶδός τε καὶ γένος ἀποφηναμένου τὴν δύναμιν, ἐὰν ἐπὶ τοῦ χειρίστου ποιήσηταί τις τήνδε διὰ τῆς πείρας ἐξέτασιν, ποιήσεται μὲν ψευδῶς, οὐ διώρικε δὲ τὰς τῆς δυνάμεως αὐτῶν τάξεις. ἀσφαλέστατον οὖν ἐστι, τὴν αὐτῶν τῶν φαρμάκων πρὸς ἄλληλα διαφορὰν ἐν τῷ μᾶλλόν τε καὶ ἧτ-

ribus et vitiis ſeu affectibus hujusmodi pronunciata deſiderant. Quare ſi quis poſt me aeque ſtudioſus et veritatis vehemens amator extiterit, ne temere ac ſubito, ubi bis terve uſus expertusque ſit, ferat ſententiam, frequenter enim ei ex longa experientia, quemadmodum et mihi uſu venit, in ſecundo ordine dicta in tertium incipientem transponi oportere videbuntur vel in principium tertii abſolute. Quum enim corpora quibus medicamenta adhibentur, ipſique affectus non exiguum differentiae exceſſum in majoris minorisque ratione obtineant, difficillimum eſt de omnibus eadem pronunciare. Accedit huc quod ipſa ſimplicia medicamenta non parvo divariant diſcrimine. At ego quum in praeſtantiſſimis facultatem pro unaquaque ſpecie ac genere oſtenderim, ſi quis in deterrimo per experientiam examinationem moliatur, examinabit quidem falſo, non autem facultatis ipſorum ordines diſtinxerit. Itaque tutiſſimum eſt medicamentorum ipſorum inter ſe differentiam

Ed. Chart. XIII. [835.] Ed. Baſ. II. (408.)

τον ἀκριβῶς γράφειν, ὥσπερ ἐπί τε τῶν ἄλλων ἐποίησα καὶ νῦν ποιήσω.

Κεφ. ε'. [*Διαφόρους γίγνεσθαι διαφορὰς ἐν τῷ μᾶλλόν τε καὶ ἧττον κατὰ τὴν μαλακτικὴν τοῦ Μνασαίου ἔμπλαστρον κατὰ διάφορον τῶν ἁπλῶν ποσότητά τε καὶ ἡλικίαν καὶ ἕψησιν.*] Κατὰ γάρ τοι τὴν δευτέραν τάξιν τῶν μαλακτικῶν οὐχ ἥκιστα ἄν τις θείη τὴν ὑπὸ τοῦ Μνασαίου συντεθεῖσαν ἔμπλαστρον, ὁμολογούντων μὲν ἁπάντων ἀλλήλοις τῶν μνημονευσάντων αὐτῆς, ἐξ ἐλαίου τοῦ παλαιοῦ καὶ λιθαργύρου καὶ στέατος ὑείου. διαφερομένων δὲ ἔν τε τῇ ποσότητι τούτων ἑκάστου καὶ τῷ τινὰς μὲν ἐκ προσφάτου στέατος, ἐνίους δὲ ἐκ παλαιοῦ συντιθέναι τοῦ καλουμένου πρὸς ἁπάντων ἤδη συνήθως ἀξουγγίου. ἐπὶ γάρ τοι τούτοις ἡ ἀσθενεστάτη γένοιτ' ἂν ἐκ λιθαργύρου καὶ στέατος ὑείου καὶ ἐλαίου, μηδετέρου παλαιοῦ. ἡ δ' ἰσχυροτέρα ἐλαίου μὲν αὐτῶν παλαιοῦ, θατέρου δὲ νέου βληθέντος. ἡ δὲ ταύτης ἰσχυροτέρα παλαιῶν ἀμφοτέρων. κατὰ μὲν οὖν τὸ νέον ἢ παλαιὸν βάλλεσθαι τὸ ἔλαιον καὶ τὸ στέαρ αἱ διαφοραὶ δ'.

ſecundum majoris minorisque rationem accurate ſcribere, quemadmodum et in aliis feci et nunc facturus ſum.

Cap. V. [*Varias enaſci differentias ſecundum majoris minorisque rationem in emollienti emplaſtro Mnaſaei pro varia ſimplicium tum quantitate tum aetate tum coctione.*] Sane quidem emplaſtrum Mnaſaeo auctore compoſitum rectiſſime ſecundo emollientium ordini adſcripſeris, omnibus certe qui ejus meminerunt convenientibus ex oleo veteri, argenti ſpuma et adipe ſuillo componi, in quantitate vero horum ſingulorum diſcrepantibus, atque eo, quod nonnulli ex recenti adipe, quidam ex veteri, quem jam omnes vocare ſolent axungiam, componant. In his quidem imbecillimum fiet ex argenti ſpuma, ſuillo adipe et oleo, neutro veteri, validius oleo quidem ex iis veteri, altero autem recenti addito, his validius ex ambobus vetuſtis. Ex eo igitur, quod recens aut vetus oleum adepſque immittitur, quatuor differentiae prodibunt, alias quidem am-

Ed. Chart. XIII. [835. 836.] Ed. Baſ. II. (408.)

ἔσονται ποτὲ μὲν ἀμφοῖν νέων, ποτὲ δὲ ἀμφοῖν παλαιῶν, ποτὲ δὲ τοῦ μὲν ἐλαίου παλαιοῦ, τοῦ στέατος δὲ προσφάτου ἢ τοὐναντίον, ἐλαίου μὲν προσφάτου, παλαιοῦ δὲ στέατος ἐμβαλλομένου. κατὰ δὲ τὴν πρὸς ἄλληλα συμμετρίαν αὐτῶν τῶν τριῶν ἁπλῶν φαρμάκων ἕτεραι πλείους. [836] ἤτοι γὰρ ἴσα τῷ σταθμῷ καὶ μέτρῳ μίγνυται τὰ τρία καὶ πολλοί φασι τὴν ὑπ' αὐτοῦ τοῦ Μνασαίου συντεθεῖσαν ἐκ τριῶν ἴσων συγκεῖσθαι ἢ τὰ δύο μὲν ἴσα, τὸ τρίτον δὲ οὐκ ἴσον ἀλλ' ἔλαττον ἢ πλέον ἢ τῶν τριῶν ἀνίσων μιγνυμένων. εὔδηλον οὖν ὅτι πολλαὶ γενήσονται διαφοραί. πλέονος μὲν γὰρ τῆς λιθαργύρου βληθείσης μαλακώτερον τῇ δυνάμει γενήσεται τὸ φάρμακον, ἐλάττονος δὲ ἰσχυρότερον. καὶ μαλακτικώτερον μέν, εἰ τοῦ στέατος ἐμβάλλοιμεν πλέον, διαφορητικώτερον δ' εἰ τοῦ ἐλαίου. καὶ γὰρ αὖ καὶ ἄλλο τι προσέρχεται πλέονος ἐμβληθέντος ἐλαίου, μεγάλην ἔχοντος δύναμιν εἰς τὸ διαφορητικώτερον ἐργάσασθαι τὸ φάρμακον. ἔστι δὲ τοῦτο, καθάπερ εἴρηταί μοι κατὰ τὸν α'. λόγον, εἰ ἐπὶ πλέον ἑψήσεις. ἐὰν γοῦν μόνην τὴν λιθάργυρον ἑψήσεις ἐν ἐλαίῳ πλέονι, ξηραντικώτερον ἔσται τὸ φάρμακον. ἐν

bobus recentibus alias vetuſtis, nonnunquam oleo quidem veteri, adipe vero recenti, vel contra oleo quidem recenti, vetuſto autem adipe indito. At ex trium ipſorum ſimplicium medicamentorum mutua ſymmetria aliae plures differentiae emanabunt; vel enim pari pondere et menſura haec tria miſcentur, ac multi aſſirmant ab ipſo Mnaſaeo confectum tribus paribus conſtare, vel duobus quidem paribus, tertio non pari, ſed minori aut copioſiori, vel tribus mixtis imparibus, unde clarum evadit, multas iore differentias. Copioſa ſiquidem argenti ſpuma injecta medicamentum facultate mollius fiet, pauciore validius. Ac magis emolliet, ſi plus adipis immittamus, diſcutiet fortius, ſi oleum augeamus. Praeterea aliud quiddam accedit copioſiore oleo impoſito, quod magnam vim ad medicamentum ut magis diſcutiat efficiendum obtinet, eſt autem hoc ſicut primo libro diximus, ſi magis incoquas. Si igitur ſolam argenti ſpumam in oleo copioſiore coquas, medica-

Ed. Chart. XIII. [836.] Ed. Baſ. II. (408. 409.)

πλέονι δὲ ἑψήσεις πλέον ἐλαίου βαλὼν, εἴ γε μέλλοι σύστασιν ἕξειν ἐμπλάστρου. ὡς εἴ γε τούτου μὴ φροντίζοι τις, ἀλλὰ ἴσῳ χρόνῳ τὸ θ' ἧσσον ἔχον ἐλαίου κατὰ τὸ πλέον ἑψήσει, πρόδηλον ὅτι μαλακτικώτερον ἔσται κατὰ τὴν δύναμιν, ᾧ πλέον ἔλαιον μέμικται, καθάπερ εἰ καὶ ὠμήν τις ἄκοπον τὴν λιθάργυρον ἐλαίῳ μίξας βούλοιτο χρῆσθαι. διό περ ὃ πολλάκις ἤδη μοι λέλεκται, (409) μεμνῆσθαι διὰ παντὸς αὐτοῦ κελεύω, μὴ καθάπερ ἔνιοι τὰς ἀποφάσεις ἁπλῶς ὑπὲρ τῶν φαρμάκων ποιοῦνται καὶ ἡμᾶς οὕτω πράττειν, βελτίονα λέγοντας ἁπλῶς εἶναι τήνδε τὴν σύνθεσιν τοῦ φαρμάκου τῆσδε. δύναται γὰρ ἑκάτερα πρὸς διαφέροντα κατ' εἴδη πάθη καλῶς συγκεῖσθαι, καί ποτε πρὸς ταὐτὸ κατὰ διαφέροντας τοὺς καιρούς. ταῦτα τοίνυν ἅπαντα τὰ νῦν εἰρημένα μοι προακούσας τις, οὐ φιλόπονος μόνον ἢ μνήμων, ἀλλὰ καὶ φύσει συνετὸς ὤν, ὠφελίμως ἀναγνώσεται τὰ μετὰ διορισμῶν γεγραμμένα τε καὶ γραφησόμενά μοι. καὶ λέξω δέ σοι τοὺς διορισμοὺς ἐπὶ τῶν προκειμένων φαρμάκων ἐν προσθήκῃ τριῶν ἢ τεττάρων συλλαβῶν γινομένους,

mentum evidentius exiccabit, in uberiore vero coques, ubi plus olei indideris, ſi emplaſtri ſpiſſitudinem habiturum ſit, quod ſi id non cures, ſed aequali tempore tum id, quod minus olei continet, tum quod plus habet, incoquas, liquet facultate emollientius futurum, cui oleum uberius mixtum fuerit, quemadmodum ſi et cruda argenti ſpuma oleo commixta acopo uti velis. Quare, quod jam ſaepe dixi, ſemper ipſius meminiſſe volo, non ſicut quidam ſententias abſolute de medicamentis ferunt, ſic et nos facere abſolute dicentes, hanc medicamenti compoſitionem illa eſſe potiorem, nam utraque ad diverſos ſpecie affectus recte compoſita eſſe poteſt, interdum ad eundem diverſis temporibus. Haec igitur omnia modo a me relata qui prius audivit, non diligens modo vel memor, ſed natura etiam prudens utiliter et cum fructu leget ea, quae diſtincte et ſcripſi et ſcripturus ſum. Ac in propoſitis medicamentis diſtinctiones ibi exponam trium qualuorve ſyllabarum appoſitione com-

Ed. Chart. XIII. [836.] Ed. Baſ. II. (409.)

ὁποίαν προσθήκην ἐπὶ τοῦ προκειμένου κατὰ τὸν ἐνεστῶτα λόγον φαρμάκου τοῦ Μνασαίου φαίνεται πεποιημένος ὁ Ἀνδρόμαχος. ἐν γὰρ τῷ καταλόγῳ τῶν μηλίνων ἐμπλάστρων ἑνδεκάτην τῇ τάξει γράψας αὐτὴν οὐχ ἁπλῶς εἰπεῖν ἠρκέσθη, καθάπερ ἐπὶ τῶν ἔμπροσθεν εἰρημένων, ἄλλῃ καὶ ἄλλῃ προγράφων αὐτῶν, ἀλλὰ προσέθηκε τὸ ἁπαλή. τοῦτ' οὖν ἠξίουν αὐτὸν ἐπὶ πασῶν πεποιηκέναι καὶ κατ' αὐτάς γε τὰς μηλίνας ἤρχθαι μὲν ἀπὸ τῆς ἁπαλωτάτης, μεταβάντα δὲ ἀπ' αὐτῆς ἐπὶ τὴν ἰσχυροτέραν ὀλίγῳ δεδηλωκέναι, προσγράψαντα βραχεῖ μέν τινι ταύτης ἰσχυροτέραν εἶναι τὴν δευτέραν, ἐκείνης δ' αὖ πάλιν ἰσχυροτέραν εἶναι τὴν τρίτην, εἶτ' ἐκείνης τὴν δ'. ὥσπερ αὖ πάλιν, εἴ τινα ἴσην ᾤετο δύναμιν ἔχειν, αὐτὸ τοῦτο προσγράψαι, ἢ εἴπερ εὐλαβοῖτο κινδυνεύειν ἔν γε ταῖς τοιαύταις ἀποφάσεσιν, ἀλλὰ τά γε ἁπλᾶ μαλακτικὰ φάρμακα προδιδάξαι, τὸ μᾶλλόν τε καὶ ἧττον ἐν αὐτοῖς διορισάμενον, ὅπως ὁ ἀναγινώσκων ἐφεξῆς τὰς ὑπ' αὐτοῦ γεγραμμένας μαλακτικὰς ἐμπλάστρους πολλὰς, ἰσχυροτέραν μὲν εἶναι γνωρίζῃ τὴν διὰ στύρακος, ἀμμωνιακοῦ τε καὶ βδελλίου καὶ προπόλεως καὶ χαλβάνης, στέατός τε

prehenſas, qualem inquam appoſitionem in medicamento praeſenti libro propoſito Mnaſaei Andromachus appendiſſe videtur. Nam in melinorum emplaſtrorum catalogo undecimum ordine, quum id ſcripſiſſet, non ſimpliciter dicere contentus fuit, ut in prioribus commemoratis aliud atque aliud ipſis praeponens, ſed tenerum adjecit. Itaque hoc volebam ipſum in omnibus feciſſe et in ipſis melinis a tenerrimo incepiſſe, inde vero digreſſum ad paulo fortius innuiſſe adſcribendo, pauxillo quodam ſecundum hoc quam illud eſſe valentius, hoc rurſus tertium eſſe fortius, deinde hoc quartum, veluti rurſus ſi aliqua aequalem putarit habere facultatem, id ipſum admonuiſſe, vel ſi periculum timeret in ejusmodi pronunciatis, certe ſimplicia emollientia medicamenta praedoceret, majoris ac minoris ratione in ipſis definita, ut qui emollientia emplaſtra multa deinceps ab ipſo ſcripta legit, validius quidem eſſe intelligat, quod ex ſtyrace, ammoniaco, bdellio, propoli, galbano, ſevo tau-

Ed. Chart. XIII. [836. 837.] Ed. Baſ. II. (409.)

ταυρείου καὶ τραγείου καὶ τῶν μυελῶν συγκειμένην, ἀσθενῆ δὲ τὴν μηδὲν τούτων ἔχουσαν, ἀλλ' ἤτοι πάντα ἀσθενῆ κατὰ τὴν δύναμιν, ἢ τούτων μὲν αὐτῶν ἰσχυρότερα, μέσα δὲ ταῖς κράσεσί τε καὶ δυνάμεσιν ἢ μετὰ τοῦ μεμίχθαι τοῖς ἀσθενέσιν ἕν τι τῶν ἰσχυρῶν ἢ δύο. δῆλον γὰρ ὅτι τὸ μεταξὺ πλάτος ἐν ἅπασι τοῖς φαρμάκοις οὐκ ὀλίγον ἐστὶ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον, ἐπὶ κοινῇ δυνάμει πάντων αὐτῶν γενικῶς νοουμένῃ, καθ' ἣν ὁμογενῆ τε καὶ ὁμοειδῆ τὰ φάρμακα λέγεται, [837] καθάπερ γε ἕτερα διαφέροντα γενικαῖς ἢ εἰδικαῖς διαφοραῖς. ὁπότε οὖν ταῦτά μοι διωρίσθη καί τις ἐξ αὐτῶν ὁρμώμενος οὐ χαλεπῶς δυνήσεται διαγινώσκειν τά τε δύναμιν ἰσχυροτέραν ἔχοντα καὶ τὰ μαλακωτέραν, τὴν ἱστορίαν αὐτῶν ἤδη ποιήσομαι, τὰς γεγραμμένας τοῖς ἐμπειροτάτοις τῶν φαρμάκων ἀνδράσιν, εἴτ' ἐμπλάστρους ὀνομάζειν ἐθέλοις εἴτε μαλάγματα, γράψας ἐφεξῆς. ἄρξομαι δ' ἀπὸ τῶν ὑπ' Ἀσκληπιάδου γεγραμμένων ἐν τῷ δ'. τῶν ἐκτὸς, ἃ Μαρκέλλας ἐπιγράφει.

rino hircinoque et medullis confectum eſt, imbecillum, quod nullum ex his continet, ſed vel omnia invalida facultate vel hiſce quidem ipſis valentiora, media vero temperaturis viribusque, quod vel unum aliquod validum vel duo imbecillibus mixta ſint. Conſtat enim interpoſitam majoris minorisque latitudinem omnibus medicamentis non exiguam ineſſe, in communi univerſis ipſis facultate generatim aeſtimatis, juxta quam medicamenta congenera et conformia, id eſt ejusdem generis ac ejusdem ſpeciei dicuntur, quemadmodum et alia generis vel ſpeciei differentiis variantia. Quum igitur haec mihi praedicta ſint, quibus inſtructus non magno negocio et valentiore facultate et imbecilliore praedita queas dignoſcere, narrationem ipſorum aggrediar, deinde conſcripta ab expertiſſimis medicamentorum viris, ſive emplaſtra ſive malagmata voles appellare, percenſebo. Auſpicabor autem a medicamentis ab Aſclepiade in quarto libro exteriorum, quibus titulum indidit Marcellas, editis.

Ed. Chart. XIII. [837.] Ed. Baſ. II. (409.)

Κεφ. στ'. [Τὰ ὑπ' Ἀκληπιάδου μαλάγματα.] Ἀμυθάωνος μάλαγμα πρὸς τὰς τῶν ὑποχονδρίων διατάσεις λύει πᾶσαν σκληρίαν, ποιεῖ καὶ πρὸς τὰ δυσκίνητα τῶν ἄρθρων. ℔ ἀμμωνιακοῦ θυμιάματος γο λστ'. κηροῦ γο λστ'. τερμινθίνης γο η'. βδελλίου γο η'. λιβανωτοῦ οὐγγίας δ'. σμύρνης γο δ'. χαλβάνης γο η'. κυπρίνου κο. δ'. βρέχεται σμύρνα, λίβανος, βδέλλιον οἴνῳ, τὸ δὲ ἀμμωνιακὸν ὄξει λύεται. πάντα δὲ κόπτεται, τοῦ ὑπέρου χριομένου τῷ κυπρίνῳ μέχρι παντελοῦς διαλύσεως. τοῦτο τὸ φάρμακον τῶν παλαιῶν ἐστι καὶ ἐνδόξων, ὥσπερ καὶ τὸ μετὰ τοῦτο γεγραμμένον ὑπὸ τοῦ Ἀσκληπιάδου, κατὰ τόνδε τὸν τρόπον. διάσμυρνον ἀπολοφόνιον, φάρμακον ἐπιτετευγμένον. πρὸς τὰς τῶν ὑποχονδρίων διατάσεις διαλύει πᾶσαν σκληρίαν, ποιεῖ ἡπατικοῖς, σπληνικοῖς, νεφριτικοῖς, ποιεῖ πρὸς πᾶσαν νευρικὴν συμπάθειαν πρὸς τὰς τῶν ἄρθρων ὀδύνας καὶ κατοχὰς ποιεῖ. ℔ κηροῦ γο ιστ'. τερμινθίνης γο ιστ'. ἀμμωνιακοῦ θυμιάματος γο ιστ'. βδελλίου γο ιστ'. σμύρνης γο ιστ'. προπόλεως γο ιστ'.

Cap. VI. [*Aſclepiadis malagmata.*] *Amythaonis malagma ad praecordiorum tenſiones. Solvit omnem duritiem. Facit etiam ad difficiles articulorum motus.* ℔ Guttae ammoniaci uncias triginta ſex, cerae ℥ triginta ſex terebinthinae uncias octo, bdellii uncias octo thuris uncias quatuor, myrrhae uncias quatuor, galbani uncias octo, Cyprini heminas quatuor. Myrrha, thus, bdellium vino madeſiunt, ammoniacum aceto diluitur, omnia contunduntur piſtillo Cyprino inuncto, quousque perfecte diſſolvantur. Hoc medicamentum vetus celebreque eſt, ſicut et quod Aſclepiades poſt hoc in iſtum modum tradidit. *Diaſmyrnon Apolophonion*, id eſt *medicamentum ex myrrha mortem differens, confectum ad praecordiorum tenſiones, ſolvit omnem duritiem, benefacit hepaticis ſplenicis, nephriticis, valet ad omnem nervorum ſympathiam, articulorum dolores detenſionesque levat.* ℔ Cerae uncias ſedecim terebinthinae uncias ſedecim, guttae ammoniaci uncias ſedecim, bdellii uncias ſedecim, myrrhae uncias ſedecim, propolis

Ed. Chart. XIII. (837.) Ed. Baſ. II. (409)

ἴριδος γο ιστ'. στύρακος γο ιστ'. ἰρίνου μύρου ὑποστάθμης ὅσον ἐξαρκεῖ, οἴνου εὐώδους τὸ ἱκανὸν, σκεύαζε καθὰ προείρηται. καὶ τὸ μετὰ τοῦτο δὲ γεγραμμένον ὑπὸ τοῦ Ἀσκληπιάδου φάρμακον ἀξιολογώτερον μὲν ὑπάρχει τῶν ὑπογεγραμμένων, ἧττον δὲ ἐκείνων εἰς τὴν τῶν ἐσκληρυσμένων λύσιν. ἄλλο Διοσκορίδου φάρμακον ἐπιτετευγμένον πρὸς τὰ δυσκίνητα κῶλα καὶ πρὸς ἀγκύλας διαλύει πᾶσαν σκληρίαν, ποιεῖ καὶ πρὸς τὰς τῶν ἐντὸς διαθέσεις καὶ πρὸς τὰς ἐν βάθει ἀποστάσεις. ℞ κηροῦ μνᾶν α'. ῥητίνης φρυκτῆς μνᾶς ἥμισυ, χαλβάνης μνᾶς ἥμισυ, ἴριδος Ἰλλυρικῆς μνᾶς ἥμισυ, ἰρίνου ὑποστάθμης τὸ ἱκανὸν, οἴνου ὅσον ἐξαρκεῖ, κοπτόν ἐστι τὸ φάρμακον, σκεύαζε καθὰ προείρηται. τὸ μετὰ τὸ προειρημένον φάρμακον ἐφεξῆς γεγραμμένον ὑπὸ Ἀσκληπιάδου ταὐτὸν ὑπάρχει τῷ ὑπὸ τοῦ Ἥρα γεγραμμένῳ κατὰ τὸ τέλος τῆς φαρμακίτιδος αὐτοῦ βίβλου, βραχεῖαν δέ τινα διαφορὰν ἐν τῇ συμμετρίᾳ τῶν τεττάρων ἔχει φαρμάκων ἁπλῶν, ὡς ἔσται φανερὸν, ὅταν ἀμφότερα γραφῇ. πρότερον δὲ μνημονεύσω τοῦ ὑπὸ τοῦ Ἀσκληπιάδου γεγραμμένου,

uncias ſedecim, iridis uncias ſedecim, ſtyracis uncias ſedecim, irini unguenti faeculae quantum ſufficit, vini odorati quod ſatis eſt, praeparato ſicut praediximus. Quod ſuccedit huic ab Aſclepiade ſcriptum dignius quidem ac celebrius ſupra ſcriptis exiſtit, verum ad induratorum ſolutionem illis inferius. *Aliud Dioſcoridis medicamentum confectum, ad difficiles artuum motus et ad ancylas. Tollit omnem duritiam Facit ad interaneorum affectus abſceſſusque profundos.* ℞ Cerae minam unam, reſinae frictae minae dimidium, galbani minae dimidium, iridis Illyricae minae dimidium, irini faeculae quod ſatis eſt, vini quantum ſufficiat. Medicamentum tuſile eſt, conficitur ſicut priora. Medicamentum antedicto ſuccedens ab Aſclepiade ſcriptum idem eſt ei, quod Heras ad calcem medicamentarii ſui libri conſcripſit, paululum vero quiddam in ſymmetria quatuor ſimplicium medicamentorum evariat, uti innoteſcet quum ambo ſcribemus. Prius autem ab Aſclepiade proditi

Ed. Chart. XIII. [837. 838.] Ed. Baſ. II. (409.)

κατὰ λέξιν οὕτως ἔχοντος. *Λευκίου καθηγητοῦ πρὸς ἀγκύλας ἐπιγραφόμενον. ποιεῖ πρὸς τὰς ἐν βάθει ἀποστάσεις, ποιεῖ καὶ πρὸς τὰς τῶν νεύρων συνολκὰς καὶ τὰς τῶν ἄρθρων κατοχὰς, ἃς ἀγκύλας καλοῦμεν. ποιεῖ ὀπισθοτονικοῖς καὶ πρὸς πᾶσαν νευρικὴν συμπάθειαν. ἔστι δὲ καὶ ἄκοπον ἀγαθὸν, διαλυόμενον ἰρίνῳ ἢ κυπρίνῳ ἢ δαφνίνῳ. ποιεῖ πρὸς τὰ χρόνια καὶ δυσαλθῆ σκληρώματα.* ℞ *βδέλλου* ⊰ *ιστ΄ στέατος μοσχείου* ⊰ *ιστ΄. ἀμμωνιακοῦ θυμιάματος* ⊰ *ιστ΄. ἴρεως Ἰλλυρικῆς* ⊰ *ιστ΄. ὀποπάνακος* ⊰ *η΄. χαλβάνης* ⊰ *η΄.* [838] *κάγχρυος* ⊰ *η΄. στύρακος* ⊰ *η΄. λιβάνου* ⊰ *η΄. πεπέρεως κόκκους ρξ΄. ἰρίνου μύρου ὑποστάθμης ὅσον ἐξαρκεῖ, κηροῦ, τερμινθίνης ἀνὰ ἡμίλιτρον, οἴνου τὸ ἱκανὸν, κοπτόν ἐστι τὸ φάρμακον, σκεύαζε καθὰ προείρηται. ὅπη τοίνυν ὁ Ἥρας διεφώνησεν ἐν τῇ τῶν ἁπλῶν συμμετρίᾳ πρὸς τὸν Ἀσκληπιάδην, ὡς ὑπεσχόμην, ἤδη δηλώσω. πρῶτον ἁπάντων ἔγραψεν ὁ Ἀσκληπιάδης φάρμακον βδέλλου ὁλκὰς ιστ΄. ὁ δὲ Ἥρας οὐ βδέλλου, ἀλλὰ βδελλίου ὁλκὰς π΄. πενταπλάσιαι*

mentionem faciemus, quod ad verbum ita habet. *Lucii praeceptoris ad ancylas inſcriptum. Facit ad abſceſſus in alto corporis obortos, facit ad nervorum contractiones et articulorum ligationes, quas ancylas vocamus, ſuccurrit opiſthotonicis, valet ad omnem nervorum dolorem ex conſenſu, eſt etiam acopon bonum irino vel Cyprino vel laurino ſolutum, facit et ad veteres contumacesque duritias.* ℞ Bdellii drachmas ſedecim, ſevi vitulini drachmas ſedecim, guttae ammoniaci drachmas ſedecim, iridis Illyricae drach. ſedecim, opopanacis ʒ viij, galbani ʒ viij, cauchryos drach. viij, ſtyracis drachmas octo, thuris drach. viij, piperis grana centum ſexaginta, irini unguenti ſaeculae quod ſatis ſit, cerae, terebinthinae, ſingulorum ſelibram, vini quod ſatis eſt. Tuſile eſt medicamentum, ſuperiorum modo conficitur. Ubi igitur Heras ab Aſclepiade in ſimplicium ſymmetria diſſenſerit, quod pollicitus ſum, jam indicabo. Primum omnium ſcripſit Aſclepiades medicamentum, bdelli drach. xvj. Heras autem non bdelli, ſed bdellii drach. lxxx,

Ed. Chart. XIII. [838.] Ed. Baſ. II. (409. 410.)

δέ εἰσιν αὗται τῶν ιστ'. δηλονότι, ἐφεξῆς δὲ στέατος μοσχείου ὁλκὰς ιστ'. γράψαντος τοῦ Ἀσκληπιάδου, πενταπλασίας ὁ Ἥρας ἔγραψεν, ὡς καὶ τοῦ βδελλίου. πενταπλάσιαι γὰρ δηλονότι αἱ π'. δραχμαὶ τῶν ι'. καὶ στ'. εἰσί. τρίτον ἐπὶ τοῖς γεγραμμένοις ὁ Ἀσκληπιάδης ἔγραψε φάρμακον, ἀμμωνιακὸν θυμίαμα καὶ τούτου τὰς ≺ ιστ'. ἀξιῶν βάλλεσθαι. κατὰ τὴν ἀναλογίαν οὖν τῶν ἔμπροσθεν ἐχρῆν καὶ τὸν Ἥραν π'. γεγραφέναι ≺. ἔγραψε δ' οὐ τοσαύτας, ἀλλὰ ρ'. ὥστε πλέονας ἐνέβαλεν κ'. ἄλλο δ' ἐπὶ τοῖς προγεγραμμένοις φαρμάκοις ἔγραψεν ὁ Ἀσκληπιάδης, οὕτως εἰπών, ἴρεως Ἰλλυρικῆς ≺ ιστ'. ἐφύλαξε δὲ τούτου τὴν ἀναλογίαν ὁ (410) Ἥρας π'. γράψας. ἐπὶ τοῖς προγεγραμμένοις φαρμάκοις ἔγραψεν ὁ Ἀσκληπιάδης ὀποπάνακος ≺ η'. ἐφύλαξε δὲ καὶ τὴν πρὸς τοῦτο ἀναλογίαν ὁ Ἥρας μ'. γράψας ἕκτου φαρμάκου, χαλβάνης ἐμνημόνευσεν ὁ Ἀσκληπιάδης ≺ η'. ἐμβαλών. ἐφύλαξε καὶ τὴν πρὸς αὐτὴν ἀναλογίαν ὁ Ἥρας, πενταπλασίαν ἀξιῶν ἐμβάλλεσθαι. πενταπλάσιαι γάρ εἰσιν αἱ μ'. τῶν η'. ἑβδομον φάρμακον ὁ Ἀσκληπιάδης ἔγραψεν οὕτως. κάγχρυος

qui quinquies ſexdecim adaequant. Deinceps ſevi vitulini drachmas ſexdecim ſcribente Aſclepiade, Heras quinquies totidem poſuit, ſicut et bdellii, nam lxxx, drachmae quinquies ſedecim comprehendunt. Tertium ab his medicamentum Aſclepiades ſubjunxit, guttam ammoniaci et hujus ſedecim drachmas injiciendas cenſuit. Itaque juxta priorum proportionem Heram quoque drach. lxxx, ſcripſiſſe conveniebat, tot autem non ſcripſit, ſed centum, quare viginti plures illo indidit. Aliud poſt commemorata medicamenta protulit Aſclepiades hiſce verbis, iridis Illyricae drach. xvj. Heras hujus proportionem ſervavit ʒ lxxx, ſcribens. Quintum poſt praedicta medicamenta opopanacis ʒ viij, Aſclepiades ſcripſit. Heras autem hic quoque proportionem ſervavit quadraginta ponens. Sexto medicamenti meminit galbani Aſclepiades, qui ʒ viij, injecit. Heras etiam in eo proportionem repraeſentat, quintuplam cenſens immittendam, quippe quadraginta drachmae quinquies octonas abſolvunt. Septimum medicamentum Aſclepiades

Ed. Chart. XIII. [838.] Ed. Baf. II. (410.)

ϟ η'. ἐχρῆν οὖν καὶ τὸν [a]Ηραν, εἴπερ ἐφύλαττε τὴν ἀναλογίαν, μ'. βάλλειν, νυνὶ δὲ οὐχ οὕτως, ἀλλὰ διπλασίας ισ'. γὰρ αὐτὸς γέγραφεν. ὀγδόου στύρακος ὁ [b]Ασκληπιάδης μέμνηται ϟ η'. ἐμβαλὼν. ἐφύλαξε τὴν ἀναλογίαν τούτου ὁ [c]Ηρας, πενταπλάσιον ἐμβαλών. ἕνατον φάρμακον ἔγραψεν ὁ [b]Ασκληπιάδης, λιβανωτοῦ ϟ η'. ἐμβαλὼν αὐτοῦ, ὁ δὲ [d]Ηρας οὐ πενταπλάσιον, ἀλλὰ διπλάσιον ἀξιοῖ. δεκάτου δὲ πεπέρεως ἐμνημόνευσεν ὁ [b]Ασκληπιάδης ρξ'. κόκκους ἐμβαλών, ᾧ πάλιν συμφώνως ὁ [d]Ηρας φ'. ἔβαλεν. ἔν τισι τῶν ἀντιγράφων οὐκ οἶδ' ὅπως κ'. εἰσὶ γεγραμμένοι, καθάπερ ἐν ἑτέροις ρή'. ἑνδέκατον ἔγραψεν ὁ [b]Ασκληπιάδης κηρὸν, ὥσπερ καὶ ιβ'. τὴν τερμινθίνην ῥητίνην ἑκατέρου βάλλειν ἀξιῶν ἡμίλιτρον. ἐχρῆν οὖν καὶ τὸν [d]Ηραν εἴπερ ἐφύλαττε τὴν ἀναλογίαν, πενταπλάσιον ἐμβάλλειν ἑκατέρων, ὅπερ ἦν ἀνὰ λίτρας β'. ἔτι καὶ ἥμισυ προσκείμενον τῆς λίτρας. ὁ δὲ οὐχ οὕτως, ἀλλ' ἑκατέρου τρεῖς λίτρας ἀξιοῖ βάλλειν καὶ οὐγγίας δ'. εὔδηλον οὖν ὅτι τοῦ μὲν κάγχρυος ὁ [d]Ηρας ἐμβάλ-

ita expoſuit canchryos ʒ viij. Oportuit igitur et Heram, ſi proportionem obſervabat quadraginta indere, nunc autem non ſic, verum duplices, puta ſexdecim, ipſe conſcripſit. Octavo ſtyracis Aſclepiades meminit ʒ viij, injiciens. Heras proportionem hujus quintuplo immiſſo obſervavit. Nonum medicamentum poſuit Aſclepiades, thuris ʒ viij, miſcens. Heras non quintuplum, ſed duplum ſumere praecipit. Decimo piperis meminit Aſclepiades centum ſexaginta granis immiſſis, cui Heras rurſus conſentiens octingentas injecit. In quibusdam exemplaribus haud novi quomodo viginti ſcripta ſint, quemadmodum in aliis centum et octo. Undecimum tradidit ceram Aſclepiades, ſicut et duodecimum reſinam terebinthinam utriusque ſelibram immittendum exiſtimans. Ratio igitur exigebat et Heram, ſi proportionem volebat referre quintuplum utriusque indere, quod erat ſingulorum libras duas, inſuper librae dimidium, ille vero non ita, ſed libras tres et uncias quatuor miſcere jubet. Unde clarum evadit Heram canchryos duplum ad propor-

Ed. Chart. XIII. [838. 839.] Ed. Baſ. II. (410.)

λει διπλάσιον τῆς ἀναλογίας, ὥσπερ καὶ τοῦ λιβανωτοῦ. τοῦ δὲ ἀμμωνιακοῦ θυμιάματος ἐπλεόνασεν ἐν τῷ τετάρτῳ μέρει, καθάπερ γε καὶ τῆς τερμινθίνης ῥητίνης μετὰ τοῦ κηροῦ γ'. καὶ γὰρ ἐπὶ τούτων ἐπλεόνασε τῷ τρίτῳ μέρει καὶ κατὰ τοῦτο παραπλησίαν ἐποίησε τὴν ὅλην σύνθεσιν τοῦ φαρμάκου τῆ τοῦ Ἀσκληπιάδου. πλεονάσας γὰρ ἐν τῇ τοῦ κάγχρυος συμμετρίᾳ μηδὲν ἔχοντος μαλακὸν, ἀλλὰ μόνον διαφορητικὸν, συνηύξησεν αὐτῷ καὶ τὰ μαλακτικὰ, τόν τε λιβανωτὸν καὶ τὸν κηρὸν καὶ τὴν τερμινθίνην. τοῦτο μὲν οὖν τὸ φάρμακον Λευκίου μὲν ὀνομάζει τοῦ καθηγητοῦ Ἀσκληπιάδης, ὅπῃ δὲ διαφέρεται τῷ Ἡρᾷ διῆλθον. ἐσχάτης δὲ τάξεώς ἐστι τῶν μαλακτικῶν, οὐ γὰρ ἂν εὕροις αὐτοῦ μαλακτικώτερον τῶν σκιῤῥουμένων. ἐστόχασται δὲ ὁ συνθεὶς αὐτὸ καὶ τοῦ διαφορεῖν τὸ περιεχόμενον ἐν τοῖς σκιῤῥουμένοις. [839] τὰ δὲ ἄλλα φάρμακα τὰ πρὸ αὐτοῦ βραχὺ πλεονεκτεῖ τῶν προγεγραμμένων. ἐν αὐτοῖς δὲ περιέχεται καὶ τὰ τμητικὰ τῶν πεπαχυμμένων καὶ γλίσχρων χυμῶν, ἃ πολλάκις γίγνεται χρήσιμα τοῖς σκιῤῥουμένοις ὄγκοις, ὅταν ὑπὸ γλίσχρων χυμῶν ἡ σκίῤῥωσις αὐτῶν κατασκευάζηται. μετρίως

tionem imponere ſicut et thuris. Ammoniaci vero guttam quadruplo copioſiorem adjecit, quemadmodum et terebinthinae ceraeque triplo, etenim in his tertia parte exuperavit, atque hac re totam medicamenti compoſitionem, Aſclepiadis confecturae ſimilem effecit. Exuperans enim in ſymmetria canchryos emolliens nihil habentis, ſed diſcutiens, adauxit ei et emollientia, thus puta, ceram et terebinthinam. Hoc igitur medicamentum Lucii quidem praeceptoris nominat Aſclepiades, ubi vero differat ab Hera, percenſui. Caeterum extremi emollientium ordinis eſt, ut quo nullum indureſcentia magis emollire comperias. Porro medicamenti auctor huc etiam animi intentionem direxit, ut quod in ſcirrho induratis continetur diſcutiat. Reliqua medicamenta praecedentia parum jam dicta ſuperant. Habent enim in ſe ipſis amplius incraſſatorum viſcoſorumque humorum inciſoria, quae ſaepe tumoribus ſcirrhoſis ex uſu ſunt, quum viſcoſi humores illos produxeriut ita-

Ed. Chart. XIII. [839.] Ed. Baſ. II. (410.)

μὲν οὖν ὁ ὀποπάναξ λεπτύνει. καλοῦσι δὲ οὕτως τὴν ῥίζαν τοῦ πάνακος, οὗ τὸν καυλὸν ὀπίζοντες τὸν ὀποπάνακα ποιοῦσιν, ἔστι γὰρ ῥυπτικῆς, οὐ τμητικῆς δυνάμεως. τέμνει δὲ καὶ ῥύπτει καὶ διαφορεῖ σφοδρῶς οὐ μόνον χυμοὺς πεπαχυμμένους τε καὶ γλίσχρους, ἀλλὰ καὶ αὐτὰ τὰ στερεὰ σώματα, μετ' αἰγείας κόπρου τὸ ὄξος, ἅτινα πρόσκειται τῷ μετὰ τὸ προκείμενον φάρμακον ἐφεξῆς γεγραμμένῳ, ὃ φησιν Ἀλκιμίωνος ἐπιγεγράφθαι. γράφει μὲν οὖν περὶ τοῦ προτέρου τόνδε τὸν τρόπον. ἄλλο μάλαγμα Μάρκου Τελεντίου Ἀσκληπιάδου, σφόδρα γενναῖον πρὸς τὰς προειρημένας διαθέσεις. μάλιστα δὲ ποιεῖ πρὸς τὰς τῶν μητρῶν ἐμπνευματώσεις, ἐπιγραφόμενον τὸ φάρμακον Ἀσκληπιάδειον διὰ τὸ ἀναφέρεσθαι εἰς τὸν Βιθυνὸν Ἀσκληπιάδην. ℞ σμύρνης ≺ γ'. ἄλλως γο γ'. ὀποπάνακος ἡμίλιτρον, κηροῦ λίτραν α' S''. χαλβάνης γο γ'. μάννης ἡμίλιτρον, ἀμμωνιακοῦ θυμιάματος ἡμίλιτρον, ῥητίνης φρυκτῆς λίτραν α' S''. ὄξους κοτύλην α'. χρηστέον δ' αὐτῷ καὶ πρὸς πᾶσαν νευρικὴν συμπάθειαν. ἄλλο Ἀλκιμίωνος ἐπιγραφόμενον. ℞ κηροῦ λίτραν α'.

que opopanax modice attenuat, vocant autem ſic radicem panacis, cujus caulis liquore expreſſo opopanacem faciunt, eſt enim deterſoriae non inciſoriae facultatis. Acetum autem cum ſtercore caprino incidit, deterget diſcutitque vehementer non modo humores incraſſatos ac lentos, verum ſolidas etiam partes ipſas. Quaedam appoſita ſunt medicamenti ordine propoſitum ſequenti, quod Alcimionis titulum habere dixit. Scribit ergo de priore hunc in modum. *Aliud malagma Marci Telentii Aſclepiadis, valde generoſum ad idem, praecipue vero valet ad uteri inflationes, inſcribitur Aſclepiadeum medicamentum eo, quod ad Aſclepiadem Bithynum auctorem refertur.* ℞ Myrrhae drachmas tres, alias uncias tres, opopanacis ſelibram, cerae libram unam et dimidiam, galbani uncias tres, mannae ſelibram, guttae ammoniaci ſelibram, reſinae frictae libram unam et dimidiam, aceti heminam unam. Utendum eſt eo etiam ad omnem nervorum ex conſenſu dolorem. *Aliud Alcimionis titulo inſcriptum.* ℞ Cerae libram unam et

Ed. Chart. XIII. [839.] Ed. Baſ. II. (410.)

ἥμισυ, ῥητίνης κολοφωνίας λίτραν α′ S″. ἀμμωνιακοῦ θυμιάματος λίτραν α′ S″. χαλβάνης οὐγγίας γ′. σμύρνης γο γ′. λιβάνου γο γ′. ὀποπάνακος λίτραν α′ S″. προπόλεως οὐγγίας γ′. ὄξους ξέστας β′. αἰγείας κόπρου γο γ′. τρῖβε ἀμμωνιακὸν, ὄξους ἐπιβαλὼν ξε. α′. εἶτα ἐπίβαλλε τούτοις σμύρναν, λίβανον, ὀποπάνακα καὶ πάλιν λέαινε. τὴν δὲ πρόπολιν κόπτε μετὰ τὴν χαλβάνην. τὸν δὲ κηρὸν καὶ τὴν ῥητίνην ἕψε, ἐπιβαλὼν ἐλαίου κοτύλας β′. καὶ ὅταν συστραφῇ, ἐπίβαλλε πρόπολιν καὶ χαλβάνην, κινῶν συνεχῶς. καὶ ὅταν διαλυθῇ, ἄρας ἀπὸ τοῦ πυρὸς ἔα ψυγῆναι, καὶ ἀποξύσας ἐπίβαλλε τοῖς λεανθεῖσι καὶ μίξας, ἀνελόμενος χρῶ. ἐπὶ τῷ προγεγραμμένῳ μαλάγματι γέγραπται κατὰ τὸ Ἀσκληπιάδου βιβλίον ἕτερον, ὀλίγον μὲν ἔχον μαλακτικῆς δυνάμεως, τὸ πλέον δὲ θερμαντικῆς. ἔχει δὲ οὐ μόνον γεντιανῆς χυλὸν, ἀλλὰ καὶ τοὺς ὀπούς, τόν τε τοῦ πευκεδάνου καὶ τὸν τοῦ σαγαπηνοῦ, θερμαίνοντα σφοδρῶς φάρμακα. μέμικται δ' αὐτῷ καὶ ἀφρόνιτρον καὶ λίθου Ἀσίου ἄνθος, λεπτυντικῆς

dimidiam, reſinae colophoniae libram unam et dimidiam, guttae ammoniaci libram unam et dimidiam, galbani uncias tres, myrrhae uncias tres, thuris uncias tres, opopanacis libram unam et dimidiam, propolis uncias tres, aceti ſextarios duos, ſtercoris caprini uncias tres. Ammoniacum teritur, aceti ſextario injecto, deinde his myrrha, thus, opopanax adduntur rurſusque laevigantur, propolis poſt galbanum contunditur, cera reſinaque coquitur, olei heminis duabus affuſis, ubi confluxerint, propolim et galbanum adjicito movens continue, poſtquam diſſolveris ab igne ſublata refrigerari ſinito et deraſa laevigatis indito, quum una miſcueris excipito ac utitor. Poſt nominatum malagma aliud in Aſclepiadis libro ſcriptum eſt, quod quidem emolliendi facultatis parum, calefactoriae vero plus obtinet, habet autem non gentianae ſuccum modo, ſed peucedani et ſagapeni etiam liquores, calida admodum medicamenta. Caeterum mixtum ei eſt et aphronitrum et lapidis Aſii flos attenuantis incidentisque poteſtatis medi-

Ed. Chart. XIII. [839. 840.] Ed. Baſ. II. (410)

τε καὶ τμητικῆς δυνάμεως φάρμακα. τὸ δὲ θεῖον τὸ ἄπυρον ὅτι θερμαίνει, πάντες ἴσασι, καθάπερ γε καὶ τὸν πισσίτην οἶνον. ὑπογράψω δὲ καὶ τοῦτο τὸ φάρμακον αὐτῇ τοῦ Ἀσκληπιάδου λέξει. μάλαγμα φαρμιανὸν ἐπιγραφόμενον πρὸς τὰς προειρημένας διαθέσεις. μάλιστα δὲ ποιεῖ πλευριτικοῖς, καὶ γὰρ παραχρῆμα λύει τοὺς πόνους ἐπιτιθέμενον ἐν αὐτοῖς τοῖς παροξυσμοῖς. δεῖ δὲ μετὰ τὴν ἐπίθεσιν τοῦ φαρμάκου ἐρεύθου περὶ τοὺς τόπους γενομένου βαστάζειν τὸ σπλήνιον καὶ πάλιν διαστήσαντας ἐπιθεῖναι, λύει καὶ τὰς κεχρονισμένας διαθέσεις. ℔ κηροῦ λίτρας ε΄. ἢ λίτραν α΄. ἀμμωνιακοῦ θυμιάματος λίτρας γ΄. φρυκτῆς γο γ΄. ἢ λίτραν α΄. τερμινθίνης λίτραν α΄. λιβάνου λι. α΄ S″. σμύρνης γο στ΄. ἀλόης γο στ΄. οἰσύπου γο γ΄. γεντιανῆς χυλοῦ γο γ΄. ὀποῦ πευκεδάνου γο γ΄. ἢ ὀποπάνακος γο στ΄. σαγαπηνοῦ γο δ΄. ἀφρονίτρου οὐγγίας στ΄. λίθου Ἀσίου ἄνθους γο στ΄. προπόλεως γο γ΄. θείου ἀπύρου γο δ΄. οἴνου πισσίτου ξέστας ε΄. ἔψε δὲ πισσίτην καὶ τὸν χυλὸν τῆς γεντιανῆς, τὰ δὲ τηκτὰ τήξας ἅα ψυγῆναι. [840] τὸ δὲ ἀμμωνιακὸν καὶ τὸν λίβα-

camenta. Jam ſulphur vivum caleſacere omnes norunt, quemadmodum et vinum picatum. Subjungam et hoc medicamentum ipſius Aſclepiadis verbis. *Malagma Pharmianum ad praedictos affectus inſcriptum. Summe facit pleuriticis, quippe dolores ſubito in ipſis acceſſionibus ſolvit impoſitum. Oportet autem ubi ipſum impoſueris, rubore in parte affecta excitato ſplenium auferre, ac rurſus intervallo temporis imponere, item diuturna vitia diſſolvit.* ℔ Cerae libras quinque, alias libram unam, ammoniaci thymiamatis lib. ij, frictae uncias tres vel libram unam, terebinthinae libram unam, thuris libram unam et dimidiam, myrrhae uncias ſex, aloës uncias ſex, oeſypi ℥ ij, gentianae ſucci uncias tres, peucedani liquoris uncias tres vel opopanacis uncias ſex, ſagapeni ℥ iv, aphronitri ℥ vj, lapidis Aſii floris ℥ vj, propolis ℥ iij, ſulfuris vivi ℥ iv, vini picati ſextarios v, picatum et gentianae ſuccum incoquito, quae liquari poſſunt ubi liqueſeceris, refrigerari ſinito, guttam ammoniaci, thus, myrrham et aloën conte-

Ed. Chart. XIII. [840.] Ed. Baſ. II. (410. 411.)

γον καὶ τὴν σμύρναν καὶ τὴν ἀλόην συντρίψας καὶ βαλὼν εἰς θυείαν, ἐπίβαλλε τούτοις τὸ ὑγρόν. καὶ ὅταν διαλυθῇ, τρῖβε φιλοπόνως. τὰ δὲ ξηρὰ κόψας καὶ σήσας ἐπίβαλλε τοῖς λεανθεῖσι, καὶ ἀνακόψας ἐπιμελῶς ἐπίβαλλε τούτοις τὰ τηκτὰ ἀναζεθέντα χωρὶς ἐγκηρίδων. καὶ μίξας, ἀνελόμενος χρῶ. μετὰ τὸ προειρημένον ἐφεξῆς ἔγραψεν ὁ Ἀσκληπιάδης ἕτερον μάλαγμα παραπλησίως αὐτῷ κατὰ τήνδε τὴν λέξιν. ἄλλο τὸ τοῦ Νεαπολίτου, ἐσκευάσθη Ἀκυλίᾳ Σεκουνδίλλῃ. ℞ *οἴνου πισσίτου ξέστας στ΄. κηροῦ λίτρας στ΄. ἀμμωνιακοῦ θυμιάματος λίτρας γ΄. φρυκτῆς λίτρας γ΄. τερμινθίνης λίτραν α΄ S″. λιβάνου λίτραν α΄ S″. σμύρνης γο στ΄. ἀλόης γο στ΄. ἀφρονίτρου γο στ΄. λίθου Ἀσίου ἄνθους οὐγγίας στ΄. γεντιανῆς χυλοῦ τῆς ῥίζης γο στ΄. σαγαπηνοῦ γο δ΄. θείου ἀπύρου γο δ΄. (411) προπόλεως γο δ΄. πάνακος ῥίζης γο γ΄. σαμψύχου γο γ΄. πεπέρεως λευκοῦ γο γ΄. σκεύαζε καὶ χρῶ καθὰ προείρηται.*

Κεφ. ζ΄. [Τὰ ὑπ᾽ Ἀνδρομάχου γεγραμμένα μάλαγματα.] Μάλαγμα σκληρὸν καὶ ξηρόν. ℞ *πίσσης λίτρας γ΄. κηροῦ*

rito, in pilam conjectis liquidum affundito, ſoluta ſludioſe conterito, arida vero tunſa cribrataque laevigatis indito ac rurſus diligenter tunſis liquida ferveſacta adjungito, absque grumis, qui encerides dicuntur, quum miſcueris excipito ac utitor. Poſt praedictum aliud deinceps malagma perſimile Aſclepiades hiſce verbis conſcripſit. *Aliud Neapolitani praeparatum eſt Aquiliae Secundillae.* ℞ Vini picati ſextarios ſex, cerae libras ſex, guttae ammoniaci libras tres, frictae libras tres, terebinthinae libram unam et dimidiam, thuris libram unam et dimidiam, myrrhae ℥ vj, aloës uncias ſex, aphronitri ℥ vj, lapidis Aſii floris ℥ vj, gentianae radicis ſucci uncias ſex, ſagapeni uncias quatuor, ſulfuris vivi uncias quatuor, propolis uncias quatuor, panacis radicis uncias tres, ſampſuchi uncias tres, piperis albi uncias tres. Praeparato ac utitor, ut praedictum eſt.

Cap. VII. [*Andromachi malagmata.*] *Malagma durum et aridum.* ℞ Picis lib. ij, cerae libras duas, reſinae

Ed. Chart. XIII. [840.] Ed. Baſ. II. (411.)

λίτρας β'. ῥητίνης λίτραν α'. χαλβάνης γο β'. ἀμμωνιακοῦ θυμιάματος γο β'. μάννης γο δ'. ὄξους ξε. γ'. πευκεδάνου χυλοῦ τῆς ῥίζης γο στ'. οἰσύπου γο δ'. ἄλλως. ℞ πίσσης λίτρας δ'. κηροῦ λίτρας β'. ῥητίνης λίτραν α'. ἀμμωνιακοῦ θυμιάματος λίτραν α'. μάννης λίτραν α'. χαλβάνης γο στ'. ἕτεροι λίτραν α'. ὄξους ξέστας γ'. ἄλλη Ἀριστοκλέους. ℞ πίσσης λίτρας δ'. κηροῦ λίτρας η'. ῥητίνης φρυκτῆς λίτρας δ' τερμινθίνης λίτρας δ'. ἀμμωνιακοῦ θυμιάματος λίτρας β'. γο η'. χαλβάνης λίτραν α'. οὐγγίας δ'. ἄλλο τὸ πρὸς ἀγκύλας. ℞ βδελλίου ⊲ ιστ'. λιβάνου ⊲ ιστ'. ἀμμωνιακοῦ θυμιάματος ⊲ η'. ὀποπάνακος ⊲ η'. χαλβάνης ⊲ η'. στέατος μοσχείου ⊲ ιστ'. πεπέρεως κόκκους ρξ'. στύρακος ⊲ η'. κάγχρυος ⊲ ιστ'. ἴρεως Ἰλλυρικῆς ⊲ ιστ'. τερμινθίνης μνᾶς ἥμισυ, κηροῦ μνᾶς ἥμισυ, κυπρίνου κοτύλας δ'. οἴνου τὸ ἱκανόν. τὸ διὰ μελιλώτου. ℞ νάρδου Κελτικῆς ⊲ ι' κυπέρεως ⊲ η'. καρδαμώμου ⊲ η'. ἴρεως Ἰλλυρικῆς ⊲ η'. σμύρνης ⊲ η'. πρόκου ⊲ δ'. μελιλώτου ⊲ κέ. ἀμμωνιακοῦ θυμιάματος

libram unam, galbani uncias duas, guttae ammoniaci uncias duas, mannae uncias iv, aceti ſextarios tres, peucedani ſucci radicis uncias ſex, oeſypi uncias quatuor. *Aliter.* ℞ Picis libras quatuor, cerae libras duas, reſinae libram unam, guttae ammoniaci libram j, mannae libram unam, galbani uncias ſex, alii libram j, aceti ſextarios tres. *Aliud Ariſtoclis.* ℞ Picis lib. iv, cerae lib. viij, reſinae frictae lib. iv, terebinthinae lib. iv, guttae ammoniaci lib. ij, ʒ viij, galbani libram unam uncias iv. *Aliud ad ancylas.* ℞ Bdellii drach. ſedecim, thuris drach. ſedecim, guttae ammoniaci drach. octo, opopanacis drach. octo, galbani ʒ viij, ſevi vitulini ʒ xvj, piperis grana centum ſexaginta, ſtyracis ʒ octo, canchryos drach. ſedecim, iridis Illyricae drach. ſedecim, terebinthinae minae dimidium, cerae minae dimidium, Cyprini heminas iv, vini quod ſatis eſt. *Malagma ex meliloto.* ℞ Nardi Celticae ʒ x, cyperi drach. viij, cardamomi ʒ viij, iridis Illyricae ʒ viij, myrrhae drach. viij, croci drach. iv, meliloti ʒ xxv, guttae ammoniaci drach.

Ed. Chart. XIII. [840.] Ed. Baſ. II. (411.)

≺ η'. τερμινθίνης ≺ν'. κηροῦ νέου ≺ ρ'. κυπρίνου κοτύλης ἥμισυ, ὄξους τὸ ἱκανόν. τινὲς ἀμμωνιακοῦ θυμιάματος ≺ρ'. πρὸς τὰ ἐντὸς πάντα. ℞ διὰ σπερμάτων. ♃ ἀμμωνιακοῦ θυμιάματος ≺ ν'. κηροῦ ≺ ν'. τερμινθίνης ≺ ν'. τήλεως ≺ κε'. στέατος ταυρείου τεθεραπευμένου ≺ κε'. ἴρεως Ἰλλυρικῆς ≺ κε'. νίτρου ≺κε'. μέλιτος κοτύλας στ'. ὄξους κοτύλην α'. πάνακος ≺ κε'. κυπρίνου ὀλίγον. ὡς δὲ Φιλωνίδης. ♃ τήλεως σπέρματος, ἀνίσου σπέρματος, στύρακος, ῥυπαροῦ βδελλίου, μάννης, λιβάνου, καρδαμώμου, κυπέρου νέου. πάνακος ῥίζης, ἴρεως Ἰλλυρικῆς, ἀφρονίτρου, ἑκάστου ἀνὰ ≺ κε'. ἀμμωνιακοῦ θυμιάματος, τερμινθίνης ἀνὰ ≺ ν'. στέατος ταυρείου ≺ ξ'. μελιλώτου ≺ ξ'. κηροῦ ≺ β'. ἄλλως ρ'. μέλιτος κοτύλης ἥμισυ. οἴνου κοτύλην α'. ἄλλο, ὡς Ἁρπόκρας. ♃ τήλεως, νίτρου, πάνακος, ἴρεως ἀνὰ δραχμὰς ἡ. τερμινθίνης, ἀμμωνιακοῦ θυμιάματος, κηροῦ ἀνὰ ≺ ρ'. στέατος ταυρείου ≺ ρ'. ἄλλως ν'. μέλιτος λι. α'. ὄξους ξέστας β'. σελίνου σπέρματος, κυμίνου, μαράθρου ἢ ἀνίσου

viij, terebinthinae ʒ l, cerae novae ʒ c, cyprini heminae dimidium, aceti quod ſatis eſt, quidam guttae ammoniaci ʒ c. Ad interiora omnia. *Diaſpermaton*, id eſt *ex ſeminibus*. ♃ Guttae ammoniaci ʒ l, cerae ʒ l, terebinthinae ʒ l, foenigraeci drach. xxv, ſevi taurini curati drach. xxv, iridis Illyricae drachm. viginti quinque, nitri ʒ xxv, mellis heminas ſex, aceti heminam j, panacis ʒ xxv, cyprini parum. *Ut autem Philonides.* ♃ Foenigraeci ſeminis, aniſi ſeminis, ſtyracis, bdellii ſordidi, mannae thuris, cardamomi, cyperi novi, panacis radicis, iridis Illyricae, aphronitri, ſingulorum drach. xxv, guttae ammoniaci, terebinthinae, ſingulorum drach. quinquaginta, ſevi taurini drach. ſexaginta, meliloti drach. ſexaginta, cerae drach. duas, alias c, mellis heminae dimidium, vini heminam unam. *Aliud ut Harpocras.* ♃ Foenigraeci, nitri, panacis, iridis, ſingulorum drach. octo, terebinthinae, guttae ammoniaci, cerae, ſingulorum drach. c, ſevi taurini ʒ c, alias l, mellis lib. j, aceti ſextarios ij, apii ſeminis, cumini, foeniculi vel aniſi, ſingu-

Ed. Chart. XIII. [840. 841.] Ed. Baſ. II. (411.)

ceratis, cujusmodi et in luxatis fracturisque utimur, eſt propinqua. Talis namque conſiſtentiae humidiſſimum eſt, quod a junioribus medicis cerelaeon appellatur, deinde illitus acopi, poſt hos liquidorum ceratum craſſiore ſubſtantia praeditum, mox ceratum tenerorum et mollium uti vocant, poſtremo amolynta, id eſt *non inquinantia*, ſimilia his quae proprie epithemata dicuntur. His ſuccedit emplaſtrorum conſiſtentia, quae et ipſa in majoris minorisque ratione haud mediocrem obtinent differentiam. Quare nonnulli medicorum quaedam nomine a ſola conſiſtentia ita deſumpto, ceratomalagmata nuncuparunt, medicamenta inquam inter ea, quae corpori imponuntur, non etiam quidem humida, dura vero nondum tantopere ut emplaſtra. Quum igitur omnes citatae differentiae non facultatis medicamentorum, ſed conſiſtentiae formae ſint indices, acoporum appellatio quondam ſane medicamentorum facultatem, poſtea conſiſtentiam ſignificavit, hujusque rei cauſa cum diſtinctionibus ea nominare coacti ſunt, hoc quidem

Ed. Chart. XIII. [849.] Ed. Baſ. II. (415.)

τουτὶ μὲν ἄκοπον, χαλαστικὸν, τουτὶ δὲ μαλακτικὸν ἢ θερμαντικὸν ἢ ἀνώδυνον ἢ μετασυγκριτικὸν προσαγορεύσαντες, ὥσπερ γε καὶ πρὸς τόδε τι πάθος ἁρμόττειν, οἷον ἰσχιάδα, παράλυσιν, πλευρῶν ὀδύνην ἢ κοινῇ πρὸς ἁπάσας ὀδύνας. αὐτοφυὲς μὲν οὖν ἐστι φάρμακον ἁπλοῦν, ἀρωγὸν ἅπασι κόποις τὸ ἔλαιον, ὃ καὶ χωρὶς προσθήκης ὀνομάζομεν, ἐπειδὴ καὶ μόνον ἦν τοῖς παλαιοῖς χρόνοις, ὕστερον δὲ τό τε κίκινον ἔλαιον αὐτῷ προσετέθη παρά γε ὑμῖν. ἐν Αἰγύπτῳ γὰρ καὶ τοῦτο παλαιὸν ἦν καὶ μετὰ τὸ κίκινον αὖθις ἄλλα, τό τε ῥαφάνινον καὶ τὸ σινάπινον καὶ τὸ σησάμινον, ἔτερά τε τοιαῦτα, καθάπερ καὶ παρ' ἡμῖν κρίνινόν τε καὶ μαστίχινον καὶ σχίνινον, ὅσα τε τούτων ποικιλώτερα μέχρι καὶ τῶν μύρων. εὔδηλον οὖν ὅτι τὰ παρὰ τοῖς παλαιοῖς ἄκοπα καλούμενα φάρμακα, πάνθ' ὑγρὰ ταῖς συστάσεσιν ἀναγκαῖον εἶναι, τοὺς μὲν ἐπιπολῆς κόπους ἐλαίου μόνου θεραπεύοντος, τοὺς δὲ καὶ διὰ βάθους καὶ σφοδροτέρους, μετά τινος τῶν ἐμβαλλομένων αὐτῷ χαλαστικῶν φαρμάκων, θερμαίνειν συμμέτρως πεφυκότων, ὥσπερ ἡ χαλβάνη τε καὶ ἡ ῥητίνη

acopon laxans, illud emolliens vel calefaciens vel anodynum vel metaſyncriticum appellantes, ſicut etiam ad hunc quendam affectum conferre, verbi gratia iſchiadem, paralyſin, laterum dolorem vel communiter ad univerſos dolores. Nativum igitur eſt medicamentum ſimplex omnium laſſitudinum praeſidium, oleum videlicet, quod et citra adjectionem nominatur, quoniam vetuſtis temporibus ſolum quoque erat, poſteri cicinum oleum apud nos ei appoſuerunt, in Aegypto enim et hoc vetuſtum erat, et rurſus poſt cicinum, raphaninum, ſinapinum et ſeſaminum aliaque ejus generis, quemadmodum etiam apud nos liliaceum, maſtichinum et lentiſcinum, quaeque his magis varia ſunt vel usque ad unguenta. Itaque clarum eſt, medicamenta acopa apud veteres dicta omnia liquidae conſiſtentiae eſſe neceſſario, quippe oleum ſolum laſſitudines externis partibus ingruentes curat, in alto affligentes vehementioresque, cum injecto aliquo laxante medicamento mediocriter calefaciente, veluti galbano, reſina terebinthina, ad hanc colo-

Ed. Chart. XIII. [849.] Ed. Baſ. II. (415. 416.)

τερμινθίνη καὶ πρὸς αὐτῇ κολοφωνία τέ τις ὀνομαζομένη καὶ φρυκτή. θερμότεραι δὲ τούτων ἐλατίνη τέ ἐστι καὶ στροβιλίνη, βραχὺ δὲ τῆς τερμινθίνης ἡ λάριξ ὑπάρχει θερμοτέρα. μίγνυται δὲ τὰ τοιαῦτα πάντα χαλαστικοῖς ἐλαίοις, ὁποῖόν ἐστι τὸ Σαβῖνον, ἐπεμβαλλομένου ποτὲ καὶ κηροῦ. χρίσμα δὲ ἄκοπόν ἐστιν ἐπὶ τῶν ἤδη διὰ βάθους ἀλγούντων καὶ τὸ διὰ τοῦ σπέρματος τῆς ἐλάτης, χαμαιμήλου τε καὶ ἀνήθου (416) καὶ ἄνθους αἰγείρου περὶ ὧν ἐφεξῆς ἐροῦμεν ὅπως σκευάζεται. καὶ τὸ σούσινον δὲ καὶ τὸ γλεύκινον καὶ τὸ κομμαγηνὸν ἐκ τῶν ἀκόπων χρισμάτων ἐστὶν, ὅσα τε διὰ πιμελῆς καὶ στέατος συντίθεται μετριώτατα μὲν χαλῶντος τοῦ ὑείου, μᾶλλον δὲ τούτων τὸ ἀλεκτορίδων καὶ τούτου μᾶλλον ἔτι τὸ χήνειον. ἰσχυρότερον δὲ στέαρ ἐστὶν ὡς θερμαίνειν σφοδρότερον ἤδη καὶ διὰ τοῦτο καὶ διαφορεῖν ἱκανῶς τὸ λεόντειόν τε καὶ παρδάλειον. ἐν δὲ τῷ μέσῳ τούτων ἐστὶ καὶ βοείου τε καὶ αἰγείου τὸ τῶν ἀλωπέκων τε καὶ τῆς ὑαίνης. ταῦτα μὲν οὖν ἅπαντα κατὰ γένος ἐστὶ τῶν κυρίως ὀνομαζομένων ἀκόπων, ἀλλήλων διαφέροντα τῷ μᾶλλόν τε καὶ ἧττον θερμαίνειν, ὥστ' ἔνια καὶ τὸ γένος

phonia quadam nominata et fricta, quibus calidiores ſunt abietina et ſtrobilina, terebinthina vero larix paulo calore praecellit. Caeterum id genus omnia laxantibus oleis miſcentur, quale eſt ſabinum, injecta interdum et cera. Jam vero acopon unguentum eſt in iis, qui jam etiam in corpore alto dolent et medicamentum ex ſemine abietis, chamaemeli, anethi et floris populi nigrae, quorum mox dicemus confecturam. Praeterea ſuſinum et gleucinum et comagenum ex acoporum unguentorum grege eſt et quae ex pinguedine et adipe componuntur, ſuillo quidem moderatiſſime laxante, gallinaceo autem his vehementius et hoc adhuc magis anſerino, at adeps leoninus et pardi validior eſt, ut jam vehementer calefaciat, eoque inſigniter diſcutiat, in medio horum conſiſtunt bubulus, caprinus, vulpis et hyaenae. Haec ſane univerſa in genere ſunt eorum, quae proprie acopa dicuntur, hoc invicem diſcrimine variantia, quod alia magis alia minus calefaciant. Quapropter non-

Ed. Chart. XIII. [849. 850.] Ed. Baſ. II. (416.)

ὅλον ἐκπεπτωκέναι δόξει τῶν ἀκόπων χρισμάτων, ἐπὶ τῶν μα[850]λακῶν σωμάτων ἐξεταζόμενα, καίτοι τοῖς σκληροτέροις, ὁποῖα τὰ τῶν ἀγροίκων ἐστιν, ὠφελιμώτατα φαινόμενα. λέλεκται γὰρ καὶ πολλάκις, ὡς τὰ σκληρὰ σώματα τῶν ἰσχυροτέρων ἀνέχεται φαρμάκων. ὅσα δὲ μαλακὰ καὶ ὑγρὰ, καθάπερ τὰ τῶν παίδων καὶ γυναικῶν καὶ εὐνούχων, οὐ φέρει τὴν τῶν τοιούτων φαρμάκων δύναμιν. εὔδηλον δ' ὅτι καὶ τὰ μυράκοπα καλούμενα τῶν ἀκόπων μιγνυμένων τοῖς μύροις γίγνεται, μηδέν τι βελτίω τῶν ἄλλων ὄντα, πλὴν κατὰ τὴν εὐωδίαν. ὥσπερ οὖν εἴωθα τοῖς πρεσβυτέροις διὰ μακρᾶς πείρας βεβασανισμένα γράφειν, οὕτω καὶ νῦν πράξω τὴν ἀρχὴν ἀπὸ τῶν ὑπ' Ἀσκληπιάδου γεγραμμένων ποιησάμενος.

Κεφ. ιβ'. [Τὰ ὑπ' Ἀσκληπιάδου γεγραμμένα κατὰ τὸ δ'. τῶν ἐκτὸς, ἄκοπά τε καὶ μυράκοπα.] Ἄκοπα πρὸς τὰς ἐκ κόπων ἀηδίας ποιεῖ καὶ νευρικαῖς συμπαθείαις. ἐχρήσατο δὲ Θεμίσων. τὸ φάρμακόν ἐστι σφόδρα καλόν. ℔ σαμψύχου ξέστην α'. λιβανωτίδος ξέστην α'. τήλεως ξέστην α'. καρδα-

nulla genere toto acoporum unguentorum excidiſſe videbuntur, ſi in mollibus ea corporibus examines, etſi durioribus, cujusmodi agreſtium ſunt, utiliſſima appareant, nam multoties etiam diximus dura corpora valentiora medicamenta ſuſtinere, mollia vero et humida, veluti puerorum mulierum et eunuchorum, ejusmodi medicamentorum facultatem ferendo non eſſe. Inſuper cuivis notum eſt et quae vocantur myracopa, ex acoporum cum unguentis temperatura fieri, nihilo caeteris praeſtantiora, niſi odoris ſuavitate. Quemadmodum igitur a vetuſtioribus longo uſu explorata ſcribere conſuevi, ita nunc quoque faciam ab Aſclepiadis ſcriptis ſumpto exordio.

Cap. XII. [*Quae Aſclepiades in quarto exteriorum acopa et myracopa conſcripſerit.*] *Acopon ad laſſitudinum moleſtias benefacit nervis condoleſcentibus. Hoc Themiſo utebatur, medicamentum eſt vehementer bonum.* ℔ Sampſuchi ſextarium j, roriſmarini ſextarium j, foenigraeci

Ed. Chart. XIII. [850.] Ed. Baſ. II. (416.)

μώμου ξέστου ἥμισυ, βράθυος ξέστου ἥμισυ, οἴνου γλυκάζοντος ξέστας γ'. ἐλαίου Βεναφράνου λίτρας γ'. κηροῦ λίτρας β'. τὰ ξηρὰ βαλὼν εἰς τὸν οἶνον ἔα βρέχεσθαι ἐπὶ γ'. ἡμέρας, τῇ δ' ἐπιούσῃ βαλὼν τὸ ἔλαιον καὶ κινήσας ἐπιμελῶς καὶ θεὶς ἐπ' ἀνθράκων, ἔψε κινῶν. καὶ ὅταν συνεχῶς ἀναβράσῃ, ἐκθλιβε τὸ ὑγρὸν καὶ τὸν κηρὸν κατακνήσας καὶ εἰς τοῦτο ἐπιβαλὼν καὶ πάλιν ἐπιθεὶς ἐπὶ τὸ πῦρ, ἔψε. καὶ ὅταν τακῇ ὁ κηρὸς, ἆρας ἀπὸ τοῦ πυρὸς, ἔα ψυγῆναι, καὶ ἀναψύξας ἀπόθου εἰς ἄγγος ὑέλινον ἢ κασσιτέρινον καὶ χρῶ, ποτὲ μὲν ἀκράτῳ, ποτὲ δὲ καὶ ἀνιεμένῳ ἐνὶ τῶν μύρων. ἄλλο. ℞ σαμψύχου ξέστην α'. λιβανωτίδος ξέστην α'. τήλεως ξέστην α'. δάφνης ἀκρεμόνων λίτρας ἓξ, σχοίνου ἄνθους γο γ'. οἴνου παλαιοῦ ξέστας γ'. ἐλαίου γλυκέος ξέστας γ'. σικύου ἀγρίου τῆς ῥίζης, νάρδου Κελτικῆς ἀνὰ λίτρας ἥμισυ, κηροῦ λίτρας γ'. σκεύαζε καὶ χρῶ καθὰ προείρηται. ἄλλο φάρμακον ἐπιτετευγμένον. ποιεῖ καὶ παρέτοις, τρομώδεσι καὶ πρὸς πᾶσαν νευρικὴν συμπάθειαν. ἐχρήσατό γε Μήνιος Ῥοῦφος. ποιεῖ ποδαγρικοῖς, ἀρθριτικοῖς, ἰσχιαδι-

ſextarium j, cardamomi ſextarii dimidium, brathyos ſextarii dimidium, vini dulcis ſextarios ij, olei veneſrani lib. ij, cerae lib. ij. Arida in vino triduum macerari ſinito, quarto die oleum adjicere oportebit, atque ubi ſedulo agitaveris, ac ſuper prunam poſueris, movendo coquere, quando continue efferbuerit liquorem exprimere, ceram deraſam huic adjicere et rurſus ſupra ignem coquere, ubi cera liquata fuerit, ab igne tolles ſinesque refrigerari. Poſtea vitreo vaſe vei ſtanneo repones, ac uteris nunc ſolo, nunc uno unguentorum admixto. *Aliud.* ℞ Sampſuchi ſextarium j, roriſmarini ſextarium unum, foenigraeci ſextarium j, lauri ſurculorum lib. ſex, junci floris ℥ iij, vini veteris ſextarios tres, olei dulcis ſextarios iij, radicis cucumeris agreſtis, nardi celticae ſingulorum lib. ß, cerae lib. iij, praeparato ac utitor ſicut praedictum eſt. *Aliud medicamentum confectum. Benefacit ſolutis ac tremulis, item valet ad omnem nervorum ex conſenſu dolorem. Uſus eſt Menius Ruſus, ſuccurrit podagricis, arthriticis*

Ed. Chart. XIII. [850.] Ed. Baſ. II. (416)

κοῖς, ὥστε τῆς ὅλης ἀπαλλάττειν διαθέσεως. ἡ χρῆσις ἐν διαλείμμασιν. ἐν δὲ τοῖς παροξυσμοῖς ἀνιεμένῳ χρώμεθα τῷ φαρμάκῳ. ℞ σαμψύχου ξε. β'. τήλεως ξε. α'. λιβανωτίδος ξε. α' S''. μελιλώτου ξέστην α'. Ἰλλυρικῆς λίτραν α'. κυπέρου λίτραν α'. βράθυος λίτραν α'. κάγχρυος λίτραν α'. καρδαμώμου ἡμίλιτρον, σχοίνου ἄνθους ἡμίλιτρον, κασσίας ἡμίλιτρον, ἀβροτόνου ἡμίλιτρον, μύρτων καρποῦ ἡμίλιτρον, δάφνης καρποῦ ἡμίλιτρον. πάντα θλάσας καὶ βαλὼν εἰς ἄγγος διπλοῦν μυρεψικὸν, ἐπίβαλλε οἴνου τμωλίτου ξε. η'. ἕα βρέχεσθαι ἐπὶ ἡμέρας γ'. εἶτ' ἐπίβαλλε ἐλαίου Σαβίνου λίτρας ιστ'. ἰρίνου λίτραν α'. σχινίνου λίτραν α'. Συριακοῦ λίτραν α'. γλευκίνου λίτραν α'. μυρσίνου λίτραν α'. δαφνίνου λίτραν α'. καὶ θεὶς ἐπὶ τὸ πῦρ ἕψε, ἔπειτα τὸ ὑγρὸν ἐκθλίψας τῶν ἡψημένων, ἐξέρα εἰς ἕτερον ἀγγεῖον καὶ πάλιν ἕψε, χωρὶς τῶν ἀφεψημένων, ἐπιβαλὼν κηροῦ ἡμίλιτρον, ῥητίνης λάρικος λίτραν α'. σμύρνης στακτῆς ἀνὰ λίτραν α'. τακέντων δὲ τούτων, χρῶ καθὰ προείρηται. ἄλλο. ℞ σαμψύχου λίτρας β'. τήλεως ξε. β'. λιβανωτίδος ξε. β'. βράθυος

iſchiadicisque, ut toto liberet affectu, uſus ejus eſt in intervallis, at in acceſſionibus diluto medicamento utimur. ℞ Sampſuchi ſextarios duos, foenigraeci ſextarium unum, roriſmarini ſextarium j ß, meliloti ſextarium j, Illyricae lib. j, cyperi libram unam, brathyos lib. j, canchryos lib. j, cardamomi ſelibram, junci floris ſelibram, caſſiae ſelibram, abrotoni ſelibram, myrti fructus ſelibram, lauri fructus ſelibram. Omnibus contuſis ac in vas duplex unguentarium conjectis, vini tmolitis ſextarios viij, affundito, triduo madefieri ſinito, deinde olei Sabini lib. xvj, irini lib. j, lentiſcini libram unam, Syriaci libram unam, gleucini libram unam, myrtei lib. j, laurini lib. j, immittito, igni ſuperpoſita incoquito, deinde liquorem ex coctis expreſſum in vas aliud transfundito rurſusque ſine decoctis incoquito, cerae ſelibra adjecta, reſinae laricis libra una, myrrhae, ſtactae ſingulorum libra j. His liquatis utitor, ſicut praedictum eſt. *Aliud.* ℞ Sampſuchi lib. ij, foenigraeci ſextarios ij, roriſmarini ſextarios ij, brathyos lib. ij

Ed. Chart. XIII. [850. 851.] Ed. Baſ. II. (416.)

λίτρας β'. ξε. β'. μελιλώτου λίτρας β'. κυπέρου λίτραν α'. ἴριος Μακεδονικῆς λίτραν α'. κάγχρυος λίτραν α'. καρδαμώμου λίτραν α'. καλάμου ἀρωματικοῦ ἡμί[851]λιτρον, σχοίνου ἄνθους ἡμίλιτρον, κασσίας σύριγγος, κόστου, ἐλελισφάκου ἀνὰ ἡμίλιτρον, δαφνίδων ἡμίλιτρον, σικύου ἀγρίου τῆς ῥίζης ἡμίλιτρον, μυρσίνης ἀκρεμόνων ἡμίλιτρον, οἴνου Τμωλίτου εὐώδους ξέστας η'. ἐλαίου Σαβίνου λίτρας κδ'. ἰρίνου λίτραν α', κυπρίνου λίτραν α'. σχινίνου λίτραν α'. γλευκίνου λι. α'. μυρσίνου λι. α'. ἀμμωνιακοῦ ἢ ἀμαρακίνου λίτραν α'. ἡδυχρόου λίτραν α'. μαλαβαθρίνου λίτραν α'. σμύρνης στακτῆς λίτραν α'. ὀποβαλσάμου λίτραν α'. κηροῦ λίτρας ιέ. τὰ ξηρὰ βρέχεται, καθάπερ προείρηται ἐπὶ ἡμέρας τρεῖς καὶ τούτοις ἐπιβάλλεται τὸ ἔλαιον καὶ τὰ πολλὰ τῶν μύρων. τὸ δὲ μαλαβάθρινον καὶ ἀμαράκινον καὶ ἡδύχροον καὶ ἡ στακτὴ καὶ τὸ ὀποβάλσαμον ἔσχατα φυλάττεται, ὥστε κατὰ τὴν τοῦ φαρμάκου σκευασίαν, ἤδη τοῦ κηροῦ τακέντος, ταῦτα ἐπιβάλλεσθαι. πῶς δὲ χρὴ σκευάζειν καὶ τίνι τρόπῳ χρηστέον τῷ φαρμάκῳ ἤδη δεδήλωται. ἄκοπον τὸ διὰ τοῦ μέλιτος

ſextarios ij, meliloti libras duas, cyperi libram unam, iridis Macedoniae libram unam, cachryos libram j, cardamomi libram unam, calami aromatici ſelibram, junci floris ſelibram, caſſiae fiſtulae, coſti, eleliſphaci ſingulorum ſelibram, baccarum lauri ſelibram, cucumeris agreſtis radicis ſelibram, myrti ſurculorum ſelibram, vini Tmolitis odorati ſextarios octo, olei ſabini lib. xxiv, irini lib. j, cyprini lib. unam, lentiſcini lib. j, gleucini libram unam, myrtei lib. j, ammoniaci vel amaracini lib. j, hedychroi lib. j, malabathrini libram unam, myrrhae ſtactae libram unam, opobalſami libram unam, cerae libras quindecim. Arida madefiunt, quemadmodum praedictum eſt triduo et his oleum et pleraque unguenta adjiciuntur, malabathrinum, amaracinum, hedychroon, ſtacte et opobalſamum, poſtrema reſervantur, ut in medicamenti confectione, cera jam liquefacta, haec indantur. Quomodo autem praeparandum ſit medicamentum et quis ejus uſus, jam oſtendimus. *Acopon, quod ex melle inſcribitur, valet ad laſſitudinum*

Ed. Chart. XIII. [851.] Ed. Baſ. II. (416.)

ἐπιγραφόμενον. ποιεῖ πρὸς τὰς κοπώδεις ἀηδίας καὶ τὰς τῶν νεύρων συνολκάς. ποιεῖ ὀπισθοτονικοῖς, κυνικῶς σπωμένοις, λέγεται τετράμυρον. ℞ μέλιτος γο γ'. ἰρίνου γο γ'. ῥοδίνου γο γ'. κυπρίνου γο γ'. γλευκίνου γο γ'. κηροῦ γο γ'. τερμινθίνης γο γ'. ἔψε χωρὶς τὸ μέλι. τὰ δὲ τηκτὰ τῆκε καὶ βαλὼν εἰς θυείαν ἀνάκοπτε ὁμοῦ πάντα καὶ λεάνας ἀνελόμενος χρῶ. ἄλλο. ℞ κυπρίνου, ἰρίνου, ῥοδίνου, γλευκίνου, ἑκάστου κοτύλας στ'. κηροῦ ⊲ κδ'. τερμινθίνης ⊲ ή. μέλιτος ⊲ στ'. σκεύαζε καὶ χρῶ καθὰ προείρηται. ἄλλο καλεῖται ληξοπύρετον. ℞ ῥοδίνου κοτύλας δ'. ἰρίνου δ'. γλευκίνου δ'. κυπρίνου κοτύλας δ'. κηροῦ ⊲ ιβ'. τερμινθίνης ⊲ ιδ'. σμύρνης στακτῆς ⊲ δ'. μέλιτος ἑφθοῦ ⊲ ιστ'. σκεύαζε καθὰ προείρηται. ἄλλο ἐκ τῶν Ἀφροδισέως. ℞ ῥοδίνου κοτύλας δ'. ἰρίνου κοτύλας δ'. κυπρίνου κοτύλας δ'. κηροῦ ⊲ ιβ'. γλευκίνου κοτύλας δ'. στέατος χηνείου ⊲ ιβ'. τερμινθίνης ⊲ δ'. στακτῆς ⊲ δ'. ὀποβαλσάμου ⊲ β'. μέλιτος ἑφθοῦ ⊲ ή. σκεύαζε κατὰ τρόπον. ἄλλο ἄκοπον δυσωδες λεγόμενον πρὸς

moleſtias, nervorum contractiones, benefacit opiſthotonicis et canina convulſione affectis, dicitur tetramyron, id eſt ex quatuor unguentis confectum. ℞ Mellis uncias tres, irini uncias tres, roſacei ʒ iij, cyprini ʒ iij, gleucini uncias tres, cerae uncias tres, terebinthinae uncias iij. Mel ſeorſum coquitur, quae liquabilia ſunt, liqueſiunt, et in mortarium conjecta omnia ſimul contunduntur, laevigantur que et excepta uſui ſunt. *Aliud.* ℞ Cyprini, irini, roſacei, gleucini ſingulorum heminas vj, cerae ʒ xxiv, terebinthinae ʒ viij, mellis ʒ vj, praeparato ac utitor, ut praedictum eſt. *Aliud vocatur Lexopyreton,* id eſt *febrem ſiniens.* ℞ Roſacei heminas iv, irini iv, gleucini iv, cyprini heminas iv, cerae ʒ xij, terebinthinae ʒ xiv, myrrhae ſtactae ʒ iv, mellis cocti ʒ xvj, conficito ut praedictum eſt. *Aliud ex collectaneis Aprodiſei.* ℞ Roſacei heminas iv, irini heminas iv, cyprini heminas iv, cerae ʒ xij, gleucini heminas iv, adipis anſerini ʒ xij, terebinthinae ʒ iv, ſtactae ʒ iv, opobalſami ʒ ij, mellis cocti drach. viij, confice ſuperiorum modo. *Aliud acopon ſoe-*

Ed. Chart. XIII. [851.] Ed. Baſ. II. (416. 417.)

τὰς διαθέσεις τὰς προειρημένας. ℞ κηροῦ ⊲ η′. τερμινθίνης ⊲ η′. χαλβάνης ⊲ στ′. ἀμμωνιακοῦ θυμιάματος ⊲ στ′. ἐλαίου παλαιοῦ κοτύλας β′. μυελοῦ ἐλαφείου ⊲ η′. σκεύαζε κατὰ τρόπον καὶ χρῶ καὶ ἀκράτῳ καὶ ἀνιεμένῳ. ἄλλο πρὸς πᾶσαν νευρικὴν συμπάθειαν. ℞ ῥητίνης τερμινθίνης ⊲ νστ′. κηροῦ ⊲ κη′. ἀμμωνιακοῦ θυμιάματος ⊲ λβ′. χαλβάνης ⊲ λβ′. μυελοῦ ἐλαφείου ⊲ κδ′. μέλιτος ἑφθοῦ ⊲ κδ′. ἐλαίου παλαιοῦ κοτύλας β′. ἀμμωνιακὸν ὄξει διαλύεται. ἄλλο. ℞ κηροῦ ⊲ κδ′. τερμινθίνης ⊲ κδ′. χαλβάνης ⊲ στ′. ἀμμωνιακοῦ θυμιάματος ⊲ στ′. ἐλαίου παλαιοῦ κοτύλας β′. μυελοῦ ἐλαφείου ⊲ η′. στύρακος ⊲ ιστ′. σκεύαζε κατὰ τρόπον. ἄλλο. ℞ κηροῦ ⊲ κδ′ ἢ κη′. τερμινθίνης ⊲ ιστ′. χαλβάνης (417) ⊲ στ′. στύρακος ⊲ η′. ἐλαίου παλαιοῦ κοτύλας β′. μέλιτος κο. α′ S″. μυελοῦ ἐλαφείου ⊲ η′. ἁλὸς ἄνθους ὅσον ἐξαρκεῖ, ὄξει τὸ ἀμμωνιακὸν διάλυε. ἄλλο ἰσχιαδικοῖς, ὀπισθοτονικοῖς καὶ πρὸς πᾶσαν νευρικὴν συμπάθειαν. ℞ κηροῦ γο στ′. τερμινθίνης λίτραν α′. ἀμμωνιακοῦ θυμιάματος γο α′. ὀπο-

tidum dictum ad dictos affectus. ℞ Cerae drach. octo, terebinthinae drach. octo, galbani drach. ſex, guttae ammoniaci drach. ſex, olei veteris heminas duas, medullae cervinae ʒ viij. Praeparato ad modum praedictum et utitor mero et diluto. *Aliud ad omnem nervorum ex conſenſu dolorem.* ℞ Reſinae terebinthinae drach. lvj, cerae drach. xxviij, guttae ammoniaci ʒ xxxij, galbani drach. xxxij, medullae cervinae drach. xxiv, mellis cocti ʒ xxiv, olei veteris heminas duas, ammoniacum aceto ſolvitur. *Aliud.* ℞ Cerae drach. viginti quatuor, terebinthinae drach. viginti quatuor, galbani ʒ ſex, guttae ammoniaci drach. ſex, olei veteris heminas duas, medullae cervinae ʒ viij, ſtyracis drach. ſedecim, praeparato ſimiliter. *Aliud.* Cerae ʒ xxiv, aliter xxviij, terebinthinae ʒ xvj, galbani ʒ vj, ſtyracis ʒ viij, olei veteris heminas duas, mellis heminam j ß, medullae cervinae ʒ viij, ſalis floris quantum ſatis eſt, ammoniacum aceto ſolve. *Aliud. Benefacit iſchiadicis et opiſthotonicis. Sanat omnem nervorum ex conſenſu dolorem.* ℞ Cerae uncias ſex, terebinthinae libram j, guttae

Ed. Chart. XIII. [851. 852.] Ed. Baſ. II. (417)

πάνακος γο β'. χαλβάνης γο β'. μυελοῦ ἐλαφείου γο β'. μυελοῦ ταυρείου γο β'. οἰσύπου γο β'. ἐλαίου ἰρίνου κο. α'. μέλιτος γο γ'. σκεύαζε κατὰ τρόπον. ἄλλο πρὸς τὰς ἄγαν κοπώδεις διαθέσεις καὶ τὰς τῶν νεύρων συνολκάς. ℞ κηροῦ ⊀ ν'. τερμινθίνης ⊀ κε'. ἀφρονίτρου ⊀ στ'. οἰσύπου ⊀ στ'. μέλιτος ἑφθοῦ ⊀ στ'. ἀμμωνιακοῦ θυμιάματος ⊀ στ'. μυελοῦ ἐλαφείου ⊀ στ'. χαλβάνης ⊀ στ' [852] στέατος ταυρείου ⊀ στ'. δαφνίδων ξηρῶν ⊀ στ'. ἐλαίου κοτύλην α'. οἴνου ἀθαλάσσου κοτύλην α'. σκεύαζε κατὰ τρόπον. ἄλλο Ἀκουντιανὸν ἐπιγραφόμενον. ℞ κηροῦ γο β'. χαλβάνης γο γ'. νίτρου γο γ'. τερμινθίνης ὑγρᾶς γο γ'. οἰσύπου γο β'. στέατος ταυρείου οὐγγίας β'. ἐλαίου κυπρίνου γο δ'. ἐλαίου μηλίνου γο δ'. ἰρίνου γο δ'. μέλιτος γο δ' ἐλαίου κοινοῦ γο στ'. ἐλαίου παλαιοῦ γο δ'. ἀμμωνιακοῦ θυμιάματος γο α'. λιβάνου γο α'. σκεύαζε κατὰ τρόπον. ἄλλο. ℞ ἐλαίου παλαιοῦ ξε. α' S''. τερμινθίνης λίτραν α'. ἀμμωνιακοῦ θυμιάματος γο β'. κηροῦ ἡμίλιτρον, χαλβάνης γο γ'.

ammoniaci unciam unam, opopanacis uncias duas, galbani ʒ ij, medullae cervinae ʒ ij, medullae taurinae ʒ ij, oeſypi ʒ ij, olei irini heminam j, mellis ʒ iij, conficito ratione praedicta. *Aliud ad vehementes laſſitudinum affectus et nervorum contractiones.* ℞ Cerae ʒ l. terebinthinae ʒ xxv, aphronitri ʒ vj, oeſypi ʒ vj, mellis cocti ʒ vj, guttae ammoniaci ʒ vj, medullae cervinae ʒ vj, galbani ʒ vj, ſevi taurini ʒ ſex, baccarum ſiccarum lauri ʒ vj, olei heminam unam, vini marinae expertis heminam unam, praepara ſicuti priora. *Aliud Aſcuntianum inſcriptum.* ℞ Cerae uncias ij, galbani ʒ iij, nitri uncias tres, terebinthinae liquidae uncias iij, oeſypi ʒ ij, ſevi taurini ʒ ij, olei cyprini ʒ iv, olei melini uncias quatuor, irini ʒ iv, mellis ʒ iv, olei communis uncias tres, olei veteris uncias quatuor, guttae ammoniaci unciam unam, thuris ʒ j, praeparatur ut alia. *Aliud.* ℞ Olei veteris ſextarium j ß, terebinthinae libram unam, guttae ammoniaci ʒ ij, cerae ſelibram, galbani ʒ iij, oeſypi uncias duas, thuris unciam

Ed. Chart. XIII. [852.] Ed. Baſ. II. (417.)

οἰσύπου γο β'. λιβάνου γο α'. ἰοῦ γο β'. μέλιτος κοτύλας β'. ἄλλως γο δ'. μυελοῦ ἐλαφείου γο γ'. στέατος χηνείου γο β'. οἴνου κοτύλας β'. ἀφρονίτρου γο β'. σκεύαζε κατὰ τρόπον. ἄλλο χλωράκοπον. ποιεῖ ὀπισθοτονικοῖς, ἰσχιαδικοῖς, παρέτοις, τρομώδεσι. ℞ σμύρνης ≺ δ'. ἀμμωνιακοῦ θυμιάματος ≺ δ'. λιβάνου ≺ δ'. νίτρου ≺ δ'. ἰοῦ ≺ δ'. ὀποπάνακος οὐγγίας ι'. χαλβάνης οὐγγίας δ'. τερμινθίνης λίτρας β'. κηροῦ λίτρας β'. μαλαβαθρίνου μύρου, ξέστου ἥμισυ, κυπρίνου, ξέστου ἥμισυ, ὄξους ὅσον ἐξαρκεῖ, ἀμμωνιακὸν, σμύρναν, νίτρον διάλυε, καὶ ὅταν αὐτὰ διαλυθῇ, ἐπίβαλλε τούτοις ὀποπάνακα, χαλβάνην. λεανθεῖσι τούτοις ἐπίβαλλε τὰ τηκτὰ καὶ μίξας ἀνελόμενος χρῶ. ἄλλο. ℞ σμύρνης ≺ δ'. τερμινθίνης λίτρας β'. κηροῦ ≺ β'. ἀμμωνιακοῦ θυμιάματος, λιβάνου, νίτρου, ἰοῦ ἀνὰ ≺ δ'. μύρου μηλίνου ξέστου ἥμισυ, κυπρίνου οὐγγίας γ'. ἰρίνου γο γ'. ἐλαίου παλαιοῦ ξέστας γ'. ὀποπάνακος γο γ'. χαλβάνης γο δ'. ὄξους τὸ ἱκανὸν, σκεύαζε καθὰ προείρηται. ἄλλο πρὸς τὰς κεχρονισμένας διαθέσεις,

unam, aeruginis ʒ ij, mellis heminas duas, alias uncias iv, medullae cervinae uncias tres, ſevi anſerini ʒ ij, vini heminas duas, aphronitri uncias duas, confice pro more. *Aliud chloracopon,* id eſt *acopon viride, ſuccurrit opiſthotonicis, iſchiadicis, ſolutis et tremulis.* ℞ Myrrhae drach. iv, guttae ammoniaci ʒ iv, thuris ʒ iv, nitri drach. quatuor, aeruginis drach. iv, opopanacis uncias decem, galbani uncias quatuor, terebinthinae libras duas, cerae libras duas, malabathrini unguenti ſextarii dimidium, cyprini ſextarii dimidium, aceti quantum ſufficit, ammoniacum, myrrham, nitrum diſſolvito, jam ſolutis opopanacem galbanum adjungito, his laevigatis liquata ſuperfundito miſcetoque, exceptis utitor. *Aliud.* ℞ Myrrhae ʒ iv, terebinthinae libras duas, cerae drach. ij, guttae ammoniaci, thuris, nitri, aeruginis, ſingulorum drach. iv, unguenti melini ſextarii dimidium, cyprini ʒ iij, irini uncias tres, olei veteris ſextarios tres, opopanacis ʒ iij, galbani uncias iv, aceti quod ſufficit, praepara ut dictum eſt. *Aliud ad diuturnos af-*

Ed. Chart. XIII. [852.] Ed. Baſ. II. (417.)

σφόδρα γενναῖον. ℞ κηροῦ μνᾶν α'. ἐλαίου παλαιοῦ ξέστας δ'. τερμινθίνης λίτραν α'. σμύρνης οὐγγίας δ'. λιβάνου, ὀποπάνακος, σικύου ἀγρίου ῥίζης, ἰοῦ, νίτρου ἀνὰ οὐγγίας δ'. πεπέρεως λευκοῦ γο β'. χαλβάνης οὐγγίας δ'. μυελοῦ ἐλαφείου οὐγγίας δ'. μύρου κυπρίνου οὐγγίας δ'. μύρου ἰρίνου οὐγγίας δ'. μύρου μηλίνου οὐγγίας δ'. πηγάνου χλωροῦ τῶν ἀκρεμόνων οὐγγίας γ'. ὄξους τὸ ἱκανόν. σικύου ἀγρίου τὰς ῥίζας καὶ τὸ πήγανον ἕψε μετὰ τοῦ ὄξους, ἔπειτα τὸ ὑγρὸν ἐκθλίψας ἐπίβαλλε τοῖς ξηροῖς, καὶ λεάνας ἐπιμελῶς ἀναλάμβανε τοῖς τηκτοῖς καὶ χρῶ ποτε μὲν ἀκράτῳ τῷ φαρμάκῳ, ἔστι δὲ ὅτε καὶ ἀνιεμένῳ. τοῦτο δὲ γίνεται κατὰ λόγον τῶν ὑποκειμένων διαθέσεων. ἄλλο Βάσσου φάρμακον ἐπιτετευγμένον. τούτῳ αὐτῷ χρησάμενος πρότερον παραλυθεὶς διεσώθη. ℞ ἐλαίου μυρσίνου οὐγγίας δ'. κυπρίνου οὐγγίας δ'. ἐλαίου παλαιοῦ λίτραν α' S''. χαλκάνθου λίτραν α' S''. κηροῦ λίτραν α'. τερμινθίνης λίτραν α' S''. χαλβάνης γο γ'. μάννης οὐγγίας δ'. ὀποπάνακος οὐγγίας β'. βρυωνίας ῥίζης γο δ'. ἰοῦ οὐγγίας δ'. ἀφρονίτρου οὐγγίας δ'. πεπέρεως

fectus valde generoſum. ℞ Cerae minam unam, olei veteris ſextarios iv, terebinthinae lib. j, myrrhae ℥ iv, thuris, opopanacis, cucumeris agreſtis radicis, aeruginis, nitri ſingulorum uncias quatuor, piperis albi uncias duas, galbani ℥ iv, medullae cervinae ℥ iv, unguenti cyprini ℥ iv, irini unguenti uncias quatuor, unguenti melini ℥ iv, rutae viridis ſurculorum uncias tres, aceti quod ſatis eſt. Cucumeris agreſtis radices et rutam cum aceto incoquito, deinde liquorem expreſſum aridis injicito, laevigata accurate liquatis excipito, ac interdum medicamento ſyncero, interdum diluto utitor. Hoc autem pro ratione ſubjectorum affectuum fiet. *Aliud Baſſi medicamentum confectum. Hoc ipſo uſus, quum nervorum reſolutione prius tentaretur, ſervatus eſt.* ℞ Olei myrtei uncias quatuor, cyprini uncias quatuor, olei veteris lib. j ℔, atramenti ſutorii lib. j ℔, cerae libram unam, terebinthinae lib. j ℔, galbani uncias tres, mannae uncias quatuor, opopanacis uncias ij, bryoniae radicis uncias quatuor, aeruginis ℥ iv, aphro-

Ed. Chart. XIII. [852. 853] Ed. Baſ. II. (417.)

γο β'. πυρέθρου οὐγγίας δ'. στέατος ἐρίφου γο στ'. εὐφορβίου οὐγγίας δ'. ὄξους τὸ ἱκανὸν, ἕψε βρυωνίαν, πύρεθρον μετὰ ὄξους, ἔπειτα τὸ ὑγρὸν ἐκθλίψας καὶ τοῖς ξηροῖς ἐπιβαλὼν καὶ λεάνας ἐπιμελῶς ἀναλάμβανε τοῖς τηκτοῖς. ἡ χρῆσις δεδήλωται. ἄλλο τὸ διὰ τοῦ καστορίου παρέτοις καὶ πρὸς τὰς κεχρονισμένας διαθέσεις. ℞ οἰσύπου γο γ'. μυελοῦ ἐλαφείου οὐγγίας δ'. τερμινθίνης γο γ'. ἀμμωνιακοῦ θυμιάματος γο β'. χαλβάνης οὐγγίας β'. καστορίου γο β'. πεπέρεως λευκοῦ γο β'. εὐφορβίου οὐγγίας β'. ἀδάρκης γο β'. νίτρου ἀφροῦ οὐγγίας β'. ὀποπάνακος γο β'. ἐλαίου στυρακίνου γο α'. ἐλαίου ἰρίνου γο β'. ἐλαίου παλαιοῦ κο. α'. κηροῦ λίτραν α S''. συντίθει κατὰ τρόπον. [853] ἄλλο, ᾧ ἐχρήσατο Βάσσος, παραλυθεὶς πολλῷ χρόνῳ καὶ τῆς τοιαύτης νόσου ἀπηλλάγη. ℞ ἐλαίου μυρσίνου γο δ'. μηλίνου γο δ'. κυπρίνου γο δ'. ἐλαίου παλαιοῦ ἡμίλιτρον, κηροῦ λίτραν μίαν, τερμινθίνης ἡμίλιτρον, χαλβάνης γο ε'. λιβάνου οὐγγίας δ'. ὀποπάνακος γο β'. ἰοῦ γο β'. βρυωνίας ῥίζης γο δ'. ἀφρονίτρου γο δ'. πεπέρεως

nitri ʒ iv, piperis ʒ ij, pyrethri ʒ iv, adipis hoedini ʒ vj, euphorbii ʒ vj, aceti quantum ſatis eſt. Bryoniam, pyrethrum, cum aceto incoquito, deinde liquorem expreſſum aridisque probe laevigatis adjectum liquatis excipito, uſus oſtenſus eſt. *Aliud ex caſtorio ſolutis et omni diuturno affectui auxiliatur.* ℞ Oeſypi uncias tres, medullae cervinae uncias quatuor, terebinthinae uncias tres, guttae ammoniaci uncias duas, galbani uncias duas, caſtorii uncias duas, piperis albi uncias duas, euphorbii uncias duas, adarces uncias duas, nitri ſpumae uncias duas, opopanacis uncias duas, olei ſtyracini unciam unam, olei irini uncias ij, olei veteris heminam j, cerae libram unam et dimidiam, componitur aliorum modo. *Aliud cujus uſus Baſſus longo tempore paralyſi infeſtatus, etiam ab hoc morbo convaluit.* ℞ Olei myrtei uncias quatuor, melini uncias quatuor, cyprini uncias quatuor, olei veteris ſelibram, cerae libram unam, terebinthinae ſelibram, galbani uncias quinque, thuris uncias quatuor, opopanacis uncias duas, aeruginis uncias duas, bryoniae radicis uncias iv, aphro-

Ed. Chart. XIII. [853.] Ed. Baſ. II. (417.)

γο β'. πυρέθρου γο β'. στέατος ἐρίφου γο στ'. εὐφορβίου γο α'. ὄξους τὸ αὔταρκες. ἡ σύνθεσις κοινὴ τῶν τοιούτων φαρμάκων. ἄλλο σύγχρισμα ποδαγρικῶν, ἀρθριτικῶν τὸ διὰ τῶν ἁλῶν ἀπαλλάττει τῆς ὅλης διαθέσεως. ἡ χρῆσις καθ' ἡμέραν. ℔ ἁλῶν ῥυπαρῶν, τουτέστιν αὐτῆς τῆς γῆς λίτραν α'. στυπτηρίας σχιστῆς λίτραν α'. τρυγὸς οἴνου Ἰταλικοῦ ξε. α'. λίθου Ἄσίου ἄνθους γο δ'. τρῖβε τὰ ξηρὰ φιλοπόνως καὶ τὴν τρύγα ἐπιβαλὼν καὶ λεάνας ἐπιμελῶς ἐπίβαλλε τοῖς λεανθεῖσιν ἐλαίου παλαιοῦ ξε. α'. καὶ ἀνακόψας, ἀνελόμενος χρῶ. ἐν ἄλλαις γραφαῖς ἀναλαμβάνεναι μέλιτι Ἀττικῷ. ἄλλο. ℔ ἁλῶν ῥυπαρῶν γο γ'. στυπτηρίας σχιστῆς οὐγγίας γ'. λίθου Ἄσίου τοῦ ἄνθους οὐγγίας γ'. λιβανωτοῦ οὐγγίας ἥμισυ ℥ γο στ'. σμύρνης οὐγγίας ἥμισυ ℥ γο στ'. τρυγὸς οἴνου Ἰταλικοῦ ξέστου ἥμισυ, σκεύαζε καθὰ προείρηται. ἄλλο σύγχρισμα τὸ συντεθὲν Πατρόκλῳ Καίσαρος ἀπελευθέρῳ ἀπαλλάττει τῆς ὅλης διαθέσεως. ἡ χρῆσις καθ' ἡμέραν καὶ πρωῒ πρὸ βαλανείου καὶ μετὰ τὸ βαλανεῖον καὶ περὶ ἑσπέραν. λαβόντας χρὴ τοῦ φαρμάκου ὅσον ἐξαρκεῖ διαλύσαντας ἀλείφειν

nitri uncias iv, piperis ʒ iij, pyrethri uncias ij, adipis hoedi uncias ſex, euphorbii unciam unam, aceti quantum ſatis eſt. Compoſitio hujusmodi medicamentorum communis eſt. *Alia collinitio Podagricorum ac arthriticorum ex ſale confecta, toto affectu liberat, uſus ejus eſt quotidie.* ℔ Salis inquinati, hoc eſt ipſius terrae lib. j, aluminis fiſſilis lib. j, faecis vini Italici ſextarium unum, lapidis Aſii floris uncias iv, arida ſtudioſe conterito et faece addita accurate laevigato, quibus olei veteris ſextarium affundito rurſusque condito ac excepto utitor. In aliis deſcriptionibus melle Attico excipitur. *Aliud.* ℔ Salis ſordidi uncias iij, aluminis fiſſilis uncias tres, lapidis Aſii floris ʒ iij, thuris ſemunciam vel uncias ſex, myrrhae ſemunciam vel uncias ſex, faecis vini Italici ſextarii dimidium, praeparato uti praediximus. *Alia illinitio Patroclo Caeſaris liberto compoſita, levat toto affectu. Utendum eſt quotidie et mane ante balneum et poſt ipſum, ad haec veſperi, ſumentes ex medicamento quod ſatis eſt, ſolventesque opor-*

Ed. Chart. XIII. [853.] Ed. Baſ. II. (417.)

τοὺς πόδας καὶ ἀνατρίβειν χωρὶς περιθλάσεως. ℞ λιβάνου ≺ ι′. πεπέρεως λευκοῦ ≺ ι′. ἀφρονίτρου ≺ η′. σμύρνης ≺ δ′. ἀμμωνιακοῦ θυμιάματος ≺ στ′. ὄξους τὸ ἱκανὸν, ἐλαίου κυπρίνου κο. α′ S″. τὰ ξηρὰ κόπτεται καὶ σήθεται λεπτοτάτῳ κοσκίνῳ, τὰ δὲ λοιπὰ ὄξει διαλύεται καὶ λεαίνεται, εἶθ' ὁμοῦ πάντα μίγνυται καὶ λεανθεῖσιν ἐπιβάλλεται τὸ κύπρινον, ἀνελόμενοι δὲ χρώμεθα. ἄλλο. ℞ λιβάνου ≺ η′. σμύρνης ≺ η′. ἀμμωνιακοῦ θυμιάματος ≺ η′. στυπτηρίας σχιστῆς, πεπέρεως λευκοῦ ἀνὰ ≺ η′. νίτρου ≺ η′. ὄξους τὸ ἱκανὸν, ἐλαίου κυπρίνου κο. β′. κηροῦ ἡμίλιτρον. τὰ τηκτὰ τήκεται καὶ τοῖς λεανθεῖσιν ἐπιβάλλεται. ἄλλο τὸ τοῦ Νεαπολίτου, φάρμακον ἐπιτετευγμένον ἰσχιαδικοῖς, ἀρθριτικοῖς, ποδαγρικοῖς, ἀπαλλάττει τῆς ὅλης διαθέσεως. ℞ λιβάνου οὐγγίας β′. πεπέρεως λευκοῦ οὐγγίας β′. ἀμμωνιακοῦ θυμιάματος οὐγγίας β′. σμύρνης οὐγγίας β′. λίθου Ἀσίου ἄνθους οὐγγίας β′. στυπτηρίας σχιστῆς οὐγγίας β′. νίτρου οὐγγίας β′. κενταυρίου χυλοῦ οὐγγίας β′. τρυγὸς οἴνου Ἰταλικοῦ ξε. α′. ἐλαίου κυπρίνου, δαφνίνου, μυρσίνου, στυρακίνου, κηροῦ

tet pedes inungere et citra contuſionem infricare. ℞ Thuris drach. x, piperis albi drach. x, aphronitri drach. viij, myrrhae ʒ iv, guttae ammoniaci drach. ſex, aceti quantum ſufficit, olei cyprini heminam j ſʒ. Sicca contunduntur cribroque tenuiſſimo incernuntur, reliqua aceto diſſolvuntur laeviganturque, deinde omnia ſimul miſcentur et tritis cyprinum inditur, exceptis autem utimur. *Aliud.* ℞ Thuris drach. octo, myrrhae drach. octo, guttae ammoniaci drach. octo, aluminis ſciſſilis, piperis albi ſingulorum drach. octo, nitri ʒ viij, aceti quod ſatis eſt, olei cyprini heminas ij, cerae ſelibram. Quae liquari poſſunt, liqueſiunt et tritis adjiciuntur. *Aliud Neapolitae medicamentum iſchiadicis, arthriticis et podagricis confectum, toto affectu liberat.* ℞ Thuris ʒ, duas, piperis albi ʒ ij, guttae ammoniaci ʒ ij, myrrhae ʒ ij, lapidis Aſii floris ʒ ij, aluminis ſiſſilis uncias duas, nitri ʒ ij, centaurii ſucci ʒ ij, faecis vini Italici ſextarium j, olei cyprini, laurini, myrtei,

Ed. Chart. XIII. [853.] Ed. Baſ. II. (417. 418.)

ἀνὰ λίτραν α'. τερμινθίνης ἡμίλιτρον, χαλβάνης οὐγγίαν α'. ὀποπάνακος οὐγγίας ἥμισυ, τὰ τηκτὰ κατὰ τῶν λεανθέντων. ἄλλο. συνετέθη Δομιτίῳ Νιγρίνῳ, ἀπαλλάττει τῆς ὅλης διαθέσεως. ℞ σμύρνης στακτῆς οὐγγίας β'. λιβάνου οὐγγίας β'. ἀμμωνιακοῦ θυμιάματος οὐγγίαν α'. νίτρου ἐρυθροῦ ἢ ἁλῶν ὑπαρῶν οὐγγίας β'. στυπτηρίας σχιστῆς οὐγγίας β'. λίθου Ἀσίου ἄνθους οὐγγίας β'. κολοκυνθίδος ἐντεριώνης γο β'. μανδραγόρου χυλοῦ γο β'. μέλιτος γο β'. εὐφορβίου οὐγγίας β'. μύρου κροκίνου οὐγγίας στ'. μηλίνου οὐγγίας στ'. στυρακίνου οὐγγίας στ'. μαλαβαθρίνου οὐγγίας στ'. δα-(418) φνίνου οὐγγίας στ'. γλευκίνου οὐγγίας στ'. ἡδυχρόου οὐγγίας στ'. ἀμαρακίνου γο στ'. στέατος φώκης γο στ'. μὴ παρόντος τούτου, χρηστέον μυελῷ ἐλαφείῳ παλαιοτάτῳ, κηροῦ λίτραν α'. χαλβάνης γο α'. τερμινθίνης ἡμίλιτρον, ὀποπάνακος οὐγγίας ἥμισυ, τρυγὸς οἴνου Ἰταλικοῦ ξέστην α'. σκεύαζε καθὼς ἄνω εἴρηται. ταύτῃ τῇ σκευασίᾳ χρηστέον ἐπὶ τῇ Σαβερνίῳ Οὐαλέντι σκευασθείσῃ ποδάρκῃ, ἧτις ἐπιγράφεται

ſtyracini, cerae ſingulorum lib. j, terebinthinae ſelibram, galbani unciam unam, opopanacis ſemunciam, liquata tritis miſcentur. *Aliud. Domitio Nigrino compoſitum, quod toto affectu liberat.* ℞ Myrrhae ſtactae uncias duas, thuris uncias duas, guttae ammoniaci unciam unam, nitri rubri vel ſalis ſordidi uncias duas, aluminis fiſſilis uncias duas, lapidis Aſii floris uncias duas, colocynthidis partis interioris uncias duas, mandagorae ſucci uncias duas, mellis uncias duas, euphorbii uncias duas, unguenti crocini uncias ſex, melini uncias ſex, ſtyracini uncias ſex, malabathrini uncias ſex, laurini uncias ſex, gleucini uncias ſex, hedychroi uncias ſex, amaracini uncias ſex, adipis vituli marini uncias ſex, hujus penuria utendum eſt medulla cervi vetuſtiſſima, cerae libram unam, galbani unciam unam, terebinthinae ſelibram, opopanacis ſemunciam, faecis vini Italici ſextarium unum, praeparato quemadmodum ſupra dictum eſt. Hac confectura utendum poſt podarcem, cui titulus eſt Pompeji pretioſa, Sabernio Valenti

Ed. Chart. XIII. [853. 854.] Ed. Baſ. II. (418.)

Πομπηίου πολυτελής. [854] τὸ διὰ τῆς αἰγείρου, ἰσχιαδικοῖς, ἀρθριτικοῖς, παρετικοῖς, τρομώδεσι, ποιεῖ καὶ πρὸς χρῆσιν καθημερινήν. ℞ αἰγείρου ἀκρεμόνων μνᾶν α'. σικύου ἀγρίου ῥίζης λίτρας δ'. κασσίας σύριγγος λίτρας β'. μύρου κροκίνου λίτρας β'. κρόκου γο γ'. οἴνου εὐώδους ξε. ιβ'. ἐλαίου Σαβίνου ξε. ι'. σαμψύχου λίτρας δ'. κηροῦ λίτρας δ'. τοὺς ἀκρέμονας τῆς αἰγείρου κόψας ἐπιμελῶς, ἔχε ἐν ἀγγείῳ διπλῷ μυρεψικῷ καὶ τούτοις ἐπίβαλλε σάμψυχον, ῥίζαν σικύου κόψας παχυμερῶς καὶ τούτοις ἐπίβαλλε τὸν οἶνον καὶ πάντα ἔα βρέχεσθαι ἐπὶ ἡμέρας θ'. τῇ δ' ἐπιούσῃ ἐπιβαλὼν τὸ ἔλαιον καὶ ἀνακόψας ἐπιμελῶς ἕψε, πυρὶ χρώμενος μαλακῷ. ἔπειτα τὸ ὑγρὸν ἐκθλίψας καὶ τούτῳ ἐπιβαλὼν κηρὸν κατακεκνησμένον καὶ μυελὸν λεανθέντα καὶ θεὶς ἐπὶ τὸ πῦρ ἕψε· ὅταν δὲ τακῇ, ἆρας ἀπὸ τοῦ πυρὸς, ἐπίβαλλε τὸ κρόκινον, κινῶν συνεχῶς. τὸ δὲ κρόκινον λεάνας, ἀναλάμβανε αἵματι χερσαίας χελώνης, ὥστε ἔχειν ἐλαίου παλαιοῦ τὸ πάχος. σφάζεται δὲ ἡ χελώνη κατὰ τὴν κατακλεῖδα καλάμῳ ἀποξανθέντι ἀμφότερα τὰ μέρη. τὰ δὲ τηκτὰ τῷ

compoſitam. *Medicamentum ex populo, benefacit iſchiadicis, arthriticis, ſolutis, tremulis, valet item ad uſum quotidianum.* ℞ Populi nigrae ſurculorum minam unam, cucumeris agreſtis radicis lib. iv, caſſiae fiſtulae libras duas, unguenti crocini libras ij, croci uncias tres, vini odori ſextarios duodecim, olei ſabini ſextarios decem, ſampſuchi lib. quatuor, cerae lib. iv. Surculos populi diligenter contuſos in vaſe duplici unguentario contineto, ac his ſampſuchum cucumerisque radices in craſſiora fruſta conciſas adjicito, his vinum ſuperfundito, omniaque diebus novem macerari ſinito, ſequenti die oleum adjiciatur, et rurſus accurate tunſa igne non acri incoquito. Poſtea liquori expreſſo, ceram deraſam et medullam laevem factam indito, igni impoſita coquito. Ubi liquata fuerint, ab igne tollens, crocinum adjungito movetoque continue. Crocinum vero laeve factum, terreſtris teſtudinis ſanguine excipito, ut olei veteris craſſitudinem habeat. Porro jugulatur teſtudo, juxta claviculam arundine utrinque trans-

Ed. Chart. XIII. [854.] Ed. Baſ. II. (418.)

κρόκῳ ἐπιβαλὼν καὶ ἀνακόψας, ἀνελόμενος χρῶ. τὸ φάρμακον ἀπαλλάττει τῆς ὅλης διαθέσεως. μᾶλλον δὲ βέλτιον γίνεται, εἰ προσλάβοι τοῦ τῆς χελώνης αἵματος δαψιλῶς. ἄλλο, ποιεῖ πρὸς τὰς ἐκ περιψύξεως ἀηδίας καὶ τὰς ἐκ πληγῶν περιθλάσεις. ℞ αἰγείρου ἀκρεμόνων μνᾶν α'. σικύου ἀγρίου ῥίζης λίτρας δ'. κασσίας σύριγγος λίτρας β'. μυελοῦ ἐλαφείου λίτρας β'. κρόκου λίτρας γ'. οἴνου εὐώδους ξε. ιβ'. ἐλαίου λίτρας ι'. σαμψύχου λίτρας δ'. κηροῦ λίτρας δ'. αἵματος χερσαίας χελώνης ὅσον ἂν βάλῃς, ὠφελήσεις τὸ φάρμακον, σκεύαζε καθὰ προείρηται. ἄλλο ἄκοπον τὸ διὰ τῶν φρύνων. τούτῳ ἐχρήσατο ἀνὴρ ξυστικὸς καὶ ἀκόπῳ καὶ μαλάγματι καὶ τῆς ὅλης ἀπηλλάγη διαθέσεως. τὰ δὲ τῆς σκευασίας ἔχει οὕτως. ℞ ἐλαίου παλαιοῦ Σαβίνου λίτρας γ'. σικύου ἀγρίου ῥίζης λίτρας γ'. κηροῦ λίτρας γ'. ἀποχύματος λίτρας γ'. στέατος ὑείου παλαιοῦ λίτρας γ'. βατράχων φρυνίχων τῶν μεγάλων ἀριθμῷ γ'. ἢ εἰ μή γε, τῶν μικρῶν ε'. μυελοῦ ἐλαφείου γο γ'. ἀφρονίτρου γο γ'. θείου ἀπύρου γο γ'. ἐλαίου δαφνίνου οὐγγίας γ'. ἐλαίου ἰρίνου γο γ'. μύρου μα-

θης, ἴριος Ἰλλυρικῆς, μίσυος, ἀσάρου ἀνὰ λίτρας β'. μελιλώτου λίτραν α'. νάρδου Κελτικῆς λίτραν α'. ἀσπαλάθου, καλάμου ἀνὰ ἡμίλιτρον, ἀριστολοχίας μακρᾶς λι. α' S''. λιβανωτίδος σπέρματος ξε. β'. λιβάνου λίτρας γ'. κασσίας λίτρας γ'. τήλεως ξε. β'. σφάγνου λίτρας β'. ὀμώμου λίτρας β'. φλοιοῦ λιβάνου λίτραν α'. ῥόδων ξηρῶν λίτρας β'. βράθυος γο στ'. μαράθρου λίτρας β'. βαλσάμου καρποῦ λίτρας β'. κρόκου γο γ'. δαφνίδων λίτραν α'. πεπέρεως λευκοῦ λίτραν α'. ὀποβαλσάμου γο γ'. μαλαβάθρου φύλλων λίτρας δύο, στροβίλους χλωροὺς δύο, πηγάνου χλωροῦ γο β'. ἁλὸς ἀμμωνιακοῦ ≺ δ'. νίτρου ≺ δ'. οἴνου παλαιοῦ ξε. ιβ'. γλεύκους καλοῦ κεράμια β' S''. ἐλαίου παλαιοῦ λίτρας έ. σκεύαζε ἡμέρας μ'. ταῦτα γράψας ὁ Ἀνδρόμαχος, οὐκέτι τὸν τρόπον τῆς σκευασίας, ὥσπερ ὁ Κρίτων ἐποίησεν. ἔτι δὲ καὶ πόσων εἶναι βούλεται λιτρῶν Ἰταλικῶν τὸ κεράμιον ἢ ξεστῶν οὐκ ἐδήλωσεν. γλευκίνου σκευασία, ὡς Κρίτων ἐν τῷ δευτέρῳ τῶν κοσμητικῶν. ὁ Κρίτων ἐν τῷ τέλει τοῦ βιβλίου τὴν σκευασίαν ἔγραψε τοῦ γλευκίνου, κατὰ τήνδε τὴν λέξιν.

ſyos, aſari, ſingulorum libras duas, meliloti lib. j, nardi celticae libram j, aſpalathi, calami, ſingulorum ſelibram, ariſtolochiae longae lib. j ß, roriſmarini ſeminis ſextarios duos, thuris lib. iij, caſſiae libras tres, foenigraeci ſextarios ij, ſphagni lib. duas, amomi libras duas, corticis thuris libram unam, roſarum ſiccarum libras duas, brathyos uncias ſex, foeniculi libras duas, balſami fructus libras duas, croci uncias iij, baccarum lauri lib. j, piperis albi lib. j, opobalſami uncias iij, malabathri foliorum lib. ij, nucleos pineos viridis ij, rutae viridis uncias ij, ſalis ammoniaci drach. iv, nitri ʒ iv, vini veteris ſextarios xij, muſti boni fictilia ij ʒ, olei veteris lib. v, praeparato diebus quadraginta. Haec praefatus Andromachus non adhuc confectionis modum, ſicut Crito adjecit. Inſuper quot libris Italicis fictile, aut ſextariis aeſtimet ſilentio praeteriit. *Gleucini confectio Critonis in ſecundo de Ornatu.* Crito ad libri calcem, gleucini confecturam his verbis tradidit.

Ed. Chart. XIII. [859. 860.] Ed. Baſ. II. (420. 421.)

γλεύκινον δύναμιν ἔχει θερμαντικὴν, ἀνετικήν. ποιεῖ πρὸς τὰς ἐν ὑστέρᾳ διαθέσεις καὶ πρὸς πᾶσαν νευρικὴν συμπάθειαν, τούτου δὲ αἱ σκευασίαι πολλαί. ἡ δὲ λεγομένη ἁπλῆ ἔχει οὕτως. 24 γλεύ(421)κους προσφάτου Μαρωνείας σταφυλῆς μετρητὴν βαλὼν εἰς ἀγγεῖον κασσιτερινὸν ἕψε ἐπ' ἀνθράκων, καὶ ὅταν τρὶς ἢ τετράκις ἀναζέσῃ, ἐξεράσας εἰς ὀστράκινον μετρητὴν, τίθει ἐν ἡλίῳ καὶ ἐπίβαλλε ἐλαίου λευκοῦ ὀμφακίνου χοᾶς στ'. σχίνου μνᾶς στ'. οἱ δὲ μνᾶς S''. νάρδου τὸ ἴσον, καλάμου τὸ ἴσον, ἀσπαλάθου τὸ ἴσον, ἐλάτης μνᾶν α'· κυπέρου μνᾶν α'. καρδαμώμου μνᾶς η'. ἀμώμου τὸ ἴσον, μελιλώτου γο ε'. ἔστω δὲ πάντα λεῖα, ἔπειτα συγκινήσας ἐπὶ ἡμέρας η'. καὶ τὸ γλεῦκος ἀποκαθάρας χρῶ. γλευκίνου σκευασία, ὡς Διοσκορίδης ἐν τῷ α'. περὶ ὕλης. Διοσκορίδης δ' οὕτως ἔγραψε. γλεύκινον δὲ σκευάζεται τὸ ἁπλοῦν, ἔκ τε ὀμφακίνου καὶ σχίνου καὶ νάρδου [860] Κελτικῆς καὶ καλάμου καὶ σπάθης καὶ ἀσπαλάθου καὶ μελιλώτου καὶ κόστου καὶ γλεύκους συμπεριτριβομένων μέσων στεμφύλων τῷ ἔχοντι ἀγγείῳ τὰ ἀρώματα καὶ τὸν οἶνον καὶ

Gleucinum vim habet calefactoriam ac remittentem. Ad uteri affectiones et nervorum ſympathiam. Hujus confectiones multae ſunt, quae vero ſimplex dicitur hunc in modum habet. 24 Muſti recentis uvae maroneae metretam in vas ſtanneum conjectam ſupra prunas incoquito, ac ubi ter quaterve efferbuerit, metretam in fictile demiſſam ſoli exponito, olei omphacini congios ſex addito, lentiſci minas ſex, alii minae dimidium, nardi par, calami par, aſpalathi par pondus, palmae elatae minam unam, cyperi minam unam, cardamomi octavam minae partem, amomi tantundem, meliloti uncias v, ſint autem omnia laevia, deinde diebus octo commovens muſtumque repurgans utitor. *Gleucini confectio ſecundum Dioſcoridem libro primo de materia. Scripſit autem Dioſcorides in hanc ſententiam.* Gleucinum ſimplex componitur ex oleo omphacino, lentiſco, nardo Celtica, calamo, ſpatha, aſpalatho, meliloto, coſto et muſto, vinaceis vaſi, quod aromata, vinum et

Ed. Chart. XIII. [860.] Ed. Baſ. II. (421.)

τὸ ἔλαιον, κινεῖται δὲ ἐπὶ ἡμέρας λ'. δὶς τῆς ἡμέρας, εἶτα ἐκπιεσθὲν ἀποτίθεται. δύναμιν δὲ ἔχει θερμαντικὴν, μαλακτικὴν, ἀνεκτικὴν, ποιοῦσαν πρὸς τὰ ῥίγη καὶ τὰ νευρικὰ πάντα καὶ τὰ ἐν ὑστέρᾳ. παντὸς δὲ ἀκόπου μᾶλλον ὠφελεῖ, μαλακτικὸν ὄν. γλευκίνου σκευασία, ὡς Ἥρας. ἐπεὶ δὲ σαφέστερον αὐτῶν ἔγραψεν ὁ Ἥρας τὴν τοῦ γλευκίνου σκευασίαν, ἐπὶ τῷ τέλει τῆς φαρμακίτιδος βίβλου καὶ τὴν ἐκείνου γραφὴν παραθήσομαι κατὰ λέξιν οὕτως. ἐλαίου γλευκίνου σύνθεσις ποιοῦντος πρός τε τὰς ψύξεις καὶ τὰ νευρικὰ μάλιστα, ὠφελεῖ τοὺς ὀπισθοτονικοὺς καὶ ἐμπροσθοτονικοὺς, θερμὸν δι' ἐρίου καθαροῦ ἐλαίῳ βεβρεγμένου, ἐπιῤῥιπτομένου τοῖς τόποις. ℔ ἐλαίου Βενεφράνου λίτρας σή'. ἄλλως σν'. οἴνου Φαλερίνου αλαιοῦ εὐώδους ξέστας γ'. γλεύκους ἀμιναίου ξε. ρή'. ἑλενίου λίτρας ιβ'. σπάθης λίτρας ε'. ἀσπαλάθου λίτρας ε'. ἡδυσάρου λίτρας β' S''. μητρῶς ἀρτεμισίας λίτρας β' S''. κυπέρου λίτρας β'. σμύρνης λίτρας γ'. οἱ δὲ λίτραν α'. πεπέρεως λευκοῦ λίτρας β' S''. σπλάγχνου λίτρας β' S''. ξυλοβαλσάμου λίτρας β' S''. ἀριστολοχίας μα-

oleum continet, circumdatis xxx. diebus ſingulis bis movetur, poſtea expreſſum unguentum reponitur. Facultatem habet calefaciendi, emolliendi et laxandi, benefacit rigoribus nervorum uterique cunctis affectibus, omni acopo efficacius eſt, ut quod emolliat. *Gleucini confectio ut Heras.* Quoniam Heras Gleucini confectionem luculentius ipſis juxta finem operis medicamentarii edocuit, illius quoque praeſcriptionem ad verbum ita ſubjuncturus ſum. *Olei Gleucini compoſitio ad perfrictiones et nervorum vitia potiſſimum, juvat opiſthotonicos et emproſthotonicos, oleo puro lana irrigua locis affectis injecto.* ℔ Olei Venefrani libras ducentas octo, alias cl, vini Falerni veteris odorati ſextarios triginta, muſti aminaei ſextarios centumocto, helenii libras duodecim, ſpathae libras quinque, aſpalathi libras quinque, hedyſari libras duas ß, artemiſiae maternae libras ij ß, cyperi libras duas, myrrhae libras tres, alii libram j, piperis albi libras ij ß, junci odorati vel muſci libras duas et dimidiam, xylobalſami libras ij ß,

Ed. Chart. XIII. [860.] Ed. Baſ. II. (421.)

κρᾶς λίτραν α'. γο γ'. μυρσίνης φύλλων ξηρῶν γο α'. λιβανωτίδος ξηρᾶς γο ε'. δάφνης φύλλων ξηρῶν γο ιβ'. βδελλίου λίτρας β' S''. ἴρεως Ἰλλυρικῆς λίτρας β' S''. στύρακος λίτραν α'. γο γ'. κασσίας ξηρᾶς λίτραν α'. γο γ'. λαδάνου λίτραν α'. γο γ'. καρδαμώμου λίτραν α'. γο γ'. κρόκου λίτραν α'. γο γ' S''. βαλσάμου καρποῦ λίτρας β' S''. λιβάνου λίτρας ε'. κροκομάγματος λίτρας ε'. πάνακος λίτραν α'. γο γ'. καλάμου ἀρωματικοῦ λίτρας ε'. ἀβάρου λίτρας β' S''. κασσίας μελαίνης λίτρας β' S''. ἀμώμου σταφυλῆς λίτραν α'. γο γ'. σχοίνου ἄνθους λίτρας ε'. κόστου λίτρας ε'. γο γ'. νάρδου Κελτικῆς λίτρας ε'. μελιλώτου λίτραν α'. γο γ'. σαμψύχου λίτραν α'. γο γ'. ῥόδων ξηρῶν λίτραν α'. γο γ'. τήλεως λίτρας S''. ἤ λίτρας β' S''. ὀποβαλσάμου ἀγγεῖα μικρὰ ε'. μαλαβάθρου μύρου λίτραν α'. κόψας τὰ ξηρὰ καὶ ἀραιοτέρῳ κοσκίνῳ σήσας βρέχε ἐν οἴνῳ. βδέλλιον καὶ ἂν μὴ ξηρὸν ᾖ καὶ αὐτὸ κόπτε· ἐὰν δὲ λιπαρὸν εἴη, τῷ οἴνῳ αὐτὸ διάλυε ὁλμοκοπῶν. βαλὼν εἰς μικρὸν ἀγγεῖον μυρεψικὸν κασσιτερινὸν, πω-

ariſtolochiae longae libram unam et uncias tres, ſiccorum myrti foliorum unciam unam, roriſmarini ſicci uncias quinque, foliorum lauri ſiccorum uncias duodecim, bdellii lib. ij ß, iridis Illyricae lib. ij ß, ſtyracis libram j, uncias tres, caſſiae ſiccae lib. j, uncias tres, ladani libram unam, uncias tres, cardamomi libram unam, uncias iij, croci lib. j ʒ, iij ß, balſami fructus lib. ij ß, thuris lib. v, crocomagmatis lib. v, panacis lib. j ʒ iij, calami aromatici lib. v, aſari lib. ij ß, caſſiae nigrae libras duas et dimidiam, amomi uvae libram j, uncias tres, junci floris libras v, coſti libras quinque, uncias tres, nardi Celticae libras quinque, meliloti libram unam ʒ tres, ſampſuchi lib. j ʒ iij, roſarum ſiccarum lib. j ʒ iij, foenigraeci librae dimidium, vel lib. ij ß, opobalſami vaſcula v, malabathri unguenti lib. j. Arida tunduntur et rariore cribro incernuntur vinoque macerantur, bdellium etſi aridum non fuerit et ipſum contunditur, ſin pingue extiterit vino ipſum in pila contundendo ſolvitur. Haec in vas exiguum unguen-

Ed. Chart. XIII. [860.] Ed. Baſ. II. (421.)

μάσας ἐπιμελῶς ἔα ἐπὶ δώδεκα ἡμέρας καὶ δώδεκα νύκτας. συγχρονισάτω δὲ τὸ γλεῦκος καθαρῶς σταφυλῆς ἐκτεθλιμμένης, ἵνα μηδὲν ἔχῃ δρύσου. βαλὼν δὲ τὸ γλεῦκος εἰς μέγα χαλκεῖον, ὥστε καὶ εἰς τὸ ζέμα τοῦ γλεύκους χώραν ἔχειν, ἐπιβάλλειν πάντα ἐν τῷ οἴνῳ βεβρεγμένα καὶ τὸ ἔλαιον καὶ τὸν οἶνον δὶς τῆς ἡμέρας ἐν σπάθῃ μυρεψικῇ σαλευέσθω ἐπὶ ὥραν. ἡ δὲ σπάθη ἀπομασσέσθω ἐπιμελῶς, ἵνα μὴ τὸ προσμεῖναν ἐν αὐτῇ ὀξῦσαν βλάπτῃ τὸ φάρμακον πάλιν καταθείσης τῆς σπάθης. ἐσκευάσθω δὲ τὸ σκεῦος πώματι καὶ ἄνωθεν κεντρῶσι πλείοσι καὶ περιδείσθω ἐπιμελῶς. ὑποκείσθω δὲ τῷ ἀγγείῳ σπείρα. ὅταν δὲ ἡμέραι ιε'. διέλθωσι, τὸ ἀμμωνιακὸν καὶ αὐτὸ τὸ ἄμωμον ἀποδιδόσθω, ὁλοσχερέστερον κεκομμένον. λ'. δὲ ἡμέρας ἐν διπλῷ ἀγγείῳ ἐπ' ἀνθράκων δύο ἢ τρία ζέματα δεῖ ἐνδιδόναι, τῷ μύρῳ ἀποδιδόντας καὶ τὸ ὀποβάλσαμον. καθελόντας δὲ τὸ ἀγγεῖον καὶ ψύξαντας ἐπὶ ποσὸν ἀποχεῖν τὸ μύρον. τὰ δὲ λοιπὰ σπυριδίοις ὡς ἔστι θερμὰ ἐκθλίβειν, τὸ μὲν πρῶτον διὰ χειρῶν, εἶτα διὰ πιεστῆρος ποιήσαντάς τι διὰ τὸ μύρον ἀποβάλλειν εἰς

tarium ſtanneumque conjecta, ſed ita ut nihil exſpiret opertum, diebus duodecim et duodecim noctibus ſinuntur, muſtum vero cum his permaneat, uva pure expreſſa, ut nihil roris contineat. Porro muſtum in magnum ahenum condito, ut etiam ſervori ipſius locus ſit, omnia in vino macerata adjiciuntur. Oleum vinumque bis de ſpatha unguentaria ad horam agitantur, ſpatha vero accurate detergatur, ne id quod acidum factum ei adhaeret medicamentum offendat, dum rurſus immittitur. Praeparetur autem vas operculo et deſuper pluſculis centonibus accurate circundetur, vaſi ſubſit reſtis. Quum jam dies quindecim praeterierint, ammoniacum et ipſum amomum inditur craſſius contuſum. At triginta dies duplici vaſe ſupra prunas duas vel tres ſervere unguentum permittendum eſt, opobalſamo adjecto. Vaſe autem depoſito ac modice refrigerato unguentum deſundere, reliqua ſportulis ut ſunt calida exprimere oportet, primum manibus, deinde prelo molientes

Ed. Chart. XIII. [860. 861.] Ed. Baſ. II. (421.)

αὐτὸ τὸ μαλάβαθρον, ἐὰν μύρον βάλωμεν κεχυμένον ἐπὶ θερμοῦ ὕδατος καὶ ἀνακινεῖν τῇ σπάθῃ, ἵνα μιγῇ, εἶτα ἐάσαντας μίαν ἡμέραν καὶ ἀποτίθεσθαι ἐν ὑελίνοις ἀγγείοις ὀστρακίνοις κόμμι κεχρισμένοις.

[861] Κεφ. ιε'. [Τὰ ὑπὸ Ἥρα γεγραμμένα ἄκοπα.] Ἄκοπον πρὸς παραλυτικοὺς καὶ καθόλου πρὸς πᾶν ἄλγημα. ℞ πηγάνου χλωροῦ λίτραν α'. γλήχωνος ξηροῦ λίτραν α'. κυπέρου λίτραν α'. νίτρου ≺ ν'. τήλεως λίτραν α'. λινοζώστεως ξηρᾶς λίτραν α'. πρασίου λίτραν α'. λιβανωτίδος λίτραν α'. ἀριστολοχίας λίτραν α'. ἀμυγδάλων πικρῶν λελεπισμένων μοδίου S''. ἴρεως λίτρας β'. τερμινθίνης λίτρας β'. δαφνίδων λίτρας β'. σικύου ἀγρίου ῥίζης λίτρας β'. ἀμμωνιακοῦ θυμιάματος λίτρας β'. βράθυος λίτρας β'. ἐλλεβόρου λευκοῦ λίτρας στ'. μυροίνης χλωρᾶς λίτρας γ'. δάφνης φύλλων ξηρῶν λίτρας γ'. κηροῦ λίτρας δ'. βδελλίου λίτρας δ'. οἴνου κο. β'. ἐν ἄλλῳ τοῦ οἴνου χοᾶς ιβ'. ἐλαίου χοεῖς δ'. κόψας τὰ ὀφείλοντα κοπῆναι ἀδρομερῶς, ἐπίχεε ὕδωρ καὶ ἔμπαλιν τὰ κεκομμένα, προσεπίχεε δὲ καὶ τὸν οἶνον καὶ τὸ ἔλαιον

aliquid unguenti gratia in ipſum malabathrum conjicere, ſi unguentum in calente aqua ſuſum immittamus, item ſpatha permovere, ut miſceantur, poſtea diem unum ſinentes, vitreis vaſis aut teſtaceis gummi illitis reponemus.

Cap. XV. [*Quae ſcripſit Heras acopa.*] *Acopon ad paralyticos, ſummatim ad omnem dolorem.* ℞ Rutae viridis lib. j, pulegii ſicci libram unam, cyperi lib. j, nitri drach. l, foenigraeci lib. j, linozoſtis ſiccae lib. j. marrubii lib. j, rorismarini libram unam, ariſtolochiae lib. unam, amygdalarum amararum deſquamatarum modii dimidium, iridis lib. ij, terebinthinae lib. ij, baccarum lauri lib. ij, cucumeris agreſtis radicis lib. ij, guttae ammoniaci lib. ij, brathyos lib. ij, veratri albi lib. vj, myrti viridis lib. iij, lauri foliorum ſiccorum lib. iij, cerae libras quatuor, bdellii lib. quatuor, vini heminas duas, alibi vini congios duodecim, olei congios quatuor. Contuſis craſſius iis quae tundi debent, aquam affundito, ac rurſus tunſis vinum oleumque

Ed. Chart. XIII. [861.] Ed. Baſ. II. (421.)

καὶ ἔασον ἐννυκτερεῦσθαι καὶ τῇ ἑξῆς ἡμέρᾳ ἕψε, ἕως ταῦτα ἐμπλέοντα καὶ ληφθῇ καὶ προσλάβῃ τὸ ἔλαιον τὴν ἀπὸ τῶν ἑψημένων ποιότητα. ταῦτα δὲ γίνεται ἅπαντα χρόνῳ. εἶτα ἄρας καὶ θλίψας τὰ σκύβαλα, προσέμβαλε τὸν κηρὸν καὶ τὴν ῥητίνην καὶ τὸ βδέλλιον. ἄλλο χλωράκοπον πρὸς ἰσχιάδας καὶ παραλύσεις. τούτῳ ἐχρησάμην ἐπὶ Φόρτῃ. ℔ ῥητίνης τερμινθίνης λίτραν α'. μάννης γο δ'. χαλβάνης γο δ'. ἀφρονίτρου γο δ'. ἀμμωνιακοῦ θυμιάματος γο δ'. ὀποπάνακος γο δ'. στέατος αἰγείου γο στ'. ἰοῦ γο ε'. κυπρίνου κο. α'. ἰρίνου κο. α' S''. μηλίνου γο δ'. Συριακοῦ γο γ'. πεπέρεως γο γ'. τινὲς δὲ οὐγγίας δ'. ἐλαίου παλαιοῦ ξε. α' S''. ἀδάρκης γο α'. ὄξους τὸ αὐταρκέστατον. τὸν ἰὸν καὶ τὸν ὀποπάνακα καὶ τὸ ἀφρόνιτρον σὺν τῷ ὄξει λειοτρίβει, τὰ δὲ λοιπὰ τήξας κατάχει. ἄλλο ἄκοπον πρὸς ἰσχιάδας χρονίας, πρὸς ἀγκύλας καὶ παραλύσεις, ἔστι λίαν ἐνεργές. ℔ ἐλαίου παλαιοῦ καὶ ἰρίνου λίτρας στ'. καὶ δαφνίνου λίτρας στ'. πυρακίνου λίτρας στ'. κηροῦ λίτρας στ'. τερμινθίνης γο β'. εὖ-

adjungito et noctem ſic eſſe ſinito. Sequenti die incoquito dum haec innatantia decocta fuerint et oleum a coctis qualitatem acceperit. Haec omnia fiunt pedetentim. Dein ſublatis expreſſisque recrementis, ceram, reſinam et bdellium adjicito. *Aliud viride acopon ad iſchiadas et nervorum reſolutionem, hoc uſus ſum in Phorte.* ℔ Reſinae terebinthinae libram unam, mannae uncias quatuor, galbani uncias quatuor, aphronitri uncias quatuor, guttae ammoniaci uncias quatuor, opopanacis uncias quatuor, ſevi caprini uncias ſex, aeruginis uncias quinque, cyprini heminam unam, irini heminam j ß, melini uncias quatuor, Syriaci uncias tres, piperis uncias tres, quidam vero ʒ iv, olei veteris ſeſquiſextarium, adarces unciam j, aceti quod abunde ſufficiat. Aeruginem, opopanacem et aphronitrum cum aceto tento, reliqua liquefacta ſuperfundito. *Aliud. Acopon ad iſchiadas diuturnas, articulorum contractiones et paralyſin admodum efficax.* ℔ Olei veteris et irini lib. vj, laurini lib. vj, pyracini lib. vj, cerae lib. vj, terebinthi-

Ed. Chart. XIII. [861.] Ed. Baf. II. (421. 422.)

φορβίου γο β'. ἀμμωνιακοῦ θυμιάματος οὐγγίας γ'. καστορίου γο β'. ὀποπάνακος γο β'. χαλβάνης οὐγγίας β'. μυελοῦ ἐλαφείου γο β'. πεπέρεως γο β'. τὰ τηκτὰ τήξας κατὰ τῶν ξηρῶν κατάχει καὶ ἑνώσας χρῶ. ἄλλο ἄκοπον πρὸς ἰσχιάδας καὶ καθόλου πρὸς πάντα. ℥ σμύρνης μέρος ἕν, πυρέθρου μέρους S''. λείοις παράχει γλεύκινον, ὥστε γλοιῶδες γενέσθαι τὸ φάρμακον, ἐπὶ δὲ τῆς χρείας ῥόδινον παραμιγνὺς χρῶ.

Κεφ. ιστ'. [*Δαμοκράτους ἀκόπων σκευασίαι.*]

Ὄντος δὲ πολλοῦ τοῖς φιλιάτροις λόγου
Ἀκόπων ἁπάντων χρήσεως καὶ μυρακόπων,
Φράσω τίν' ἐστὶ ταῦτα καὶ πῶς ὠφελεῖ,
Πῶς τε καθ' ἓν αὐτῶν σκευάσαι δεῖ φάρμακον.
(422) Ποιεῖ μὲν οὖν ἅπαντα πρὸς νεύρων πόνους,
Σαρκός τε πάσης καὶ μυῶν, ὅσους κόπος
Καθεῖξεν ἢ ψῦξις ἢ δίχ' αἰτίας
Φανερᾶς ἐγένετο. τοῖς δ' ὁμοί' ἀλγήματα
Καὶ δυσπαθείας δεῖ φέρειν ταῦτα πολλάκις,

nae uncias ij, euphorbii ʒ ij, guttae ammoniaci ʒ tres, caſtorii ʒ ij, opopanacis uncias duas, galbani ʒ ij, medullae cervinae ʒ ij, piperis uncias duas. Liquabilia ubi liquefeceris, ſiccis affundito ac unitis utitor. *Aliud acopon ad coxarum dolores et in univerſum ad omnia.* ℥ Myrrhae partem unam, pyrethri partem dimidiam, laevigatis gleucinum affunditur, ut medicamentum ſtrigmenti ſpiſſitudinem accipiat. Ubi opportunitas accidit roſaceo admixto utitor.

Cap. XVI. [*Damocratis acoporum compoſitiones.*]

Plurima medicinae quum ſtudioſi dictitent
Acoporum de uſu myracoporumque omnium,
Haec, quae ſient, dicam et quo conferant modo,
Quave ratione facias quodque pharmacum.
Ergo et dolores nervorum haec omnia levant
Carnisque totius et muſculum, quibus
Moleſta laſſitudo eſt aut perfrictio
Aut his dolores ſimiles, ſine patentibus
Cauſis oborientes. Quin laſſitudini

Ed. Chart. XIII. [861, 862.] Ed. Baſ. II. (422.)

Τοῖς εὐαλώτοις ψύξεσίν τε καὶ κόποις,
Ἂν χρησάμενός τις πρότερον, οὕτως ἐξίῃ
Ἐπὶ τὰς δι' ἀνάγκην τοῦ βίου λειτουργίας,
Σαρκοῖ τ' ἀτροφοῦντά τινα μέρη τοῦ σώματος
Ἂν τις ἀναχρίῃ μετὰ τροφὴν τὰ πεπονθότα,
Καὶ δυσαναλήπτοις ἁρμόσει, γέρουσί τε
[862] Χειμῶνος αὐτοῖς χρωμένοις εἰς ἑσπέραν.
Ὅσα δὲ ποιεῖ τῶν ἀκόπων, δι' ἑτέρων
Ἐροῦμεν, ὑποτάξαντες αὐτῶν ταῖς γραφαῖς
Ἢ καὶ προθέντες τῆς γραφῆς τὸ χρήσιμον.
Νυνὶ δὲ φήσω πῶς τὸ πρῶτον δεῖ ποιεῖν.
Ἀμμωνιακοῦ μὲν γὰρ γο ι'.
Εἴτ' οὐγγίας ἐθέλει τις εἴτ' ἄλλον σταθμὸν,
Τὸ δ' αὐτὸ λιβάνου, χαλβάνης δὲ δ'.
Ἐλαφείου μυελοῦ δ'. καὶ δ'.
Τῆς Ἀττικῆς πέμπουσι ταὐτὸν οἰσύπου,
Τερμινθίνης τε τῆς διαυγοῦς δ'.
Μέλιτος καλοῦ τε προσφάτου πάλιν ι.

Obnoxios et frigori haud faciles parant,
Si qui uſi prius ita prodeant ad munia
Vitae neceſſaria obeunda. Corporis
Et carne partes pabulo indigas ſuo
Explent, perunctis aſſumpto a cibo locis.
Qui convaleſcunt aegre, hos et ſenes juvant,
Ipſis per hiemem ad veſperam linentibus.
Quae porro acopa faciunt, alio vobis loco
Exponam, et horum ſcripta ſubjungam ordine,
In quem vel uſum quoque veniant, mox tranſigam.
Nunc referam, quo primum liceat facere modo.
Namque ammoniaci bis quinas quidem uncias,
Sive uncias mavult quis, ſeu pondus aliud,
Idemque thuris, at quaternas galbani.
Cervi medullae tandem, parem modum
Simul Atticique deinde mittunt oeſypi,
Terebinthinae perlucidae centum et bis duas,
Mellis recentis optimi rurſus decem.

Ed. Chart. XIII. [862.] Ed. Bal. II. (422.)

Ἴσον τε τούτῳ Ποντικοῦ κηροῦ σταθμὸν,
Στέατός τε χηνὸς προσφάτου μαλακοῦ ι'.
Οἴνου Φαλερίνου ε'. κοτύλας ἢ βραχὺ
Ἐλάττονας ἢ καὶ βραχὺ δαψιλεστέρας,
Παλαιοῦ τ' ἐλαίου τοῦ καλοῦ δὶς κ'.
Πειρῶ δὲ τοῦτο μὴ δυσῶδες προσβαλεῖν,
Οὕτως γὰρ ἔσται προσφιλὲς τοῖς χρωμένοις.
Σκεύαζε δ' οὕτως. ἐν θυείᾳ μείζονι
Λίβανον καταθλάσας εἰς βραχεῖς κόνδρους πάνυ
Ἀμμωνιακόν τε παραχέων οἶνον εὐθέως,
Ἀφεὶς τε ταῦτα διαβραχῆναι συμμέτρως,
Λέαινε τῷ δοίδυκι καὶ μέλιτος πάχος
Ποιῶν, ἀποδίδου τὸ μέλι καὶ τὴν οἴσυπον
Καὶ τὸν ἐλάφειον μυελὸν, εἶτα ταῦθ' ἑνῶν
Ἐν τῇ θυείᾳ, τῆκε κηρὸν ἐν χύτρᾳ
Καὶ πᾶν ἔλαιον καὶ στέαρ καὶ χαλβάνην
Τερμινθίνην τε καὶ τακῆναι πάντ' ἀφεὶς,
Καὶ τῶν ἐνόντων τῇ θυείᾳ καταχέων,

Aequalem tribuunt Ponticae cerae modum,
Adipis recentis anseris mollis decem,
Vini Falerni quinque pluresve heminas
Aut pauciores paulo conjiciunt quoque,
Itidem olei veteris bis viginti boni.
Id autem graveolens haudquaquam commiseris,
Sic namque fiet, gratum ut sit hoc utentibus.
Paratur sic. Majusculo in mortario
Simulatque thus in grumulos confregeris
Et ammoniacum, vinum affundens protinus,
Atque haec dimittens macerari mediocriter,
Tere cochleari. in mellis spissitudinem
Cogantur, addito mel una atque oesypum,
Cervi medullam, quae in pila counies.
Ac deinde cera in ollula liquefcito,
Oleumque totum juncta et adipe et galbano
Terebinthinamque colliquefacies, simul
Superfundens coëuntibus in mortario.

Ed. Chart. XIII. [862.] Ed. Baf II. (422.)

Καὶ μικρὰ δοίδυκι κινήσας, ἵν' ὑποψυχῇ,
Ταῖς χερσὶν ἀνάτριβε τότε ταῦτα πάνθ' ὁμοῦ,
Ἕως ἂν ἑνωθῇ πάντα καὶ μέλιτος λάβῃ
Γυροῦ καλοῦ τε τὸ πάχος, οὕτως τ' ἀποτίθου
Εἰς κασσιτερινὸν σκεῦος ἢ καὶ πύξινον,
Χρώμενος ἐπιμελῶς, ὡς κρατίστῳ φαρμακῳ.
Ἔστιν δὲ καὶ γυναιξὶ συμφορώτατον
Ὅσαις ἐγένετο φλεγμονὴ τῆς ὑστέρας
Τὰς σκληρίας φέρουσα καὶ σκιῤῥου φόβον,
Ἐφ' ὧν κέλευε πεσσαρίῳ τὸ φάρμακον
Ἐγχρισθὲν οὕτως προστιθέναι ταῖς ὑστέραις.
Ποιεῖ δὲ τοῦτο καὶ πρὸς ὠτίων πόνους
Τοὺς χωρὶς ἕλκους, τοὺς σφοδροὺς δίχα ῥεύματος,
Σεργητικοῦ δὲ μῖξον ἰρίνου μύρου
Μέρος δ'. ἢ γ'. τῷ φαρμάκῳ,
Θερμῷ τε δεύσας ἔριον ἔνθες τῷ πόρῳ.

Ἄλλο.

Καὶ χλωράκοπον τοῦτο δραστικὸν πάνυ,

Sed ſpathula parva, ut refrigeſcant, permove.
Tum ſubigito tantiſper haec omnia manu,
Unita bene dum appareant et humidi
Mellis bonique craſſitudinem habuerint.
In ſtanneum vas condito vel buxeum,
Hoc ſedulo uſus optimo ceu pharmaco.
Eſt commodiſſimum et mulieribus quoque,
Queis eſt oborta phlegmone intus, uteri
Duricium abigit inde, ſimul et ſcirrhi metum,
Ubi peſſulo uſurpare pharmacum jubet
Litum utero, quod indere hoc ſolent modo.
Beneſacit hoc idem ad dolores aurium
Expertium ulceris, ſineque fluxu graves.
Sergetici autem mittis irini unguinis
Aut portionem quartam aut trinam pharmaco.
Calidoque lanam intinctam addis foramini.

Aliud.

Et viridacopon hoc efficax ſupra modum,

Ed. Chart. XIII. [862.] Ed. Baſ. II. (422.)

Διὸ ταῖς καταρχαῖς τῶν πόνων μᾶλλον ποιεῖ,
Ἀρθριτικοῖς τε καὶ ποδαγρικοῖς συμφέρει,
Πρὸ τῶν βαλανείων τριβομένοις τῷ φαρμάκῳ,
Πόδας τε καὶ τὰ νεῦρα τὰ πεπαχυσμένα.
Οὕτω γὰρ ἔγνων γενομένους ὑγιεῖς τινας.
Ἔχει δὲ λιβανωτοῦ καλοῦ λίτραν α΄.
Ἀμμωνιακοῦ δὲ θυμιάματος λίτρας β΄.
Ἀφρονίτρου τε λευκοτάτου λίτραν α΄.
Τὸ δ' αὐτὸ καθάρας οἰσύπου τῆς Ἀττικῆς,
Σμύρνης τε χρηστῆς, χαλβάνης τῆς ἀξύλου,
Ὀποπάνακός τε τοῦ καθαροῦ. τούτων καθ' ἓν
Στήσας ἐπιμελῶς γο δὶς δ΄.
Εὐφορβίου γο δ΄. τοῦ προσφάτου,
Ἴσας τε ταύταις τραχέος λιμνησίου.
Καλοῦσι δὲ τοῦτ' ἀδάρκην, οἳ τὰ μίγματα
Ἐν Ἰταλίᾳ πωλοῦντες οἵ τ' ὠνούμενοι,
Κηροῦ σφόδρα καλοῦ Ποντικοῦ λίτρας β΄.
Τερμινθίνης τε τῆς καθαρᾶς λίτρας β΄ S''.

Unde et laborum exordiis facit magis
Arthriticis, podagricis quoque efficax.
Hoc ante balneas medicamento litis
Et pedibus et nervis incraſſatis ſimul
Plures fuiſſe ſanatos conſpeximus.
Habet boni thuris pondo libram unam,
Ammoniaci guttae pondo libras duas,
Aphronitri quam albiſſimi ſolum libram,
Tantundem puriusculi Attici oeſypi,
Myrrhaeque lectae et non lignoſi galbani,
Opopanacisque puri, ſingulum omnium
Octo uncias exacte perpendens libra,
Quatuor euphorbii recentis uncias.
His aſperi pares dato limneſii,
Hoc nominant adarcen unguentarii
In Italia inſtitores, quive coëmunt,
Cerae admodum bonae duo pondo Ponticae,
Terebinthinae tot purae, ſemiſſem inſuper,

Ed. Chart. XIII. [862, 863.] Ed. Baf. II. (422.)

Δαφνίνου ἔλαίου καὶ κυπρίνου καὶ γλευκίνου
Λίτραν μίαν ἑκάστ', ἰρίνου Σεργητικοῦ,
[863] Παλαιοῦ δ' ἐλαίου, σχινίνου τε προσφάτου,
Τούτων ἑκάστου δύο πάλιν λίτρας σταθμῷ,
Ὄξους τὸ μέτριον. τούτῳ καὶ τὰ μίγματα
Τὰ ξηρὰ τρίψας ἐπὶ τὸν αὐτάρκη χρόνον,
Λείου ἐπιμελῶς προσβαλεῖς, τήξας μύρα,
Κηρόν τε, χαλβάνην τε καὶ τερμινθίνην,
Ὀπόν τε πάνακος, τἄλλα θ' ὑγρὰ μίγματα,
Καὶ κατακενώσας θερμὰ καὶ ζέοντ' ἔτι
Κατὰ τῆς θυείας. τῶν γ' ἐν αὐτῷ μιγμάτων
Ἀνάτριβε τῷ δοίδυκι χειρί τ' εὐτόνως,
Καὶ πάνθ' ἑνώσας ἀποτίθου τὸ φάρμακον
Εἰς πυξίδ' οἵαν εἶπον ἔμπροσθεν βραχύ.
Θαῤῥῶν δ' ἐπὶ πάντων κέχρησο τῶν κεχρονισμένων.

Ἄλλο.

Καὶ τοῦτο δ' ἄκοπον εὐπόριστον καὶ καλὸν,
Καὶ μάλιστα χειμῶνος, ἔν γε ταῖς ὁδοῖς
Τοῖς εὐαλώτοισιν βοηθεῖν δυνάμενον.

Olei laurini cyprinique et gleucini,
Sergetici irinique ſingulam libram,
Olei veteris, recentis quoque lentiſcini,
Cujusque rurſum horum immittes pondo duo,
Aceti modicum, quo mixturas ſimplices
Siccas abunde contritas contemperes
Liquidis unguinibus et cerae, terebinthinae,
Ac galbano, liquori panacis et aliis.
Ubi calida atque adhuc ferventia in pilam
Conjeceris, cochleari et manibus contere
Valenter. Unita omnia ſic reponito
In pyxidem, qualem dixi paulo prius.
Audacter inveteratisque omnibus utitor.

Aliud.

Et hoc parabile paſſis acopon, item bonum,
Potiſſimum per hiemem, ſi eſt profectio
Usquam, malo opportunis facile ſubvenit.

Ed. Chart. XIII. [863.] Ed. Baf. II. (422.)

Ἔχει δὲ καθαροῦ χαλβάνου γ'. γο.
Ὀποπάνακος δὲ προσφάτου γο μίαν.
Ἄνθους ἁλὸς γ'. οἰσύπου δὲ δ'.
Ἀμμωνιακοῦ θυμιάματος τοῦ καλοῦ
Λίτρας η'. κηροῦ λίτραν α'. πιτυΐνης πεφρυγμένης,
Τῆς μὴ δυσώδους γο δὶς δ'.
Λίτραν τ' ἐλαίου τοῦ Σαβίνου δὶς δ'.
Πλεῖόν τε τοῦ χειμῶνος, ὡς λίτραν βάλ' εἰς
Οἴνου Φαλερίνου μέλανος γο ι'.
Σκεύαζε δ' οὕτως. ἐν θυείᾳ
Ἀμμωνιακὸν κατάθλασον, εἶτ' οἶνον βαλὼν,
Διάβρεξον ὀλίγον καὶ λεάνας ἐπιμελῶς,
Πρόσβαλλ' ἁλὸς ἄνθους καὶ τὸν οἴσυπον τότε,
Εἶτ' ἐκλεαίνων καὶ μέλιτος ποιῶν πάχος,
Τὰ τηκτὰ τήξας, ὕστερον τὴν χαλβάνην
Καὶ τὸν ὀποπάνακα προσβαλὼν τῆξον πάλιν,
Κατάχει τε τῶν ἔμπροσθε λείων γεγονότων
Ἐν τῇ θυείᾳ καὶ καλῶς ἡνωμένων,

Quod puri recipit galbani tres uncias,
Sed unam opopanacis recentis unciam,
Floris ſalis tres et quaternas oeſypi,
Ammoniaci guttae bonae pondo libras
Octo atque cerae unam, pityinae torridae
Non foetidae quaternas bis pone uncias,
Olei Sabini bis quaternas et libras,
Plus hieme ceu libram oportebit indere,
Vini Falerni nigri denis unciis.
Sic praeparato. Ammoniacum in mortario
Contundito atque deinde vinum affundito
Pauliſper macera, curioſe conterens
Florem ſalis, tunc etiam adjicias oeſypum,
Terens tum ac faciens mellis ſpiſſitudinem.
Liquatis colliquandis, inde galbanum,
Tum opopanacem adjunctum, rurſus liqueſacito.
Laevigatisque prius in pila, unitis probe

Ed. Chart. XIII. [863.] Ed. Baf. II. (422. 423.)

Οὕτω τε μίξας θερμὸν ἔτι τὸ φάρμακον
Ταῖς χερσὶν, ἀπόθου εἰς ὑελοῦν ἀγγεῖον.

Ἄλλο μυράκοπον.

(423) Καὶ μυράκοπον δὲ τοῦτο τῶν ἄγαν καλῶν.
Ἡδὺ γὰρ ὑπάρχει καὶ βοηθεῖ δραστικῶς
Πρὸς τοὺς πόνους, οὓς εἶπον ἔμπροσθεν βραχύ.
Στακτῆς δὲ ἔχει τῆς καλῆς τρεῖς οὐγγίας,
Ὀποβαλσάμου γ'. καὶ μέλιτος γ'. Ἀττικοῦ,
Κηροῦ τε καθαροῦ Ποντικοῦ γ'. κροκίνου,
Μύρου δὲ Συριακοῦ γο δ'.
Ἀμμωνιακοῦ λευκοτάτου, λείου τε ἁλός.
Γο β'. μίαν δὲ καὶ ἓν μέρος
Τερμινθίνης λευκῆς τε καὶ κεκαθαρμένης,
Τοῦ κινναμώμου δὲ καὶ μαλαβάθρου λίτραν
Μίαν προσαπόδους καὶ μέρος λίτρας τρίτον.
Ἂν μὴ παρῇ δὲ μαλάβαθρόν σοι κατὰ τύχην,
Πρόσβαλλε νάρδου ταὐτὸ τῆς Γαγγίτιδος.
Μύρον δὲ τοῦτο τῶν μετρίως ἐστὶν καλῶν,

Superque fundito et manibus miſcens ita
Pharmacum adhuc fervens vitreo vaſe condito.

Aliud myracopon.

Et hoc myracopon optimorum ineſt gregi.
Nam ſuavitatis plenum eſt. Juvat inſigniter
Quos nominavi paulo affectus antea.
Stactae bonae receptat ternas uncias,
Opobalſami tres et mellis tres Attici,
Ceraeque purae Ponticae tres, unguinis
Crocini Syriaci quoque quaternas uncias,
Ammoniaci quam albiſſimi et laevis ſalis
Sextantem, candidae et purae terebinthinae
Unam unciam, atque partem ipſius unicam,
Et cinnamomi, nec non malabathri quoque
Libram adde et partem librae tertiam inſuper.
Sin abſit autem malabathrum forſan tibi
Adjunge nardi tantundem gangitidis,
Iſtud bonis mediocriter unguentum additur,

Ed. Chart. XIII. [863. 864.] Ed. Baſ. II. (423.)

Ἱκανῶς δὲ φαρμακῶδες, ὡς οὐκ ἄλλο τι.
Ἢ ταὐτὸν ὁμοίως ἰρίνου Σεργητικοῦ,
Ἢ Κυζικηνοῦ, τοῦτο δὲ ἀμαρακίνου.
Τούτοις δὲ χρήσει μὴ παρόντος, ὡς ἔφην,
Τοῦ μαλαβάθρου. μέτριον γὰρ οἶμαι μυράκοπον,
Οὐδὲν ἔλαττον ὠφελοῦν τοὺς χρωμένους.
Σκεύαζε δ' οὕτως. ἀναλεάνας ἐπιμελῶς
Πρόσβαλλε τὸ μέλι καὶ λεάνας συμμέτρως,
Στακτήν τε μίξας κὠποβάλσαμον, πάλιν
Λέαινε ἐπιμελῶς καθαρὰν τερμινθίνην,
Κηρόν τε καὶ τὸ κρόκινον εἰς διπλοῦν βαλὼν
Ἄγγειον ὕδατι τῆκε τὰ προειρημένα,
Περὶ δεῖλον ἐν ἑτέρᾳ χύτρᾳ.
Τήξας δὲ ταῦτα παρέγχει μαλάβαθρον,
[864] Καὶ πάνθ' ἑνώσας συμμέτρως, ὡς μὴ ζέσαι,
Βάσταζε τὸ διπλοῦν σκεύαριον ἐκ τῆς χύτρας,
Ψύξας τ' ἐπιμελῶς καὶ ξύσας τὸ φάρμακον,
Προσεμβαλών τε τοῖς πρότερον εἰρημένοις
Ἐν τῇ θυείᾳ πάλιν λέαινε ἕως καλῶς

Abunde medicamentoſum, ut nullum invenis
Aliud vel irini tantum Sergetici
Vel Cyziceni pondo, idem amaracini.
His uteris, ubi non adſit quod diximus
Malabathrum, arbitror moderatum myracopon
Nihil minus ſane auxiliari utentibus.
Sic conſit. Accurate mel factum laeve
Adjunge et ſtacten tritam modice miſceas
Opobalſamumque ac rurſum exacte contere.
Cera, crocino, terebinthina pura duplo
Injectis vaſi, praedicta liqueſcant aqua
In alia olla, liqueſactis inde malabathrum.
Et cunctis unitis modice, ut non ſerveat,
Duplex depone vas protinus ex cacabo.
Exacte frigerato et raſo pharmaco,
Et addito iis, quae jam prius recenſui,
Mortario laevigato rurſus, dum probe

Ed. Chart. XIII. [864.] Ed. Baſ. II. (423.)

Ἅπαν ἑνωθῇ καὶ γένηθ' ἓν φάρμακον.
Εἰ δ' αὐτὸ βούλει δραστικώτερον ποιεῖν
Πρὸς τὰ νεῦρά τε καὶ τὰ κεχρονισμένα
Καὶ τὰς διαθέσεις τάς τε τῶν μυῶν τάσεις,
Εὐφορβίου τε καλοῦ καὶ ἔτι προσφάτου
Γο β'. τῷ παντὶ κατάμιξον σταθμῷ,
Τοῖς θ' ἁλσὶ καὶ τῷ μέλιτι τῷ τ' ὀποβαλσάμῳ
Συνεκλεάνας πρότερον αὐτάρκει χρόνῳ.
Οὕτως δ' ἑνώσας πάντα τὰ προειρημένα,
Εἰς πυξίδ' ἀπόθου ἢ εἰς ὕελοῦν ἀγγεῖον,
Ἀπὸ τῶν βαλανείων μᾶλλον αὐτῷ χρώμενος.
Βασιλεῖ δὲ ποιῶν καὶ Σεβαστῷ μυράκοπον.
Σκεύαζε ῥᾷστα τοῦτο καὶ χωρὶς πυρὸς
Ἔχον ὀποβαλσάμου μέτρον ὡς γ'. οὐγγίας.
Καὶ τοῦ κρατίστου δὲ μαλαβάθρου γο
Ιέ'. κιννα μώμου τοῦ καλοῦ ταὐτό,
Κηροῦ δ' ἀνόσμου λευκοτάτου δραχμὰς ι'.

Totum uniatur fiatque unum pharmacum.
Voles at ſi ipſum reddere efficacius
Ad vitia nervorum, ſimul ad diutina,
Affectiones longas, tenſos muſculos,
Euphorbii recentis etiamnum et boni
Toti uncias duas admiſceas ponderi,
Cum ſaleque melleque inſuper opobalſamo
Elaevigatum ante, quo ſatis erit tempore.
Itaque omnia dicta in unum quum redegeris,
In pyxidem vel vas vitreum reponito.
A balneis in uſum potius ducito.
Cum regi facies principive myracopon,
Perfacile vel para ignis ſine commercio,
Opobalſami collectis ternis unciis,
Et optimi malabathri quindecim uncias,
Et cinnamomi tantundem boni cape,
Ceraeque non olentis candidiſſimae
Denarios decem. Sic ipſum praepara.

Ed. Chart. XIII. [864.] Ed. Baſ. II. (423.)

Σκεύαζε δ' αὐτὸ μαλαβάθρου τρίτον μέρος.
Καὶ κηρὸν εἰς ἐλάχιστα κατατετμημένον,
Εἰς ἀργυρᾶν ἔμβαλε λεπτὴν φιάλην.
Τήξας ἐφ' ὕδατος θερμοτάτου ψύξας ξύσον,
Καὶ προσβαλὼν λεῖα ἐν τῷ ὀποβαλσάμῳ
Καὶ κινναμώμῳ, τρῖβε πάλιν ἑνῶν ἅπαν,
Τότε λοιπὸν αὐτοῖς μαλάβαθρον παρεγχέας,
Τρίβων ἕνωσον χερσὶν, οὕτω τ' ἀποτίθου
Εἰς ἀργυροῦν σκεύαριον ἢ ὑελοῦν παχὺ,
Οὕτως γὰρ ἕξεις ἀσφαλῶς τὸ φάρμακον.
Τρίτον δὲ λίτρας προσβαλὼν Γαγγιτικῆς,
Νάρδου ποιήσεις γλυκύτερον τὸ φάρμακον.
Καὶ κρεῖσσον πρὸς τὰς διαθέσεις τὰς προσφάτους
Σύγχρισμα. ἂν μὴ παρῇ δὲ κιννάμωμον, οὐ βαλὼν
Ἕξεις ἐλαχίστως μεῖον, ἀλλ' ὄντως καλὸν,
Καὶ παντὸς ἄλλου μυρακόπου κρεῖσσον πολύ.
Εἰ δ' αὐτὸ βούλει δραστικώτερον ποιεῖν

Partem malabathri tertiam et ceram quoque
Conciſam multa in fruſta minutiſſime,
Argentea in tenui reconde phiala.
Aqua calente plurimum ut liquaveris,
Ipſum refrigerato, deinde radito
Tum laevia jungens rurſus in opobalſamo,
Et cinnamomo totum contere uniens,
Quod reſtat ipſis ſuprafundens malabathrum
Terens adunito manibus, ſic condito
Argenteum in vas aut vitreum ſed craſſius,
Sic namque tuto habebis ſemper pharmacum.
Ac ſi trientem libras addas gangitidis
Nardi, medicamen reddes longe ſuavius
Praeſtantiusque ad vitia adhuc recentia.
Synchrisma, cinnamomon tibi ni ſuppetat,
Minimo quidem pejus habebis, vere at bonum,
Alio omni et multo myracopo praeſtantius.
At ſi proponis id facere efficacius

Ed. Chart. XIII. [864.] Ed. Baſ. II. (423.)

Πρὸς ἃς προεῖπον διαθέσεις, Ἀτλαντικοῦ
Εὐφορβίου πρόσβαλλε δραχμὰς δ'.
Ἔσται γὰρ οὕτως ἡδὺ καὶ δραστήριον,
Κἂν ᾖ δι' ὀλίγων μιγμάτων συγκείμενον.
Τινὰς δ' ἐπέγνων στέασι πολλοῖς χρωμένους
Μυελοῦ τε πολλοῦ καί τινων ἀρωμάτων.
Οποῖς τε καὶ μύροισι κἀλαίοις τισὶν,
Οἷς πάλιν ἀμέλει χρησάμενος ἔγνων ὅτι
Ἀπειροκάλων τοιαῦτα καὶ μὴ κεκριμένων
Τὰ μίγματα, τάς τε ἁπλᾶς τούτων φύσεις.

Ad quos retuli modo affectus, Atlantici
Euphorbii junges quaternas uncias.
Nam ſic erit ſuave, nec inefficax,
Mixturis licet confectum paucioribus.
Cognovimus quosdam uti multis pinguibus,
Medulla multa et nonnullis aromatis,
Liquoribus, unguentis et oleis aliquibus.
Quibus contra uſus, cognovi eſſe talia
Expertium boni, qui non probaverint
Mixturas neque naturas horum ſimplices.